
LIBRARIES
160593 7

NRP

Apollonius Rhodius

# APOLLONII RHODII

# ARGONAUTICORUM

## LIBRI QUATUOR.

PRIORUM EDITORUM ET INTERPRETUM
NOTIS SELECTIS

ACCEDUNT


RUHNKENII, PIERSONI, GEORGII D'ARNAUD,
NECNON JOANNIS TOUPII
ANIMADVERSIONES.

EDIDIT,
NOVA FERE INTERPRETATIONE
SUISQUE NONNULLIS ANNOTATIONIBUS
ILLUSTRAVIT,
INDICES TRES ADDIDIT,

JOANNES SHAW, S. T. B.
COLL. BEATÆ MARIÆ MAGDALENÆ
APUD OXONIENSES SOCIUS.

EDITIO SECUNDA.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCLXXIX.



THE NEW YORK
PUBLIC LIBRARY
120701B

REVERENDO ADMODUM IN CHRISTO PATR

# THOMÆ,

EPISCOPO LINCOLNIENSI,

LITERARUM ELEGANTIORUM,

QUAS IN COLLEGIO BEATÆ MARIÆ MAGDALENA

FELICITER EXCOLUIT,

JUDICI, PATRONO,

HANC ALTERAM APOLLONII EDITIONEM

EO, QUO PAR EST, STUDIO

D. D. D.

JOANNES SHAW.

# PRÆFATIO

## PRIMÆ EDITIONI PRÆMISSA.

De ipso Auctore præfari supervacaneum esset: qui de Apollonio rite judicare velit, si quisquam præter ipsum scriptorem consulendus sit, Quinctilianum & Longinum adeat. Ab hoc noster ἄπτωτος dicitur; ille ait Auctorem nostrum opus haud contemnendum edidisse, sed æquali quadam mediocritate. Si itaque summam classem non attigerit, eum tamen non infimo loco ponendum & Critici summi testantur, & ipse Virgilius calculo suo confirmat, qui multa ex Argonauticis mutuatus est.

Quid igitur in hac editione peractum sit, amice lector, breviter ut possim, exponam.

Quod ad textum attinet secutus sum Hœlzlinum, novissimum Apollonii editorem; qui, omnibus summa cum cura collatis exemplaribus, (opus sane post Stephani editionem, qui in hoc præcipue versatus est ut textum accuratissimum redderet, pene supervacaneum) nihil mihi sine manuscriptorum librorum auctoritate, quos nullos nancisci poteram, mutandum reliquit; pauca admodum quæ optarem mutare. Invenies igitur nullas lectiones tanquam genuinas in textum temere & ex conjectura receptas, sed ut verisimiles tantum, & quas pro arbitrio vel admittas vel rejicias, in notis duntaxat memoratas. Quæ porro apud unumquemque editorem alicujus nominis varie leguntur, horum omnium mentionem feci.

Confido

Confido autem, erudite lector, te nullo modo existimaturum me quod jam actum est egisse, poetam nostrum nova fere interpretatione illustrando. Ut in hac re præcipue laborarem, persuasit mihi quæ apud Hœlzlinum legitur explicatio: si ea explicatio dici possit, quæ ipso Auctore plerumque sit obscurior, quæque sæpissime vel per se ipsa nequeat intelligi. Hic enim veterem Hartungi interpretationem nihili habendo, & præ modestia sua non assis æstimando (ut ipse in Prolegomenis loquitur) sensum ab Apollonii mente plane abhorrentem lectoribus suis plurimis in locis obtrusit. Adeo ut audacter possim profiteri plus sæpe facere Apollonium ad illustrandum Hœlzlinum, quam facit Hœlzlinus ad illustrandum Apollonium. Fuit profecto Hartungus ille fidus adeo interpres ut verbum verbo de Græca lingua in Latinam transferret, neglecto interim utriusque idiomate. Sed quantum vel hoc præstat licentiæ qua usus est Hœlzlinus? Ego sane ut planum & simplicem Authoris sensum elicerem, omni interpretationis fuco vacuum, summum studium adhibui; nec interdum ab Hartungo mutuum accipere dedignatus sum, nisi quando linguæ Latinæ vim faceret. Habes igitur, nî fallor, quod hactenus maxime erat desideratum, interpretationem fidam satis, nec tamen, ut spero, prorsus inelegantem.

De notis quas ad finem operis adjeci, monendum te imprimis volo, me quicquid ad explicandum Apollonium aliquo modo apud Stephanum, Hartungum, Holstenium, & Hœlzlinum, idoneum duxerim, id libenter transcripsisse. Plurimas autem Hœlzlini notas penitus exulâsse, non erit cur mirabere. Nihil enim aliud mihi visa est efficere longe major pars earum an-

notationum

notationum quas ille congesserat, quam ut his locis, quæ per se ipsa luce essent clariora, densissimas offunderent nebulas. Observationes, quas huc, illuc, interspersas, nullo nomine distinctas, inter reliqua ab aliis annotata reperies, non omnes me habent auctorem. Occasionem enim jam ultro oblatam lubens arripio agnoscendi quantis me beneficiis devinxerit Franciscus Upton, S.T.B. Collegii Exoniensis apud Oxonienses socius, qui mihi Apollonii editionem Stephanicam, in quâ notulæ erant eruditionis plenæ, & animadversiones nonnullæ in Scholia a doctissimo viro Joanne Upton, præbendario Roffensi, non ita pridem defuncto conscriptæ, amicissimè commodavit; quæ sane magno mihi erant adjumento, dum vel iis conjecturis quæ antea mihi ipsi in mentem venerant, novas vires adderent, vel ea corrigenda suggererent, quæ alioquin a me nunquam fuissent excogitata. Iis cum per incuriam typographi nomen Auctoris non sit affixum, visum est ad calcem hujusce præfationis singulas libro & versu notatas indigitare.

Notas Sanctamandeas sua manu conscriptas & in bibliotheca Bodleiana conservatas, quas multas leges in libro primo, vix ad secundi dimidium pertingere mecum haud injuria dolebis. At indigne omnino de egregii illius viri industria & ingenio judicabimus, si arbitremur eum opus tam feliciter inchoatum, nisi ob causam aliquam gravissimam infectum reliquisse, præsertim cum Authorem suum per minus jucundas poematis partes jam comitatus esset. Huic damno, quamvis deflendo, medelam afferunt doctissima & amplissima quæ in Apollonium leguntur Scholia, quæ fere sola videntur complecti id omne quod ab aliis interpretibus possit observari.

Hæc

# PRÆFATIO.

Hæc ſunt, lector benevole, de quibus te admonitum velim. Quod reliquum eſt, mihi ſummæ erit lætitiæ, ſi tibi inter legendum vel aliqua ex parte facem prætulero, aut quidpiam elaboravero, quod Apollonii votis aliquatenus reſponderit, ut nempe carmina ſua

Εἰς ἔτος ἐξ ἔτεος γλυκερώτεραι εἶεν ἀείδειν.

Notæ Uptoni ſunt. i. 1, 4, 54, 76, 89, 191, 252, 496, 525, 526, 565, 865, 916, 932, 1003, 1129, 1168, 1229, 1236, 1246, 1281, 1305. ii. 2, 98, 140, 231, 238, 354, 367, 445, 654, 676, 704, 754, 818, 896, 906, 931, 1126. iii. 29, 42, 62, 106, 135, 137, 279, 453, 464, 844, 845, 966, 1010, 1039, 1066, 1354. iv. 103, 121, 125, 264, 317, 482, 670, 829, 907, 961, 1215, 1311, 1384, 1398, 1515, 1717, 1723.

# ΑΠΟΛΛΩΝΙΟΥ

## ΤΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ

### ΠΡΩΤΟΝ.

ΑΡΧΟΜΕΝΟΣ σέο, Φοῖβε, παλαιγενέων κλέα φωτῶν
Μνήσομαι, οἳ Πόντοιο κατὰ στόμα, καὶ διὰ πέτρας
Κυανέας, βασιλῆος ἐφημοσύνῃ Πελίαο,
Χρύσειον μετὰ κῶας εὔζυγον ἤλασαν Ἀργώ.
Τοίην γὰρ Πελίης φάτιν ἔκλυεν, ὥς μιν ὀπίσσω

A Te auspicatus, Phœbe, veterum præclarè gesta virorum
Memorabo, qui in os Ponti, et per saxa
Cyanea, regis mandato Peliæ,
Aureæque studio pellis, Argo bene compactam egerunt remis.
Tale enim oraculum audierat Pelias, ut se deinceps

Ver. 1. Ἀρχόμενος σέο, Φοῖβε] Quod felix faustumque sit, et secundum usum solennem poetarum, à diis incipit. Verbis autem Horatianis commodè exprimere posses

*Tu carminis esto*
*Principium.*

Sic autem Virgilius. *A Te principium.* Ecl. 8. Uptonus.

Ib. Ἀρχόμενος] ἀπὸ προλεκτικοῦ ῥήματος ἡ μετοχὴ ἐσχημάτισται. προλεκτικὰ δὲ ἐστὶν ὅσα δρᾶσιν καὶ πάθος ἐμφαίνουσιν, οἷον βιάζομαι, δωροῦμαι, σφαγιάζομαι· οὕτω καὶ τὸ ἄρχομαι τὸ μέν τι σημαίνει, ἀπὸ σοῦ τὴν ἀρχὴν ποιοῦμαι (ἔθος γὰρ ἀπὸ θεῶν προοιμιάζεσθαι· ἐκ Διὸς ἀρχώμεσθα) τὸ δέ τι σημαίνει, ἐξουσιαζόμενος ὑπὸ σοῦ, οἷον ἐνθουσιῶν· παραπλησίως γὰρ τοῖς μαινομένοις οἱ ποιηταὶ ἐνθουσιῶσι. ἔνιοι δὲ καὶ ἀντὶ τοῦ ἀρξάμενος κεῖσθαί φασι τὸ ἀρχόμενος. ὁ οὖν λόγος, ἀρξάμενος ἀπὸ σοῦ εἰς μνήμην ἄξω τὰ ἔνδοξα τῶν Ἀργοναυτικῶν ἔργα. Schol.

4. Μετὰ κῶας. Sic Theocritus Idyll. 13. v. 16.

Ἀλλ' ὅτε τὸ χρύσειον ἔπλει ΜΕΤΑ
ΚΩΑΣ Ἰήσων.

μετὰ utcunque explicari solet per διὰ vel ἕνεκα. Vide autem M. Casaub. de linguâ Anglicâ vetere, sive Saxonicâ. p. 301. ubi de præpositione μετὰ et hunc locum citat, vertitque, *after the golden fleece.* Upt.

Ibid. Εὔζυγον] ἤγουν εὐκάθεδρον. Ἀργώ. ὁ μὲν Ἀπολλώνιος καλεῖ τὴν Ἀργὼ, ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος· Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ. ταύτην δέ φασι πρώτην ναῦν γενέσθαι μακράν. ἄλλοι δὲ λέγουσι Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου, πρῶτον κατασκευάσαι, ὅθεν καὶ Δαναΐς ἐκλήθη. Schol.

5 Τοίην γὰρ Πελίης] τὸ τοίην τίθεται καὶ ἀνταποδοτικῶς καθ' ὁμοίωσιν πρὸς τὰς παραβολάς· "οἵη γὰρ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν." καὶ ἀναφορικῶς "ἀλλὰ καὶ ὣς τοίη περ ἐοῦσα." νῦν δὲ δύναται μὲν ἐπὶ θαυμασμοῦ κεῖσθαι τοῦ κατὰ ἀναίρεσιν λόγου· δύναται δὲ καὶ κατὰ ἀναφορὰν πρὸς τὰ ἐπιφερόμενα. Schol.

Μοῖρα μένει στυγερὴ, τοῦδ' ἀνέρος, ὅν τιν' ἴδοιτο
Δημόθεν οἰοπέδιλον, ὑπ' ἐννεσίῃσι δαμῆναι.
Δηρὸν δ' οὐ μετέπειτα τεὴν κατὰ βάξιν Ἰήσων,
Χειμερίοιο ῥέεθρα κιὼν διὰ ποσσὶν Ἀναύρου,
Ἄλλο μὲν ἐξεσάωσεν ὑπ' ἰλύος, ἄλλο δ' ἔνερθε
Κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν.
Ἵκετο δ' ἐς Πελίην αὐτοσχεδὸν, ἀντιβολήσων
Εἰλαπίνης, ἣν πατρὶ Ποσειδάωνι καὶ ἄλλοις
Ῥέζε θεοῖς· Ἥρης δὲ Πελασγίδος οὐκ ἀλέγιζεν.
Αἶψα δὲ τόνδ' ἐσιδὼν ἐφράσατο, καί οἱ ἄεθλον
Ἔντυε ναυτιλίης πολυκηδέος· ὄφρ' ἐνὶ πόντῳ
Ἠὲ καὶ ἀλλοδαποῖσι μετ' ἀνδράσι νόστον ὀλέσσῃ.
Νῆα μὲν οὖν οἱ πρόσθεν ἔτι κλείουσιν ἀοιδοὶ

Horribile maneret fatum, *fore nempe*, ut illius per viri consilia, quemcunque viderit
E populo uno indutum calceo, occideretur.
Nec diu post, tuo congruenter oraculo, dum Jason
Hiberni alveum Anauri transiret pedes,
Alterum quidem sub limo eripuit, alterum verò infra
Dereliquit ibi calceum detentum in proluvie.
Ibat autem ad Peliam illico, interfuturus
Sacro epulari, quod ille patri Neptuno et cæteris
Faciebat Diis; Junonis vero Pelasgicæ nullam curam habebat.
Hunc autem *Pelias* statim ut vidit, agnovit, eique certamen
Instruxit valde luctuosæ navigationis, ut in mari
Aut inter externos saltem homines, reditu excideret.
Priores sane perhibent poetæ, quemadmodum navis

7. Ἐννεσίῃσι.] Flor. αἰνεσίῃσι.

9. Χειμερίοιο ῥέεθρα, &c.] De hâc historiâ consule Hyginum. lib. 1. fab. 12. ibique vide interpretes. consule etiam Spanhemium in Callim. pag. 202. et Apollodorum pag. 48.

Ibid. Ἀναύρου] Ἄναυρον λέγει τὸν χειμάῤῥουν· οἱ γὰρ ἐξ ὑετῶν συνιστάμενοι ποταμοὶ οὕτω καλοῦνται. Schol.

Ibid. Errat Schol. vult enim poeta fluvium Thessaliæ, ita nominatum.

11. Προχοῇσιν] τῶν ποταμῶν οἱ συμβάλλοντες τόποι τῇ θαλάσσῃ, προχοαὶ λέγονται· ὡς Ὅμηρος, ὡς δ' ὅτ' ἐπὶ προχοῇσι. Schol.

14. Ἥρης δὲ Πελασγίδος] Ὁμωνύμως τὴν Ἥραν Πελασγίδα εἶπεν ἐκ τῆς Θεσσαλικῆς χώρας. Πελασγοὶ γὰρ ἐλέγοντο οἱ τὴν Φθιωτικὴν κατοικοῦντες, ὥς φησιν Ὅμηρος, "νῦν δ' αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον." ἀφορίζων αὐτὸ τῆς Πελοποννήσου, ἣν Ἀχαϊκὸν Ἄργος καλεῖ. Schol.

Ἄργον

Ἄργον Ἀθηναίης καμέειν ὑποθημοσύνῃσι.
Νῦν δ᾽ ἂν ἐγὼ γενεήν τε καὶ οὔνομα μυθησαίμην
Ἡρώων, δολιχῆς τε πόρους ἁλὸς, ὅσσα τ᾽ ἔρεξαν
Πλαζόμενοι. Μοῦσαι δ᾽ ὑποφήτορες εἶεν ἀοιδῆς.
Πρῶτά νυν Ὀρφῆος μνησώμεθα, τόν ῥά ποτ᾽ αὐτὴ
Καλλιόπη Θρήϊκι φατίζεται εὐνηθεῖσα
Οἰάγρῳ σκοπιῆς Πιμπληΐδος ἄγχι τεκέσθαι.
Αὐτὰρ τόν γ᾽ ἐνέπουσιν ἀτειρέας οὔρεσι πέτρας
Θέλξαι ἀοιδάων ἐνοπῇ, ποταμῶν τε ῥέεθρα.
Φηγοὶ δ᾽ ἀγριάδες, κείνης ἔτι σήματα μολπῆς,
Ἀκτῆς Θρηϊκίης Ζώνης ἔπι τηλεθόωσαι
Ἑξείης στιχόωσιν ἐπήτριμοι, ἃς ὅγ᾽ ἐπιπρὸ

Ab Argo Minervæ fuerit fabricata consiliis.
Sed ego nunc genus et nomina proloquar
Heroum, longique itinera maris, quæque gesserint
Errabundi. Musæ modo sint carminis antistites.
Principio igitur Orphei meminerimus, quem quidem olim ipsa
Calliope dicitur, postquam cum Threicio concubuisset
Oeagro, prope speculam Pimplæ genuisse.
Atqui eum perhibent rigidas in montibus rupes
Et amnium fluenta mulsisse carminum voce.
Fagi autem agrestes, illius adhuc signa cantionis,
In litore Thraciæ Zones frondentes,
Ordine incedunt confertim, quas ille longo tractu

23. Πρῶτά νυν Ὀρφῆος] Ἡρόδωρος δύο εἶναι Ὀρφεῖς φησιν, ὧν τὸν ἕτερον συμπλεῦσαι τοῖς Ἀργοναύταις. Φερεκύδης ἐν τῇ ς΄, Φιλάμμωνα φησὶ καὶ οὐκ Ὀρφέα συμπεπλευκέναι· εἶναι δὲ Ὀρφέα κατὰ μὲν Ἀσκληπιάδην Ἀπόλλωνος καὶ Καλλιόπης· κατὰ δὲ ἐνίους, Οἰάγρου καὶ Πολυμνίας. ζητεῖται δὲ διὰ τί Ὀρφεὺς ἀσθενὴς ὢν συνέπλει τοῖς ἥρωσιν; ὅτι μάντις ὢν ὁ Χείρων, ἔχρησε μὴ δύνασθαι τὰς Σειρῆνας παρελθεῖν αὐτοὺς, Ὀρφέως μὴ συμπλέοντος. οὕτως Ἡρόδωρος. Schol.

25. Πιμπληΐδος] Πιμπλιὰς χωρίον κατὰ Πιερίαν. οἱ δὲ, ὄρος Θρᾴκης· οἱ δὲ, κρήνην καὶ κώμην τῆς Πιερίας. Schol.

27. Θέλξαι] ἀπατῆσαι καὶ τέρψαι. τάσσεται δὲ ἡ λέξις ἐπὶ τῆς μετὰ βλάβης ἀπάτης· νῦν δὲ ὑπερβολικῶς κεῖται. Ἀοιδάων δὲ ἐνοπῇ, τῇ τῶν ᾠδῶν εὐρυθμίᾳ. οὐκ εὖ δέ· ἡ γὰρ ἐνοπὴ καὶ ἐπὶ θορύβου τίθεται. Schol.

29. Θρηϊκίης Ζώνης] Ζώνη ἐστὶν ὀρεινὸς τόπος οὕτω καλούμενος· καὶ πόλις ὁμώνυμος, ὡς φησι Νίκανδρος. Schol.

30. Ἑξείης στιχόωσιν] στιχηδόν εἰσι καὶ ἑξῆς πυκναί. Schol.

Θελγομένας φόρμιγγι κατήγαγε Πιερίηθεν.
Ὀρφέα μὲν δὴ τοῖον ἑῶν ἐπαρωγὸν ἀέθλων
Αἰσονίδης Χείρωνος ἐφημοσύνῃσι πιθήσας,
Δέξατο Πιερίῃ Βιστωνίδι κοιρανέοντα.
Ἤλυθε δ' Ἀστερίων αὐτοσχεδόν· ὅν ῥα Κομήτης
Γείνατο δινήεντος ἐφ' ὕδασιν Ἀπιδανοῖο
Πειρεσίας ὄρεος Φυλληΐου ἀγχόθι ναίων·
Ἔνθα μὲν Ἀπιδανός τε μέγας καὶ δῖος Ἐνιπεὺς
Ἄμφω συμφορέονται ἀπόπροθεν εἰς ἓν ἰόντες.
Λάρισσαν δ' ἐπὶ τοῖσι λιπὼν Πολύφημος ἵκανεν

Deduxit usque a Pieriâ, testudine delinitas.
Orphea sane talem suorum adjutorem certaminum,
Æsonis filius, Chironis consiliis fretus,
Adscivit, Pieriæ Bistonum regnatorem.
Venit autem Asterion sponte suâ, quem quidem Cometes
Genuit, vorticosi apud aquas Apidani,
Prope montem Phylleïum, Piresiarum incola,
Quà quidem magnus Apidanus, et divinus Enipeus
Ambo conferuntur, è longinquo in unum profluentes.
Larissâ verò relictâ, post illos Polyphemus venit

31. Πιερίηθεν] Πιερία ὄρος Θράκης, ἐν ᾧ διέτριβεν Ὀρφεύς. φησὶ δὲ Ἡρόδωρος ὅτι παρῄνεσεν ὁ Χείρων τῷ Ἰάσονι, ὅπως τὸν Ὀρφέα σὺν τοῖς Ἀργοναύταις παραλάβῃ. Schol.

36. Ἀπιδανοῖο] Ἀπιδανὸς καὶ Ἐνιπεὺς, ἀμφότεροι Θεσσαλίας ποταμοί. Schol.

37. Πειρεσίας] Legendum putant H. Stephanus, & L. Holstenius Πειρεσιάδα sive Πειρεσίην, vel ut retineatur Πειρεσιάς, accentu tantum mutato, ut nimirum sit accusativus pluralis, cujus est nominativus versu 584, & quidem cum ει.

Ibid. Φυλληΐου] τὸ δὲ Φυλλήϊον, ὄρος Μακεδονίας. ἡ δὲ Πειρεσία χώρα ἢ πόλις, ἧς ἐγγὺς ἦν τὸ Φυλλήϊον. Schol.

40. Λάρισσαν δ' ἐπὶ τοῖσι] Λάρισσαν τὴν Θεσσαλικὴν λέγει, ἣν ἔκτισεν Ἀκρίσιος· ἤ τις ὀνομάσθη ἀπὸ Λαρίσσης τῆς Πελασγοῦ, ὥς φησιν Ἑλλάνικος· εἰσὶ δὲ Λάρισσαι τρεῖς· ἀρχαιοτάτη μὲν, ἡ Ἀργολικὴ, ἐστὶν αὐτὴ ἡ ἀκρόπολις· δευτέρα δὲ, ἡ ἐν τῷ Πελασγικῷ τῆς Θεσσαλίας, ἣν Ὅμηρος Ἄργισσαν φησὶ, πλησίον τῆς Γυρτώνης, ἧς νῦν ὁ Ἀπολλώνιος μέμνηται. ἔστι δὲ καὶ περὶ Τροίαν, ἧς Ὅμηρος μνημονεύει, φῦλα Πελασγῶν. Τὸν δὲ Πολύφημον, Ἐλάτου παῖδα εἶπεν Ἀπολλώνιος· Ἰσοκράτης δὲ καὶ Εὐφορίων, Ποσειδῶνος. Schol.

Ib. Malè confudisse videtur Scholiastes duos Polyphemos. Nam qui in Colchos navigavit Elati filius fuit, teste Orpheo, v. 166, & Val. Flacc. lib. 1. v. 457, & sequentibus. Cyclops verò ejusdem nominis, filius quidem erat Neptuni, sed in Colchos non navigavit. Eos bene distinguit Eustathius ad Il. α'. v. 264, quem vide. Sanctamandus.

Εἰλατίδης,

Εἰλατίδης, ὃς πρὶν μὲν ἐρισθενέων Λαπιθάων,
Ὁππότε κενταύροις Λαπίθαι ἐπεθωρήσσοντο,
Ὁπλότερος πολέμιζε· τότ' αὖ βαρύθεσκέ οἱ ἤδη
Γυῖα, μένεν δ' ἔτι θυμὸς ἀρήϊος, ὡς τὸ πάρος περ.
Οὐδὲ μὲν Ἴφικλος Φυλάκῃ ἔνι δηρὸν ἔλειπτο,
Μήτρως Αἰσονίδαο· κασιγνήτην γὰρ ὄπυιεν
Αἴσων Ἀλκιμέδην Φυλακηΐδα· τῆς μιν ἀνώγει
Πηοσύνη καὶ κῆδος ἐνικρινθῆναι ὁμίλῳ.
Οὐδὲ Φεραῖς Ἄδμητος ἐϋρρήνεσσιν ἀνάσσων

Elati filius, qui quidem olim apud præpotentes Lapithas,
Quando contrà Centauros Lapithæ armabantur,
Junior militârat: deinde ingravescebant ei
Membra, manebat tamen, sicut et antea, animus bellicosus.
Neque quidem Iphiclus Phylacæ diu relictus erat,
Avunculus Æsonis filii: sororem enim uxorem habuit
Æson Alcimeden Phylacæ natam, cujus eum impulit
Conjugium et affinitas, ut inter turmas militares numerari vellet.
Nec verò Admetus, Pherarum ovibus abundantium rex,

41. Λαπιθάων] οἱ δὲ Λαπίθαι ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης νύμφης ὠνομάσθησαν. Schol.

44. Μένεν δ' ἔτι θυμὸς &c.]
——nec tarda senectus
Debilitat vires animi, mutatque vigorem, Æn. 9. 611.

45 Οὐδὲ μὲν Ἴφικλος] Ἴφικλος υἱὸς ἦν Φυλάκου καὶ Κλυμένης τῆς Μινύου. τοῦτον Ἡσίοδος ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησί, Δημάρατος δὲ ἐπὶ τῆς θαλάσσης· ἐπισημείωσαι δὲ ἄξιον ὡς οὔτε Ἡσίοδος, οὔτε Φερεκύδης φησὶ συμπεπλευκέναι τοῖς Ἀργοναύταις Ἴφικλον. Τὸ δὲ οὐ δηρὸν, ἀντὶ τοῦ τάχιστα· ὁ τρόπος ἀντίφρασις· ἰστέον δὲ ὅτι Φερεκύδης μὲν συμφωνεῖ Ἀπολλωνίῳ, λέγοντι Ἀλκιμέδην μητέρα εἶναι Ἰάσονος, τὴν Φυλάκου θυγατέρα· Ἡρόδωρος δὲ Πολυφήμην φησὶν εἶναι τὴν Ἰάσονος μητέρα, θυγατέρα δὲ Αὐτολύκου. Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν, Θεογνήτην τὴν Λαοδίκου μητέρα Ἰάσονος γεγονέναι φησίν. Schol.

46. Κασιγνήτην γὰρ ὄπυιεν] διὰ τοῦ παρεστηριμένου τὸ προαγόμενον δηλοῖ τὸ ἐγεγαμήκει· ἤτοι ἀπὸ τοῦ ὄπωπ ἐσχηματισμένης τῆς λέξεως, ὅ ἐστιν ὀφθαλμῶν· ὁ ὄπτων καὶ ἐπιτηρῶν· ἢ ἀπὸ τῆς ὀπὸς τῆς φωνῆς, διὰ τὰς τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας ὁμιλίας. ἀφ' οὗ καὶ ὄαροι αἱ γυναῖκες. Schol.

48. Πηοσύνη καὶ κῆδος] Juxta interpretes, *conjugium et affinitas*. Sed non ferenda est hæc ταυτολογία. Interpres Nicandri, teste Constantino, dicit πηὸς tria significare, et inter cætera φίλον simpliciter. Ita quidem tollitur ταυτολογία. verùm parum bene pietas aut amor fratris erga sororem amicitia dicitur; quare vix dubito legendum κῦδος. Hujus *affinitas et propria gloria* in causâ fuere cur expeditionem susciperet. Sanct.

49. Οὐδὲ Φεραῖς Ἄδμητος] αἱ Φεραὶ ὠνομάσθησαν ἀπὸ Φέρητος τοῦ Κρηθέως, τοῦ Ἀδμήτου πατρός. Ἐϋρρήνεσσι δὲ, ἀντὶ τοῦ πολυπροβάτοις. Schol.

Μίμνεν

Μίμνεν ὑπὸ σκοπιὴν ὄρεος Χαλκωδονίοιο·
Οὐδ' Ἀλόπῃ μίμνον πολυλήϊοι, Ἑρμείαο
Υἱέες, εὖ δεδαῶτε δόλους, Ἔρυτος καὶ Ἐχίων·
Τοῖσι δ' ἐπὶ τρίτατος γνωτὸς κίε νεισομένοισιν
Αἰθαλίδης· καὶ τὸν μὲν ἐπ' Ἀμφρύσσοιο ῥοῇσιν
Μυρμιδόνος κούρη Φθιὰς τέκεν Εὐπολέμεια·
Τὼ δ' αὖτ' ἐκγεγάτην Μενετηΐδος Ἀντιανείρης.
Ἤλυθε δ' ἀφνειὴν προλιπὼν Γυρτῶνα Κόρωνος
Καινεΐδης, ἐσθλὸς μέν, ἑοῦ δ' οὐ πατρὸς ἀμείνων.
Καινέα γὰρ ζωόν περ ἔτι κλείουσιν ἀοιδοὶ

Manebat ſub ſpeculâ montis Chalcodonii :
Nec Alopæ manebant, manubiis divites, Mercurii
Filii, apprimè docti dolos, Erytus et Echion.
Quos proficiſcentes tertius frater ſecutus eſt
Æthalides : et hunc quidem ad Amphryſi fluenta,
Myrmidonis filia, Phthiotica peperit Eupolema :
Illi verò prognati erant Antianirâ, Meneti filiâ.
Venit autem, opulentâ relictâ Gyrtone, Coronus
Cænei filius : ſtrenuus ille quidem, ſed ſuo non magis ſtrenuus patre.
Nam Cæneum, tametſi adhuc viventem, celebrant poetæ

50. Χαλκωδονίοιο] τὸ δὲ Χαλκωδόνιον ὄρος ὑπέρκειται Φερῶν. Schol.

51. Οὐδ' Ἀλόπῃ μίμνον] Θεσσαλίας πόλις ἢ Μαγνησίας. Πολυλήϊοι δέ, ἤτοι ἀπὸ τοῦ λήϊου τοῦ σιτοφόρου πεδίου, ἢ ἀπὸ τῆς λείας· ὅπερ βέλτιον. ἐπιφέρει γάρ, δεδαῶτε δόλους. ἱστοροῦνται δὲ ἄϋπνοι καὶ δεινοὶ καὶ φερέπονοι. Schol.

54. Αἰθαλίδης] κύριον, πατρωνυμικοῦ τύπον ἔχον. Ἀμφρύσσοιο. γράφεται καὶ διὰ τοῦ β, ὡς Διονύσιος. ἔστι δὲ ποταμὸς Θεσσαλίας. προπαροξύνεται δέ, ὡς ἐν τῇ ε τῆς καθόλου. Schol.

Ibid. Ἀμφρύσσοιο] Nihil opus duplici σ, nam φρυ eſt ſemper longa. Upt.

57. Γυρτῶνα Κόρωνος] ἣν Ὅμηρος φησὶ Γυρτώνην. ἔστι δὲ πόλις Θεσσαλίας ἢ Περαιβίας. ὠνομάσθη δὲ ἀπὸ Γυρτῶνος τοῦ Φλεγύου. Ὁ δὲ Κόρωνος υἱός ἐστι Καινέως. μυθολογοῦσι δὲ τὸν Καινέα πρότερον γεγονέναι γυναῖκα, εἶτα Ποσειδῶνος αὐτῇ πλησιάσαντος, μεταβληθῆναι εἰς ἄνδρα. τοῦτο γὰρ ᾔτησε, καὶ ἀτρωσίαν. ἤρισε δὲ καὶ Ἀπόλλωνι καὶ ἐνικήθη. οὗτος ἐκέλευε τοὺς παριόντας ὀμνύναι τὸ δόρυ αὐτοῦ. ἔνθεν ἡ παροιμία, τὸ Καινέως δόρυ. τινὲς δέ φασι Καινέα συμπλεῦσαι τοῖς Ἀργοναύταις, οὐ Κόρωνον. Ὁ δὲ Ἀπολλώνιος παρὰ Πινδάρου εἴληφε, λέγοντος· "ὁ δὲ χλωρῇς ἐλάτῃσι τυπεὶς ᾤχετο Καινεύς, σχίσας ὀρθῷ ποδὶ γᾶν." τοῦτο δὲ αὐτῷ συνέβη διὰ τὸ μήτε θύειν τοῖς Θεοῖς, μήτε εὔχεσθαι, ἀλλὰ τῷ ἑαυτοῦ δόρατι. Διὸ Ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς Κενταύρους, οἵτινες κατὰ γῆν αὐτὸν ὠθοῦσιν. Schol.

59. Καινέα.] Vide Schol. Hom. Il. α'. v. 264. ibi verò rectè legitur

Καινέα γὰρ ΤΟΝ ΠΡΟΣΘΕΝ ἐπικλείουσιν ἀοιδοί.

Κενταύροισιν

Κενταύροισιν ὀλέσθαι, ὅτε σφέας οἶος ἀπ' ἄλλων
Ἤλασ' ἀριστήων· οἱ δ' ἔμπαλιν ὁρμηθέντες
Οὔτε μιν ἐγκλῖναι προτέρω σθένον, οὔτε δαΐξαι·
Ἀλλ' ἄρρηκτος, ἄκαμπτος, ἐδύσετο νειόθι γαίης
Θεινόμενος στιβαρῇσι καταΐγδην ἐλάτῃσιν.
Ἤλυθε δ' αὖ Μόψος Τιταρήσιος, ὃν περὶ πάντων
Λητοΐδης ἐδίδαξε θεοπροπίας οἰωνῶν·
Ἠδὲ καὶ Εὐρυδάμας Κτιμένου πάϊς· ἄγχι δὲ λίμνης
Ξυνιάδος Κτιμένην Δολοπηΐδα ναιετάασκεν.
Καὶ μὴν Ἄκτωρ υἷα Μενοίτιον ἐξ Ὀπόεντος
Ὦρσεν, ἀριστήεσσι σὺν ἀνδράσιν ὄφρα νέοιτο.
Εἵπετο δ' Εὐρυτίων τε καὶ ἀλκήεις Ἐριβώτης·

A Centauris interiisse, cum solus eos et seorsim ab aliis
Ducibus pepulisset: illi verò, e diverso facto impetu,
Neque eum ulterius incurvare possent, nec sauciare:
Sed infractus, inflexus, subiit terram,
Percussus densis desuper cum impetu cadentibus abietibus.
Quin etiam venit Mopsus Titarensis, quem super omnes
Latonæ filius edocuerat omina alitum;
Nec non Eurydamas Ctimeni filius, qui ad lacum
Xyneïum, Ctimenam Dolopum urbem incolebat.
Quin etiam Actor filium Menœtium ex Opunte
Commovit, ut cum viris principibus ad arma iret.
Secuti vero sunt Eurytion, et fortis Eribotes,

Obrutus immani cumulo sub pondere Cæneus
Æstuat arboreo &c.
Ov. Met. lib. 12.

63. Ἄρρηκτος] Infractus. Ovidius, *Imperfossus ab ictu.*

65. Μόψος Τιταρήσιος] Ἀμπύκου υἱὸς ὁ Μόψος τοῦ Τιταίρωνος, μητρὸς δὲ Χλωρίδος. Schol.

67. Ἄγχι δὲ λίμνης Ξυνιάδος] Ξυνιὰς, λίμνη τῆς Θεσσαλίας. τινὲς δὲ πόλιν παρακειμένην τῇ Βοιοΐδι λίμνῃ. ἀπὸ δὲ τῆς πόλεως ἔργαις Ξυνιάδα, ἐπειδὴ πλησίον αὐτῆς ἐστιν ἡ πόλις. οἱ δέ φασι Ξυνιάδα ὠνομάσθαι διὰ τὸ ξυνὸν εἶναι τὸ κοινόν. ταύτην δὲ κοινὴν εἶναι Θεσσαλίας καὶ Βοιωτίας. Schol.

68. Κτιμένην Δολοπηΐδα] Κτιμένη πόλις τῆς Θεσσαλίας. Δολοπηΐδα δὲ τὴν Θεσσαλικὴν εἶπε. Δόλοπες γὰρ ἔθνος Θεσσαλίας. Ὅμηρος, "ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων." Schol.

69. Ἐξ Ὀπόεντος] Ὀποῦς πόλις τῆς Λοκρίδος, ἀπὸ Ὀπόεντος τοῦ Ἠλείου. Ὅμηρος, "οἳ Κῦνόν τ' ἐνέμοντ' Ὀπόεντά τε Καλλίαρόν τε." Μενοίτιος δὲ τῆς Σθενέλης Πάτροκλος. Schol.

71. Καὶ ἀλκήεις Ἐριβώτης] ἰσχυρός. παραγώγως δὲ ἐσχημάτισαι παρὰ τὴν ἀλκὴν, ὡς φωνήεις παρὰ τὴν φωνήν. Ἡρώ-

Υἱες

Υἱέες, ὁ μὲν Τελέοντος, ὁ δ' Ἴρου Ἀκτορίδαο.
Ἤτοι ὁ μὲν Τελέοντος, ἐϋκλειὴς Ἐριβώτης·
Ἴρου δ', Εὐρυτίων· σὺν καὶ τρίτος ἦεν Ὀϊλεύς,
Ἔξοχος ἠνορέην, καὶ ἐπαΐξαι μετόπισθεν
Εὖ δεδαὼς δηΐοισιν, ὅτε κλείνωσι φάλαγγας.
Αὐτὰρ ἀπ' Εὐβοίης Κάνθος κίε· τόν ῥα Κάνηθος
Πέμπεν Ἀβαντιάδης λελιημένον· οὐ μὲν ἔμελλε
Νοστήσειν Κήρινθον ὑπότροπος, αἶσα γὰρ ἦεν
Αὐτὸν ὁμῶς Μόψον τε δαήμονα μαντοσυνάων
Πλαγχθέντας Λιβύης ἐνὶ πείρασι δηϊωθῆναι.
Ὡς οὐκ ἀνθρώποισι κακῶν μήκιστον ἐπαυρεῖν·

Filii, alter Teleontis, alter Iri Actore prognati;
Teleontis videlicet, famâ celebris Eribotes,
Iri verò Eurytion: quibus tertium se addidit Oileus,
Insignis strenuitate, et ad invadendos a tergo
Hostes apprimè doctus, sicubi inclinâssent aciem.
Ex Eubœâ porrò venit Canthus, quem Canethus,
Abantis filius, amandârat nec invitum: non sane
Reversurus erat Cerinthum; sanctum enim fato erat
Ut ipse, simul ac Mopsus vaticiniorum peritus
Divagati in Libyæ finibus, deciderent.
Adeo non *licet* hominibus se a maximo malo (morte scilicet) eripere;

δῶρος ἐν τοῖς Ἀργοναυτικοῖς τοῦτον Εὐρυβάτην καλεῖ, καί φησιν αὐτὸν Τελέοντος υἱόν. Ἄκτορος δὲ υἱοί, Μενοίτιος καὶ Ἶρος. τούτων δὲ υἱοί, Μενοιτίου μὲν Πάτροκλος, Ἴρου δὲ Εὐρυτίων. Schol.

75. Καὶ ἐπαΐξαι] ἀντὶ τοῦ ἐπιδιῶξαι. βέλτιον μὲν τὸ μετόπισθεν, λείπει δὲ ὁ καί, ἵν' ᾖ, καὶ ὅτε κλείνωσι φάλαγγας, εἰς φυγὴν τρέψωσιν. Schol.

76. Φάλαγγας] Quid si legamus φάλαγγες, *cùm acies se in fugam vertunt.* nam κλείνειν passim apud Homerum est *in fugam vertere*. Upt.

77. Κάνθος κίε] τὸν Κάνθον καὶ ὁ Κλέων καταλέγει. ἔστι δὲ Κανήθου υἱός, ἀφ' οὗ ὄρος ἐν Βοιωτίᾳ· ἦν δὲ Ἄβαντος παῖς, ἀφ' οὗ οἱ Εὐβοεῖς Ἄβαντες. Schol.

81. Δηϊωθῆναι] κοινότερον νῦν δηωθῆναι τὸ φθαρῆναι. ἑξῆς δὲ ὁ ποιητής, ὡς δυσφορῶν ἐπὶ τῇ ἀπωλείᾳ τῶν ἡρώων, ἐπιφωνεῖ, ὡς οὐκ ἀνθρώποισιν. ὁ δὲ νοῦς, οὐδέν ἐστι μέγιστον κακὸν οὗ ἄνθρωπος οὐκ ἐπιτυγχάνει. ἴδει οὖν διὰ τοῦ α, ἀπαυρεῖν. ἢ ὅτι οὐδὲν κακὸν μέγιστον ὃ μὴ ἀνθρώποις εὐχερὲς ἐπαυρεῖν, ὅ ἐστιν ἐπιτυχεῖν. Schol.

82. Credit Hœlzlinus Schol. interpretari μήκιστον per μέγιστον. Contendo ego culpam librarii fuisse, et reponendum apud Schol. μήκιστον. οὐκ ἐπιτυγχάνει, Steph. ἀποτυγχάνει. Nî verba sunt corrupta hunc ordinem esse puto, ὡς μήκιστον ἀνθρώποις (τὸ) οὐκ ἐπαυρεῖν κακῶν. *quàm longè distat ab hominibus mala non percipere.* Si quid

Ὁππότε

Ὁππότε κἀκείνους Λιβύῃ ἔνι ταρχύσαντο,
Τόσσον ἑκὰς Κόλχων, ὅσσον τέ περ ἠελίοιο
Μεσσηγὺς δύσιές τε καὶ ἀντολαὶ εἰσορόωνται.
Τῷ δ' ἄρ' ἐπὶ Κλυτιός τε καὶ Ἴφιτος ἠγερέθοντο,
Οἰχαλίης ἐπίουροι, ἀπηνέος Εὐρύτου υἷες,

Quandoquidem etiam illos in Libyâ ſepeliverunt,
Tam longè a Colchis, quàm inter ſoles
Occiduos et ortivos patet aſpectus.
Poſt hunc verò Clytius et Iphitus acceſſerunt,
Æchaliæ rectores, effrænis Euryti filii,

mutandum, ita legerem, ὡς οὐκ ἀνθρώπους γε κακῶν μήκιστον ἀπαυρᾷ. *quomodo ne longiſſima quidem diſtantia homines è malis eripit.* Sanct.

Forſan verò ſine ullâ mutatione ſenſus ſatis manifeſtus eliciatur. Inter alia ſignificat ἐπαυρεῖν *pœnas luo, plector,* ut apud Heſiodum

Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ.

& apud Homerum ἵνα πάντες ἐπαυρωνται βασιλῆος. Erit igitur ἐπαυρεῖν κακῶν *pœnas luere propter calamitates, vel plecti calamitatibus.* Subaudiendum verò ἐκ vel ἕνεκα. Ordo, ὡς οὐ μήκιστον ἀνθρώποις ἐπαυρεῖν κακῶν. *Quare non longè diſtat ab hominibus plecti calamitatibus, malis,* &c. Alium in interpretatione ſenſum affixi, ſubaudiendo ἥξειν, vertendoque μήκιστον in μέγιστον, ut vult Scholiaſtes.

85. Ὅσσον τέ περ. Notat in Apollonio Julius Scaliger imperitiam regionum, his verbis, *Quis dicat à Colchis tantùm diſtare Libyam, quantùm medium terrarum orbis ab ortu atque occaſu?* Atqui nec dixit hoc poeta, & vult aliud. Cujus ſic ordinanda oratio. ὅσον ἑκὰς ἡλίου δύσεις καὶ ἀνατολαὶ ἐν μέσῳ ὁρῶνται. & refellitur ille Scholii verbis, πρὸς δύσιν, licèt hoc quoque craſſius ſit dictum. Non certè reſpicit poeta ad illum latiſſimum et cogitabilem horizontem qui unicus eſt, nec ſtatuit Afros eſſe Colchis ἀντίχθονας, quod fieret, ſi linea ducta ab alteris ad alteros contingeret centrum terræ. Sic enim philoſophus de longiſſimo intervallo nos docet Meteorologicorum. 2. 12. πλεῖστον ἀπέχει τῶν τόπων τὰ κείμενα πρὸς ἄλληλα κατὰ διάμετρον. Contra.11 tantùm miliaribus Germanicis diſtarent Afris Colchi, ſi loqueretur noſter περὶ ὁρίζοντος αἰσθητοῦ. Sed quid juvat verba perdere? Eſt hoc loquendi genus παροιμιῶδες, et è medio petitum, quo etiam utitur rex Pſalta pſalmo 103. ubi non ſane dimetitur nobis cœli aut terræ ſpatia, ſed aſſeverat peccata noſtra à nobis per dei miſerationem longiſſimè removeri, hoc eſt, διαγράφεσθαι, μὴ λογίζεσθαι. Comicus in Ranis, ubi Euripides de Æſchylo, εὐθὺς γὰρ ἡμάρτηκεν, οὐράνιον γ' ὅσον. Hœlzlinus.

Ibid. Δύσιές τε καὶ ἀντολαὶ] τοσοῦτον φησὶ κεχωρισμένους τῆς τῶν Κόλχων χώρας, ὅσον τῶν ἀνατολῶν αἱ δύσεις ἀφεστήκασιν. ἐπεὶ ἡ μὲν Λιβύη πρὸς δύσιν, ἡ δὲ Κολχὶς πρὸς ἀνατολήν. Schol.

87. Οἰχαλίης ἐπίουροι] οἱ τῆς Ἀντιόπης παῖδες. Οἰχαλίαν δὲ οἱ μὲν νεώτεροι ἐν Εὐβοίᾳ φασὶν εἶναι, Ὅμηρος δὲ ἐν τῷ Πελασγικῷ Ἄργει καταλέγει, "οἵ τ' ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχαλιῆος" οἱ δὲ ὁμώνυμοι φασίν. Schol.

Εὐρύτου, ᾧ πόρε τόξον ἑκηβόλος, οὐδ' ἀπόνητο
Δωτίνης· αὐτῷ γὰρ ἑκὼν ἐρίδηνε δοτῆρι.
Τοῖσι δ' ἐπ' Αἰακίδαι μετεκίαθον· οὐ μὲν ἅμ' ἄμφω,
Οὐδ' ὁμόθεν· νόσφιν γὰρ ἀλευάμενοι κατένασθεν
Αἰγίνης, ὅτε Φῶκον ἀδελφεὸν ἐξενάριξαν
Ἀφραδίῃ· Τελαμὼν μὲν ἐν Ἀτθίδι νάσσατο νήσῳ,
Πηλεὺς δὲ Φθίῃ ἔνι δώματα ναῖε λιασθείς.
Τοῖς δ' ἐπὶ Κεκροπίηθεν ἀρήιος ἤλυθε Βούτης,
Παῖς ἀγαθοῦ Τελέοντος, ἐϋμμελίης τε Φάληρος.
Ἄλκων μιν προέηκε πατὴρ ἑός· οὐ μὲν ἔτ' ἄλλους
Γήραος υἷας ἔχεν βιότοιό τε κηδεμονῆας,
Ἀλλά ἑ τηλύγετόν περ ὅμως καὶ μοῦνον ἐόντα,
Πέμπεν, ἵνα θρασέεσσι μεταπρέποι ἡρώεσσι.

Euryti, cui arcum dedit longè-jaculator; ſed nullam percepit utilitatem
Dati, nam adverſus ipſum ſuâ ſponte contendit datorem.
Poſt hos profecti ſunt nati Æaco; ſed neque unà ambo,
Neque de eodem loco; in diverſas enim ſedes abierant profugi
Æginâ, poſtquam Phocum fratrem ſuum interemerant
Præ imprudentiâ. Telamon quidem in Atticâ habitavit inſulâ;
Peleus verò, ab eo ſejunctus, in Phthiâ domicilium habuit.
Poſt hos è Cecropiâ bellicoſus acceſſit Butes,
Filius fortis Teleontis, nec non haſtæ peritus Phalerus,
Quem Alcon præmiſit pater ſuus: nec ſane alios
Senectutis filios habebat, vitæque curatores;
Illum tamen, licèt à ſeneſcente genitum, et inſuper unicum exiſtentem,
Dimiſit, ut inter intrepidos emineret heroas.

90. Τὸ δὲ οὐ μὲν, ἀντὶ τοῦ οὐ μήν. Schol.

91. Οὐδ' ὁμόθεν] οὐδ' ἐκ τοῦ αὐτοῦ τόπου. διῳκίσθησαν γὰρ διὰ τὸν Φώκου φόνον. καὶ ὁ μὲν ἐν Σαλαμῖνι κατῴκησεν, ἣν ἔφη νῆσον Ἀτθίδα· ὁ δὲ ἐν Φθίᾳ, ὁ Πηλεύς. Schol.

95. Τοῖς δ' ἐπὶ Κεκροπίηθεν] ἀντὶ τοῦ μετὰ τούτους ἀπὸ τῆς Ἀττικῆς. Κεκροπία γὰρ λέγεται ἡ Ἀττικὴ ἀπὸ Κέκροπος τοῦ βασιλεύσαντος. ἕτερος δέ ἐστιν ὁ Τελέων οὗτος, ὁ Βούτου πατὴρ παρὰ τὸν πρότερον ἀναφερόμενον τοῦ Ἐριβώτου πατέρα. Schol.

96. Ἐϋμμελίης δὲ, ὁ πολεμικὸς, ἀπὸ τῆς μελίας. Schol.

97. Ἄλκων] Ἄλκωνα τὸν Φαλήρου πατέρα Πρόξενος φησὶν υἱὸν Ἐρεχθέως. φυγεῖν δὲ αὐτὸν λέγει ἀπὸ τῆς Ἀττικῆς μετὰ τῆς θυγατρὸς Χαλκιόπης εἰς Εὔβοιαν· ἐξαιτοῦντος δὲ τοῦ πατρὸς, οὐκ ἐκδοῦναι τοὺς Χαλκιδέας. Schol.

99. Τηλύγετον] τὸ δὲ τηλύγετον ἐνταῦθα οὐ τὸν μονογενῆ, (προσκεῖται γὰρ καὶ μοῦνον ἐόντα) ἀλλὰ καταγηράσαντι αὐτῷ γενόμενον. οἱ γὰρ τοιοῦτοι τῶν παίδων εἰσὶ προσφιλεῖς. Schol.

Θησέα

Θησέα δ', ὃς περὶ πάντας Ἐρεχθεΐδας ἐκέκαστο,
Ταιναρίην ἀίδηλος ὑπὸ χθόνα δεσμὸς ἔρυκε
Πειρίθῳ ἑσπόμενον κεινὴν ὁδόν· ἦτέ κεν ἄμφω
Ῥηΐτερον καμάτοιο τέλος πάντεσσιν ἔθεντο.
Τῖφυς δ' Ἁγνιάδης Σιφαέα κάλλιπε δῆμον
Θεσπιέων, ἐσθλὸς μὲν ὀρινόμενον προδαῆναι

Thesea verò, qui supra omnes Erecthei nepotes celebratus erat,
Tænariâ sub terrâ vinculum improvisum cohibuit
Pirithoum sequentem irrito itinere; ambo certè
Faciliorem laboris exitum omnibus imposuissent.
Tiphys verò Agnei filius, à Siphensi discessit gente
Thespiorum, tam gnarus surgentem prædiscendi

101 Θησέα δ'] Θησεὺς καὶ Πειρίθους, ὁ μὲν ἐκ Διὸς, ὁ δὲ ἐκ Ποσειδῶνος· οἷς ἐφαμίλλους ἐποιοῦντο τὰς πράξεις. καὶ ὁ μὲν Θησεὺς τῆς Ἑλένης ἐρασθεὶς ἔσχεν συμπράττοντα αὐτῷ τὸν Πειρίθουν· ὁ δὲ Πειρίθους τὴν Περσεφόνην ἁρπάσαι βουληθεὶς ἀναγκαίως ἔσχε τὸν Θησέα ἑπόμενον. καὶ δὴ διὰ Ταινάρου εἰς Ἅδου κατελθόντες, καὶ ἐπί τινος πέτρας καθεσθέντες, αὖθις ἀναστῆναι οὐ δεδύνηνται. Ἡρακλῆς δὲ ὕστερον κατελθὼν ἐπὶ τὸν Κέρβερον, τὸν μὲν Θησέα ἀπέσωσεν, ὡς μὴ ἑκόντι κατελθόντα· τὸν δὲ Πειρίθουν εἴασεν, ἐπειδὴ προαιρέσει ἰδίᾳ κατῆλθεν. ἐπεστράτευσαν δὲ κατὰ τῆς Τροιζῆνος οἱ Διόσκουροι διὰ τὴν ἀδελφὴν, Θησέως ὄντος ἐν ᾅδου· καὶ πορθήσαντες, ἔλαβον αἰχμάλωτον Αἴθραν τὴν Θησέως μητέρα. Schol.

102. Ταιναρίην] Φερεκύδης ἐν τῇ θ. φησὶν ὅτι Ἔλατος ὁ Ἰκάρου γαμεῖ Ἐρυμηΐδαν τὴν Δαμασίκλου· τούτου δὲ γίνεται Ταίναρος· ἀφ' οὗ Ταίναρον καλεῖται ἡ πόλις καὶ ἡ ἄκρα καὶ ὁ λιμήν. Schol.

Ibid. Ἀΐδηλος juxta Schol. Homeri est ἀφανιστικὸς, ἀδηλοποιὸς, κακὸς, ἐπιβλαβής. vid. Il. β'. v. 155. et Il. ι'. v. 880. nemo non videt posteriores interpretationes loco huic convenire, quare verte *malum*. versu verò seq. κεινὴ est κενή. quod tantundem valet ac ἀπρηκτος. vide Soph. Electr. v. 1026. ἄπρηκτος verò ὁδὸς est *iter quod infelicem habet exitum*. Latinè optimè dixeris, *infectum iter*. Sanct.

Legendum verò conjicit Spanhemius κοινὴν ὁδὸν, quo sane epitheto via ad inferos sæpius designatur, ut apud Soph. Electr. v. 137. Ἀΐδα παγκοίνου λίμνας. *Inferos omnibus communis paludis*. et apud Euripidem κοινὸν ἐς Ἅδην. Quanquam, ait ille, ne quid dissimulem, allatam ibi criticorum glossam, κεινὴν pro κοινὴν adstruere videatur Maro, noto versu,

Perque domos Ditis *vacuas*, et *inania* regna.

103. Κεινὴν ὁδὸν] γράφεται καὶ κοινήν. κοινὴν μὲν ἤγουν κενὴν καὶ ματαίαν, κοινὴν δὲ ἀναφορικῶς. τὴν δὲ ἀνανδρίαν ἑκατέρου τῶν ἡρώων διασαφῶν ὁ Ἀπολλώνιος, φησὶν ὅτι εἴπερ συνέπλευσαν ἀμφότεροι τοῖς Ἀργοναύταις, ἔπαυσαν ἂν αὐτοὺς μεγάλων μόχθων. τίθησι δὲ καὶ τὴν αἰτίαν τοῦ μὴ συμπλεῦσαι αὐτούς. Schol.

106. Ἐσθλὸς μὲν προδαῆναι, &c.

Ventos et varium cœli *prædiscere* morem. Georg. I.

Ibid. Προδαῆναι] προμαθεῖν, ἀρίστου γὰρ αὕτη τέχνη κυβερνήτου· ὁ δὲ λόγος, ἀγαθὸς μὲν καὶ ἡμέρας τοῦ ἡλίου, νυκτὸς δὲ πρός τινα τῶν ἀστέρων τὸν καιρὸν τοῦ πλοῦ τεκμήρασθαι. Schol.

Κῦμ' ἁλὸς εὐρέης, ἐσθλὸς δ' ἀνέμοιο θυέλλας
Καὶ πλόον ἠελίῳ τε καὶ ἀστέρι τεκμήρασθαι.
Αὐτή μιν Τριτωνὶς ἀριστήων ἐς ὅμιλον
Ὦρσεν Ἀθηναίη· μετὰ δ' ἤλυθεν ἐλδομένοισιν.
Αὐτὴ γὰρ καὶ νῆα θοὴν κάμε· σὺν δέ οἱ Ἄργος
Τεῦξεν Ἀρεστορίδης κείνης ὑποθημοσύνῃσιν.
Τῷ καὶ πασάων προφερεστάτη ἔπλετο νηῶν,
Ὅσσαι ὑπειρεσίῃσιν ἐπειρήσαντο θαλάσσης.
Φλείας δ' αὖτ' ἐπὶ τοῖσιν Ἀραιθυρέηθεν ἵκανεν,
Ἔνθ' ἀφνειὸς ἔναιε Διωνύσοιο ἕκητι
Πατρὸς ἑοῦ, πηγῇσιν ἐφέστιος Ἀσωποῖο.
Ἀργόθεν αὖ Ταλαὸς καὶ Ἀρήιος, υἷε Βίαντος

Undam lati maris, quàm venti procellas
Navisque cursum ex sole et stellâ conjectandi.
Ipsa hunc Tritonia ad principum cœtum
Impulit Minerva: ivit igitur ad eos illius cupidos.
Ipsa enim citam etiam navem elaboravit; et cum ipsâ Argus
Arestoris filius fabrefecit, ipsius consiliis.
Idcirco omnium præstantissima erat navium
Quotquot remigiis periculum fecerunt maris.
Phlias etiam post hos Aræthyreâ advenit
In quâ opulentus degebat, Bacchi gratiâ
Patris sui, Asopi fontium accola.
Ab Argis insuper Talaus et Areïus, filii Biantis

109. Τριτωνὶς] Τρίτωνες τρεῖς, Βοιωτίας, Θετταλίας, Λιβύης. ἐν δὲ τῷ κατὰ Λιβύην ἐτέχθη ἡ Ἀθηνᾶ. Schol.

115. Ἀραιθυρέηθεν] πόλις Πελοποννήσου ἡ Ἀραιθυρέα, ἐν ὁρίοις τοῦ Σικυῶνος κειμένη, ἡ νῦν ὀνομαζομένη Φλιοῦς ἀπὸ Φλιοῦντος τοῦ Διονύσου καὶ Χθονοφύλης. καὶ αὐτὸς δὲ Διόνυσος Φλυεὺς ὠνομάζετο, ἀπὸ τοῦ φλύειν τὸν οἶνον, ὅ ἐστιν εὐθηνεῖν. Schol.

117. Ἐφέστιος] ὁ ἐφ' ἑστίᾳ, cui originem dederim ab ἕζω, quia ad focum sedetur plurimum. *Focos* igitur *amare* Æn. 3. est *ἀγαπᾶν ἑστίαν*, *sedibus illis acquiescere.* Hœlzlinus.

Ibid. Ἀσωποῖο] Ἀσωπὸς ποταμὸς Θηβῶν, ἔχων τὰς πηγὰς ἐν Ἀραιθυρέᾳ. ἐκεραυνώθη δὲ ὑπὸ Διὸς διώκων αὐτὸν, διὰ τὸ ἡρπακέναι τὴν θυγατέρα αὐτοῦ Αἴγιναν, ὡς Καλλίμαχος φησίν. Schol.

118. Ἀργόθεν αὖ Ταλαὸς] Ἀμυθάονος τοῦ Κρηθέως, τοῦ Αἰόλου, τοῦ Ἕλληνος, τοῦ Διὸς καὶ Δωρίππης γίνεται Μελάμπους, ὥς φησι Ἀρχελχίδας· κληθῆναι δ' αὐτὸν οὕτως διὰ τὸ τεκοῦσαν τὴν μητέρα ἐκθεῖναι αὐτὸν εἰς συνδενδρον τόπον· τοὺς δὲ πόδας μελανθῆναι τῷ ἡλίῳ, ἀσκιεῖς ὄντας. ἐν δὲ ταῖς καλουμέναις μεγάλαις ἠοίαις λέγεται ὡς ἄρα Μελάμπους ἀποδημῶν κατέλυσε παρὰ Πολυφάτῃ· θύοντος δ' ἐκείνου, δράκων ἀνερπύσας κατέφαγε τὸν θε-

Ἤλυθον

Ἤλυθον, ἴφθιμός τε Λεώδοκος· οὓς τέκε Πηρὼ
Νηληΐς· τῆς δ' ἀμφὶ δύην ἐμόγησε βαρεῖαν
Αἰολίδης σταθμοῖσιν ἐν Ἰφίκλοιο Μελάμπους.
Οὐδὲ μὲν οὐδὲ βίην κρατερόφρονος Ἡρακλῆος
Πευθόμεθ' Αἰσονίδαο λιλαιομένου ἀθερίξαι.
Ἀλλ' ἐπεὶ ἄϊε βάξιν ἀγειρομένων ἡρώων,
Νεῖον ἀπ' Ἀρκαδίης Λυγκήϊον Ἄργος ἀμείψας,
Τὴν ὁδὸν, ᾗ ζωὸν φέρε κάπριον, ὅς ῥ' ἐνὶ βήσσης
Φέρβετο Λαμπείης, Ἐρυμάνθιον ἀμμέγα τῖφος·

Adfuerunt, nec non fortis Leodocus, quos peperit Pero
Nelei filia: pro quâ gravem sustentavit laborem
In Iphicli stabulis Melampus Æolo satus.
Nec verò fortem magnanimumque Herculem
Audivimus Jasonem ejus appetentem contempsisse.
Sed postquam delata ad eum esset fama de congregatis heroibus,
Nuper ex Arcadiâ Lynceïum Argos transgressum,
Illo itinere, in quo vivum gestabat aprum, qui in saltibus
Lampiæ, et vastâ Erymanthiâ palude consuerat pabulari,

ἐρῶντα. ἀναιρεθεὶς δὲ ἐπείσθη ὑπὸ Μελάμποδος· τὰ δὲ ἔκγονα αὐτοῦ ἐκτραφέντα καὶ περιλείχοντα τὰ ὦτα τοῦ Μελάμποδος ἐνέπνευσαν αὐτῷ τὴν μαντικήν· φωραθέντα δ' ἐπὶ κλοπείᾳ τῶν βοῶν Ἰφίκλου τοῦ Φυλάκου, καὶ συλληφθέντα ὑπ' αὐτοῦ τὸν Μελάμποδα. ἐπειδὴ γὰρ τὸ ξύλον ἔμελλεν ὅσον οὔπω πεσεῖσθαι τῆς οἰκίας, κατανενοηκότα ὑπὸ μαντικῆς, ἐν δεσμωτηρίῳ κατεχόμενον, εἰπεῖν τῇ θεραπαίνῃ. ὁ δὲ Ἴφικλος μαθὼν τὸ πρόῤῥημα, αὐτός τε ἀπαλλάττεται τοῦ δεινοῦ, καὶ Μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς, ἃς ἀφίκετο κλέψαι. Schol.

122. Οὐδὲ μὲν οὐδὲ] Singularem, inquit Clarkius, habet vim duplex ista negatio quæ sermone Romano comprehendi nequit.

Ibid. ὁ ἑξῆς λόγος οὕτως. ἐπειδὴ ἤκουσε πλεῖν τοὺς Ἀργοναύτας ὁ Ἡρακλῆς, νεωστὶ διεληλυθὼς τὸ Ἄργος, καθ' ἣν ὁδὸν ἐκόμιζε τὸν κάπρον ζῶντα ἐκ τοῦ Ἐρυμάνθου ὄρους, ὅπου κατὰ τὰς βήσσας ἐνέμετο Λαμπείας τε καὶ Ἐρυμάνθου, ἦλθεν ὡς Ἰάσονα. Schol.

125. Νεῖον ἀπ' Ἀρκαδίης] περισπωμένως ἀντὶ τοῦ νεωστί· ὀξυτόνως δὲ τὴν γλῶ. Λυγκήϊον. ἀπὸ Λυγκέως τοῦ βασιλεύσαντος Ἄργους. ἐὰν δὲ Λυρκήϊον, ἀπὸ ὄρους Ἀργείου Λυρκείου, ἀφ' οὗ Ἴναχος καταφέρεται ποταμός. Schol.

126. Βήσσης] Pythionicarum 10. fine discrimine ponuntur κόλπος, βῆσσα, πτυχή. videtur itaque βῆσσα esse locus montani lateris arborosus aut frutectosus, pastoribus aliisque pervius. a βαίνειν. Hœl.

127. Λάμπεια] ὄρος Ἀρκαδίας, ἀφ' οὗ καὶ ποταμὸς ῥεῖ Ἐρύμανθος. Τῖφος, ὁ κάθυγρος τόπος. περὶ δὲ τοῦ κάπρου καὶ Ἡρόδωρος φησὶν, ὅτι ἐπὶ ταῖς πύλαις τῶν Μυκηνῶν κομίσας αὐτὸν ἀπέθετο. Schol.

Ibid. Schol. Λάμπεια ὄρος, &c. Ut et Strabo. Pausanias aptè μοῖραν ὄρους Ἐρυμάνθου. Sic enim sonat Lampeia mons aut ὄρος, ut lacus Mœotis.

Τὸν

Τὸν μὲν ἐνὶ πρώτῃσι Μυκηναίων ἀγορῇσι
Δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεθήκατο νώτων·
Αὐτὸς δ' ᾗ ἰότητι παρὲκ νόον Εὐρυσθῆος
Ὡρμήθη· σὺν καί οἱ Ὕλας κίεν, ἐσθλὸς ὀπάων,
Πρωθήβης, ἰῶν τε φορεὺς, φύλακός τε βιοῖο.
Τῷ δ' ἐπὶ δὴ θείοιο κίεν Δαναοῖο γενέθλη
Ναύπλιος· ἦ γὰρ ἔην Κλυτονήου Ναυβολίδαο·
Ναύβολος αὖ Λέρνου· Λέρνον γε μὲν ἴδμεν ἐόντα
Προίτου Ναυπλιάδαο. Ποσειδάωνι δὲ κούρη
Πρίν ποτ' Ἀμυμώνη Δαναῒς τέκεν εὐνηθεῖσα
Ναύπλιον, ὃς περὶ πάντας ἐκαίνυτο ναυτιλίῃσιν.
Ἴδμων δ' ὑστάτιος μετεκίαθεν, ὅσσοι ἔναιον

Eum quidem in primo Mycensium foro,
Vinculis illigatum, è magnis deposuit humeris;
Ipse verò suâ sponte, clam Eurystheo,
Impetum exeundi cepit: unáque Hylas ivit, bonæ frugi pedissequus,
Peradolescens, pharetræ gestor, et custos arcûs.
Post hunc ivit divini Danai proles
Nauplius: erat nimirum Clytonei e Naubolo progeniti:
Naubolus rursum Lerni: Lernum sane novimus
Prœto Nauplii satum: at Neptuno puella
Longè antea Amymone Danai filia mista, peperit
Nauplium, qui supra omnes instructus erat arte navigandi.
Idmon verò ultimus accessit eorum, quotquot habitabant

quorum neutrum ἀσόλοικον. Plinius igitur Lampéum montem dixit, et Lampen urbem. Possit igitur legi Λαμπεάης, et verti, Lampéis. Hœlz.

129. Ἰλλόμενον] Ἰλλόμενον δὲ, δεδεμένον. Διὰ δὲ τοῦ ἀπεθήκατο, τοῦ βαστάζοντος ἐπιδείκνυται ἡ δύναμις, ὅτι εὐχερῶς. Schol.

131. Ὕλας] Ἡρακλέους ἐρώμενος, υἱὸς Θειοδάμαντος τοῦ Τρύοπος. οὕτω Μνασέας. Ἑλλάνικος δὲ Θειομένεντα ἀντὶ Θειοδάμαντος καλεῖ. Schol.

Ibid. Schol. Τρύοπος. Stephanus Δρύοπος. Mox ἀντὶ ex conjecturâ post Θειομένεντα ponit Hœlzlinus, ut ipse in notis docet, quod quidem omnino admittendum. Sanct.

132. Φορεὺς] ὁ φέρων. Φύλακος, Ἰωνικῶς ὁ φύλακος ἀπὸ τοῦ φύλαξ, ὥσπερ καὶ τὸ μάρτυρος, ὀξυτονητέον τὴν προτέραν. Ἡρωδιανὸς δὲ τὴν τελευταίαν ὀξύνει. Schol.

134. Ναύπλιος] ἀπόγονος τοῦ Ἀρχαίου τοῦ Ποσειδῶνος υἱοῦ, καὶ Ἀμυμώνης τῆς Δαναοῦ. Schol.

136. Προίτου δὲ λέγει, τοῦ Βελλεροφόντου ἐχθροῦ. Schol.

139. Ἴδμων — Phœbeïus Idmon

Ἄργος·

Ἄργος· ἐπεὶ δεδαὼς τὸ ἑὸν μόρον οἰωνοῖσιν,
Ἤιε μή οἱ δῆμος ἐϋκλείης ἀγάσαιτο.
Οὐ μὲν ὅγ' ἦεν Ἄβαντος ἐτήτυμον· ἀλλά μιν αὐτὸς
Γείνατο κυδαλίμοις ἐναρίθμιον Αἰολίδῃσιν
Λητοΐδης· αὐτὸς δὲ θεοπροπίας ἐδίδαξεν,
Οἰωνούς τ' ἀλέγειν, ἠδ' ἔμπυρα σήματ' ἰδέσθαι.
Καὶ μὴν Αἰτωλὶς κρατερὸν Πολυδεύκεα Λήδη
Κάστορά τ' ὠκυπόδων ὦρσεν δεδαημένον ἵππων
Σπάρτηθεν (τοὺς δ' ἥγε δόμοις ἔνι Τυνδαρέοιο

Argos; quandoquidem ipſe edoctus licèt fatum ſuum ex auguriis,
Ivit tamen, ne ſibi gloriâ populus quicquam detraheret.
Non ſane erat ille reverà Abantis filius: ſed illum ipſe
Genuit glorioſis adnumeratum Æoli nepotibus
Apollo: ipſe etiam artes hariolandi edocuit,
Volucreſque obſervandi, et ignita ſigna inſpiciendi.
Inſuper etiam Leda Ætolica fortem Pollucem,
Caſtoremque velocium equorum callentem excitavit
Ex Sparta: quos illa in Tyndari ædibus

Cui genitor tribuit monitu præ-
noſcere Divûm
Omina, ſeu flammas, ſeu lubrica
cominus exta,
Seu plenum certis interroget
aëra pennis
Val. Flac. l. 1. 228.

Ibid. Ἴδμων δ' ὑστάτιος] Χαμαιλέων φησὶ τὸν Θέστορα Ἴδμονα παρὰ τοῖς ἀρχαίοις κεκλῆσθαι διὰ ἐμπειρίαν. ἄλλοι φασὶ καὶ Θέστορα συμπλεῦσαι τοῖς Ἀργοναύταις. Δηίοχος δὲ ὁ Ἀμφιάρεω. ὁ δὲ Ἴδμων, ὡς ἱστορεῖ Φερεκύδης, παῖς ἦν Ἀστερίας τῆς Κορώνου καὶ Ἀπόλλωνος, ὃν καὶ Λαοθόης, Θέστορος δὲ, Κάλχας. ἀναιρεῖται δὲ Ἴδμων ἐν Μαριανδυνίᾳ ὑπὸ κάπρου. οὗτος δὲ Ἄσωπος φησὶ νομισθῆναι τὸν Ἴδμονα. συμμαρτυρεῖ δὲ αὐτῷ καὶ Ἡρόδωρος. Schol.

143. Αἰολίδῃσιν] Αἰόλου γὰρ τοῦ Ἕλληνος Κρηθεὺς καὶ Ἀθάμας, Κρηθέως δὲ Αἴσων, Αἴσονος δὲ ὁ Ἰάσων. Ἄβας δὲ Μελάμποδος υἱὸς τοῦ Ἀμυθάονος, τοῦ Κρηθέως, τοῦ Αἰόλου. Schol.

146. Αἰτωλὶς] ἀκύρως Αἰτωλὶς ἡ Λήδα, ἐπεὶ Αἰτωλὸς ὁ Θέστιος. καὶ εἴρηκεν ἀπὸ τῆς χώρας, ὡς εἴ τις τὸν Συρακούσιον, Σικελόν. ὁ δὲ Ἴωνικος Πλευρωνίαν φησίν· Ἑλλάνικος δὲ Καλυδωνίαν. ἣν δὲ Θεστίου θυγάτηρ τοῦ βασιλέως τῆς Αἰτωλίας, Ἄρεως υἱοῦ καὶ Ἀνδροδίκης. Γλαύκου δὲ αὐτὴν τοῦ Σισύφου, ἐκ πατρὸς, ἐν Κορινθιακοῖς λέγει Εὔμηλος καὶ Παντειδυίας μητρὸς, ἱστορῶν ὅτι τὰς ἵππους ἀπολομένας ἦλθεν εἰς Λακεδαίμονα ὁ Γλαῦκος, καὶ ἐκεῖ ἐμίγη Παντειδυίᾳ ἣν ὕστερον γήμασθαι Θεστίῳ· τὴν δὲ Λήδαν, οὖσαν Γλαύκου, κληθῆναι Θεστίου· Αἰτωλὶς δὲ ἤτοι διὰ τὴν χώραν, ἢ ἀπὸ Αἰτωλοῦ τοῦ ἥρωος. Φερεκύδης δὲ ἐν τῇ β, ἐκ Λαοφόντης τῆς Πλευρῶνος Λήδαν καὶ Ἀλθαίαν Θεστίῳ γενέσθαι φησίν· ὅτι δὲ Γλαύκου ἐστὶ θυγάτηρ καὶ Ἀλθαίας αἰνίττεται λέγων, τοὺς τῆς θυγάτηρ Γλαύκου μάκαιρα. φασὶ τὸν μὲν Πολυδεύκη Διὸς, τὸν δὲ Κάστορα Τυνδάρεω. Schol.

Τηλυγέτης

Τηλυγέτους ὠδῖνι μιῇ τέκεν) οὐδ' ἀπίθησεν
Νεισομένοις· Ζηνὸς γὰρ ἐπάξια μήδετο λέκτρων.
Οἵ τ' Ἀφαρητιάδαι Λυγκεὺς καὶ ὑπέρβιος Ἴδας
Ἀρήνηθεν ἔβαν, μεγάλῃ περιθαρσέες ἀλκῇ
Ἀμφότεροι· Λύγκευς δὲ καὶ ὀξυτάτοις ἐκέκαστο
Ὄμμασιν· εἰ ἐτεόν γε πέλει κλέος ἀνέρα κεῖνον
Ῥηϊδίως καὶ νέρθε κατὰ χθονὸς αὐγάζεσθαι.
Σὺν δὲ Περικλύμενος Νηλήϊος ὦρτο νέεσθαι,

Uno dilectos partu fuerat enixa) nec diffidebat
Abeuntibus: digna enim meditabatur Jovis concubitu.
Apharete verò procreati, Lynceus et violentus Idas
Arenâ prodierunt, summo confisi robore
Utrique: Lynceus verò perspicacissimâ præditus erat
Acie oculorum, si modò verè asserit fama virum illum
Facilè etiam deorsum sub terrâ despicere.
Cum his Periclymenus Nelei filius excitatus est ad eundum,

149. Τηλυγέτους] νεῶν ἀντὶ τοῦ ἀγαπητούς· Ὅμηρος δὲ τοὺς ἐν γήρᾳ γινομένους· Schol.

Ibid. Ὠδῖνι] Recentiores Græcorum, ut annotavit Hœlzlinus, in quibus Dionysius et Theodoretus, felici quâdam audaciâ dixerunt ὠδῖνας rerum aliarum, verbi causâ, πηγῶν, νεφῶν.

152. Ἀρήνηθεν] Φερεκύδης τὴν μητέρα τῶν περὶ Ἴδαν, Ἀρήνην φησὶν, ἀφ' ἧς ἡ πόλις· Πείσανδρος Πολυδώραν· Θεόκριτος Λαοκόωσαν. οὗτοι δὲ συνήκμαζον τοῖς Διοσκούροις. Ἀρήνη δὲ πόλις Πελοποννήσου πλησίον Πύλου. καὶ Ὅμηρος, "οἱ δὲ Πύλον τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινήν." Πύλος δὲ αὕτη ἡ Νέστορος, ἡ καὶ ἀμμώδης. Schol.

156. Σὺν δὲ Περικλύμενος] Νηλεὺς ἔσχε παῖδας, ἐκ μὲν Χλωρίδος, Νέστορα, Περικλύμενον, Χρόμιον· ἐκ δὲ διαφόρων γυναικῶν, Ταῦρον, Ἀστέριον, Λυκάονα, Δηΐμαχον, Εὐρύβιον, Ἐπιλέοντα, Φράσιον, Ἀντιμένη. ὡς δὲ Ἀσκληπιάδης φησὶ, καὶ Ἀλάστορα. καὶ ὁ ποιητής, "δώδεκα καὶ Νηλῆος ἀμύμονος υἱέες ἦμεν," ὅτι Νηλέως παῖς Περικλύμενος, δῆλον. φησὶ γὰρ ὁ ποιητὴς, "Νέστορά τε, Χρόμιόν τε, Περικλύμενόν τ' ἀγέρωχον." τοῦτον δὲ ὡς ἔγγονον αὐτοῦ ὁ Ποσειδῶν (Νηλεὺς γὰρ Ποσειδῶνος) ἄλλοις τε ἐκόσμησε, καὶ ἐχαρίσατο αὐτῷ εἰς πάντα μεταβάλλεσθαι. ὡς καὶ ὁ Εὐφορίων, "ὅς ῥά τε πᾶσιν ἔικτο, θαλάσσιος ἠΰτε Πρωτεύς." ἀναιρεῖ δὲ αὐτὸν Ἡρακλῆς εἰς μυῖαν μεταβληθέντα ἐν τῷ περὶ Πυλίους πολέμῳ, κατὰ συμβουλὴν Ἀθηνᾶς τῷ ῥοπάλῳ πλήξας ἐμπεπηγότα, ὥσπερ μέλισσαν τῷ κέντρῳ. Ἡσίοδος δὲ μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωϊ· τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι, τῆς Ἀθηνᾶς ὑποδειξάσης. φησὶ δὲ οὕτως, "Περικλύμενόν τε ἀγέρωχον, ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν αἰετὸς, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι, μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα· ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα παντοῖ' οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσεν βουλῇ Ἀθηναίης." Schol.

Πρεσβύτατος

Πρεσβύτατος παίδων, ὅσσοι Πύλῳ ἐξεγένοντο
Νηλῆος θείοιο. Ποσειδάων δέ οἱ ἀλκὴν
Δῶκεν ἀπειρεσίην, ἠδ' ὅ, ττι κεν ἀρήσαιτο
Μαρνάμενος, τὸ πέλεσθαι ἐνὶ ξυνοχῇ πολέμοιο.
Καὶ μὴν Ἀμφιδάμας Κηφεύς τ' ἴσαν Ἀρκαδίηθεν,
Οἳ Τεγέην καὶ κλῆρον Ἀφειδάντειον ἔναιον·
Υἱε δύω Ἀλεοῦ· τρίτατός γε μὲν ἕσπετ' ἰοῦσιν
Ἀγκαῖος· τὸν μέν ῥα πατὴρ Λυκόοργος ἔπεμπε
Τῶν ἄμφω γνωτὸς προγενέστερος· ἀλλ' ὁ μὲν ἤδη
Γηράσκοντ' Ἀλεὸν λίπετ' ἀμ πόλιν ὄφρα κομίζῃ,
Παῖδα δ' ἑὸν σφετέροισι κασιγνήτοισιν ὄπασσε.
Βῆ δ' ὅγε Μαιναλίης ἄρκτου δέρος ἀμφίτομόν τε

Maximus natu filiorum, quotquot ex Pylo nati erant
Neleo, inter viros Deo. Neptunus verò ei vires
Immenſas dedit, et quodcunque optaret
Inter præliandum, id ut fieret, (eam formam indueret) re belli arctâ preſſus.
Inſuper Amphidamas et Cepheus exierunt Arcadiâ,
Qui Tegeam, et hæredia tenebant Aphidantis:
Ambo ſati Aleo: quos tertius ſecutus eſt proficiſcentes
Ancæus: illum utique pater Lycurgus amandavit,
Utriuſque illorum frater major natu: ipſe ſiquidem ut jam
Seneſcentis curam haberet Alei, in civitate relinquebatur:
Filium verò ſuum fratribus comitem dedit.
Ivit verò ille Mænaliæ urſæ pellem, ancipitemque

162. Οἳ Τεγέην] Τεγέα πόλις Ἀρκαδίας. κλῆρον δὲ, τὴν βασιλείαν τοῦ Ἀφείδαντος. ὁ γὰρ Ἀλεὸς ἱστορεῖται Ἀφείδαντος υἱὸς εἶναι τοῦ Ἀρκάδος. Ἀφείδας δὲ ὁ Ἀρκάδος, ἀρχαῖος ἥρως ἐβασίλευσε Τεγέας· ἀφ' οὗ καὶ ἡ χώρα Ἀρκαδία. δύο δέ εἰσι Κηφεῖς· ὁ μὲν, Ἀλεοῦ, οὗ μνημονεύει Ἀπολλώνιος· ὁ δὲ ἕτερος οὗ μνημονεύει Ἑλλάνικος ἐν τῷ περὶ Ἀρκαδίας. Schol.

Ibid. Κλῆρον. Pauſanias l. 8. Ἀφείδας δὲ τὴν Τεγέαν καὶ τὴν ἐπ' αὐτῇ μοῖραν ταύτῃ ἔλαχεν.

164. Ἀγκαῖος] Λυκούργου καὶ Ἀντινόης Ἀγκαῖος καὶ Ἔποχος. τιμᾶται δὲ παρ' Ἀρκάσιν, ὥς φησιν Ἀριστομένης. μνημονεύει καὶ Ὅμηρος τούτου τοῦ Λυκούργου, τὸν "Λυκόοργος ἐπέφνε δόλῳ, οὔτι κράτεΐ γε" καὶ ἄγεται μωλεία ἑορτὴ παρ' Ἀρκάσιν, ἐπειδὴ Λυκοῦργος λοχήσας κατὰ τὴν μάχην εἷλεν Ἐρευθαλίωνα. μῶλος δὲ ἡ μάχη. Schol.

167. Ὄπασσεν] ἔδωκεν ἑταῖρον. Euſtathius ad Ulyſſeæ 1.

168. Βῆ δ' ὅγε Μαιναλίης] Μαίναλον ὄρος Ἀρκαδίας καὶ πόλις, ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, οὗ πατὴρ Λυκάων. Schol.

Δεξιτερῇ πάλλων πέλεκυν μέγαν· ἔντεα γάρ οἱ
Πατροπάτωρ Ἀλεὸς μυχάτῃ ἐνέκρυψε καλιῇ,
Αἴ κέν πως ἔτι καὶ τὸν ἐρητύσειε νέεσθαι.
Βῆ δὲ καὶ Αὐγείης, ὃν δὴ φάτις ἠελίοιο
Ἔμμεναι· Ἠλείοισι δ᾽ ὅγ᾽ ἀνδράσιν ἐμβασίλευεν
Ὄλβῳ κυδιόων, μέγα δ᾽ ἵετο Κολχίδα γαῖαν
Αὐτόν τ᾽ Αἰήτην ἰδέειν σημάντορα Κόλχων.
Ἀστέριος δὲ καὶ Ἀμφίων Ὑπερασίου υἷες
Πελλήνης ἀφίκανον Ἀχαιΐδος, ἥν ποτε Πέλλης
Πατροπάτωρ ἐπόλισσεν ἐπ᾽ ὀφρύσιν Αἰγιαλοῖο.

Dextrâ vibrans ſecurim ingentem: arma enim ipſi
Avus paternus Aleus in intimo abſconderat horreo,
Si forte quoviſmodo hunc etiam digreſſu prohiberet.
Ivit verò et ipſe Augeas, quem fama refert Sole
Natum fuiſſe: ille in Aleos regnabat
Ob divitias ſe glorioſè efferens; miréque avebat Colchicam terram
Ipſumque Æetam videre, Colchorum principem.
Aſterius porro cum Amphione, Hyperaſii filii,
E Pellenâ advenerunt Achaicâ, quam olim *urbem* Pelles
Avus condidit in ſuperciliis Ægiali.

170. Καλιῇ] ἀντὶ τοῦ οἰκίᾳ. κυρίως δὲ ἡ ἐκ ξύλων κατεσκευασμένη. κᾶλα δὲ τὰ ξύλα. ξυλίναις γὰρ ἐχρῶντο τὸ παλαιὸν οἰκίαις, λίθων μηδέπω ἐπινοηθέντων. Schol.

172. Βῆ δὲ καὶ Αὐγείης] οὗτος λόγῳ μὲν ἦν Ἡλίου, τῇ δὲ ἀληθείᾳ, Φόρβαντος, ἐκ τῆς Νηλέως Ὑρμίνης. οἱ δέ φασιν ἀπὸ τῆς Νυκτέως. οἱ δὲ αὐτὴν Ἐπόχου θυγατέρα φασίν. ἐδόκει δὲ ἀκτῖνας ἀπολάμπειν αὐτοῦ τῶν ὀφθαλμῶν. τούτου τὴν βουκοπρίαν ὁ Ἡρακλῆς τὴν κόπρον ἐκάθηρεν. Schol.

176. Ἀστέριος δὲ] Ἀστέριον τὸν Ἀστερίωνα λέγει. ἀπὸ Ὑπερασίου βασιλέως τῆς Ἀχαΐας καὶ πόλις Ὑπερασία. Ὅμηρος, οἵθ᾽ Ὑπερησίην. Schol.

177. Πελλήνης] ἡ Ἀχαϊκὴ Πελλήνη διὰ τοῦ ε. ἡ δὲ ἑτέρα, ἡ τῆς Ἀρκαδίας, διὰ τοῦ α γράφεται, Παλλήνη. Ἀχαιὸς δὲ μέρος τῆς Θεσσαλίας, ὡς ἡ Παλλήνη. Schol.

178. Αἰγιαλοῖο] *litoris.* Αἰγιαλὸς dicitur hic ὀνομαστικῶς, quod nec Strabo ignoravit, et dextrè docuit Pauſanias in aditu libri 7. Eſtque Αἰγιαλὸς ἡ Ἀχαΐα, nomine vetere. Quid autem ſit ἐπ᾽ ὀφρύσι, ſane picte oſtendit idem περιηγητὴς eodem libro extremo, Πελληνεῦσιν ἡ πόλις ἐστὶν ἐπὶ λόφου, &c. Hœlzlinus.

Tutius verti poſſe credo αἰγιαλοῖο *litoris,* licet aliter exiſtimet Hœlzlinus: provinciam enim ſatis indicaverat Apollonius verſu ſuperiore Πελλήνης ἀφίκανον Ἀχαιΐδος. Novi ſanè quod Achaïa Αἰγιαλεία dicta eſt, ſed nuſquam memini me legiſſe Αἰγιαλὸν dictam. Conſtantinus tamen Plinium

Ταίναρον

Ταίναρον αὖ τ' ἐπὶ τοῖσι λιπὼν Πολύφημος ἵκανε,
Τόν ῥα Ποσειδάωνι ποδωκηέστατον ἄλλων
Εὐρώπη Τιτυοῖο μεγαθενέος τίκε κούρη.
Κεῖνος ἀνὴρ ϗ πόντου ἐπὶ γλαυκοῖο θέεσκεν
Οἴδματος, οὐδὲ θοοὺς βάπτεν πόδας, ἀλλ' ὅσον ἄκροις
Ἴχνεσι τεγγόμενος διερῇ πεφόρητο κελεύθῳ.
Καὶ δ' ἄλλω δύο παῖδε Ποσειδάωνος ἵκοντο·
Ἤτοι ὁ μὲν πτολίεθρον ἀγαυοῦ Μιλήτοιο

Relicto verò Tænaro, poſt hos venit Polyphemus,
Quem quidem Neptuno, aliorum velociſſimum,
Europa, Tityi prævalidi peperit, nata.
Hic vir vel ſuper maris cærulei currebat
Fluctus, nec celeres tingebat pedes: ſed paululum extremis
Plantis madefactus, aquoſâ ferri ſolitus erat viâ.
Inſuper etiam alii duo filii Neptuni advenerunt;
Nempe, oppido illuſtris Mileti

authorem citat, ſed analogia refragatur; nam ſive ab Αἰγιαλεὺς ſive ab Αἰγιαλὸς nomen illud derivatur, Αἰγιαλὸς dici non poteſt. Loca cum a nominibus propriis nomen accipiunt, nonnulla derivatorum formam non induunt, cætera omnia induunt. Sanct.

179. Ταίναρον] ἀκρωτήριον τῆς Λακωνικῆς, ἀπὸ Ταινάρου τοῦ Ποσειδῶνος. Schol.

Ibid. Πολύφημος ſine dubio eſt gloſſa ſcioli cujuſdam, qui Εὔφημος quod in textu erat epithetum eſſe credidit, non nomen proprium. Poſtea, ut fieri ſolet, gloſſa in textum recepta. vide Pindarum Pyth. 4. ubi bene multa de hoc Euphemo. Sanct.

181. Εὐρώπη Τιτυοῖο] τοῦ Ἐλάρης παιδός. οὗτος δὲ ἐν ᾅδου τετιμώρηται, διὰ τὸ ἐν Πυθῶνι ἐπελθομένην καταισχῦναι τὴν Λητώ. ὡς ϗ Ὅμηρος, Τιτυὸν γαίης υἱόν. ὁ δὲ Εὐφορίων Ἀρτέμιδος φησὶν αὐτὸν ἠφανίσθαι, ϗ διὰ τοῦτο τετιμωρῆσθαι. Schol.

183. Οὐδὲ θοοὺς βάπτεν πόδας.
—celeres nec tingeret æquore plantas. Æn. 7. 809.

184. —— διερῇ πεφόρητο κελεύθῳ. Cum per διερὸν plerumque intelligitur, τὸ ἔχον ἀλλοτρίαν ὑγρότητα ἐπιπολῆς, ſupplet Hœlzlinus ὥσει, *quaſi pratum uvidum tranſcurreret.*

Ibid. Διερῇ πεφόρητο] Διερὴ κυρίως ἡ ἐκ Διὸς γινομένη κάθυγρος γῆ. ἐξ οὗ ϗ διαίνω τὸ βρέχω. εἴληπται παρὰ τὸ Ὁμηρικὸν, "αἱ δ' ὅτε δὴ σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν," ϗ τὰ ἑξῆς. Schol.

185. Καὶ δ' ἄλλω δύο παῖδε] ὁ μὲν Ἀγκαῖος, υἱὸς (Ἀστυπαλαίας γὰρ ἦν τῆς Φοίνικος ϗ Ποσειδῶνος) Ἐργῖνος δὲ, ἀπόγονος. Κλυμένου γὰρ ἦν τοῦ Πρέσβωνος ϗ Βουζύγης τῆς Λύκου. Schol.

186. Μιλήτοιο] ὁ δὴ Μίλητος ἀφ' οὗ ϗ ἡ πόλις Μίλητος, Εὐξαντίου τοῦ Μίνωος ἦν. οἱ δέ φασιν αὐτὸν Ἀπόλλωνος ϗ Ἀ-

Νοσφισθεὶς Ἐργῖνος, ὁ δ' Ἰμβρασίης ἕδος Ἥρης
Παρθενίης Ἀγκαῖος ὑπέρβιος· ἴστορε δ' ἄμφω
Ἠ' μὲν ναυτιλίης ἠδ' ἄρεος εὐχετόωντο.
Οἰνείδης δ' ἐπὶ τοῖσιν ἀφορμηθεὶς Καλυδῶνος
Ἀλκείης Μελέαγρος ἀνήλυθε, Λαοκόων τε,
Λαοκόων Οἰνῆος ἀδελφεός· οὐ μὲν ἰῆς γε
Μητέρος· ἀλλά ἑ θῆσσα γυνὴ τέκε· τὸν μὲν ἄρ' Οἰνεὺς

Relicto, Erginus, et ſede Junonis Imbraſiæ
Partheniæ Ancæus ferox; qui ſe ambo ſcientes,
Rei vel nauticæ, vel militaris, gloriabantur.
Poſt hos verò Oenei natus, Calydone digreſſus,
Fortis Meleager acceſſit, et Laocoon,
Laocoon Oenei frater; non tamen ex unâ
Matre, ſed illum mulier operaria peperit: hunc ſane Oeneus

ρείας τῆς Κλεόχου. ἐκλήθη δὲ Μίλητος, ὅτι ἐκρύβη ὑπὸ τῆς μητρὸς ἐν μίλακι. οἱ δέ φασιν ὑπὸ Σαρπηδόνος τοῦ Διὸς Μίλητον κτισθῆναι, ὀνομασθεῖσαν ἀπὸ τῆς ἐν Κρήτῃ. ὀνομασθῆναι δὲ αὐτὴν πρότερον λέγουσι Πιτυοῦσσαν, οἱ δὲ Ἀστερίαν, εἶτα Ἀνακτόρειον, εἶτα Μίλητον. καὶ Ἀριστόκριτος φησὶν ὅτι Ἀρεία θυγάτηρ ἐγένετο Κλεόχου, ἧς καὶ Ἀπόλλωνος γενέσθαι βρέφος, καὶ τοῦτο ἐκτεθῆναι εἰς μίλακα. τὸν δὲ Κλέοχον ἀνελέσθαι, καὶ ὀνομάσαι ἀπὸ τῆς μίλακος Μίλητον. τοῦτον δὲ ἀνδρωθέντα καὶ φθονούμενον ὑπὸ τοῦ Μίνωος, ἀναχωρῆσαι εἰς τὴν Σάμον, ἀφ' οὗ καὶ τόπος ἐστὶ Μίλητος. καὶ ἀπὸ τῆς Σάμου μεταβὰς εἰς τὴν Καρίαν, ἔκτισε πόλιν, Μίλητον ἀφ' ἑαυτοῦ καλέσας.

187. Ὁ δ' Ἰμβρασίης] τὴν Σάμον φησίν. Ἴμβρασος γὰρ ποταμὸς Σάμου, ὃς μετεκλήθη Παρθένιος, διὰ τὸ ἐκεῖ παρθένον οὖσαν τετράφθαι τὴν Ἥραν. καὶ Καλλίμαχος μέμνηται. ὁ δὲ Ταρραῖος οὕτως, "Παρθενία δὲ ἡ Σάμος ἀπὸ Παρθενίας τῆς Σάμου γυναικὸς ὠνομάσθη." Schol.

188. Παρθενίης Ἀγκαῖος] Ἀριστοτέλης φησὶ περὶ Ἀγκαίου, ὅτι φιλογέωργος ὤν, καὶ φυτεύων ἀμπελῶνα, βαρὺς ἐπέκειτο τοῖς οἰκέταις. εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. ὁ δὲ Ἀγκαῖος, ἐπειδὴ ὁ καρπὸς ἔφθακε, χαίρων ἐτρύγα, καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι, ὑπεμίμνησκεν αὐτὸν τοῦ λόγου. ὁ δὲ ἔφη, Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλλων ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον. ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν, ἐπὶ τὸν σῦν ὥρμησε· καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησεν· ὅθεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων. καὶ Φερεκύδης ἐν τῇ η φησὶ τὸν Ἀγκαῖον ὑπὸ τοῦ Καλυδωνίου συὸς πληγέντα τὸν μηρὸν, ἀποθανεῖν. Schol.

191. Ἀλκείης] Scribit Holſtenius Ἀλθαίης ex Orpheo, et Ovidio, Met. lib. 8. legendum verò ἀλκήεις, *fortis*. vide v. 71, et Schol. ibid. Upt.

193. Ἀλλά ἑ θῆσσα] θῆσσα ἡ δούλη. Ἀθηναῖοι δὲ καὶ τὰς πενιχρὰς γυναῖκας θήσσας λέγουσιν· ἀπὸ τοῦ θητεύειν ἐπὶ μισθῷ, διὰ τὸ ἐνδεῖς εἶναι τῶν ἐπιτηδείων· καὶ ὥσπερ τὸ Κρὴς παρῆκται τὸ Κρῆσσα, οὕτω καὶ τὸ θὴς θῆσσα. Schol.

Ἤδη

Ἤδη γηραλέον κοσμήτορα παιδὸς ἴαλλεν.
Ὧ δ' ἔτι κουρίζων περιθαρσέα δῦνεν ὅμιλον
Ἡρώων· τοῦ δ' οὔτιν' ὑπέρτερον ἄλλον ὀΐω
Νόσφιν γ' Ἡρακλῆος ἐπελθέμεν, εἴ κ' ἔτι μοῦνον
Αὖθι μένων λυκάβαντα μετετράφη Αἰτωλοῖσιν.
Καὶ μὴν οἱ μήτρως αὐτὴν ὁδὸν, εὖ μὲν ἄκοντι,
Εὖ δὲ καὶ ἐν σταδίῃ δεδαημένος ἀντιφέρεσθαι,
Θεστιάδης Ἴφικλος ἐφωμάρτησε κιόντι.
Σὺν δὲ Παλαιμόνιος Λέρνου πάϊς Ὠλενίοιο,
Λέρνου ἐπίκλησιν, γενεήν γε μὲν Ἡφαίστοιο.
Τοὔνεκ' ἔην πόδα σιφλός· ἀτὰρ δέμας οὔ κέ τις ἔτλη

Quòd jam ætatis eſſet altioris, rectorem filio miſit.
Sub hoc verò *magiſtro*, ille adhuc adoleſcens fortitudine eximiis immiſcebatur catervis
Heroum: nec aliquem eo præſtantiorem puto,
Hercule excepto, acceſſiſſe, ſi modo unum amplius
Ibi manens annum educatus fuiſſet inter Ætolos.
Atque eâdem viâ avunculus ipſum, eximiè quidem jaculi peritus,
Eximiè etiam in pugnâ ſtatariâ callens (hoſtibus) obviam ferri,
Iphiclus patre natus Theſtio, comitatus eſt diſcedentem.
Unáque ibat Palæmonius, Lerni Olenii natus,
Lerni quidem nomine gaudens, ſtirpe verò Vulcani;
Idcirco erat pede debilis: corpus verò ipſi nemo auſus eſt

201. Θεστιάδης Ἴφικλος] Scholia hìc Iphiclum et Althæam germanos faciunt. Scholia verò ad v. 146 Althæam et Ledam ſorores dicunt, etſi de matris nomine diſconveniant. Ita Leda et Iphiclus erunt etiam germani, quod firmatur ex hoc loco, et altero Theocriti. Nam ut hìc Iphiclus dicitur Θεστιάδης, ita ab illo Leda dicitur κούρη Θεστιάδος Idyll. 22. v. 5. ita patris nomen fuerit Θεστίας. At Schol. ad v. 146 Theſpium vocat: quare vel in illo, vel in poetis prædictis depravatiſſimè nomen id legitur. Sanct.

Ibid. Ἴφικλος] Ἀλθαία καὶ Ἴφικλος ἀδελφοὶ ἐκ Δηϊδαμείας τῆς Περιήρους.

202. Ὠλενίοιο] Ὤλενοι τῆς Ἀχαΐας δύο. Ὅμηρος, "οἱ Πλευρῶν' ἐνέμοντο καὶ Ὤλενον" Schol.

204. Hœlzlinus vult τοὔνεκα poni pro οὕνεκα, *propterea quòd*. Fruſtrà verò hìc ſe torquet; ita enim fit ridicula ſententia, et a poetæ mente alieniſſima. *reverà eum procreavit Vulcanus, propterea quòd erat claudus*, ut nîl dicam de voce, quæ talem ſenſum non habet. τοὔνεκα eſt τοῦ ἕνεκα. *fuit*, inquit poeta, *Vulcani filius, ac propterea claudus*. Sanct.

Ibid. Σιφλός] ἀντὶ τοῦ κεκακωμένος. οἱ δὲ τὸν κακόποδα καὶ ἐπιμωμητὸν ἀπέδοσαν. σίφλος δὲ ὁ μῶμος. Schol.

Ἠνορέην

Ἠνορέην τ' ὀνόσαιτο· ὁ καὶ μεταρίθμιος ἦεν
Πᾶσιν ἀριστήεσσιν, Ἰήσονι κῦδος ἀέξων.
Ἐκ δ' ἄρα Φωκήων κίεν Ἴφιτος Ὀρνυτίδαο
Ναυβόλου ἐκγεγαώς· ξεῖνος δέ οἱ ἔσκε πάροιθεν,
Ἦμος ἔβη Πυθῶδε θεοπροπίας ἐρεείνων
Ναυτιλίης· τόθι γάρ μιν ἑοῖς ὑπεδέκτο δόμοισιν.
Ζήτης αὖ Κάλαΐς τε Βορήϊοι υἷες ἵκοντο,
Οὕς ποτ' Ἐρεχθηῒς Βορέῃ τέκεν Ὠρείθυια

Vel fortitudinem vituperare; qui etiam adnumeratus erat
Omnibus principibus, Jasoni gloriam allaturus.
E Phocensibus verò ivit Iphitus, Ornyti filio
Naubolo satus: hospes verò ei fuerat antea,
Cum Delphos adivit, ad consulendum oraculum
De navigatione; tunc enim suis eum accipiebat in ædibus.
Zetes præterea et Calais ab Aquilone sati, exibant,
Quos Erecthei nata, Aquiloni peperit, Orithyia

207. Ἐκ δ' ἄρα Φωκήων] οἱ Φωκεῖς ἐκλήθησαν ἀπὸ Φώκου τοῦ Αἰακοῦ. τὸν δὲ Ἴφιτον γενεαλογοῦσι Ναυβόλου καὶ Περινείκης τῆς Ἱππομάχου. ἡ δὲ Πυθὼ πόλις Φωκίδος, ἔνθα τὸ μαντεῖον, ἀπὸ τοῦ πυνθάνεσθαι τῶν μαντειῶν οὕτω κληθεῖσα, ἢ ἀπὸ τοῦ ἐκεῖ σεσῆφθαι τὸν δράκοντα.

211. Ζήτης αὖ Κάλαΐς τε] τούτους ἐκ διαφόρων τόπων συμπλεῦσαι τοῖς Ἀργοναύταις φασίν. οἱ μὲν γὰρ ἐκ Θρᾴκης, ὡς Ἀπολλώνιος· Ἡρόδωρος δὲ ἐκ Δαυλίδος· Δοῦρις δὲ, ἐξ Ὑπερβορέων. καταλέγει δὲ τούτους καὶ Ἀντίμαχος. Φανόδικος δὲ ἐν α Δηλιακῶν, ἐξ Ὑπερβορέων αὐτοὺς ἐλθεῖν ἐπὶ τὸν πλοῦν. τὴν δὲ Ὠρείθυιαν Σιμωνίδης ἀπὸ Βριλησσοῦ φησὶν ἁρπαγεῖσαν, ἐπὶ τὴν Σαρπηδονίαν πέτραν τῆς Θρᾴκης ἐνεχθῆναι. ἔστι γὰρ καὶ τῆς Κιλικίας ὁμώνυμος, ὡς Καλλισθένης. Στησίχορος δὲ ἐν τῇ Γηρυονίδι, καὶ νῆσόν τινα ἐν τῷ Ἀτλαντικῷ πελάγει Σαρπηδονίαν φησί. περὶ δὲ τῆς Θρᾳκίας Σαρπηδονίας πέτρας, ὅτι πρὸς τῷ Αἵμῳ ὄρει ἐστὶ, Φερεκύδης φησὶ, περὶ τῆς ἁρπαγῆς ἱστορῶν τῆς Ὠρειθυίας. Χοιρίλος δὲ ἁρπασθῆναί φησιν αὐτὴν ἄνθη ἀμέλγουσαν ὑπὸ τὰς τοῦ Κηφισσοῦ πηγάς. Ἡσαγόρας δὲ ἐν τοῖς Μεγαρικοῖς, τὸν τὴν Ὠρείθυιαν ἁρπάσαντα Βορέαν, υἱὸν Στρυμόνος φησὶν, οὐχὶ δὲ τὸν ἄνεμον. ἡ δὲ Ὠρείθυια, Ἐρεχθέως θυγάτηρ· ἣν ἐξ Ἀττικῆς ἁρπάσας ὁ Βορέας ἤγαγεν εἰς Θρᾴκην, κἀκεῖσε συνελθὼν ἔτεκε Ζήτην καὶ Κάλαϊν, ὡς Σιμωνίδης ἐν τῇ ναυμαχίᾳ. Φινεὺς δὲ Κλεοπάτραν τὴν Ὠρειθυίας πρώτην ἔγημεν· μετὰ ταύτην δὲ Ἰδαίαν τὴν Δαρδάνου, ἥ τις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς προγόνους, λέγω δὲ τοὺς ἀπὸ Κλεοπάτρας υἱοὺς, ἐπειρᾶτο τυφλῶσαι αὐτούς. οἱ δὲ, ὅτι ὁ πατὴρ ἐτύφλωσεν αὐτοὺς, διαβαλλούσης τῆς μητρυιᾶς πρὸς αὐτόν. Κέκροπος δὲ Κρέουσα, Ὠρείθυια, Πρόκρις. Ὠρειθυίας δὲ καὶ Βορέου, Χιόνη, Χθονία, Κλεοπάτρα, Ζήτης καὶ Κάλαϊς· ὁ δὲ Βορέας ἰδὼν Ὠρείθυιαν παίζουσαν ἐν τῷ Ἰλισσῷ, ἠράσθη αὐτῆς· ἐξ ἧς οὗτοι. Schol.

Ἐσχατιῇ

Ἐσχατιῇ Θρήκης δυσχειμέρου· ἔνθ' ἄρα τήν γε
Θρηίκιος Βορέης ἀνερέψατο Κεκροπίηθεν,
Ἰλισοῦ προπάροιθε χορῷ ἔνι δινεύουσαν.
Καί μιν ἄγων ἕκαθεν, Σαρπηδονίην ὅθι πέτρην
Κλείουσιν, ποταμοῖο παρὰ ῥόον Ἐργίνοιο,
Λυγαίοις ἐδάμασσε περὶ νεφέεσσι καλύψας.
Τὼ μὲν ἐπ' ἀκροτάτοισι ποδῶν ἑκάτερθεν ἐρεμνὰς
Σεῖον ἀειρομένω πτέρυγας (μέγα θάμβος ἰδέσθαι)
Χρυσείαις φολίδεσσι διαυγέας· ἀμφὶ δὲ νώτοις
Κράατος ἐξ ὑπάτοιο καὶ αὐχένος ἔνθα καὶ ἔνθα
Κυάνεαι δονέοντο μετὰ πνοιῇσιν ἔθειραι.
Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάϊς μενέαινεν Ἄκαστος

In extremâ intempestâ Thraciâ, quò istam
Thracius Aquilo præcipitaverat è Cecropiâ,
Cum ante Ilissum se in choro circumagebat:
Cumque ipsam procul abstulisset, quò saxum Sarpedonium
Celebratur, fluvii juxta fluenta Ergini,
Et tenebrosis cooperuisset nubibus, pudicitiam delibavit.
Illi quidem extremis sublati pedibus, utrinque umbrosas
Quatiebant alas, mirabile visu,
Aureis guttis pellucidas; circum autem humeros
Summo ex vertice et collo, huc, illuc,
Cæruleæ, vento perflante, jactabantur comæ.
Nec verò ipsius natus, cupiebat Acastus

214. Κεκροπίηθεν] ἡ ἀκρόπολις τῆς Ἀττικῆς Κεκροπία ἐκαλεῖτο πρότερον.

216. Σαρπηδονίην ὅθι] πόλις τῆς Ἀττικῆς, ἀπὸ Σαρπηδόνος τοῦ τῆς Θρᾳκης βασιλέως, ἀδελφοῦ Πόλτυος. τὰ δὲ ἐφεξῆς προσέθηκεν· ἐπεὶ ἑτέρα ἐστὶ Σαρπηδονία πέτρα τῆς Κιλικίας. Schol.

Ibid. Πόλις τῆς Ἀττικῆς. Pro πόλις scribit Sanctamandus ὄρος, quippe Apollonius ipse hìc πέτρην vocat. vide Schol. etiam ad v. 211.

Ibid. pro Ἀττικῆς scribe Ἀστικῆς: hæc enim Thraciæ regio ad Æmum, de qua ad Scymnum dixi. L. Holstenius.

218. Λυγαίοις] σκοτεινοῖς, κατὰ μετωνυμίαν. λύγος γὰρ τὸ σκότος, ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ, ὅπερ ἐστὶ πυκνὸν καὶ δασύ. Schol.

219. Ἐπ' ἀκροτάτοισι ποδῶν] τοῖς σφυροῖς, ἢ τοῖς ἀστραγάλοις. Ἐρεμνὰς δὲ, ἤτοι κατὰ συγκοπὴν ἐρεβεννὰς, τοῦτ' ἔστι καταπληκτικάς· σκοτεινὰς κυρίως, ἐξ οὗ μελαίνας. Schol.

221. Φολίδεσσι] ταῖς στίξεσι, τοῖς ποικίλμασι τῶν πτερῶν. Schol.

222. Κράατος ἐξ ὑπάτοιο] ἄκρας κεφαλῆς. ὁ δὲ λόγος. ἔσειον ἐρεμνὰς πτέρυγας κινούμενοι, καταπληκτικὰς τοῦ ἰδέσθαι. Schol.

224. Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάϊς] Ἀκα-

Ἰφθίμου

Ἴφθιμος Πελίαο δόμοις ἔνι πατρὸς ἕηος
Μιμνάζειν, Ἄργος τε θεᾶς ὑποεργὸς Ἀθήνης·
Ἀλλ᾽ ἄρα καὶ τὼ μέλλον ἐνικρινθῆναι ὁμίλῳ.
Τόσσοι ἄρ᾽ Αἰσονίδῃ συμμήστορες ἠγερέθοντο.
Τοὺς μὲν ἀριστῆας Μινύας περιναιετάοντες
Κίκλησκον μάλα πάντας, ἐπεὶ Μινύαο θυγατρῶν
Οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ᾽ αἵματος εὐχετόωντο
Ἔμμεναι· ὡς δὲ καὶ αὐτὸν Ἰήσονα γείνατο μήτηρ
Ἀλκιμέδη, Κλυμένης Μινυηΐδος ἐκγεγαυῖα.

In ædibus fortis Peliæ patris sui
Desidere; nec Argus Deæ subminister Minervæ;
Sed ipsi quoque ibant ut adnumerarentur catervis.
Tot sane Jasoni curarum socii congregabantur;
Quos omnes principes Minyas accolæ
Vocabant, quia de Minyæ natarum
Sanguine plurimi iique præstantissimi se gloriabantur
Ortos: quandoquidem ipsum Jasonem procreavit mater
Alcimede, quam peperit Clymene, Minyæ filia.

στος Πηλέως υἱὸς ἔγημεν Κρηθηΐδα, ἢ, ὥς τινες, Ἱππολύτην. ἡ δὲ, Πηλέως ἐρασθεῖσα, αὐτῷ, ὡς ἀπετύγχανε δεομένη, προσλαλοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὡς πειρασθέντα αὐτῆς. ὁ δὲ, ἐξαγαγὼν τὸν Πηλέα, ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον, κατέλιπεν αὐτὸν ἄοπλον ἐν τῷ Πηλίῳ, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ ὁ Ἑρμῆς, ἢ ὥς τινες, Χείρων, ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μάχαιραν. ἣ τά τε ἐπιόντα τυγχάνων τῶν θηρίων ἀνήρει, καὶ εἰς τὴν πόλιν ἐπανελθὼν, τήν τε Ἀκάστου γυναῖκα, καὶ αὐτὸν, ὥς φασί τινες, ἀνεῖλε τὸν Ἄκαστον. εἰ δὲ ἐπὶ κίνδυνον αὐτοὺς ἔπεμπεν ὁ Πελίας, διὰ τί ὁ υἱὸς αὐτοῦ ἐξήρχετο; καὶ οὗτος μὲν φησιν, ἄκοντος τοῦ πατρός· Δημάρατος δὲ, ὅτι ἐκέλευσεν ὁ Πελίας τὴν Ἀργὼ ἀραιοῖς γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ αὐτούς. ὁ δὲ Ἄργος τοὐναντίον πεποίηκεν. τὸ δὴ πιστὸν ἔχων παρὰ τοῦ τέκτονος ὁ Ἄκαστος ἐπέβη. διὰ τοῦτο ὁ ποιητὴς φησὶν Ἀθηνᾶς ὑποθημοσύνῃσι ζεῦξαι αὐτήν.

226. Ἄργος τε θεᾶς] διὰ τὸ τὴν Ἀργὼ κατασκευάσαι Ἀθηνᾶς προνοίᾳ. Schol.

229. Ed. Steph. et Flor. περιναιεπέοντας. malè.

230. Ἐπεὶ Μινύαο θυγατρῶν] ὁ γὰρ Μινύας πολλὰς ἔσχεν θυγατέρας. καὶ γὰρ ὁ Ἰάσων Ἀλκιμέδης ἐστὶ τῆς Κλυμένης τῆς Μινύου θυγατρός· Στησίχορος Ἐτεοκλυμένης φησίν· Φερεκύδης δὲ Ἀλκιμέδης τῆς Φυλάκου. Ἑσιόνης δὲ τῆς Δαναοῦ καὶ Διὸς γίνεται Ὀρχομενός· ἀφ᾽ οὗ καὶ ἡ πόλις Ὀρχομενὸς καλεῖται. Ὀρχομενοῦ δὲ καὶ Ἑρμίππης τῆς Βοιωτοῦ γίνεται Μινύας ἐπικλήσει, φύσει δὲ Ποσειδῶνος, ὃς οἰκεῖ ἐν Ὀρχομενῷ· ἀφ᾽ οὗ ὁ λαὸς Μινύαι ἐκλήθησαν. ἐκ δὲ Μινύου καὶ Κλυτοδώρας γίνεται Πρέσβων καὶ Περικλυμένη καὶ Ἐτεοκλυμένη· ἐκ δὲ Φανοσύρας τῆς Παίονος καὶ Μινύου πάλιν Ὀρχομενὸς καὶ Διοχθώνδης καὶ Ἀθάμας. ὁ δὴ Σκήψιος Δημήτριος φησὶ τοὺς περὶ τὴν Ἰωλκὸν οἰκοῦντας Μινύας προσαγορευθῆναι. Schol.

233. Ed. Flor. Μινυΐδος.

Αὐτὰρ

Αὐτὰρ ἐπεὶ δμώεσσιν ἐπαρτέα πάντ' ἐτέτυκτο,
Ὅσσα περ ἐντύνονται ἐπαρτέες ἔνδοθι νῆες,
Εὖτ' ἂν ἄγῃ χρέος ἄνδρας ὑπεὶρ ἅλα ναυτίλλεσθαι·
Δὴ τότ' ἴσαν μετὰ νῆα δι' ἄστεος, ἔνθα περ ἀκταὶ
Κλείονται Παγασαὶ Μαγνήτιδες· ἀμφὶ δὲ λαῶν
Πληθὺς ἐπερχομένων ἄμυδις θέεν· οἱ δὲ, φαεινοὶ
Ἀστέρες ὡς νεφέεσσι, μετέπρεπον· ὧδε δ' ἕκαστος
Ἔννεπεν εἰσορόων σὺν τεύχεσιν ἀΐσσοντας.
Ζεῦ ἄνα, τίς Πελίαο νόος; πόθι τόσσον ὅμιλον
Ἡρώων γαίης παναχαιΐδος ἔκτοθι βάλλει;
Αὐτῆμάρ κε δόμους ὀλοῷ πυρὶ δῃώσειαν
Αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρας ἐγγυαλίξῃ.
Ἀλλ' οὐ φυκτὰ κέλευθα, πόνος δ' ἄπρηκτος ἰοῦσιν.

Postquam verò servis omnia parata erant,
Quibus naves procinctæ perarmari intus solent,
Quandocunque impulerit viros necessitas ut super mare navigent,
Tunc sane iverunt ad navem per urbem; ubi litora
Celebrantur Pagasæa Magnesiaca: undiquaque verò civium
Turba supervenientium simul cucurrit: illi tamen, ad instar splendentium
Inter nubes stellarum, præfulgebant: et in hunc modum singulus
Dixit, aspiciens cum armis irruentes.
Jupiter domine, quænam Peliæ mens est? quò tantam catervam
Heroum universâ terrâ Græciâ emittit?
Eodem die infensis concrement flammis ædes
Æetæ, quo pellem ipsis ultro dare recusaverit.
Sed inevitabile est iter, laborque inefficax euntibus.

238. Παγασαί] Ἀκρωτήριον Μαγνησίας. ὠνομάσθη δὲ ἀπὸ τοῦ ἐκεῖ πεπῆχθαι τὴν Ἀργώ. ὁ δὲ Σκήψιος, ἀπὸ τοῦ πηγαῖς περιῤῥεῖσθαι τοὺς τόπους. ἔστι δὲ καὶ Παγασαίου Ἀπόλλωνος ἱερόν. Schol.

240. Ἀστέρες ὡς νεφέεσσι] πρὸς τὸ λαμπρὸν καὶ τὴν τύχην καὶ τὴν ἀνδρίαν ἀπιδὼν, ἀστέρας μὲν τοὺς ἥρωας φησὶ, νεφέλας δὲ τὸν δημοτικὸν ὄχλον. Schol.

242. Πόθι τόσσον ὅμιλον] οὐχ ὑγιῶς τὸ πόθι. ἔστι γὰρ τὸ ἐν τόπῳ χείρους δηλωτικόν. Schol.

243. Παναχαιΐδος] Παναχαιΐδα δὲ τὴν Θεσσαλίαν φησὶν, ὅτι αὕτη πρώτη ἐκλήθη Ἀχαΐα, ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου. τὸ δὲ, ἔκτοθι βάλλει, ἀντὶ τοῦ ἀποστέλλει. Schol.

244. Δόμους] τὴν χώραν, τὴν γῆν συνεκδοχικῶς. Πυρὶ δῃώσειαν. συμφλέξειαν, ἢ πολεμήσειαν, καταστρέψειαν. Schol.

246. Ἀλλ' οὐ φυκτὰ κέλευθα] ἀλλ' οὐκ ἐκφεύξιμος αὐτοῖς ἡ ὁδός· κατ' ἀνάγκην γάρ ἐστιν. οὐδὲ ἄπρακτος ὁ ἆθλος. ἀνύσουσι

Ὣς φάσαν ἔνθα καὶ ἔνθα κατὰ πτόλιν· αἱ δὲ γυναῖκες
Πολλὰ μάλ' Ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον,
Εὐχόμεναι νόστοιο τέλος θυμηδὲς ὀπάσσαι.
Ἄλλη δ' εἰς ἑτέραν ὀλοφύρετο δακρυχέουσα.
Δειλὴ Ἀλκιμέδη, καὶ σοὶ κακὸν ὀψέ περ, ἔμπης
Ἤλυθεν, οὐδ' ἐτέλεσσας ἐπ' ἀγλαΐῃ βιότοιο.
Αἴσων αὖ μέγα δή τι δυσάμμορος· ἦ τέ οἱ ἦεν
Βέλτερον, εἰ τοπάροιθεν ἐνὶ κτερέεσσιν ἐλυσθεὶς
Νειόθι γαίης κεῖτο κακῶν ἔτι νῆις ἀέθλων.
Ὡς ὄφελεν καὶ Φρίξον, ὅτ' ὤλετο παρθένος Ἕλλη,

Hunc ad modum loquebantur huc, illuc, per urbem: at mulieres
Frequentissimè Dîs in cœlum sublatis manibus,
Orabant, reditûs gratum impertirent exitum.
Alia verò cum aliâ ejulabat, lachrymis effusis.
Et o infelix Alcimede, te etiam malum, quamvis serò, tamen
Affecutum est; nec ad finem perduxisti ætatem, rerum secundarum splendore arridentem.
Æson autem insignitè miser est: ei certè fuisset
Melius, si antea linteo ferali involutus,
Sub terrâ fuisset depositus, malorum adhuc inscius certaminum.
Vellem quoque ut et Phrixum, pessum eunte Helle virgine,

γὰρ ῥᾳδίως, οἷον εὐκατορθώτως. ἢ οὐ φυκτὰ καὶ οὐκ εὔπλοα, διὰ τοὺς ἐν μέσῳ κινδύνους. Πόνος δ' ἄπρηκτος ἰοῦσιν. ἤγουν ἐν τῷ πλῷ ὁ κίνδυνος. ἢ κατὰ κοινοῦ τὸ οὐ, ἵν' ᾖ, ἀλλ' οὐ φυκτὰ κέλευθα, οὐδὲ ὁ πόνος ἄπρακτος. πρὸς τὸ, αὐτῆμαρ δὲ δόμους ὀλοῷ πυρὶ δηώσειαν Αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρος ἐγγυαλίξῃ, οἱ δὲ οὕτως, ἄπρηκτος, δύσπρακτος, δυσεργὴς, δυσκατόρθωτος. Schol.

249. Νόστοιο τέλος θυμηδὲς] θυμήρες. καὶ τοῦτο ὡς πρὸς γυναικείαν φύσιν. ἄγαν θαυμαστῶς πρὸς τὰς φύσεις καὶ τοὺς λόγους ἀμφοτέρων ἀνέπλασεν. τοῖς μὲν γὰρ ἀνδράσιν, ἐπεὶ θρασυτέρα ἡ φύσις, ἄνυσιν καὶ τέλος τῶν μελλόντων εἰσάγει· ταῖς δὲ γυναιξὶν, ἐπεὶ ἀσθενέστεραι, εὐχὰς καὶ ἱκεσίας ποιεῖ. τοιαῦται γὰρ ἐπὶ τῶν μεγάλων καὶ φοβερῶν πραγμάτων αἱ γυναῖκες. Schol.

251. Δειλὴ Ἀλκιμέδη] ἐπίπονε. ὁ δὲ νοῦς, εἰ καὶ ὀψὲ, ὅμως δ' οὖν ἦλθε καὶ σοὶ κακὸν, Ἀλκιμέδη. λείπει δὲ ἡ διὰ πρόθεσις. καὶ οὐ διετέλεσας λαμπρῶς τὸν βίον αὐχοῦσα ἐπὶ τοιούτῳ υἱῷ. Schol.

252. Βιότοιο] Forsan βιότοιον, nî subaudiatur πέρας aut tale aliquid. Upt.

253. Ἦ τέ οἱ ἦεν] πρὸ τοῦ τὸν ἄθλον ἐπιστῆναι. Schol.

255. Κακῶν] ἤτοι τῶν ἰδίων, ἢ τῶν μελλόντων ἐπιτελεῖσθαι τοῖς Ἀργοναύταις.

256. Ὡς ὄφελεν καὶ Φρίξον] λέγεται γὰρ, ὅτι τῆς Ἕλλης καταπεσούσης, ἀγωνιῶντι τῷ Φρίξῳ κατὰ Διὸς βούλησιν ἐφθέγξατο θαρσεῖν αὐτῷ ὁ κριὸς, διασώσειν

Κῦμα

Κῦμα μέλαν κριῷ ἅμ' ἐπικλύσαι. Ἀλλὰ καὶ αὐδὴν
Ἀνδρομέην προέηκε κακὸν τέρας, ὥς κεν ἀνίας
Ἀλκιμέδῃ μετόπισθε καὶ ἄλγεα μυρία θείη.
Αἱ μὲν ἄρ' ὡς ἀγόρευον ἐπὶ προμολῇσι κιόντων.
Ἤδη δὲ δμῶές τε πολεῖς δμωαί τ' ἀγέροντο·
Μήτηρ δ' ἀμφ' αὐτὸν βεβολημένη· ὀξὺ δ' ἑκάστην
Δῦνεν ἄχος· σὺν δέ σφι πατὴρ ὀλοῷ ὑπὸ γήραϊ
Ἐντυπὰς ἐν λεχέεσσι καλυψάμενος γοάασκεν.
Αὐτὰρ ὁ τῶν μὲν ἔπειτα κατεπρήϋνεν ἀνίας

Ater fluctus unà cum ariete obruisset: sed vocem etiam
Humanam emisit inauspicatum prodigium, ut ærumnas
Alcimedæ in posterum et infinitos dolores imponeret.
Talibus istæ in primo egressu prosequebantur discedentes.
Jamque servi multi et ancillæ conveniebant,
Mater verò ipsum, dolore animum transfixa, complectebatur; nec erat aliqua quam vehemens
Non subiit tristitia: quibus pater exitiali sub senectute
Obvolutim in lecto coopertus, aggemebat.
Jason verò, postquam eorum lenierat tristitiam,

αὐτὸν εἰς τὴν Σκυθίαν. τοῦτο δὲ αὐτῇ τῇ Ἀλκιμέδῃ ἔμελλε κακὸν γενέσθαι, τοῦ υἱοῦ ἐκεῖσε σταλομένου. ὅτι δὲ ἐλάλησεν ὁ κριὸς καὶ Ἑκαταῖος φησίν. ἔνιοι δέ φασιν αὐτὸν ἐπὶ χρυσοπρύμνου σκάφους πλεῦσαι. Διονύσιος δὲ ἐν β, κριόν φησι Φρίξου τροφέα γενέσθαι, καὶ συμπεπλευκέναι αὐτῷ εἰς Κολχούς, διὸ καὶ μεμυθεῦσθαι τὰ περὶ τῆς τοῦ κριοῦ θυσίας αὐτόθι. Schol.

257. ——Ἀλλὰ καὶ αὐδὴν Ἀνδρομέην &c.

Vide lib. 2. v. 1150. et Schol. ibidem.

260. Ἐπὶ προμολῇσι] τῇ ἐξόδῳ τῶν ἀρεσίων. ἀπὸ τοῦ εἰς τοὔμπροσθεν μολεῖν. ἐντεῦθεν καὶ τὰς προεχούσας προβάσεις τῶν ὀρῶν προμολὰς λέγουσιν. Schol.

262. Βεβολημένη] λύπῃ βλαφθεῖσα, ἢ ἀποθυμοῦσα. Ὀξὺ δ' ἑκάστην. μετενήνεκται ἀπὸ τοῦ κατὰ τὴν ἀφήν· ὡς παρ' Ὁμήρῳ, "ὡς δ' ὅταν ὠδίνουσαν ἔχει βέλος ὀξύ." Ἄχος δέ ἐστι σύγχυσις ψυχῆς, λύπη ἐπιτεταμένη. σαφὲς δὲ ἐκ τοῦ λέγειν τὸν ποιητὴν, "ἡ δ' ἄχεϊ οὗ παιδὸς ἀπέφθιτο." Schol.

264. Ἐντυπὰς ἐν λεχέεσσι] ἄγαν περιεσφιγμένος, ὡς πάντα τὰ μέλη ἐκτυπῶσαι ἐκ τῆς σφίγξεως. Ὅμηρος, "ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος." ἐντυπὰς δὲ λέγεται καὶ ὁ περιβεβλημένος κατὰ τῆς ὄψεως οὕτως, ὡς καὶ τὸν τύπον διὰ τοῦ ἱματίου θεωρεῖσθαι. Schol.

Ibid. Ἐντυπὰς ἐν λεχέεσσι] Perperam hæc de veste Magnesiâ cujus meminit Pindarus Pythion. 4. interpretatur Hœlzlinus. Describit enim senem lecto incumbentem et stragulis opertum poeta: ac pulchrè ἦθος expressit; nam irâ aut dolore perciti, dum in lecto sunt, stringunt plerumque circa se stragula, atque ἐντυπὰς καλύπτονται. Sanct.

 Θαρσύνων,

Θαρσύνων, δμώεσσι δ' ἀρήϊα τεύχε' ἀείρειν
Πέφραδεν· οἱ δαὶ σῖγα κατηφέες ἠείροντο.
Μήτηρ δ' ὡς τὰ πρῶτ' ἐπεχεύατο πήχεε παιδὶ,
Ὣς ἔχετο κλαίουσ' ἀδινώτερον, ἠΰτε κούρη
Οἰόθεν ἀσπασίως πολιὴν τροφὸν ἀμφιπεσοῦσα
Μύρεται· ᾗ οὐκ εἰσὶν ἔτ' ἄλλοι κηδεμονῆες,
Ἀλλ' ὑπὸ μητρυιῇ βίοτον βαρὺν ἡγηλάζει·

Animoſque addiderat, ſervis arma bellica afferre
Juſſit; qui ſilentio ea et vultu demiſſo attulerunt.
Mater verò, ut initio circumjecerat brachiis filium,
Sic retinebat effundens confertim venientes lachrymas, puellæ inſtar,
Quæ ſecretò amanterque canam nutricem complexa
Lamentatur; cui nulli jam alii ſuppetunt curatores;
Sed ſub novercâ vitam odioſam trahit,

Pulcherrima hæc ſenectutis virium inopis imago. Similiter ferè Homerus Il. ω'. 161.

Παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς
Δάκρυσιν εἵματ' ἔφυρον· ὁ δ' ἐν μέσσοισι γεραιὸς
Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος
&c.

167. δαὶ in Flor. δὲ.

Ibid. Κατηφέες] κατώρυγοι διὰ τὴν λύπην. ἠείροντο. παθητικὸν ἀντὶ ἐνεργητικοῦ κεῖται τοῦ ἤειρον. Schol.

268. Ἐπεχεύατο] ἀντὶ τοῦ ἐπέθηκεν, ἐπέβαλεν. Schol.

269. Ἀδινώτερον] ὅμοιον τὸ σχῆμα τῷ, "μελάντερον ἠΰτε πίσσα." τὸ γὰρ συγκριτικὸν ἔλαβεν ἀντὶ τοῦ ἀπολελυμένου. Ἠΰτε κούρη. ἐνηλλαγμένως τὴν παραβολὴν τέθεικεν. ὑπέθετο γὰρ γραῦν μὲν τὸν Ἰάσονα, κόρην δὲ τὴν μητέρα. ἔδει δὲ, φησὶ, κατὰ τὸ ἐναντίον ταῦτα τάξαι. ἀλλ' ἐροῦμεν ὅτι προσφόρως ὑπέθετο ὁ Ἰάσων, οὐ κατὰ τὴν ἡλικίαν, ἀλλὰ κατὰ τὴν γηροκομίαν τῇ μητρί. καὶ γὰρ ἡ γραῦς τὴν κόρην ἀνατρέφει, ὡς ἡ μήτηρ, πρός τε τὸ ἀφερέπονον, διὰ τὴν ἡλικίαν (καὶ γὰρ τὸ γῆρας καὶ ἡ βραχεῖα ἡλικία παροίκησι) καὶ πρὸς τὸ χρῄζειν τοῦ τρεφούσης. μητρυιὰ δὲ ὥσπερ ἀπηνὴς ἐπικειμένη ἐστὶν ὁ Πελίας. Schol.

Ibid. Ὣς ἔχετο κλαίουσ' ἀδινώτερον —
Hæret inexpletum lachrymans.
Æn. 8. 559.

271. Ἡ οὐκ εἰσὶν] Τοῦτο καὶ πρὸς τὴν Ἀλκιμέδην, ᾗ οὐκ εἰσὶν ἄλλοι παῖδες. τὸ δὲ κηδεμονῆες κατὰ πλεονασμὸν, ἀπὸ τοῦ κηδεμόνες. οὕτω δὲ λέγονται οἱ κατὰ γάμον οἰκεῖοι κηδεσταὶ καὶ κηδεμόνες. Schol.

272. Βίοτον βαρὺν] λείπει τὸ οὖσα, ὑπὸ μητρυιὰν οὖσα, κακὴν ζωὴν διάγει. τίθεται γὰρ τὸ βίοτος καὶ ἐπὶ τῆς ζωῆς, ὡς νῦν· καὶ ἐπὶ τοῦ πλούτου. τὸ δὲ ἡγηλάζει, καὶ ἡγηλάσκει κατὰ τοῦ αὐτοῦ πράγματος κεῖται. δηλοῖ δὲ τὸ ἐπὶ τῷ αὐτῷ τόπῳ διατρίβειν καὶ ἐνέχεσθαι, καὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι. ἐπὶ γὰρ τῶν μυιῶν φησιν Ὅμηρος, "αἵ τε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσι." καὶ, "ὅπῃ κεῖνος ὁμὸν μένος ἠλασκάζει." Schol.

Ibid. Ex Etymologiâ ſatis conſtat vocem ἡγηλάζειν primâ notione ſignificare *ducere*; nam et ἄγειν βίον dicunt Græci, et eos imitati Latini, *vitam ducere*. Volunt tamen Etymologi compoſitam vocem eſſe ex ἄγειν

Καί ε

Καί ἑ νέον πολέεσσιν ὀνείδεσιν ἐστυφέλιξεν·
Τῇ δέ τ' ὀδυρομένῃ δέδεται κέαρ ἔνδοθεν ἄτῃ,
Οὐδ' ἔχει ἐκφλύξαι τόσσον γόον ὅσσον ὀρεχθεῖ·
Ὣς ἀδινὸν κλαίεσκεν ἑὸν παῖδ' ἀγκὰς ἔχουσα
Ἀλκιμέδη, καὶ τοῖον ἔπος φάτο κηδοσύνῃσιν.
Αἴτ' ὄφελον κεῖν' ἦμαρ, ὅτ' ἐξειπόντος ἄκουσα
Δειλὴ ἐγὼ Πελίαο κακὴν βασιλῆος ἐφετμὴν,
Αὐτίκ' ἀπὸ ψυχὴν μεθέμεν, κηδέων τε λαθέσθαι,
Ὄφρ' αὐτός με τεῇσι φίλαις ταρχύσαο χερσὶν,
Τέκνον ἐμόν· τὸ γὰρ οἶον ἔην ἔτι λοιπὸν ἐέλδωρ
Ἐκ σέθεν· ἄλλα δὲ πάντα πάλαι θρεπτήρια πέσσω.

Quamque nuper crebris convitiis insectata est:
Illi verò lamentanti cor intus distringitur ærumnâ,
Neque potest ebullire tantum doloris quantum nititur;
Ita assiduè flebat filium suum ulnis amplexa
Alcimede, et in hunc modum effata est, præ mœstitiâ.
Vellem illo die, quo enunciantem audivi
Misera ego Peliam regem vitiosum mandatum,
Statim animam efflâssem, curarumque fuissem oblita,
Ut ipse me charis tuis sepeliisses manibus
O nate mi. Hoc enim solum adhuc restabat quod optarem
A Te. de aliis enim omnibus nutritionis præmiis nihil conqueror.

et ἑλκεῖν: ita significaret, *ducere cum vi quadam:* et sic propiùs accedatur ad vim vocis vertendo, *trahit*, nam et *trahere vitam* dicunt Latini. Sanct.

Nota verò hic spondæum in quinto pede, quo non dubito quin in animo habuit poeta vitæ talis ærumnam, lento semper et odioso gressu procedentis, artificiosè describere.

275. Ἐκφλύξαι] Ἀντὶ τοῦ εἰπεῖν. φλύζειν δὲ κυρίως τοὺς λέοντας φασιν καπορθέρους, ἀναβάλλειν τῇ θερμότητι τὸ ὕδωρ. ἐκλαμβάνεται δὲ τὸ ὀρεχθεῖν, ὡς ποθεῖν· ἔστι δὲ μύκημα φωνῆς ἀνάρθρου. Ὅμηρος, "πολλοὶ μὲν βόες ὀρέχθεον." δεῖ δὲ μᾶλλον ἀκοῦσαι ἐπὶ τοῦ στένειν, ἀλλὰ καὶ ἐπὶ τοῦ τραχύνεσθαι. Ὅμηρος, "ἐν ἄλγεσι θυμὸν ὀρέχθειν." ἔοικε δὲ τὸ μὲν ἀσ-παίρειν εἶναι διὰ τοῦ ο, τὸ δὲ βαρύτονον διὰ τοῦ ε, ἐρέχθω. Schol.

Ibid. Ἐκφλύξαι] Continetur hâc voce et plenitudo et erumpendi conatus. Ut enim angusti vasa orificii plena humore vix guttatim effluunt, sic gravis mœrore animus ægrè exoneratur. Sophocles in Electra, οὐδὲ γὰρ κλαῦσαι πάρα τοσόνδ' ὅσον μοι θυμὸς ἡδονὴν φέρει. Quædam enim mala sunt μέζω ἢ ὥστε ἀνακλαίειν. Herodotus lib. 3. τὸ γὰρ δεινὸν ἐκκρουστικὸν τοῦ ἐλέου, ait Aristoteles ῥητορικῶν 2. 8. Hœlzlinus.

283. — ἄλλα δὲ πάντα πάλαι θρεπτήρια πέσσω.

Νῦν

Νῦν γε μὲν ἡ τοπάροιθεν Ἀχαιιάδεσσιν ἀγητὴ,
Δμωὶς ὅπως κεν ἐοῖσι λελείψομαι ἐν μεγάροισι
Σεῖο πόθῳ μινύθουσα δυσάμμορος, ᾧ ἔπι πολλὴν
Ἀγλαΐην καὶ κῦδος ἔχον πάρος, ᾧ ἔπι μούνῳ
Μίτρην πρῶτον ἔλυσα καὶ ὕστατον· ἔξοχα γάρ μοι
Εἰλείθυια θεὰ πολέος ἐμέγηρε τόκοιο.
Ὤμοι ἐμῆς ἄτης, τὸ μὲν οὐδ' ὅσσον οὐδ' ἐν ὀνείρῳ
Ὠισάμην, εἰ Φρίξος ἐμοὶ κακὸν ἔσσετ' ἀλύξας.

Nunc verò ego, antehac Achivis mulieribus veneranda,
Servæ inſtar, meis relinquar in ædibus,
Tui deſiderio tabeſcens infelix; a quo multum
Lætitiæ gloriæque antea accepi, cujus unius cauſâ
Zonam primò ultimoque ſolvi; eximiè enim mihi
Lucina dea plura invidit puerperia.
Eheu ærumnas meas! hoc quidem ne vel in ſomnio
Suſpicata ſum, mihi fore damno ut Phrixus effugeret.

Verte, *alia enim omnia nutritia jamdiu ſum adepta.* nam πέσσω ſignificat hìc ſimpliciter *habeo.* Il. β'. v. 237. πεσσέμεν *acquirere* ſignificat: *habemus* autem quæ *acquirimus.* Homeri præterea Schol. docet metaphoram ſumptam à ventre: πέσσειν enim eſt propriè *concoquere cibum.* Ut autem venter *concoquat,* neceſſe eſt *acquirat et habeat cibum;* quare hâc etiam ratione πέσσω, *concoquo, acquiro,* et *habeo* ſignificat. Priores interpretes non modò genuina verborum hujus loci ſignificatio arguit, ſed & verſus antecedens, præcipuè verò ἔτι *adhuc,* quod indicat eò uſque votis non fuiſſe fruſtratam Alcimeden, quod ipſum etiam indicat poeta verſ. 284 et 286. et ſequentibus. Sanct.

284. Ἀχαιιάδεσσιν] ταῖς Θεσσαλαῖς, ἀπὸ Ἀχαιοῦ τοῦ Φθίου. Ὅμηρος, "Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί." Schol.

285. Δμωὶς ὅπως] ἐν τῇ ἀρχαιοτέρᾳ οὕτως ἔχει, δμωὶς ὅπως κεν ἐοῖσι βιώσομαι ἐν μεγάροισιν. καὶ τὸ ἑξῆς οὕτως, ὀϊζυρὴ ἀχέουσα δυσάμμορος. εὕρηται δὲ καὶ οὕτως. σεῖο πόθῳ, φίλε κοῦρε, δυσάμμορος. Schol.

Ibid. Ἑοῖς] ἑὸς hìc eſt *meus* ut Il. ι. γούνασιν οἷσι, *meis genubus.* Similiter libro quarto 1015, ᾧ πατρὶ, *ad meum genitorem.* Non vero alienum eſſet, ſecundùm Hœlzlini ſententiam, legere κενεοῖσι. Dido, diſcedente Æneâ, ſola domo mœret *vacuâ.*

287. Ὧ ἔπι μούνῳ] ἐπὶ ἄῤῥενος δηλονότι. εἶχε γὰρ καὶ ἀδελφὴν Ἰάσων Ἱππολύτην, ὥς φησιν Ἴστρος. Schol.

288. Μίτρην πρῶτον ἔλυσα] λύουσι γὰρ τὰς ζώνας αἱ πρῶτον τίκτουσαι, καὶ ἀνατιθέασιν Ἀρτέμιδι. ὅθεν καὶ Λυσιζώνης Ἀρτέμιδος ἱερὸν ἐν Ἀθήναις. Schol.

Ibid. De more zonam ſolvendi tam in primo partu, quàm in virginitatis ereptione, conſulendus eſt Spanhemius in Callimachum, Del. 209, qui hunc ritum fuſiſſimè explicat.

Ὣς ἥγε στενάχουσα κινύρετο· ταὶ δὲ γυναῖκες
Ἀμφίπολοι γοάασκον ἐπισταδόν. Αὐτὰρ ὁ τήνγε
Μειλιχίοις ἐπέεσσι παρηγορέων προσέειπεν.
Μή μοι λευγαλέας ἐνιβάλλεο, μῆτερ, ἀνίας
Ὧδε λίην· ἐπεὶ οὐ μὲν ἐρητύσεις κακότητος
Δάκρυσιν, ἀλλ' ἔτι κεν καὶ ἐπ' ἄλγεσιν ἄλγος ἄροιο.
Πήματα γάρ τ' ἀίδηλα Θεοὶ θνητοῖσι νέμουσιν·

Sic illa ingemiſcens querebatur; at mulieres
Ancillæ adflebant ſine intermiſſu. Hic contra illam
Lenientibus verbis, conſolans, allocutus eſt.
Noli, mater, mihi perniciosam injicere triſtitiam
Adeo vehementer: quoniam non defendes a me calamitatem
Lachrymis, ſed adhuc etiam doloribus addas dolorem.
Damna enim incerta Dii diſpertiunt hominibus;

292. Κινύρετο] ἐθρήνει. κυρίως δὲ κινύρεσθαι ἐστὶν ἐπὶ βοὸς, καὶ εἴρηται παρὰ τὸ κινεῖν τὴν οὐρὰν ἐν τῷ μυκᾶσθαι. καὶ Ἀπίων δὲ εὑρὼν τὴν ἐτυμολογίαν παρὰ Ἀπολλοδώρῳ ταύτην, ὅτι ταῦρος λέγεται παρὰ τὸ τείνειν τὴν οὐρὰν, μετέθηκε τὴν εὕρεσιν τῆς ἐτυμολογίας. Schol.

Ibid. Ut hìc Jaſonis, ſic Achillis mater apud Callimachum στενάχουσα κινύρετο: de qua voce cùm permulta fuerit apud doctos lis, integram Spanhemii notam non pudet hìc proferre.

Eruditi alioquin Critici notant κινύρεσθαι dici propriè de *boum ejulatu*: idque ἀπὸ κινεῖν τὴν οὐρὰν. Sed imperitè, ut fieri à Græculis ſolet in vocibus peregrinæ originis: fit enim a κινύρᾳ, dicta a Senioribus pro Hebræorum כנור inſtrumento muſico, quod ab iiſdem ſenioribus modo κιθάρα, modo ψαλτήριον, modo κινύρα redditur, et de Joſeph. Origin. l. 6. p. 187. ψάλλειν ἐπὶ κινύρᾳ. Unde erudita, ut ſolet, Heſychii gloſſa, κινύρα, ὄργανον μουσικὸν, κιθάρα οἰκτρά, ut legi eadem citra diſtinctionem in poſtremis vocibus debet. Inde etiam petenda eſt origo eorum Veneris ſacrorum in Cypro, quorum auctor, Κινύρας, ac ab eo dicti Veneris ſacerdotes Κινυράδαι a Græcis olim, ac inde à Clemente in Protrept: ac Arnob. lib. 5. traduntur. Noti quippe aliunde Veneris ob occiſum Adonim dictum Κινύρας filium, θρῆνοι, et ſacra inde cum ſolenni leſſu celebrari apud eoſdem Græcos ſolita, de quibus ipſa Cyprum petens, apud Ovidium, Met. 10. v. 725.

—luctus monumenta manebunt
Semper, Adoni, mei.

293. Ἐπισταδὸν] ἐφεστηκυῖαι.

296. Ὧδε λίην] πάνυ τεταραγμένως. ἀδύνατον γὰρ μητέρα εἰς τοσοῦτον κίνδυνον ἐξιόντος τοῦ παιδὸς, μὴ κλαίειν. Ἐπεὶ οὐ μέν. πρὸς τὸ παρ' Ὁμήρῳ, "οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο." Schol.

297. Ἀλλ' ἔτι κεν] πρὸς τὸ Ὁμηρικὸν καὶ τοῦτο, "πρὶν καὶ κακὸν ἄλλο πάθησθα." Ἄροιο, λάβοις· ὅθεν καὶ τὸν Ἄρη τινὲς ἐτυμολογοῦσιν ἀπὸ τοῦ λαμβάνειν καὶ ὠφελεῖσθαι ἐν πολέμῳ. ὁ δὲ λόγος, ἐπὶ κακῷ κακὸν λήψῃ. Schol.

Τῶν μοῖραν κατὰ θυμὸν ἀνιάζουσά περ, ἔμπης
Τλῆθι φέρειν, θάρσει δὲ συνημοσύνῃσιν Ἀθήνης,
Ἠδὲ θεοπροπίῃσιν (ἐπεὶ μάλα δεξιὰ Φοῖβος
Ἔχρη) ἀτὰρ μετέπειτά γ' ἀριστήων ἐπαρωγῇ.
Ἀλλὰ σὺ μὲν νῦν αὖθι μετ' ἀμφιπόλοισιν ἕκηλος
Μίμνε δόμοις, μηδ' ὄρνις ἀεικελίη πέλε νηΐ.
Κεῖσε δ' ὁμαρτήσουσιν ἔται δμῶές τε κιόντι.
Ἦ, καὶ ὁ μὲν προτέρωσε δόμων ἐξώρτο νέεσθαι.
Οἷος δ' ἐκ νηοῖο θυώδεος εἶσιν Ἀπόλλων

Quorum ſortem, utcunque animum mœſta, tamen
Audeas ſuſtinere; fiduciam verò colloces in conſpiratione Minervæ
Et vaticiniis (valdè enim fauſta cecinit
Phœbus;) deinde verò et procerum auxilio.
Tu itaque nunc ibi cum famulis placidè
Te contineas intra ædes, nec obſcæno navem omine proſequaris;
Ibi verò deducent ſodales ancillæque abeuntem.
Dixit: et ulterius ex ædibus erupit, profecturus.
Qualis verò ex ſuaviter olenti æde progreditur Apollo,

299. Ἀνιάζουσά περ] ὁ περ σύνδεσμος τίθεται πολλάκις ἀντὶ τοῦ γε, καὶ δή· "μηδ' οὕτως ἀγαθός περ ἐών." οὕτως Ἀρίσταρχος ἀπέδωκεν. ἐν γὰρ τῷ, ἀγαθός περ ἐὼν, τὸν περ μεταλαμβάνει εἰς τὸ δή. καὶ ἐνταῦθα γοῦν τὸν περ μεταλαμβάνει εἰς τὸ δή. ἀγαθὸς δὴ ὤν. καὶ, "φυγόντι περ αἰπὺν ὄλεθρον," φυγόντι δή. ἢ τὸ ἑξῆς οὕτως, τὴν μοῖραν κατὰ θυμὸν ἀνιάζουσα, ὅμως τλῆθι φέρειν. Schol.

302. Ἔχρη] ἀντὶ τοῦ ἐχρησμῴδησε περὶ τῆς ναυτιλίας. Ἀτὰρ μετέπειτά γε. ἐπὶ δὲ τοῖς προειρημένοις τῇ τε Ἀθηνᾷ καὶ ταῖς θεοπροπίαις ἔτι θάρσει, καὶ ἐπὶ τῇ τῶν ἀριστέων ἀρωγῇ, τοῦτ' ἔστι βοηθείᾳ. Schol.

303. Ἀλλὰ σὺ μὲν] παρὰ τὸ Ὁμηρικὸν, "Ἀλλ' εἰς οἶκον ἰοῦσα." Schol.

304. Μίμνε δόμοις, μηδ' ὄρνις, &c.
Ne, quæſo, ne me lacrymis, neve omine tanto
Proſequere in duri diſcrimina Martis euntem
O mater. Æn. 12.

— μηδέ μοι αὐτὴ
Ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ.
Il. ω'.

Ibid. Μηδ' ὄρνις] πάλιν τὸ Ὁμηρικὸν "μηδέ μοι αὐτὴ ὄρνις ἀεικελίη." Schol.

305. Κεῖσε δ' ὁμαρτήσουσιν] τὸ κεῖσε, εἰς τὴν Κολχίδα, ἢ εἰς τὸν λιμένα. τὸ δὲ ὁμαρτεῖν, ἐνταῦθα μὲν τὸ ἀκολουθεῖν, ἀλλαχοῦ δὲ τὸ ὁμοῦ τυχεῖν. ἔται δὲ ἀντὶ τοῦ ἑταῖροι. οὐκ ἔστι δὲ συνώνυμος ἡ λέξις, κατὰ ἀποκοπὴν δὲ ἐξενήνεκται. πρῶτος δὲ Ὅμηρος κέχρηται λέγων, "κασιγνήτοι τε ἔται τε." διὸ καὶ κατὰ τὸ πλεῖστον ἐκ πλήρους ἐκφέρεται. "οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι." Schol.

306. Προτέρωσε] Ἀντὶ τοῦ εἰς τοὔμπροσθεν. Ὅμηρος, "οὐδ' ἄρα μοι προτέρω νῆες κίον." Schol.

307. Οἷος δ' ἐκ νηοῖο] οἰκεία ἡ παραβολή. ὅ, τε γὰρ Ἰάσων νέος, καὶ ὁ Ἀπόλλων νέος. Schol.

Ibid. Οἷος δ' ἐκ, &c.

Δῆλον ἀν' ἠγαθέην, ἠὲ Κλάρον, ἢ ὅγε Πυθώ,
Ἢ Λυκίην εὐρεῖαν ἐπὶ Ξάνθοιο ῥοῇσι,
Τοῖος ἀνὰ πληθὺν δήμου κίεν· ὦρτο δ' ἀϋτὴ
Κεκλομένων ἄμυδις· τῷ δὲ ξύμβλητο γεραιὴ
Ἰφιὰς Ἀρτέμιδος πολιηόχου ἀρήτειρα,
Καί μιν δεξιτερῆς χειρὸς κύσεν· οὐδ' ἔτι φάσθαι

Per Delum divinam, aut Clarum, aut Delphos,
Vel Lyciam ſpatioſam, ad Xanthi fluenta;
Talis ille per turbam populi inceſſit. Excitatus eſt verò clamor
Eorum ſimul adhortantium: illi autem obviam facta eſt vetula,
Iphias, Dianæ ſoſpitatricis urbium ſacerdos,
Manumque ejus dextram oſculata eſt: nec tamen fari quid

Qualis ubi hibernam Lyciam
Xanthique fluenta
Deſerit, ac Delum maternam
inviſit Apollo. Virg.

308. Δῆλον ἀν' ἠγαθέην] Δῆλος μία τῶν Κυκλάδων νήσων ἱερὰ Ἀπόλλωνος, ἣ πρὶν μὲν Δῆλος, ὕστερον δὲ Ἀστερία, διὰ τὸ σχῆμα. πάλιν δὲ Ὀρτυγία, ἀπὸ τῆς ἀδελφῆς τῆς Λητοῦς. Ἠὲ Κλάρον. Κλάρος πόλις πλησίον Κολοφῶνος, ἱερὰ Ἀπόλλωνος, καὶ χρηστήριον τοῦ θεοῦ, ἀπὸ Μαντοῦς τῆς Τειρεσίου θυγατρὸς καθιδρυμένον· ἢ ἀπὸ Κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος. Νέαρχος δέ φησιν ὅτι κατὰ κλῆρον ὁ Ἀπόλλων ἔλαχε τὴν πόλιν· καὶ ἀπὸ τοῦ κλήρου οὕτως αὐτὴν ὀνομάσθαι. οἱ δὲ τὴν Θηβαΐδα γεγραφότες φασὶν ὅτι ὑπὸ τῶν ἐπιγόνων ἀκροθίνιον ἀνετέθη Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα· καὶ κατὰ χρησμὸν Ἀπόλλωνος ἐξερχομένη περιέπεσε Ῥακίῳ τῷ Λέβητος υἱῷ, Μυκηναίῳ τὸ γένος· καὶ γαμηθεῖσα αὐτῷ (τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσειεν) συναπῆλθεν ἐκείνῳ εἰς Κολοφῶνα, κἀκεῖ δυσθυμήσασα, ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν. διόπερ ὠνομάσθη Κλάρος, ἀπὸ τῶν δακρύων. συγχεῖς γὰρ τὸ λ τὸ ρ· ὡς ὑδρηλοὶ ἀντὶ τοῦ ὑδρηροί. λέγεται δὲ καὶ κρήνην ἀναβλύσαι ἀπὸ τῶν δακρύων Μαντοῦς κατὰ Κλάρον, καὶ μαντεῖον ἐκεῖ Ἀπόλλωνος αὐτὴν κατασκευάσαι. οἱ δὲ Κλάρον φασὶ κληθῆναι διὰ τὸ κληρώσασθαι ἐκεῖ Ποσειδῶνα καὶ Ἄρην. ὁ δὲ Ῥάνιος οὕτως ὀνο-

μάζεσθαι διὰ τὴν πενιχρότητα καὶ κακοχρονίαν. Schol.

Ibid. Ἢ ὅγε. Non ſupervacanea eſt vox ὅγε, ſed peculiarem quandam vim et emphaſin habet. ſic apud Heſiodum.

> Ἐζόμενος δ' ὅγε θεῖος ἀνὴρ πεπνυμένα εἰδὼς
> Ἢ ὍΓΕ περὶ τεῖχον πελάσσαι· εὐερκέος αὐλῆς.

Callimachus Hymn. in Bacchum.

> Ἔλπομαι ἢ Αἴγυπτον ἀφίξεται, ἢ ὍΓΕ Κύπρον.

Similiter etiam Latini

> Nec dulces amores
> Sperne, puer, neque *Tu* choreas. Hor.

Hœlzlinus verba poetæ in hunc ordinem adducit, ἔξεισι ναοῦ ἀνὰ Δῆλον εἰς Κλάρον. ſed ineptè: nam ἀνὰ eſt ἀπὸ κοινοῦ, ut et ipſe in intespretatione rectè expreſſit.

309. Ἐπὶ] Hœlzlinus ſubaudiendum putat χειμερίην. rectè.

311. Κεκλομένων] πάντων ὁμοῦ κελευομένων καὶ ἐπευφημούντων. Τῷ δὲ ξύμβλητο. τοῦτο ξύμβολον ἀγαθὸν, ὅτι γεραιὰ καὶ ὅτι ἱέρεια ἡ Ἰφιάς. Schol.

313. Οὐδ' ἔτι φάσθαι] περιληπτέον τὸ καὶ, ὅμως δὲ καὶ λαλῆσαι προθυμουμένη οὐκ ἔφθασε. Schol.

Ibid. Οὐδ' ἔτι] Hœlzlinus mavult



Ἔμπης

Ἔμπης ἱεμένη δύνατο, προθέοντος ὁμίλου·
Ἀλλ' ἡ μὲν λίπετ' αὖθι παρακλιδὸν οἷα γεραιὴ
Ὁπλοτέρων, ὁ δὲ πολλὸν ἀποπλαγχθεὶς ἐλιάσθη.
Αὐτὰρ ἐπεί ῥα πόληος ἐϋδμήτους λίπ' ἀγυιάς,
Ἀκτὴν δ' ἵκανεν Παγασηΐδα, τῇ μιν ἑταῖροι
Δειδέχατ' Ἀργώῃ ἄμυδις παρὰ νηῒ μένοντες·
Στῆ δ' ἄρ' ἐπὶ προμολῇς, οἱ δ' ἀντίοι ἠγερέθοντο.
Ἐς δ' ἐνόησαν Ἄκαστον ὁμῶς Ἄργον τε πόληος
Νόσφι καταβλώσκοντας· ἐθάμβησαν δ' ἐσιδόντες
Πασσυδίῃ Πελίαο παρὲκ νόον ἰθύοντας.

Quamvis cupida, potuit, procurrente turbâ.
Sed ea ibi relinquebatur procliviter (in latus) tanquam anus
A Junioribus: & ipse longè revulsus est ab eâ, & separatus.
Postquam verò urbis pulchrè constructos reliquerat vicos,
Et litus contigerat Pagasæum, ubi ipsum sodales
Exceperunt, navem apud Argoam confertim manentes,
Stetit in aditu; illi autem ex adverso congregabantur.
Animadverterunt mox Acastum, unáque Argum ex urbe
Procul decurrentes; mirati verò sunt videntes eos
Totis viribus, Peliæ inconsultu, prorumpentes.

legere οὐδέ τι, aut οὐ δή τι, quod quidem minimè necessarium: non enim hìc significat ἔτι *amplius*, ut interpretatus est Hartungus, sed *etiam*, aut *tamen*, *nec tamen*, &c.

314. Ἔμπης δὲ νῦν ἀντὶ τοῦ ὅμως. Schol.

315. Παρακλιδὸν] *seorsim*, *separata ab aliis*. Lexica quidem hanc significationem non agnoscunt, sed ex primitivo ita significare posse constat: nam παρακλίνω significat, *me averto*: quæ autem avertunt se, et deflectunt, ab aliis separantur et seorsim sunt. Propiùs tamen ad vim vocis accedetur vertendo, *seorsim à latere*. nam παρακλίνω est propriè, *ad latus deflecto*. Atque hæc interpretatio aptior est ad ipsius loci elegantiam atque ἦθος denotandum: nam qui confertæ multitudini occurrunt eo solùm modo devitare ejus impetum possunt, si ad latus deflectantur. Egregiè depingit Apollonius illis λίπετ' αὖθι παρακλιδὸν παρὰ ὁπλοτέρων, nam παρὰ ex παρακλιδὸν est subaudiendum. αὖθι, quasi quæ ex loco non movisset. Sanct.

319. Δειδέχατ'] ἐδεξιοῦντο, ἢ προσεδέχοντο. Schol.

322. Καταβλώσκοντας] κατερχομένους, καταμολίσκοντας. τὸ β ἀντὶ τοῦ μ. συγγενὲς γὰρ τὸ β τῷ μ. ὅθεν καὶ ὁ ψωμὸς, βλωμὸς, ἀπὸ τοῦ βλώσκειν διὰ τοῦ λαιμοῦ, ὃ ἐστι κατέρχεσθαι. καὶ πίτυν βλωθρὴν Ὅμηρος, τὴν ἄχρι τοῦ αἰθέρος μολοῦσαν. Schol,

Δέρμα

Δέρμα δ' ὁ μὲν ταύροιο ποδηνεκὲς ἀμπέχετ' ὤμοις
Ἄργος Ἀρεστορίδης λάχνῃ μέλαν· αὐτὰρ ὁ καλὴν
Δίπλακα, τήν οἱ ὄπασσε κασιγνήτη Πελόπεια.
Ἀλλ' ἔμπης τὼ μέν τε διεξερέεσθαι ἕκαστα
Ἔσχετο, τοὺς δ' ἀγορήνδε συνεδριάασθαι ἄνωγεν.
Αὐτοῦ δ' ἰλλομένοις ἐπὶ λαίφεσιν ἠδὲ καὶ ἱστῷ
Κεκλιμένῳ μάλα πάντες ἐπισχερὼ ἑδριόωντο.
Τοῖσιν δ' Αἴσονος υἱὸς ἐϋφρονέων μετέειπεν.
Ἄλλα μὲν ὅσα τε νηῒ ἐφοπλίσασθαι ἔοικεν,
Πάντα γὰρ εὖ κατὰ κόσμον ἐπαρτέα κεῖται ἰοῦσιν.
Τῷ οὐκ ἂν δηναιὸν ἐχοίμεθα τοῖο ἕκητι
Ναυτιλίης, ὅτε μοῦνον ἐπιπνεύσουσιν ἀῆται.
Ἀλλὰ, φίλοι, ξυνὸς γὰρ ἐς Ἑλλάδα νόστος ὀπίσσω,

Pelle verò atrâ taurinâ, talari, amiciverat humeros
Argus, Arestoris filius; alter verò pulchrâ
Lænâ duplicatâ, quam ei donaverat soror Pelopa.
Sed tamen ne singula ab iis exquireret
Semet inhibuit: eos verò jussit ire sessum in concionem.
Postquam verò ibi in colligatis velis, et malo
Reclinato, omnes ordine consederant,
Eos Æsonis filius benevolè allocutus est.
Nulla quidem sunt alia quibus armari navem oportet;
Omnia enim recto ordine parata sunt euntibus.
Quare non diu impediamur necesse est, hanc ob causam,
A navigatione: si modò afflabunt venti.
Sed, o amici, communis enim in posterum erit in Græciam reditus,

324. Δέρμα δ' ὁ μὲν] σύνηθες τοῖς ἥρωσι τὸ δερματοφορεῖν. Schol.

Ibid. Ἀμπέχετ' ὤμοις. Steph. ἀμφέχετ' ὤμοις.

333. Πάντα γὰρ] Supplendum igitur priori versui οὐκ εἰσί. *Nulla quidem sunt alia quibus oportet armari navem*, NAM *omnia*, &c. Tales verò elleipses Græcis scriptoribus frequentissimæ sunt, et quidem elegantes censentur. Sic Il. 7. 327.

Ἀτρεΐδη τε, καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
Πολλοὶ ΓΑΡ τεθνᾶσι καρηκομόωντες Ἀχαιοί.

Refertur (inquit Clarkius) istud γὰρ ad id quod multo elegantius reticuit, *audite me de induciis jam paciscendis*, NAM *multi*, &c. similis est elleipsis versu 336. ξυνὸς ΓΑΡ. Supple igitur, *quidni sumus amici?* NAM *communis*, &c.

Ξυναὶ δ' ἄμμι πέλονται ἐς Αἰήταο κέλευθοι·
Τοὔνεκα νῦν τὸν ἄριστον ἀφειδήσαντες ἕλεσθε
Ὄρχαμον ὑμείων, ᾧ κεν τὰ ἕκαστα μέλοιτο
Νείκεα συνθεσίας τε μετὰ ξείνοισι βαλέσθαι.
Ὣς φάτο· πάπτηναν δὲ νέοι θρασὺν Ἡρακλῆα,
Ἥμενον ἐν μέσσοισι· μιῇ δέ ἑ πάντες ἀϋτῇ
Σημαίνειν ἐπέτελλον. Ὁ δ' αὐτόθεν, ἔνθα περ ἧστο,
Δεξιτερὴν ἀνὰ χεῖρα τανύσσατο, φώνησέν τε.
Μή τις ἐμοὶ τόδε κῦδος ὀπαζέτω· οὐ γὰρ ἔγωγε
Πείσομαι· ὥς τε καὶ ἄλλον ἀναστήσασθαι ἐρύξω.
Αὐτὸς ὅτις ξυνάγειρε, καὶ ἀρχεύοι ὁμάδοιο.
Ἦ ῥα μέγα φρονέων· ἐπὶ δ' ᾔνεον ὡς ἐκέλευεν
Ἡρακλέης· ἀνὰ δ' αὐτὸς ἀρήιος ὤρνυτ' Ἰήσων
Γηθόσυνος, καὶ τοῖα λιλαιομένοις ἀγόρευεν.
Εἰ μὲν δή μοι κῦδος ἐπιτρωπᾶτε μέλεσθαι,
Μηκέτ' ἔπειθ' ὡς καὶ πρὶν ἐρητύοιτο κέλευθα.

Communis etiam eſt nobis ad Æetæ ædes via:
Idcirco nunc eum qui optimus fuerit, judicio irretorto, deligite
Vobis imperatorem; cui ſingula curæ ſint,
Sive confligendum ſit cum exteris, ſive ineundum fœdus.
Sic locutus eſt. Deſignârunt verò oculis juvenes animoſum Herculem
Sedentem inter medios, unoque eum omnes clamore
Imperare juſſerunt: ille verò inde ubi ſedebat
Dextrâ extenſâ manu, allocutus eſt.
Ne quis mihi hunc honorem præbeat: nec enim ipſe
Pariturus ſum; alium etiam *aliquem* ſurgendo cohibiturus.
Ille qui contraxit, et præſit copiis.
Hæc ille magno animo. Comprobârunt verò quod juſſit
Hercules. Bellicoſus autem ipſe iterum ſurrexit Jaſon
Lætabundus, et talia cupientibus concionatus eſt.
Si quidem mihi hoc honeſtum munus creditis gerendum,
Haud amplius, ſicut antea, repimantur itinera.

346. Ἀναστήσασθαι. *evehi*, nimirum εἰς τὴν ἀρχὴν, vel *conſtitui*, ut ſubaudiatur ὄρχαμον ex v. 339. Sanct.

Νῦν

Νῦν γε μὲν ἤδη Φοῖβον ἀρεσσάμενοι θυέεσσιν,
Δαῖτ' ἐντυνώμεσθα παρασχεδόν· ὄφρα δ' ἴωσιν
Δμῶες ἐμοὶ σταθμῶν σημάντορες, οἷσι μέμηλεν
Δεῦρο βόας ἀγέληθεν εὐκρίναντας ἐλάσσαι,
Τόφρα κε νῆ' ἐρύσαιμεν ἔσω ἁλός· ὅπλα τε πάντα
Ἐνθέμενοι πεπάλαχθε κατὰ κληῖδος ἐρετμά.
Τείως δ' αὖ καὶ βωμὸν Ἐπακτίου Ἐμβασίοιο
Θείομεν Ἀπόλλωνος, ὅ μοι χρείων ὑπέδεκτο
Σημανέειν δείξειν τε πόρους ἁλὸς, εἴ κε θυηλαῖς
Οὗ ἔθεν ἐξάρχωμαι ἀεθλεύων βασιλῆϊ.
Ἦ ῥα, καὶ εἰς ἔργον πρῶτος τράπεθ'· οἱ δ' ἐπανέσταν
Πειθόμενοι· ἀπὸ δ' εἵματ' ἐπήτριμα νηήσαντο
Λείῳ ἐπὶ πλαταμῶνι, τὸν οὐκ ἐπέβαλλε θάλασσα
Κύμασι, χειμερίη δὲ πάλαι ἀποέκλυσεν ἅλμη.

In præſens verò, Phœbo placato ſacris,
Epulas abſque morâ apparemus: dumque veniant
Servi mei ſtabularii, quibus curæ eſt
Ut boves ex armento ſelectos huc appellant,
Navem interea trahamus in mare: armiſque omnibus
Impoſitis, ſortimini per tranſtra remos.
Interim etiam aram *honori* Epactii Embaſii
Ponamus Apollinis, qui mihi vaticinans pollicitus eſt
Se ſignificaturum et oſtenſurum meatus maris, ſi modò primitiis ſacrorum
A ſe auſpicarer, decertans cum rege.
Sic fatus, ad opus primus ſe contulit. Illi verò ſurrexerunt
Obedientes, et veſtimenta conferta accumulârunt
Lævi in ſaxo, cui non allidebat mare
Fluctus; hiberna verò jamdiu abluerat ſalſugo.

356. Εὐκρίναντας. Hoc non ab boves ſed ſervos pertinet. Haud rarò apud optimos ſcriptores invenitur accuſativus cum dativo antecedente conſtructus. Sic Soph. in Electra v. 481.

ὕπεστί μοι θράσος
Ἀδυπνόων κλύουσαν
Ἀρτίως ὀνειράτων.

Atque ita etiam D. Paulus Epheſ. 1. 17. Δώη ὑμῖν πεφωτισμένους. ſimilis ſyntaxis eſt 1. 440, et 441. 1. 867. 3. 205. 3. 990.

358. Κληῖδος. Hœlzlinus et Stephanus malunt κληῖδας.

359. Ἐπακτίου. Flor. ἐπάκτιον. Hœlzlinus et Stephanus repoſuerunt ἐπακτίῳ ex verſibus 403 et 404.

Νῆα

Νῆα δ' ἐπικρατέως Ἄργυ ὑποθημοσύνῃσιν
Ἔζωσαν πάμπρωτον ἐϋστρεφεῖ ἔνδοθεν ὅπλῳ
Τεινάμενοι ἑκάτερθεν, ἵν' εὖ ἀραροίατο γόμφοις
Δύρατα, καὶ ῥοθίοιο βίην ἔχοι ἀντιόωσαν.
Σκάπλον δ' αἶψα κατ' εὖρος, ὅσον περιβάλλετο χῶρος·
Ἠδὲ κατὰ πρώραν ἔσω ἁλὸς, ὁσσάτιόν περ
Ἑλκομένη χείρεσσιν ἐπιδραμέεσθαι ἔμελλεν.
Αἰεὶ δὲ προτέρω χθαμαλώτερον ἐξελάχαινον
Στείρης, ἐν δ' ὁλκῷ ξεστοὺς στορέσαντο φάλαγγας·
Τὴν δὲ κατάντη κλῖναν ἐπὶ πρώτῃσι φάλαγξιν,
Ὥς κεν ὀλισθαίνουσα δι' αὐτάων φορέοιτο.
Ὕψι δ' ἄρ' ἔνθα καὶ ἔνθα μεταστρέψαντες ἐρετμὰ
Πηχύϊον προὔχοντα περὶ σκαλμοῖσιν ἔδησαν.

Navem autem prævalidè, submonente Argo,
Cinxerunt imprimis tortili intrinsecus fune
Utrinque extenso, ut bene aptarentur clavis
Trabes, et in undarum impetum vim haberent obvium.
Foderunt deinde statim in latitudinem, quantum spatii ambiebat locus,
Ac secundum proram intra mare, quàm longe
Tracta manibus procursura erat.
Semper autem ulterius et depressius effoderunt
Carinâ; in sulco vero teretes straverunt phalangas.
Illam denique declivem in primas reclinârunt phalangas,
Ut lapsabunda per eas ferretur.
Sursum verò ab utroque latere postquam convertissent remos,
Lorum prominens circum-ligârunt scalmis:

368—9—70. Hic locus vel nondum est intellectus, vel corruptus, quod potius puto: nam non video quomodo funes intrinsecus constricti navis compagines redderent firmiores. Quin et vox ἔζωσαν ostendit funes non intus sed extra circumligatos. Quarè pro ἔνδοθεν forsan legendum ἔκτοθεν. Verùm Hesychius ζωμεύματα dicit esse funes in mediâ nave. Sanct.

371. Hœlzlinus reposuit περιβάλλετο, cui responderent ἔμελλεν et σκάπτον. Steph. et Flor. legunt περιβάλλετο.

375. Στείρης hìc non vertendum *carina*, sed *prora*. Pollux dicit esse μέσον τῆς πρυμνοολίδος καὶ τῆς ἐμβολῆς. λάχαινον προτέρω στείρης, idem est quod σκάπτειν κατὰ πρώραν. Quare totus locus ita vertendus, *in longitudinem autem fodiebant semper depressiùs.* Sanct.

Τῶν

Τῶν δ' ἐναμοιβαδὶς αὐτοὶ ἐνέσταθεν ἀμφοτέρωθεν,
Στέρνα θ' ὁμοῦ καὶ χεῖρας ἐνήλασαν· ἐν δ' ἄρα Τῖφυς
Βήσαθ', ἵν' ὀτρύνειε νέους κατὰ καιρὸν ἐρύσσαι.
Κεκλόμενος δ' ἤϋσε μάλα μέγα· τοὶ δὲ παρᾶσσον
Ὧ κράτεϊ βρίσαντες μιῇ στυφέλιξαν ἐρωῇ
Νειόθεν ἐξ ἕδρης, ἐπὶ δ' ἐρρώσαντο πόδεσσιν
Προπροβιαζόμενοι· ἡ δ' ἕσπετο Πηλιὰς Ἀργὼ
Ῥίμφα μάλ'· οἱ δ' ἑκάτερθεν ἐπίαχον ἀΐσσοντες.
Αἱ δ' ἄρ' ὑπὸ τρόπιδι στιβαρῇ στενάχοντο φάλαγγες
Τριβόμεναι· περὶ δέ σφιν ἀϊδνὴ κήκιε λιγνὺς
Βριθοσύνῃ, κατόλισθε δ' ἔσω ἁλός· οἱ δέ μιν αὖθι
Ἂψ ἀνασειράζοντες ἔχον προτέρωσε κιοῦσαν.
Σκαλμοῖς δ' ἀμφὶς ἐρετμὰ κατήρτυον· ἐν δέ οἱ ἱστὸν
Λαίφεά τ' εὐποίητα καὶ ἁρμαλιὴν ἐβάλοντο.
Αὐτὰρ ἐπεὶ τὰ ἕκαστα περιφραδέως ἀλέγυναν,
Κληῖδας μὲν πρῶτα πάλῳ διεμοιρήσαντο,
Ἄνδρ' ἐντυναμένω δοιὼ μίαν· ἐκ δ' ἄρα μέσσην

Quos inter alternatim ipſi ſtantes ex utraque parte,
Et pectora adegerunt et manus: interim Tiphys
Inſcendit, ut incitaret juvenes opportunius trahere.
Adhortans verò clamavit ingenti voce. Illi itaque preſſius
Suo quiſque robore ingruentes, uno eam emôrunt impetu,
Ex imâ ſede; multóque magis firmabantur pedibus
Plus pluſque protrudentes: ſequebatur verò Argo Peliaca
Valde celeriter: illi autem utrinque exclamabant impellentes.
Ipſæ vero ſub rigidâ carinâ gemebant phalangæ
Attritæ, circumque eas caliginoſus prorumpebat fumus,
Gravi de preſſu; ipſa denique delapſa eſt in mare; illi verò rurſus
Retrò inhibentes tenebant longius decurrentem.
Scalmis deinde utrinque remos inſtruebant; navique malum
Velaque bene texta impoſuerunt, et annonam.
Poſtquam verò omnia ſedulò appâraſſent,
Sedilia primò ſorte diſpartiti ſunt,
Duobus viris ſingula inſtruentibus. Medium verò

396. Μέσσην] Hinc colligit Hœlzlinus ζυγίτας fuiſſe Herculem et Ancæum, in quo valdè fallitur. Extra ſortem hunc illis locum tribuere

Ἥρεον

Ἥρεον Ἡρακλῆϊ, καὶ ἡρώων ἄτερ ἄλλων
Ἀγκαίῳ, Τεγέης ὅς ῥα πτολίεθρον ἔναιεν.
Τοῖς μέσσην οἴοισιν ἀπὸ κληῗδα λίποντο
Αὔτως, οὔτι πάλῳ· ἐπὶ δ' ἔτρεπον αἰνήσαντες
Τῖφυν ἐϋστείρης οἰήϊα νηὸς ἔρυσθαι.
Ἔνθεν δ' αὖ λάϊγγας ἁλὸς σχεδὸν ὀχλίζοντες
Νήεον αὐτόθι βωμὸν Ἐπακτίου Ἀπόλλωνος,
Ἀκτίου Ἐμβασίοιό τ' ἐπώνυμον· ὦκα δὲ τοίγε
Φιτροὺς ἀζαλέης στόρεσαν καθύπερθεν ἐλαίης.
Τείως δ' αὖ τ' ἀγέληθεν ἐπιπροέηκαν ἄγοντες
Βουκόλοι Αἰσονίδαο δύω βόε· τοὺς δ' ἐρύσαντο

Elegerunt Herculi, et heroibus ſeparatim ab aliis
Ancæo, qui urbem Tegeam incolebat.
His ſolis medium tranſtrum reliquerunt,
Omnino abſque ſorte: commiſerunt verò, ſuffragiis initis,
Typho bene carinatæ navis gubernacula tractanda.
Deinde, lapidibus prope mare devolutis,
Extruxerunt ibi aram *in honorem* Epactii Apollinis
Actii et Embaſii indigitamento. Nec ſegnius alii
Ramos aridæ ſuperſtraverunt olivæ.
Inter hæc ex armento propulerunt actos
Armentarii Jaſonis boves duos; quos attraxerunt

Argonautæ, non aliâ de cauſâ, quàm quòd robore cæteris præſtarent. vide v. 426. Quare medium illis locum in navi reliquerunt. Nam ſi à prorâ vel puppi locati fuiſſent, navis curſus rectus fuiſſet, illis qui in alterâ parte ſedebant, non æquâ vi remigantibus. Cæterùm in hoc verſu eſt exemplum accuſativi abſoluti, quod rariſſime occurrit. Hoc ſervandum erat in interpretatione: quare verte, *duobus viris unum inſtruentibus*, viz. *ſedile*. Sanct.

401. Ἐϋστείρης] εὐτρεπιστοῦ. Οἰήϊα δὲ, τὰ πηδάλια, οἷον οἰήσια, ἐπειδὴ οἰήσεως χρεία τῷ κυβερνήτῃ. οἱ δὲ γλωσσογράφοι τοὺς οἴακας. Schol.

403. Νήεον αὐτόθι] ᾠκοδόμουν, κατεσκεύαζον. ἀπὸ τοῦ τῶν λίθων σωρευθέντων, ἤ ἐστι νήησις. ἢ ἐσώρευον, ἔνθεν καὶ νηδύς· καὶ ναῦς, ἐν ᾗ σωρεύεται ὁ φόρτος. Ἐπακτίου. ἐπάκτιος, ὁ ἐν τῇ ἀκτῇ τιμώμενος. Schol.

406. Τείως δ' αὖ τ' ἀγεληθεν] ἐν τοσούτῳ, ὅσῳ ταῦτα ἐποίουν. ἡ δὲ θεν πρόθεσις νῦν ἐστιν τόπου δηλωτικὴ, ἀντὶ τοῦ εἰς τοὔμπροσθεν· ὡς τὸ, "ἐκ δ' ἄγαγε προφόωσδε." Schol.

407. Δύω βόε] εἰκότως ἐπὶ δυσὶ προσηγορίαις, Ἀκτίου Ἐμβασίου τε, δύο βοῦς ἄγουσιν.

Κουρότεροι

Κουρότεροι ἑτάρων βωμῷ σχεδόν· οἱ δ' ἄρ' ἔπειτα
Χέρνιβά τ' οὐλοχύτας τε παρέσχετον· αὐτὰρ Ἰήσων
Εὔχετο κεκλόμενος πατρώϊον Ἀπόλλωνα.
Κλῦθι, ἄναξ, Παγασάς τε πόλιν τ' Αἰσωνίδα ναίων,
Ἡμετέροιο τοκῆος ἐπώνυμον· ὅς μοι ὑπέστης
Πυθοῖ χρειομένῳ ἄνυσιν καὶ πείραθ' ὁδοῖο
Σημανέειν· αὐτὸς γὰρ ἐπαίτιος ἔπλευ ἀέθλων·
Αὐτὸς νῦν ἄγε νῆα σὺν ἀρτεμέεσσιν ἑταίροις
Κεῖσέ τε, καὶ παλίνορσον ἐς Ἑλλάδα· τοὶ δ' ἄρ' ὀπίσσω
Τόσσων, ὅσσοι κεν νοστήσομεν, ἀγλαὰ ταύρων
Ἱρὰ πάλιν βωμῷ ἐπιθήσομεν· ἄλλα δὲ Πυθοῖ,
Ἄλλα δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσω.

Juniores fociorum prope aram: alii verò deinceps
Aquiminalia et molas præbuerunt: at Jafon
Cum prece invocabat paternum Apollinem.
Audi, rex, qui Pagafas et oppidum Æfonium incolis
Noftri genitoris gaudens nomine, qui mihi pollicitus es
Delphis percontanti oraculum, te quæ ad itineris maturitatem et exitum pertinerent,
Monftraturum; (tu enim auctor fuifti certaminum,)
Ipfe nunc age navem cum integris fociis
Et illuc, et reducem in Græciam: tibi verò in pofterum
Ex tot, quicunque reverfi erimus, pulchra taurorum
Sacra iterum aræ imponemus: aliaque ad Delphos
Alia verò ad Ortygiam infinita dona feram.

408. Κουρότεροι] ἐπεὶ ἴσως ἀεὶ νέος ὁ θεὸς, καὶ οἱ τῶν ἑταίρων νεώτεροι τὴν θυσίαν ἐπιτελοῦσιν. καὶ Ὅμηρος ἐπὶ τῆς τῶν νέων θυσίας, "κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο." ἤτοι οὖν συγκριτικῶς ἐστιν, ἢ ἀπολυτικῶς. Schol.

409. Χέρνιβά τ'] χέρνιβας μὲν οἷς τὰς χεῖρας νίπτουσιν. οὐλοχύτας δὲ οἱ μὲν τὰ κανᾶ, ἐπεὶ δι' αὐτῶν φέρεται τὰ πρὸς θυσίαν· οἱ δὲ τὰς κριθὰς, ἐπειδὴ οὐλὰς ἐνέβαλλον τοῖς βωμοῖς. Schol.

411. Αἰσωνίδα] Αἰσωνὶς πόλις τῆς Μαγνησίας, ἀπὸ τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρος φησὶ καὶ Φερεκύδης. Schol.

413. Ἄνυσιν καὶ πείραθ' ὁδοῖο] Ἄνυσιν, τὴν ἐνέργειαν, ἢ τὴν ταχυτῆτα· Ὅμηρος, "οὐκ ἀνύω φθονέουσα." Πείραθ' ὁδοῦ. αὐτὸν τὸν πλοῦν καὶ τὸ πέρας τῆς ὁδοῦ. Schol.

414. Ἐπαίτιος] διὰ τὸ χρησμῳδῆσαι τῷ Πελίᾳ. ῥητορικῶς δὲ ὥσπερ αἰτίῳ γενομένῳ τοῦ πλοῦ τῷ θεῷ καὶ τὸ πᾶν πρᾶγμα ἀνατίθησιν, ὥσπερ οἰκεῖον. Schol.

416. Ἑλλάδα] Ἑλλάδα οἱ μὲν τὴν Φθίαν φασὶ συνωνύμως. ἡμεῖς δὲ χώραν ὑπολαμβάνομεν εἶναι Ἑλλάδα, οὐ μέντοι γε τὴν αὐτὴν τῇ Φθίᾳ, ἐνταῦθα δὲ καὶ ὅλην τὴν Ἑλλάδα. Schol.

419. Ὀρτυγίην] περὶ τῆς Ὀρτυγίας Φανόδικος ἐν τοῖς Δηλιακοῖς ἱστόρηκεν· καὶ Νίκαν-

Νῦν δ' ἴθι, καὶ τήνδ' ἡμῖν, ἑκηβόλε, δέξο θυηλὴν
Ἥν τοι τῆσδ' ἐπίβαθρα χάριν προτεθείμεθα νηὸς
Πρωτίστην· λύσαιμι δ', ἄναξ, ἐπ' ἀπήμονι μοίρῃ
Πείσματα, σὴν διὰ μῆτιν· ἐπιπνεύσειε δ' ἀήτης
Μείλιχος, ᾧ κ' ἐπὶ πόντον ἐλευσόμεθ' εὐδιόωντες.
Ἦ, καὶ ἅμ' εὐχωλῇ προχύτας βάλε· τὼ δ' ἐπὶ βουσὶν
Ζωσάσθην Ἀγκαῖος ὑπέρβιος Ἡρακλέης τε.
Ἤτοι ὁ μὲν ῥοπάλῳ μέσσον κάρη ἀμφὶ μέτωπα
Πλῆξεν, ὁ δ' ἀθρόος αὖθι πεσὼν ἐνερείσατο γαίῃ·

Nunc verò vade, hoc à nobis, longè jaculator, accepto facro,
Quod tibi obtulimus, ob confcenfam navem mercedem
Primam: folverim verò, o rex, fatis innoxiis
Retinacula, tuo cum confenfu: afpiret verò aura
Benigna, quâ fuper pontum navigabimus immunes tempeftatum.
Dixit; et cum prece falfas fruges infperfit: at bobus
Se accinxerunt Ancæus prævalidus, Herculefque.
Et hic quidem clavâ medium *bovis* caput, circa frontem
Percuffit, adeo ut totus repentè ibi collapfus terræ fe allideret:

δρος ἐν τρίτῃ Αἰτωλικῶν, ὄσα τῶν ἐν Αἰτωλίᾳ Ὀρτυγίας φησὶ τὴν Δῆλον ὀνομασθῆναι, γράφων τάδε, "οἱ δ' ἐξ Ὀρτυγίης Τιτηνίδος ὁρμηθέντες, οἱ μὲν, τὴν Ἔφεσον. οἱ δὲ, τὴν πρότερον Δῆλον καλουμένην· ἄλλοι δὲ τὴν ὁμωτέρμονα Σικελίας νῆσον· ὅθεν Ὀρτυγίαι πᾶσαι βοῶνται. καὶ ἡ Δῆλος οὖν ἄρα, ὡς μυθεύονται, ἀπὸ τῆς Ἀστερίας μεταμορφώσεως τῆς Λητοῦς ἀδελφῆς, ἀλλὰ καθὸ πᾶσαι αἱ Ὀρτυγίαι ἀποικίαι εἰσὶ τῆς κατ' Αἰτωλίαν Ὀρτυγίας.

Ibid. Primus verfus integer fragmentum hoc Nicandri hexametris conftare fatis indicat. Verùm corrupta et interpolata adeo funt, ut nemo fpondere poffit fe Nicandri verba daturum. Nos tamen ita fcribenda conjecimus.

Οἱ δ' ἐξ Ὀρτυγίης Τιτηνίδος ὁρμηθέντες
Οἱ μὲν τὴν Ἔφεσον, τοὶ δ' ἀκεῖν τὴν πότε Δῆλον,
Ἄλλοι Σικελίης δὲ γε τὴν ὁμωτέρμονα νῆσον·
Ἔνθεν δ' Ὀρτυγίαι πᾶσαι βεβοήνται. ———

Sequentia funt Scholiaftæ verba. Hùc ufque verò effe verba Nicandri conftat ex voce βοῶνται quod pro καλοῦνται nufquam nifi à poetis ufurpatur. Sanct.

421. Ἐπίβαθρα] ἀποβατήρια. χάριν δὲ, μισθὸν ναυὶ, ὑπὲρ τοῦ ἐπιβῆναι ἡμᾶς πρῶτον τῆς νεώς. Προτεθείμεθα. ἀντὶ τοῦ ποιοῦμεν. θεῖναι γὰρ τὸ ποιῆσαι. Schol.

425. Προχύτας] οἱ μὲν τὰς κριθὰς, οἱ δὲ τὸ ὕδωρ ὃ εἰώθασιν ἐμβάλλειν εἰς τὸ οὖς τοῦ ἱερείου, ἐπὶ τοῦ ἐπινεύειν τὸ ἱερεῖον. λείπει δὲ ἡ σύν. Schol.

426. Ζωσάσθην] τὸ ζώσασθαι, ἀντὶ τοῦ ἀναδεῖναι ἢ ἑτοιμασθῆναι. σημαίνει δὲ καὶ τὸ ὁπλίσασθαι. Schol.

Ἀγκαῖος

Ἀγκαῖος δ' ἑτέροιο κατὰ πλατὺν αὐχένα κόψας
Χαλκείῳ πελέκει κρατεροὺς διέκερσε τένοντας·
Ἤριπε δ' ἀμφοτέροισι περιῤῥηδὴς κεράεσσιν.
Τοὺς δ' ἕταροι σφάξαν τε θοῶς, δεῖράν τε βοείας·
Κόπτον, δαίτρευόν τε, καὶ ἱερὰ μῆρ' ἐτάμοντο·
Κὰδ δ' ἄμυδις τάγε πάντα καλύψαντες πύκα δημῷ
Καῖον ἐπὶ σχίζῃσιν. Ὁ δ' ἀκρήτους χέε λοιβὰς
Αἰσονίδης· γήθει δὲ σέλας θηεύμενος Ἴδμων
Πάντοσε λαμπόμενον θυέων ἄπο, τοῖό τε λιγνὺν
Πορφυρέαις ἑλίκεσσιν ἐναίσιμον ἀΐσσουσαν.
Αἶψα δ' ἀπηλεγέως νόον ἔκφατο Λητοΐδαο.
Ὑμῖν μὲν δὴ μοῖρα Θεῶν χρειώ τε περῆσαι

Ancæus verò alterius latâ cervice percussâ
Æreâ securi, firmos discidit tendines.
Procubuit verò in utraque cum impetu impactus cornua.
Hos verò socii celeriter jugulârunt, direptis tergoribus.
Diviserunt, frustatim consciderunt, et votiva femora secuerunt.
Et postquam ea omnia densè cooperuissent adipe,
Torruerunt super segminibus ligneolis. Ipse autem purum fudit libamen
Jason: lætabatur verò flammam aspiciens Idmon
Undiquaque relucentem a sacris, ejusque fumum
Purpureis voluminibus in lætum omen prorumpentem.
Statim igitur intrepidè mentem exposuit Apollinis.
Vobis quidem ex fato Deorum et necessitate datum est remeare

430. Χαλκείῳ πελέκει] Ἀπολλώνιός φησιν ἐν πρώτῳ τῶν ὑπομνημάτων, τὸν σίδηρον ὑπὸ τῶν ἀρχαίων χαλκὸν λέγεσθαι, ἀγνοεῖν ὅτι μηδέπω εὑρεθέντος σιδήρου, χαλκῷ ἐχρῶντο, ὡς καὶ Ἡσίοδός φησι, "Χαλκῷ δ' εἰργάζοντο, μέλας δ' οὐκ ἔσκε σίδηρος." Schol.

431. Περιῤῥηδὴς κεράεσσιν] ἐπὶ πρόσωπον μεθ' ὁρμῆς κατενεχθεὶς, ἐπιῤῥαγεὶς εἰς τοὔμπροσθεν, ἢ ἐπενεχθείς. ὡς καὶ παρὰ τῷ ποιητῇ. "περιῤῥηδὴς δὲ τραπέζῃ κάππεσεν·" ὁ Εὐρύμαχος. ἀντὶ τοῦ περιφερόμενος. τὸ κατὰ κύκλον πεσεῖν οὕτω λέγεται. νῦν δὲ ἀντὶ τοῦ ἐπενεχθεὶς εἰς τὸ ἔμπροσθεν. Schol.

434. Δημῷ] τῷ ἐπίπλῳ συνειλοῦσι τὰ ἱερεῖα, ἵνα εὐχαίρετα ὦσι. Schol.

435. Ἀκρήτους χέε λοιβάς] Ἀκράτῳ οἴνῳ ἔσπενδον, αἰνιττόμενοι τὸ τῆς γνώμης ἀμιγὲς ψεύδους καὶ ἄδολον. Eustathius.

436. Θηεύμενος] τὸ θηεῖσθαι Ὅμηρος ἐπὶ τοῦ θαυμάζειν τίθησιν, "θηήσαντες ἔλαφον·" ὁ δὲ Ἀπολλώνιος ἐπὶ τοῦ βλέπειν. Schol.

438. Πορφυρέαις] πορφυριζούσαις, ταῖς τοῦ πυρὸς καμπαῖς, καὶ εἰλήσεσιν οἷον πορφυριζούσαις. ἐναργὴς δὲ ἡ φράσις. Ἑλίκεσσι. ταῖς τοῦ καπνοῦ συστροφαῖς. Schol.

Ἐνθάδε κῶας ἔχοντας· ἀπειρέσιοι δ' ἐνὶ μέσσῳ
Κεῖσέ τε δεῦρό τ' ἔασιν ἀνερχομένοισιν ἄεθλοι.
Αὐτὰρ ἐμοὶ θανέειν στυγερῇ ἐπὶ δαίμονος αἴσῃ
Τηλόθι πε πέπρωται ἐπ' Ἀσίδος ἠπείροιο.
Ὧδε κακοῖς δεδαὼς ἔτι καὶ πάρος οἰωνοῖσιν
Πότμον ἐμὸν, πάτρης ἐξήιον, ὄφρ' ἐπιβαίην
Νηὸς, ἐϋκλείη δέ δόμοις ἐπιβάντι λίπηται.
Ὣς ἄρ' ἔφη. Κοῦροι δὲ θεοπροπίης ἀΐοντες,
Νόστῳ μὲν γήθησαν, ἄχος δ' ἕλεν Ἴδμονος αἴσῃ.
Ἦμος δ' ἠέλιος σταθερὸν παραμείβεται ἦμαρ,

Huc vellus ferentibus: innumera tamen in medio
Et illuc euntibus et huc revertentibus proponuntur certamina.
Ut verò ipſe moriar, triſti fortunæ ſorte
Longè alicubi deſtinatum eſt, in Aſiano orbe.
Sic malis edoctus etiamnum, et antea, auguriis
Fatum meum, patriâ tamen exivi, ut inſcenderem
In navem; gloria verò inſcendenti mihi relinqueretur domi.
Hæc ille. Juvenes verò, audito vaticinio,
De reditu quidem gaviſi ſunt; dolor autem eos invaſit ob fatum Idmonis.
Quo tempore verò ſol calidum tranſit diem,

441. Κῶας ἔχοντας] ἔδει ἄγουσιν εἰπεῖν πρὸς τὸ ὑμῖν. καὶ ὁ ποιητὴς δέ, "αἰεί τοι φίλον ἐστὶν ἐμοῦ ἄπο νόσφιν ἐόντα," Schol.

444. Ἀσίδος] ἡ Ἀσία ὠνομάσθη ἀπὸ Ἀσίας τῆς Προμηθέως μητρὸς καὶ Ἄλλαντος. οἱ δὲ ἀπὸ τοῦ πολλὴν ἄσιν ἔχειν. Schol.

445. Ὧδε κακοῖς δεδαὼς] οὐκ ἐν τοῖς καθόλου, ἀλλ' ἐν τοῖς ἐμοῖς βλαβεροῖς. ὑπερβατὸν δέ ἐστι, καὶ πλεονάζει ὁ καὶ σύνδεσμος. λείπει δὲ ἡ ἐξ πρόθεσις, καὶ ἐνήλλακται γενικὴ ἀντὶ δοτικῆς. ἔστι δὲ καὶ τὸ ῥῆμα συντελικὸν, ἀντὶ τοῦ ἐξῆλθον· ὁ δὲ λόγος οὕτως. ἔμπροσθεν ἐκ κακῶν οἰωνῶν ἐγνωκὼς τὸν ἐμαυτοῦ μόρον, ἐξῆλθον ἐκ τῆς πατρίδος, ἵνα ὑμῖν συμπλεύσας κλέος ἀπενέγκωμαι. Schol.

Ibid. Ὧδε &c.] Digniſſima ſane viro forti verba. De hoc maſculè Pindarus, Olymp. I. 130.

——ὁ μέγας δὲ κίνδυ-
νος ἄναλκιν οὐ φῶ-
τα λαμβάνει· θανεῖν δ' οἷσιν ἀνάγκα,
τί κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ
καθήμενος ἕψοι μάταν, ἁπάντων
καλῶν ἄμμορος;

446. Ὄφρ' ἐπιβαίην] ὑπερβατόν ἐστι. τὸ δὲ ἑξῆς, ὄφρ' ἐπιβαίην νηὸς, ἐπιβάντι δὲ τῆς νηὸς ἡ εὐδοξία τοῖς οἴκοις λίποιτο. Schol.

450. Σταθερὸν] ἀντὶ τοῦ καυματηρὸν καὶ θερμόν. λέγει δὲ τὴν μεσημβρίαν, ἐκ τοῦ συμβαίνοντος· ἐπειδὴ μεσουρανήσας ὁ ἥλιος θερμαίνει πάντα, διὰ τὸ πανταχόθεν ἀπέχειν τῶν ὑποκειμένων. ἢ διὰ τὸ ἑστηκέναι. ἧττον γὰρ δοκεῖ τότε κινεῖσθαι ὁ ἥλιος. Schol.

Αἱ δὲ νέον σκοπέλοισιν ὑποσκιόωνται ἄρουραι,
Δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο,
Τῆμος ἄρ' ἤδη πάντες ἐπὶ ψαμάθοισι βαθεῖαν
Φυλλάδα χευάμενοι πολιοῦ πρόπαρ αἰγιαλοῖο
Κέκλινθ' ἑξείης· παρὰ δέ σφισι μυρί' ἔκειτο
Εἴδατα, καὶ μέθυ λαρὸν ἀφυσσαμένων προχοῇσιν
Οἰνοχόων· μετέπειτα δ' ἀμοιβαδὶς ἀλλήλοισι
Μυθεῦνθ', οἷά τε πολλὰ νέοι παρὰ δαιτὶ καὶ οἴνῳ
Τερπνῶς ἑψιόωνται, ὅτ' ἄατος ὕβρις ἀπείη.
Ἔνθ' αὖτ' Αἰσονίδης μὲν ἀμήχανος εἰν ἑοῖ αὐτῷ,
Πορφύρεσκεν ἕκαστα, κατηφιόωντι ἐοικώς.
Τὸν δ' ἄρ ὑποφρασθεὶς μεγάλῃ ὀπὶ νείκεσεν Ἴδας.
Αἰσονίδη, τίνα τήνδε μετὰ φρεσὶ μῆτιν ἑλίσσεις;
Αὔδα ἐνὶ μέσσοισι τεὸν νόον· ἦέ σε δαμνᾷ

Ipſaque jam à rupibus obumbrantur arva,
In veſpertinam declinante caliginem ſole,
Eo ſane jam omnes, ſuper arenis profundo
Toro foliorum ſtrato, ante canum litus
Diſcubuerunt ex ordine: ipſis verò plurimæ appoſitæ erant
Epulæ; vinum etiam lætificum effundentibus ex œnophoris
Pocillatoribus: deinde mutuò inter ſe invicem
Fabulabantur, qualia multa juvenes inter epulas et pocula
Suaviter ludunt, quando perniciosa abſit contumelia.
Tunc contra Jaſon inòps conſilii ſecum ipſe
Cogitabat ſingula arctius, mæſto ſimilis.
Hunc verò animadvertens magnâ voce objurgavit Idas.
Æſonis nate, quidnam hoc conſilium in animo volvis?
Proferto in medium animi tui ſenſa: tene etiam domat

454. Φυλλάδα] τὴν στιβάδα τῶν φύλλων. Πολιοῦ. διὰ τὸ λευκαίνεσθαι ὑπὸ τῶν κυμάτων κλυζόμενον. Schol.

456. Λαρὸν] παρὰ τὸ λίαν ἀρηρός. ἢ παρὰ τὸ λῶ τὸ θέλω πεποίηται. Ἡσίοδος φησὶ λαροῖς ποσὶ, τοῖς κατ' ὄψιν ἡδέσιν. Schol.

459. Ἑψιόωνται] παρὰ τὴν ἑψίαν, ἥ ἐστι διὰ λόγων παιδιὰ, οἷον ἐπιστία τις οὖσα, παρὰ τὸ ἔπος. διὸ καὶ ψιλοῦται. ὅτε δὲ δασύνεται, ἀντὶ τοῦ ἀκολουθοῦσιν. Ἄατος. ἡ ἄγαν βλαπτική. τὸ γὰρ α τὸ στερητικόν, ἐπίτασίς ἐστιν, ὡς ἀχανὲς καὶ ἀπηνές. Schol.

461. Πορφύρεσκεν] ἀντὶ τοῦ κατὰ βάθος ἐνεθυμεῖτο. πορφύρα γὰρ, εἶδος ἰχθύος ἐν βάθει τῆς θαλάσσης εὑρισκόμενον. ἐμερίμνα γοῦν καὶ τὰ τῆς γῆς καὶ τὸν θαλάσσης κίνδυνον. Schol.

Τάρβος

Τάρβος ἐπιπλόμενον, τό, τ' ἀνάλκιδας ἄνδρας ἀτύζει;
Ἴστω νῦν δόρυ θοῦρον, ὅτῳ περιώσιον ἄλλων
Κῦδος ἐνὶ πτολέμοισιν ἀείρομαι (οὐδέ μ' ὀφέλλει
Ζεὺς τόσον, ὁσσάτιόν περ ἐμὸν δόρυ) μή νύ τι πῆμα
Λοίγιον ἔσσεσθαι, μηδ' ἀκράαντον ἄεθλον,
Ἴδεω ἑσπομένοιο, καὶ εἰ θεὸς ἀντιόῳτο.
Τοῖόν μ' Ἀρήνηθεν ἀοσσητῆρα κομίζεις.
Ἦ, καὶ ἐπισχόμενος πλεῖον δέπας ἀμφοτέρῃσι
Πῖνε χαλίκρητον λαρὸν μέθυ· δεύετο δ' οἴνῳ
Χείλεα, κυάνεαί τε γενειάδες. Οἱ δ' ὁμάδησαν
Πάντες ὁμῶς· Ἴδμων δὲ καὶ ἀμφαδίην ἀγόρευσε.
Δαιμόνιε, φρονέεις ὀλοφώϊα καὶ πάρος αὐτῷ.
Ἠέ τοι εἰς ἄτην ζωρὸν μέθυ θαρσαλέον κῆρ

Metus superveniens qui viros imbelles terrere solet?
Testor nunc hastam impetuosam, quâ præcellentem aliis
Gloriam in præliis reporto (neque me juvat
Jupiter tantùm, quantùm hasta mea) nullam cladem
Perniciosam fore, nec inabsolutum certamen,
Idâ sequente, vel Deus obnitatur.
Talem me ab Arenâ adjutorem vehis.
Dixit: et pleno poculo utrâque manu sublato,
Bibit purum lætificum vinum: rigabantur verò vino
Et labra & genæ cæruleæ. Illi infremebant
Omnes simul: Idmon verò etiam apertè allocutus est.
Vir bone, cogitabas perniciosa et antea tibi ipsi.
An tibi in damnum vinum meracum audaces animos

468. Ζεὺς τόσον] περὶ τοῦ Κύκλωπος Ὅμηρος, "οὐδ' ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην." διὰ τούτου αὐτοῦ ἡ ὑπερηφανία δηλοῦται. καὶ Ὅμηρος δὲ ἀσεβῆ αὐτὸν λέγει, "καί μιν ἄνακτος ἐναντίον ἄλλετο τόξον." Schol.

470. Ἐπισχόμενος πλεῖον δέπας &c.
—— hausit
Spumantem pateram, et pleno se proluit auro.
Æn. 1. 743.

471. Τοῖόν μ' Ἀρήνηθεν] Ἀρήνη πόλις Πελοποννήσου. νῦν δὲ Ἰαρδάνη λέγεται, ὥς φησι Πείσανδρος. φησὶ δὲ ὑπερηφανῶς, οὐ φέρεις με σύμπλοον, ἀλλὰ βοηθόν. Schol.

473. Χαλίκρητον] τὸν ἄκρατον, τὸν χαλῶντα τὰς φρένας. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Αἰσχύλος δὲ καὶ τὰς Βάκχας Χαλιμάδας φησὶ λέγεσθαι. Schol.

475. Ἴδμων δὲ] οἰκείως τὸν ἱερέα ὡς μάντιν ὄντα ποιεῖ ἐναντιούμενον τῷ Ἴδᾳ ἐχθρῷ ὄντι Ἀπόλλωνι. Schol.

Οἰδάνει

Οἰδάνει ἐν στήθεσσι, θεοὺς δ' ἀνέηκεν ἀτύζειν;
Ἄλλοι μῦθοι ἔασι παρήγοροι, οἷσί περ ἀνὴρ
Θαρσύνει ἕταρον· σὺ δ' ἀτάσθαλα πάμπαν ἔειπας.
Τοῖα φάτις καὶ τοὺς πρὶν ἐπιφλύειν μακάρεσσιν
Υἷας Ἀλωϊάδας, οἷς οὐδ' ὅσον ἰσοφαρίζεις
Ἠνορέην· ἔμπης δὲ θοοῖς ἐδάμησαν ὀϊστοῖς
Ἄμφω Λητοΐδαο, καὶ ἴφθιμοί περ ἐόντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσεν ἄδην Ἀφαρήϊος Ἴδας,
Καί μιν ἐπιλλίζων ἠμείβετο κερτομίοισιν·
Ἄγρει νῦν τόδε σῇσι θεοπροπίῃσιν ἐνίσπε,

Turgeſcere facit in pectoribus, Deoſque excitavit vili pendere?
Alii ſermones ſunt conſolatorii, quibus vir
Ad audaciam excitat ſocium: tu verò proterva omnino dixiſti.
Talia fertur etiam priores convicia jactitâſſe in Deos
Aloei natos, quos tu ne tantillum quidem æquiparas
Fortitudine: attamen velocibus domiti ſunt ſagittis
Ambo Apollinis, licèt fortes exiſtentes.
Sic effatus eſt: in immodeſtos verò effuſus eſt cachinnos Aphareïus Idas,
Ipſique nictans reſpondit verbis mordacibus.
Agedum, hoc tuis ede vaticiniis

478. Οἰδάνει] ἐπαίρει, μετεωρίζει, θρασύνει, ἐνεργητικῶς. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς θαλάσσης, ὅταν ἄρξηται μετεωρίζεσθαι. Schol.

Ibid. Ἀτύζειν] Legendum omnino ἀτίζειν, nî ἀτύζειν convenientiorem huic loco ſignificationem habeat eâ quam tribuit Hœlzlinus, *territare*. Nam in totâ Idæ oratione nullæ ſunt contra deos minæ, ſed eos tantùm pro nihilo habet, quo ſane poſſunt *irritari*. Ἀτύζω mihi ſignificare poſſe videtur, *ſollicitum reddo*, *ſollicito*, quod ipſum Latini uſurpant pro *irrito*: quare hìc θεοὺς ἀτύζειν verterem *ſollicitare Deos*. Sanct.

481. Ἐπιφλύειν] τὸ ἐπιφλύειν ἀντὶ τοῦ φλυαρεῖν καὶ λοιδορεῖν, Schol.

482. Ἀλωϊάδας] τὴν περὶ τούτων ἱστορίαν καὶ Ὅμηρος οἶδεν, Ἐρατοσθένης δὲ γηγενεῖς αὐτούς φησι, διὰ δὲ τὸ ἀνατραφῆναι ὑπὸ τῆς Ἀλωέως γυναικὸς, μυθολογηθῆναι ὡς Ἀλωέως εἰσὶν υἱοί. Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν· ταῖς δὲ ἀληθείαις, Ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτούς. καὶ Ἄλον πόλιν Αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι, ἧς Ὅμηρος μνημονεύει. "οἵ τ' Ἄλον εἶχον. Schol."

485. Ἐκ δ' ἐγέλασσεν] καὶ τοῦτο καταφρονοῦντος σημεῖον· εἴγε καὶ Ἰσοκράτης φησὶν "μήτε γέλωτα προπετῆ στέργε." Schol.

486. Ἐπιλλίζων] τοῖς ὀφθαλμοῖς ἐπιμωκώμενος. ἴλλοι γὰρ οἱ στραβοί. Κερτομίοισιν, εἰρωνευτικοῖς, τὸ κέαρ τέμνειν καὶ λυπεῖν δυναμένοις. Schol.

487. Ἄγρει νῦν] δι' ἀμφοτέρων ἐπισκώπτει τὸν Ἴδμονα· πρῶτον μὲν, ὡς ἀπεχθῆ μάντιν· δεύτερον δὲ, ὡς μέγα φρονοῦντα ἐπὶ Ἀπόλλωνι τῷ πατρὶ, ὡς μέγα δυνάμενον τοὺς αὐθάδεις καθαιρεῖν. τοῦτο δὲ μετ' ἀπειλῆς δρᾷ λοιδορῶν. Schol,

Εἰ καὶ ἐμοὶ τοιόνδε θεοὶ τελέουσιν ὄλεθρον,
Οἷον Ἀλωϊάδῃσι πατὴρ τεὸς ἐγγυάλιξε.
Φράζεο δ' ὅππως χεῖρας ἐμὰς σόος ἐξαλέοιο,
Χρειὼ θεσπίζων μεταμώνιον εἴ κεν ἁλῴῃς.
Χώετ' ἐνιπλάζων· προτέρωσε δὲ νεῖκος ἐτύχθη,
Εἰ μὴ δηριόωντας ὁμοκλήσαντες ἑταῖροι,
Αὐτός τ' Αἰσονίδης κατερήτυεν· ἂν δὲ καὶ Ὀρφεὺς
Λαιῇ ἀνασχόμενος κίθαριν πείραζεν ἀοιδῆς.
Ἤειδεν δ' ὡς γαῖα, καὶ οὐρανὸς, ἠδὲ θάλασσα

Num mihi quoque talem Dii maturabunt exitum
Qualem Aloei filiis pater tuus præstitit.
Vide verò quomodo manus meas salvus effugias
Si vanum edidisse vaticinium deprehensus fueris.
Ira turgescebat inter jurgandum: longius vero lis processisset,
Nisi contendentibus interminati fuissent socii,
Ipseque eos Jason cohibuisset; et insuper etiam Orpheus
Lævâ manu sublatâ citharâ, tentâsset cantum.
Cecinit autem quemadmodum terra et cœlum et mare

491. Χρειὼ δηλοῖ καὶ τὸ κατὰ χρείαν καὶ μοῖραν λεγόμενον, καὶ τὸ μέλλον. μεταμώλιον δὲ, μεταμελείας ἄξιον. γράφεται δὲ καὶ μεταμώνιον, ὅ ἐστι μάταιον, μετὰ ἀνέμων φερόμενον. ἀπὸ γενικῆς πληθυντικῆς γίνεται κτητικὸς τύπος εἰς ος, τῷ ι παραληγόμενος· οἷον Ἄμμων, Ἀμμώνιος· Ἀνέμων, Ἀνεμώνιος. Schol.

Ibid. Εἰ κεν] In Flor. et Ald. scriptum est ἥκεν, nec interpunctum post ἁλῴης: at vera lectio est quam secutus est Stephanus, et Hœlzlinus, qui ex veteris codicis auctoritate retinuerunt εἴ κεν, et στιγμὴν τελείαν post ἁλῴῃς posuerunt. Mutandum censet Hartungus εἰ in οἱ, et ἁλῴῃς in nomen proprium Ἀλωεύς, et ita est interpretatus. Sed mutationem tam ineptam quis non demiretur? Sanctamandus interpunctionem mutandam suadet, ut sit semicolon post χρειὼ, quod verteret *opus est. Vide quomodo manus meas salvus effugias, Opus est, si* &c. sed et hoc satis absurdum.

492. Χώετ' ἐνιπλάζων] ἐχολοῦτο καὶ ὠργίζετο κακολογῶν καὶ μεμφόμενος. Schol.

495. Λαιῇ] κατ' εὐφημισμὸν, τῇ ἀριστερᾷ. πείραζεν δὲ, ἀντὶ τοῦ ἡρμοττεν. περιττὴ δὲ ἡ ἀνά. τὸ γὰρ ἑξῆς, καὶ Ὀρφεὺς δέ. εἰ μὴ ὅτι ἐκ τῆς ἀνὰ τὸ ἀναστὰς λέγει. ἀναστὰς δὲ καὶ ὁ Ὀρφεύς. ὅρα δὲ τὸ τῆς μουσικῆς χρήσιμον, εἴγε τὰς στάσεις καὶ τὰς φιλονεικίας καταπαύει. Schol.

496. Ἤειδεν δ' ὡς γαῖα] τὴν προτέραν σύγχυσιν τῶν στοιχείων ᾄδειν βούλεται, ὡς ἔκ τινος φιλονεικίας τὸ ἴδιον ἕκαστον μετέσχεν, καὶ τάξιν ἔλαβεν. οἰκεία δὲ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἡ ᾠδή· ὅτι πρέπον ἐστὶ τῆς μάχης παύσασθαι, καὶ εἰς τὴν οἰκείαν διάθεσιν ἐπανιέναι. Schol.

Ibid. Ἤειδεν] Imitatur hunc locum Silius Ital. XI, 456. qui sic Chirona introducit canentem

Namque Chaos &c. Upt.

Τὸ

Τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῇ συναρηρότα μορφῇ,
Νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα.
Ἠδ' ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
Ἄστρα, σεληναίη τε, καὶ ἠελίοιο κέλευθοι·
Οὔρεά τ' ὡς ἀνέτειλε, καὶ ὡς ποταμοὶ κελάδοντες
Αὐτῇσι νύμφῃσι, καὶ ἑρπετὰ πάντ' ἐγένοντο.
Ἤειδεν δ' ὡς πρῶτον Ὀφίων Εὐρυνόμη τε
Ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο·
Ὥς τε βίῃ καὶ χερσὶν, ὁ μὲν Κρόνῳ εἴκαθε τιμῆς,
Ἡ δὲ Ῥέῃ, ἔπεσον δ' ἐνὶ κύμασιν Ὠκεανοῖο·
Οἱ δὲ τέως μακάρεσσι θεοῖς Τιτῆσιν ἄνασσον,

Cum prius qualitercunque inter ſe unâ cohæſiſſent facie,
Lite ex pernicioſâ diſcreta fuerint ſingula.
Et quemadmodum firmum ſemper in æthere ſignum habeant
Aſtra, lunaque, et ſolis viæ.
Quemadmodum etiam montes exorti ſint; fluviique ſonantes
Cum ipſis Nymphis; et reptilia omnia nata ſint.
Cecinit verò quemadmodum primùm Ophion et Eurynome
Oceani filia, in nivali Olympo fuerint rerum potiti:
Et quemadmodum vi manuum coacti, hic quidem Saturno cedebat ab honore,
Illa verò Rheæ; cecideruntque in fluctus Oceani.
Illi verò tamdiu beatis Dîs Titanibus imperârunt,

498. Νείκεος ἐξ ὀλοοῖο] Ἐμπεδοκλῆς φησὶν ὅτι συγκεχυμένων ἁπάντων τὸ πρότερον, νεῖκος καὶ φιλία παρεμπεμφθέντα τὴν διάκρισιν ἐποιήσαντο· χωρὶς δὲ τούτων οὐδὲν δύναται γενέσθαι· ὃ ἔπεται, ὡς εἰκὸς, μηδὲ ἀπολωλέναι. ὁ δὲ Θαλῆς ἀρχὴν ὑπεστήσατο πάντων τὸ ὕδωρ, λαβὼν παρὰ τοῦ ποιητοῦ λέγοντος, "ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε." καὶ Ζήνων δὲ τὸ παρ' Ἡσιόδῳ χάος ὕδωρ εἶναί φησιν· οὗ συνιζάνοντος, ἰλὺν γίνεσθαι· ἧς πηγνυμένης ἡ γῆ στερεμνιοῦται. τρίτον δὲ ἔρωτα γεγονέναι καθ' Ἡσίοδον, ἵνα τὸ πῦρ παραστήσῃ. πυρωδέστερον γὰρ πάθος ἔρως. Ἀναξαγόρας δὲ μύδρον εἰπὼν τὸν ἥλιον φησὶν, ἐξ οὗ τὰ πάντα γίνεται· διὸ καὶ Εὐριπίδης γνώριμος αὐτοῦ γεγονὼς χρυσέαν βῶλον τὸν ἥλιον εἶπε· τὴν δὲ σελήνην ὁ αὐτὸς Ἀναξαγόρας χώραν πλατεῖαν ἀποφαίνεται, ἐν ᾗ δοκεῖ ὁ Νεμεαῖος λέων πεπτωκέναι. Schol.

Ibid. Νείκεος, *lite.* Quoniam, ut cecinit Ovidius,
Frigida pugnabant calidis, humentia ſiccis,
Mollia cum duris, ſine pondere habentia pondus.

501. Οὔρεα] Δοῦρις φησὶ τοὺς ὑπὸ τῶν χειμάρρων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας γενέσθαι νήσους· τοὺς δὲ εἰς τὴν γῆν, ὄρη. Schol.

Ὄφρα Ζεὺς ἔτι κοῦρος, ἔτι φρεσὶ νήπια εἰδὼς
Δικταῖον ναίεσκεν ὑπὸ σπέος· οἱ δέ μιν οὔπω
Γηγενέες Κύκλωπες ἐκαρτύναντο κεραυνῷ
Βροντῇ τε στεροπῇ τε· τὰ γὰρ Διῒ κῦδος ὀπάζει.
Ἦ, καὶ ὁ μὲν φόρμιγγα σὺν ἀμβροσίῃ σχέθεν αὐδῇ·
Τοί δ' ἄμοτον, λήξαντος, ἔτι προὔχοντο κάρηνα
Πάντες ὁμῶς, ὀρθοῖσιν ἐπ' οὔασιν ἠρεμέοντες
Κηληθμῷ· τοῖόν σφιν ἐνέλλιπε θελκτὺν ἀοιδήν.
Οὐ δ' ἐπιδὴν μετέπειτα κερασσάμενοι Διῒ λοιβὰς,
Ἦ θέμις ἐστὶ, τέως ἐπί τε γλώσσῃσι χέοντο,

Quamdiu Jupiter adhuc puer, adhuc in mente puerilia sapiens,
Dictæo habitabat sub antro, et nondum eum
Terrigenæ Cyclopes communiverant fulmine
Tonitruque et fulgure: hæc enim Jovi gloriam præbent.
Finiit ille: et citharam cum divinâ voce retendit.
Illi verò insatiabiliter, eo cessante, adhuc porrexerunt capita
Omnes simul, arrectis auribus quiescentes
Blandimento: adeo demulcentem reliquerat in ipsis cantum.
Nec verò diu post, misto libamine
Prout fas erat, tandem super linguas profuderunt

508. Ἔτι φρεσὶ] Steph. ἐπὶ.

509. Δικταῖον] τὸ Κρητικὸν, ἔνθα ἀνετράφη ὁ Ζεὺς, ὡς καὶ Καλλίμαχος ἱστορεῖ. Schol.

513. Τοὶ δ' ἄμοτον] ἀντὶ τοῦ ἀμέτρως καὶ ἀκορέστως. ὁ δὲ νοῦς. λήξαντος δὲ τῆς ᾠδῆς, ἀπλήρωτοι αὐτῆς ὄντες, ἔτι ἀνατετάκεισαν τὰς κεφαλὰς, ἀναπεπτακότες τὰ ὦτα καὶ ἠρεμοῦντες ἐν ἡσυχίᾳ. τοιαύτῃ ἡδονῇ συνείχοντο. Schol.

Ibid. Προὔχοντο κάρηνα] *Porrecto jugulo.* Hor.

514. Ἠρεμέοντες κηληθμῷ &c.] In animo fuisse videntur hi versus Miltono, ita canenti,

The Angel ended, and in Adam's Ear
So charming left his Voice, that he awhile
Thought him still speaking, still stood fix'd to hear.

515. Κηληθμῷ] ἐν δὲ τῇ προεκδόσει μετὰ τοῦτο γέγραπται. "ἦμος δὲ τριτάτη φάνη ἠὼς, τῇ δ' ἐπὶ νύκτα Βυθύσσοι Ἑκάτοιο κατ' αὐτόθι δαινυμένοισι, Τῆμος ἄρ' οὐκ ἀλέθεν πνοιὴ πίεσεν. ὦρτο δὲ Τῖφυς Κεκλόμενος βαίνειν ἐπὶ σέλμασι. τοὶ δ' ἀΐοντες." ἑξῆς δὲ τῶν ἐγκειμένων, "σμερδαλέον δὲ λιμήν." Schol.

516. Οὐ δ' ἐπιδὴν μετέπειτα] οὕτως ἀναστρεπτέον τὴν φράσιν, ἔπειτα οὐκ ἐπὶ δὴν οὐδὲ μετὰ χρόνον κεράσαντες, ἀντὶ τοῦ εὐθέως καὶ μετ' ὀλίγον. Schol.

517. Ἦ θέμις] ὅτι ἔθος ἦν τοῖς παλαιοῖς κρατῆρα κιρνᾷν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ Ἑρμῇ, καὶ ἐπισπένδειν οἶνον. καὶ ἴσως φυσικῶς. ἐπεὶ γὰρ Ἑρμῆς λόγος εἶναι παραδίδοται, ὄργανον δὲ αὐτοῦ ἡ γλῶσσα, ἥτις, ὕπνου ἐπιπεσόντος, ἠρεμεῖ, εἰκότως τῷ Ἑρμῇ αὐτὴν θύουσιν. καὶ Ὅμηρος, "γλώσσας δ' ἐν πυρὶ βάλλον." Δημοχίδας δὲ ἐν

Αἰθομέναις·

Αἰθομέναις· ὕπνου δὲ διὰ κνέφας ἐμνώοντο.
Αὐτὰρ ὅτ' αἰγλήεσσα φαεινοῖς ὄμμασιν ἠὼς
Πηλίου αἰπεινὰς ἴδεν ἄκριας, ἐκ δ' ἀνέμοιο
Εὔδιοι ἐκλύζοντο τινασσομένης ἁλὸς ἄκραι,
Δὴ τότ' ἀνέγρετο Τῖφυς· ἄφαρ δ' ὀρόθυνεν ἑταίρους
Βαινέμεναί τ' ἐπὶ νῆα, καὶ ἀρτύνασθαι ἐρετμά.
Σμερδαλέον δὲ λιμὴν Παγασήιος, ἠδὲ καὶ αὐτὴ
Πηλιὰς ἴαχεν Ἀργὼ ἐπισπέρχουσα νέεσθαι.
Ἐν γάρ οἱ δόρυ θεῖον ἐλήλατο, τό ῥ' ἀνὰ μέσσην
Στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.

Ardentes: nec ſomni ſub noctem obliti ſunt.
Quando verò ſplendida fulgentibus oculis Aurora
Pelii celſis aſſulſit jugis, et vento
Tranquillæ fluctuârunt ſucceſſi maris ſummitates,
Tunc ſane experrectus eſt Tiphys; ſtatimque excitavit ſocios
Ut ingrederentur navem et aptarent remos.
Horrificè verò portus Pagaſeius, atque ipſa etiam
Peliaca inſonabat Argo, urgens ad abitum.
In eâ enim trabes divina erat impacta, quam mediæ
Carinæ Minerva e Dodonæâ adaptaverat quercu.

τοῖς Μεγαρικοῖς ἱστορεῖ, ὅτι Ἀλκάθους ὁ Πέλοπος διὰ τὸν Χρυσίππου φόνον φυγαδευθεὶς ἐκ Μεγάρων, ἀπήρχετο κατοικήσων εἰς ἑτέραν πόλιν. καὶ δὴ περιπεσὼν λέοντι λυμαινομένῳ τὰ Μέγαρα, ἐφ' ὃν καὶ ἕτεροι ἦσαν ἀπεσταλμένοι ὑπὸ τοῦ βασιλέως τῶν Μεγάρων, καταγωνίζεται τοῦτον· καὶ τὴν γλῶτταν αὐτοῦ εἰς πήραν θέμενος, ἐπανῆλθεν αὖθις εἰς τὰ Μέγαρα. καὶ ἀπαγγελλόντων τῶν ἀπεσταλμένων ἐπὶ τὴν θήραν, ὅτι αὐτοί εἰσιν οἱ κατηγωνισμένοι τὸ θηρίον, προσκομίσας τὴν πήραν, ἤλεγξεν αὐτούς. διόπερ θύσας τοῖς θεοῖς ὁ βασιλεὺς, τὸ τελευταῖον τὴν γλῶσσαν ἐπέθηκεν τοῖς βωμοῖς· καὶ ἀπὸ τότε ἔθος τοῦτο διέμεινεν Μεγαρεῦσι. Φιλόχωρος δὲ ἐν τῷ περὶ θυσιῶν φησὶν ὅτι τὸ κάλλιστον τοῦ σώματος καὶ περιττεῦόν ἐστι. καὶ Ὅμηρος, "ἀλλ' ἄγε τάμνετε γλώσσας," ἀντὶ τοῦ παύετε τοὺς λόγους. Schol.

Ibid. Flor. χίονται.

525. Πηλιὰς ἴαχεν Ἀργώ.] *Fatidicam ratim* vocat ſtatim in initio Valerius Flaccus. Vide autem Schottum diſquirentem. l. II. 10, an humanam vocem habuerit Argo. Confer quoque Valerium Flaccum, 1. 302. ubi lignum, quod in puppe erat, ex ſylvâ Dodonide exciſum, vocale fuiſſe dicitur. Vide autem Apollonium. L. 4. 580. Sic autem Claudianus, Bell. Get. 14, de carinâ hâc loquaciſſimâ,

—— ſed cæſo, monitu Jovis, augure luco,
Arbore præſaga tabulas animâſſe loquaces. Upt.

526. Ἐν γάρ οἱ δόρυ] πυθικῶς ἐκ τῆς Δωδωνίδος φησὶ δρυὸς τὸ ξύλον εἶναι ἐν τῇ Ἀργοῖ τὸ φωνῆεν. ἐπεὶ καὶ αὐτὴ ἐφθεγ-

Οἱ δ' ἀνὰ σέλματα βάντες, ἐπισχερὼ, ἀλλήλοισιν
Ὡς ἐδάσαντο πάροιθεν ἐρεσσέμεν, ᾧ ἐνὶ χώρῳ
Εὐκόσμως σφετέροισι παρ' ἔντεσιν ἑδριόωντο.
Μέσσῳ δ' Ἀγκαῖος μέγα τε σθένος Ἡρακλῆος
Ἵζανον· ἄγχι δέ οἱ ῥόπαλον θέτο, καί οἱ ἔνερθε
Ποσσὶν ὑπεκλύσθη νηὸς τρόπις· εἵλκετο δ' ἤδη
Πείσματα, καὶ μέθυ λεῖβον ὕπερθ' ἁλός· αὐτὰρ Ἰήσων
Δακρυόεις γαίης ἀπὸ πατρίδος ὄμματ' ἔνεικεν.
Οἱ δ', ὥστ' ἠΐθεοι Φοίβῳ χορὸν ἢ ἐνὶ Πυθοῖ,
Ἤ που ἐν Ὀρτυγίῃ, ἢ ἐφ' ὕδασιν Ἰσμηνοῖο
Στησάμενοι, φόρμιγγος ὑπαὶ περὶ βωμὸν ὁμαρτῇ

Illi verò, tranſtris inſcenſis ex ordine, ſicut inter ſe invicem
Remigandi laborem antea diviſerant, ſuo quiſque loco,
Ex diſciplinâ, poſitis juxta armis, conſederunt.
In medio autem Ancæus, et præpollens viribus Hercules
Conſederunt; ac *Hercules* prope ſe poſuit clavam; eique infra
Pedes ſubluebatur navis carina: jamque intrahebantur
Funes, et vinum libârunt ſuper mare. Jaſon autem
Lachrymabundus a terrâ patriâ oculos abſtorſit.
Illi verò, juvenum more Phœbo chorum vel apud Delphos
Vel alicubi in Ortygiâ, vel ad aquas Iſmeni
Inſtaurantium, ad citharam circa aram ſimul

γετο, ὥς φησιν Ὅμηρος, "ὄφρα θεοῖο ἐκ δρυὸς ὑψικόμοιο βουλὴν ἐπακούσαι." Schol.

Ibid. Quâ ratione γὰρ producatur, conſule Clarkium ad Il. 1. 51.

528. Οἱ δ' ἀνὰ σέλματα] τὰς τῶν ἐρετῶν καθέδρας, τὰ σελιδώματα. καθόλου δὲ τὸ πλατὺ ξύλον σέλμα λέγεται καὶ σελίδωμα. ὅθεν καὶ τὰς σελίδας τῶν ῥαψῳδιῶν διὰ τὸ πλάτος φαμέν. Schol.

533. Ποσσὶν ὑπεκλύσθη] καὶ αὐτῷ ἐπικαθεσθέντι κάτωθεν παρὰ τοῖς ποσὶ μᾶλλον ἐπεκλύσθη ἡ τρόπις τῆς νεὼς, καὶ ἐν βάθει τῆς θαλάσσης ἐγένετο τῷ βάρει τοῦ ἥρωος. Schol.

535. Δακρυόεις γαίης &c.

Litora tum patriæ lacrymans, portuſque relinquo.
Æn. 3. 10.

537. Ἤ που ἐν Ὀρτυγίῃ] ἐν τῇ Δήλῳ. τὸ δὲ ἑξῆς οὕτως. καθάπερ ἠΐθεοι ἐν Δελφοῖς, ἢ ἐν Ἰσμηνῷ περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος χορὸν στήσαντες, πρὸς τὸ τῆς κιθάρας μέλος ἡρμοσμένως κροτοῦσι τοῖς ποσίν· οὕτω καὶ οὗτοι τῇ τοῦ Ὀρφέως κιθάρᾳ κηλούμενοι σφοδρότερον πρὸς τὴν κωπηλασίαν ᾔεσαν. τὸ δὲ ἑξῆς, ὁμαρτῇ ῥήσσωσιν. ἡ δὲ ὑπὸ πρόθεσις παρῆκται, ὡς παρ' Ὁμήρῳ, "ὑπαὶ πόδα νείατον Ἴδης." Ἰσμηνὸς ποταμὸς Βοιωτίας· ἀφ' οὗ Ἰσμήνιον Ἀπόλλωνος ἱερόν. Schol.

Ἐμμελέως

Ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν·
Ὣς ὑπ' Ὀρφῆος κιθάρῃ πέπληγον ἐρετμοῖς
Πόντου λάβρον ὕδωρ· ἐπὶ δὲ ῥόθια κλύζοντο·
Ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη,
Δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.
Στράπτε δ' ὑπ' ἠελίῳ φλογὶ εἴκελα νηὸς ἰούσης
Τεύχεα· μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι,
Ἀτραπὸς ὣς χλοεροῖο διειδομένη πεδίοιο.
Πάντες δ' οὐρανόθεν λεῦσσον θεοὶ ἤματι κείνῳ
Νῆα, καὶ ἡμιθέων ἀνδρῶν μένος, οἳ τότ' ἄριστοι
Πόντον ἐπιπλώεσκον· ἐπ' ἀκροτάτοισι δὲ Νύμφαι
Πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
Ἔργον Ἀθηναίης Ἰτωνίδος, ἠδὲ καὶ αὐτοὺς

Aptè velocibus terram quatientium pedibus,
Ad Orphei citharam feriebant remis
Voracem maris undam: et fluctus impetuosius affluebant.
Spumâ verò utrinque atrum subsiliebat mare
Horrendum murmurans prævalidorum robore virorum.
Coruscabant autem sub sole, flammarum instar, currentis navigii
Armamenta; longique semper albescebant tractus
Velut semita per viridem campum conspicua.
Enimverò, in eo die, omnes de cœlo Dii prospexerunt
In navem, et semideorum virorum robur, qui tunc fortissimi
Navigabant mare: in summis etiam Nymphæ
Peliades apicibus, admiratæ sunt intuentes
Opus Minervæ Itoniæ, et ipsos insuper

540. Ad fulciendum versum, inter ὡς et ὑπ' particulam ἄρ' interjecit Stephanus.

542. Κήκιεν ἅλμη] ἀνεδίδοτο, καὶ ἀνεπήδα ἑκατέρωθεν τῆς νεὼς ἡ θάλασσα. Schol.

543. Μορμύρουσα] δεινῶς ταρασσομένη, καὶ κινουμένη φοβερῶς. ἐν δὲ τῇ προεκδόσει, "μορμύρουσα τυπῇσιν ἐρισθενέων μένει ἀνδρῶν." Schol.

545. Τεύχεα] εἰς κόσμον τῆς νεὼς εἰώθασιν ὅπλα προστιθέναι. Μακραὶ δ' αἰὲν. ὁ νοῦς, ἐλευκαίνετο δὲ τὸ ὕδωρ, καθάπερ ἀτραπὸς διὰ χλοηφοροῦντος πεδίου. ἢ ἄλλως. ὡς δήλη ἐστὶν ἡ ὁδὸς πεδίου μεταξὺ χλοηφόρου, οὕτω καὶ ὁ τύπος τῆς νεὼς ἐφαίνετο. Schol.

547. Πάντες δ' οὐρανόθεν] διὰ τοῦτο ἐβουλεύσαντο καὶ θεοὺς σκοπεῖν καὶ θαυμάζειν τὸν πλοῦν· οὐ γὰρ ἁπλῶς τινες ναῦται ἦσαν, ἀλλ' ἡμίθεοι. τὸ δὲ νῆα ὑπὸ Ἀθηνᾶς εἰργασμένην πρὸς πᾶν θαῦμα κεῖται. Schol.

551. Ἀθηναίης Ἰτωνίδος] γράφεται

Ἥρωας

Ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.
Αὐτὰρ ὅγ' ἐξ ὑπάτου ὄρεος κίεν ἄγχι θαλάσσης
Χείρων Φιλλυρίδης· πολιῇ δ' ἐπὶ κύματος ἀγῇ
Τέγγε πόδας· καὶ πολλὰ βαρείῃ χειρὶ κελεύων,
Νόστον ἐπευφήμησεν ἀκηδέα νισσομένοισι.
Σὺν καί οἱ παράκοιτις ἐπωλένιον φορέουσα
Πηλείδην Ἀχιλῆα φίλῳ δειδίσκετο πατρί.
Οἱ δ' ὅτε δὴ λιμένος περιηγέα κάλλιπον ἀκτὴν,

Heroas manibus impellentes remos.
At ipſe a ſummo monte degreſſus eſt prope mare
Chiron Phillyrides, canâque fluctuum fracturâ
Tinxit pedes; multaque manu gravi hortatus,
Reditum precatus eſt tutum diſcedentibus.
Cum eo etiam uxor in ulnis geſtans
Achillem Peleo genitum, caro humaniter præbebat patri.
Illi verò, poſtquam portûs flexuoſum reliquiſſent litus,

καὶ Τριτωνίδος. Ἰτωνίας δὲ Ἀθηνᾶς ἐστὶν ἱερὸν ἐν Κορωνείᾳ τῆς Βοιωτίας. ὁ μέντοι Ἀπολλώνιος οὐκ ἂν λέγοι τὴν Ἀθηνᾶν ἐπὶ κατασκευῇ τῆς Ἀργοῦς ἀπὸ τῆς ἐν Ἰτωνίᾳ κλήσεως· μᾶλλον δὲ ἀπὸ Θεσσαλικῆς Ἰτωνίας, περὶ ἧς Ἑκαταῖος μὲν ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν λέγει. Ἀρμενίδας δὲ ἐν τοῖς Θηβαϊκοῖς Ἀμφικτύονος υἱὸν Ἴτωνον ἐν Θεσσαλίᾳ γεννηθῆναι, ἀφ' οὗ Ἴτων πόλις καὶ Ἰτωνὶς Ἀθηνᾶ. μέμνηται καὶ Ἀλέξανδρος ἐν πρώτῳ Καρικῶν ὑπομνημάτων. Schol.

554. Πολιῇ δ' ἐπὶ κύματος ἀγῇ] τῷ αἰγιαλῷ, ἔνθα τὰ κύματα περιάγνυται. Σουίδας ἐν Θεσσαλικοῖς φησὶν Ἰξίονος υἱὸν εἶναι Χείρωνα, ὥσπερ καὶ τοὺς λοιποὺς τῶν κενταύρων. ὁ δὲ τὴν γιγαντομαχίαν ποιήσας, φησὶν ὅτι ὁ Κρόνος μεταμορφωθεὶς εἰς ἵππον ἐμίγη Φιλύρᾳ τῇ ὠκεανοῦ. διόπερ καὶ ἱπποκένταυρος ἐγεννήθη ὁ Χείρων. τούτου δὲ γυνὴ Χαρικλώ. εἰκότως δὲ παρεισήνεγκεν εἰκόνα τοῦ Χείρωνος, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι δικαιότατος κενταύρων· καὶ διὰ τὴν οἰκειότητα τὴν εἰς τὸν Ἰάσονα. παρ' αὐτοῦ γὰρ ἔμαθε τὴν ἰατρικήν. ὅθεν καὶ Ἰάσων ἐκλήθη παρὰ τὴν ἴασιν. Schol.

555. Χειρὶ, Quoniam, ut annotavit Hœlzlinus, φωνὴ futura erat ἀνεξάκουστος.

558. Πηλείδην Ἀχιλῆα] ἠκολούθησεν Ἀπολλώνιος τοῖς μεθ' Ὅμηρον ποιηταῖς, ὑπὸ Χείρωνος λέγων τὸν Ἀχιλλέα τραφῆναι. Ὅμηρος δὲ οὐδὲν τοιοῦτον λέγει. διαπεφωνήκασι δὲ καὶ περὶ τῆς αὐτοῦ μητρός. ἐκεῖνος γὰρ πανταχοῦ Θέτιδος αὐτὸν ἀποφαίνεται. Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ δευτέρῳ τῶν νόστων κατὰ λέξιν λέγων. Σουίδας γὰρ καὶ Ἀριστοτέλης οἱ περὶ Εὐβοίας πεπραγματευμένοι, καὶ ὁ τοὺς Φρυγίους λόγους γράψας, καὶ Δαΐμαχος, καὶ Διονύσιος ὁ Χαλκιδεύς. οὐ τὴν ὑπὸ Ἀχιλλέως διεσπαρμένην ἀφῆκαν ἡμῖν ἐπὶ χώρας δόξαν, ἀλλὰ τοὐναντίον, οἱ μὲν ἐκ Θέτιδος αὐτὸν νομίζουσι γεγονέναι τοῦ Χείρωνος, Δαΐμαχος δὲ ἐκ Φιλομήλης τοῦ Ἄκτορος. Ἄλλοι δ' ἄλλως περὶ αὐτοῦ ἀποφαίνονται. Schol.

Hæc ſchol. Stephanus aſteriſco notavit, utpote vel corrupta, vel mutila.

φραδμοσύνῃ

Φραδμοσύνῃ μήτι τε δαΐφρονος Ἁγνιάδαο
Τίφυος, ὅς ῥ' ἐνὶ χερσὶν ἐΰξοα τεχνηέντως
Πηδάλι' ἀμφιέπεσκ', ὄφρ' ἔμπεδον ἐξιθύνοι·
Δή ῥα τότε μέγαν ἱστὸν ἐνεστήσαντο μεσόδμῃ,
Δῆσαν δὲ προτόνοισι τανυσσάμενοι ἑκάτερθεν·
Κάδδ' αὐτοῦ λίνα χεῦον ἐπ' ἠλακάτην ἐρύσαντες.
Ἐν δὲ λιγὺς πέσεν οὖρος· ἐπ' ἰκριόφιν δὲ κάλωας
Ξεστῇσιν περόνῃσι διακριδὸν ἀμφιβαλόντες,
Τισαίην εὔκηλοι ὑπὲρ δολιχὴν θέον ἄκρην.

Prudentiâ et consilio solertis Agneo-fati
Tiphyos, qui in manibus bene politum scitè
Clavum tenebat, ut certius *navem* dirigeret,
Tunc sane ingentem malum instituerunt in receptaculo,
Et alligârunt funibus utrinque extensis;
Deinde lintea dispenderunt in summam mali partem tracta.
Interim stridula incidit aura: et quando tabulatis funes
Rasis fibulis discretim circumposuissent,
Ultra Tisæum placidi procucurrerunt, productius jugum.

563. Μεσόδμη, ἡ ἱστοδόκη, ὅπου τίθεται ὁ ἱστὸς καὶ κλίνεται. Schol.

564 Προτόνους δὲ τὰ ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ ἐπὶ τὴν πρῷραν καὶ τὴν πρύμναν ἐκτεινόμενα σχοινία. Schol.

565. Κάδδ' αὐτοῦ] Vide Schol. Homeri Il. π'. 183. et Barnesium in fragmenta Homeri p. 101. Upt.

Ibid. Ἠλακάτην δὲ λέγεται τὸ λεπτότατον μέρος τοῦ ἱστοῦ κατὰ Ἐρατοσθένην, ὑπὲρ ὃ ἐστὶ τὸ καρχήσιον. Schol.

566. Ἰκριόφιν] ἴκριον δὲ, οἱ μὲν μέρος τοῦ ἱστοῦ λέγουσι. βέλτιον δὲ νοεῖν ἴκριον τὴν καλουμένην κεραίαν, ἧς τὰ ἄκρα, ἀκρότερα λέγονται. λέγεται δὲ ἴκρια καὶ τὰ σανιδώματα, οἷς οἱ πάσσαλοι προσκεῖνται. κάλωας δὲ τὰ σχοινία, νῦν μὲν οἷς ὁ ἱστὸς ἰσχυρὸς ποιεῖται ἀφ' ἑκατέρου τοῦ πλευροῦ τῆς νεώς. καὶ καθόλου δὲ πᾶν σχοινίον κάλως λέγεται. οἱ δὲ καὶ διαιροῦντες αὐτοὺς, οἷς μὲν κατατείνεται τὸ ἱστίον, μεσουρίας λέγουσιν· οἷς δὲ ἰσχυροποιεῖται ὁ ἱστὸς ἐξ ἑκατέρου μέρους ἐπὶ τὴν πρῷραν, προτόνους· τοὺς δὲ κατὰ τὰς γωνίας, πόδας· ἐφεξῆς δὲ τούτων προπόδας· μεθ' οὓς εἰσὶν οἱ καλούμενοι πέρθελοι, ἅτε οὓς λέγουσι μέσους. Schol.

567. Περόνῃσι] περόνας δὲ τοὺς πασσάλους τοὺς ἐπὶ τῶν σανιδωμάτων· ἢ τοὺς καλουμένους τροχοὺς, οἷς τὰ σχοινία δεσμεύουσι. Διακριδὸν δὲ, ἀντὶ τοῦ διακεκριμένως, καὶ ἐκτεταγμένως. ὅταν οὖν λέγῃ ἐπὶ τὴν ἠλακάτην ἐρύσαι τὰ λίνα, τοῦτο φησὶν, ὅτι μέχρι τοῦ ἀκροτάτου μέρους τοῦ ἱστοῦ ἀνέλκουσι τὰ ἱστία. Ἱστέον ὅτι Ἐρατοσθένης ἐν τῷ ἀρχιτεκτονικῷ, μέρη ταῦτα φησὶν ἱστοῦ, πτέρνη, θωράκιον, ἠλακάτη, καρχήσιον, κεραία, ἴκριον. Schol.

568. Τίσαιον] ἀκρωτήριον Θεσσαλίας. οἱ δὲ, Θεσπρωτίας. Schol.

Ibid. Τισαίην] Huc respexit Valerius Flaccus, L. II. 7.

Templaque Tisææ mergunt obliqua Dianæ.

Tisæum est promontorium in quo

Τοῖσι δὲ φορμίζων εὐθήμονι μέλπεν ἀοιδῇ
Οἰάγροιο πάϊς νηοσσόον, εὐπατέρειαν
Ἄρτεμιν, ἣ κείνας σκοπιὰς ἁλὸς ἀμφιέπεσκε,
Ῥυομένη καὶ γαῖαν Ἰωλκίδα· ἐκ δὲ βαθείης
Ἰχθύες ἀΐσσοντες ὕπερθ' ἁλὸς ἄμμιγα παύροις
Ἄπλετοι, ὑγρὰ κέλευθα διασκαίροντες ἕποντο.
Ὡς δ' ὁπότ' ἀγραύλοιο κατ' ἴχνια σημαντῆρος
Μυρία μῆλ' ἐφέπονται ἄδην κεκορημένα ποίης
Εἰς αὖλιν, ὁ δέ τ' εἶσι πάρος σύριγγι λιγείῃ
Καλὰ μελιζόμενος νόμιον μέλος· ὣς ἄρα τοίγε
Ὡμάρτευν, τὴν δ' αἰὲν ἐπασσύτερος φέρεν οὖρος·
Αὐτίκα δ' ἠερίη πολυλήϊος αἶα Πελασγῶν

Iis verò citharâ alludens bene compoſito celebrabat carmine
Oeagri natus conſervatricem navium, patre claro natam
Dianam, quæ illas ſpeculas maris tuebatur,
Servans etiam teram Iolcicam. At ex profundo
Piſces erumpentes ſuper mare, promiſcuè cum parvis
Magni, per liquidas ſalientes vias ſequebantur.
Ut verò res eſt, quando poſt ruralis veſtigia magiſtri
Innumeræ ſequuntur oves, herbâ ad plenum ſatiatæ
In ovile; ille autem præit, fiſtulâ argutâ
Suaviter modulans paſtorale carmen; haud aliter iſti
Secuti ſunt; navem verò magis magiſque increbeſcens ferebat aura.
Statim autem nigra frumentaria tellus Pelaſgorum

Diana colebatur. Notat Stephanus quoſdam falsò credidiſſe, et inter hos Varinum, legi a Scholiaſte Τίσαιον pro Τίσαιον, cum ſcribit Scholiaſtes Τίσαιον quod referat ad ἀκρωτήριον, ut Apollonius Τισαίην retulit ad ἄκρην.

569. Εὐθήμονι] εὖ διατεθειμένῃ, εὐρύθμῳ, εὐποιήτῳ. θεῖναι γὰρ τὸ ποιῆσαι. Schol.

571. Ἄρτεμιν ὑμνεῖ διὰ τὸ τὸν τόπον ἱερὸν αὐτῆς εἶναι. Schol.

573. Ἄμμιγα] Διὰ τοῦ ἄμμιγα τὸ τοὺς μείλους θελκτικὸν σημαίνει. οἷον οἱ μικροὶ τε ἑαυτοὺς βλάπτοντες, ἀλλὰ μεθ' ἡσυχίας ἑπόμενοι. Schol.

574. Ἄπλετοι] ἀπροσπέλαστοι, μεγάλοι. Διασκαίροντες καὶ διαπηδώμενοι. Schol.

578. Νόμιον μέλος] ποιμενικὸν, παρὰ τοὺς νομέας, ἢ νόμιον μέλος, ὕμνος παρὰ τοῖς ἀρχαίοις οὕτω λεγόμενος. Schol.

580. Ἠερίη πολυλήϊος] ἡ Θεσσαλία, παρὰ τὸ μέλαιναν εἶναι τὴν γῆν. οὕτω γὰρ καὶ τὴν Αἴγυπτον ἠερίαν φασίν. ἢ ἠερίας ἀντὶ τοῦ πρωΐας, ἀπὸ τοῦ ἦρι. Πελασγῶν. τῶν Θεσσαλῶν, ἀπὸ Πελασγοῦ τοῦ Ἰνάχου· ἢ ἀπὸ Πελασγῶν, ἔθνους βαρβαρικοῦ οἰκήσαντος τὴν Θεσσαλίαν καὶ τὸ Ἄργος. ἢ ἀπὸ Πελασγοῦ τοῦ Ποσειδῶνος υἱοῦ καὶ Λαρίσσης. Στάφυλος δὲ ὁ Ναυκρατίτης, Πε-

Δύστω

Δύετο, Πηλιάδες δὲ παρεξήμειβον ἐρίπνας,
Αἰὲν ἐπιπροθέοντες· ἔδυνε δὲ Σηπιὰς ἄκρη·
Φαίνετο δ᾽ εἰναλίη Σκίαθος, φαίνοντο δ᾽ ἄπωθεν
Πειρεσιαὶ, Μάγνησσά θ᾽, ὑπεύδιος ἠπείροιο
Ἀκτὴ, καὶ τύμβος Δολόπηιος· ἔνθ᾽ ἄρα τοίγε
Ἑσπέριοι ἀνέμοιο πάλιν πνοιῇσιν ἔκελσαν.
Καί μιν κυδαίνοντες ὑπὸ κνέφας, ἔντομα μήλων

Latefcebat, Peliacafque tranfierunt rupes
Continuò procurrentes: fubfidebat verò Sepias promontorium;
Et apparebat maritima Sciathos, & procul
Pirefiæ, Magnefiaque, tranquillum continentis
Litus; et buftum Dolopis, quò fane illi
Vefpertini venti contrariis flatibus appulerunt.
Ipfumque celebrantes fub crepufculum, incifa pecudum

λασγὸν φησὶν Ἀργεῖον τὸ γένος· μετοικῆσαι δὲ εἰς Θεσσαλίαν, καὶ ἀπ᾽ αὐτοῦ Πελασγίαν τὴν Θεσσαλίαν κληθῆναι. ὅτι δὲ καὶ αὐτοὶ οἱ Ἀργεῖοι ἐκαλοῦντο Πελασγοὶ, Σοφοκλῆς ἐν Ἰνάχῳ φησί. καὶ οἱ Τυρσηνοὶ δὲ Πελασγοί. Schol.

581. Ἐρίπνας] ἀπόῤῥωγας κολώνας, ἀπαλὰ κρημνώδη. λέγουσι δὲ οὕτω καὶ τὰς οἰκίας, ἀπὸ τοῦ ἐρηρεῖσθαι. ἐρίπνη δὲ λέγεται ἐπὶ τοῦ ἀκρωτηρίου, παρὰ τὸ ἐγγὺς πεῖσθαι. Schol.

582. Σηπιὰς] ἀκρωτήριον ἐν Ἰωλκῷ οὕτω καλούμενον, διὰ τὸ τὴν Θέτιν ἐνταῦθα εἰς Σηπίαν μεταβληθῆναι διωκομένην ὑπὸ Πηλέως. Schol.

583. Εἰναλίη Σκίαθος] ἡ παραθαλασσία. νῆσος γὰρ ἡ Σκίαθος τῆς Θεσσαλίας, ἐγγὺς Εὐβοίας· ἧς καὶ Σιμωνίδης μέμνηται. Schol.

584. Πειρεσιαὶ] πόλις Μαγνησίας· Μάγνησσα δὲ πόλις τῇ χώρᾳ ὁμώνυμος, ἄγαν εὔδιος, καὶ παραθαλάσσιος.
Μάγνησσα. τὴν Μαγνησίαν λέγει τὴν κατὰ Θεσσαλίαν. ἔστι γὰρ καὶ ἑτέρα Μαγνησία περὶ Ἔφεσον, ἐκτισμένη ὑπὸ Λευκίππου τοῦ Κρητὸς, μετοικήσαντος ἐκεῖ σὺν Μάγνησι τοῖς ἐκ Κρήτης. Μάγνησσά θ᾽ ὑπεύδιος. ὁ νοῦς, οὐ τραχεῖά τις, οὐδὲ πετρώδης, ἀλλ᾽ ὁμαλή τις καὶ εὔδιος.

586. Πάλιν non ad ἔκελσαν referendum, ut perperam interpretatus eft Hœlzlinus, fed ad πνοιῇσιν. Primus hic appulfus eft Argonautarum ad litus: quare hìc non dici poteft, *rurfus* appulerunt. Legendum igitur παλιμπνοιῇσιν, ὑπὸ μίαν λέξιν. Sanct.

587. Καί μιν κυδαίνοντες] τὸν Δόλοπα. ὁ δὲ Δόλοψ, Ἑρμοῦ υἱὸς, ὃς ἐν Μαγνήσσῃ τῇ πόλει ἀπώλετο, καὶ αὐτόθι τάφον παρὰ τῷ αἰγιαλῷ ἔχει. ὡς Κλέων ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν. τοῖς μὲν οὖν κατοιχομένοις ὡς περὶ ἡλίου δυσμὰς ἐναγίζουσι, τοῖς δὲ οὐρανίδαις ὑπὸ τὴν ἕω, ἀνατέλλοντος τοῦ ἡλίου. Ἔντομα δὲ, τὰ σφάγια κυρίως τὰ τοῖς νεκροῖς ἐναγιζόμενα, διὰ τὸ ἐν τῇ γῇ αὐτῶν ἀποτέμνεσθαι τὰς κεφαλάς. οὕτω γὰρ θύουσι τοῖς χθονίοις. τοῖς δὲ οὐρανίοις ἄνω ἀναστρέφοντες τὸν τράχηλον σφάζουσιν. Ὅμηρος, "αὖ ἔρυσαν μὲν πρῶτα." ἄλλοι δὲ ἔντομα, φασὶν, τοῖς τεθνεῶσιν ἐνάγιζον, ὡς ἄγονα τοῖς ἀγόνοις. τοῖς δὲ οὐρανίοις θεοῖς ἔνορχα ἔθυον. λείπει δὲ ἡ παρὰ πρόθεσις, ἵν᾽ ᾖ, ἔθυον τῷ Δόλοπι παρὰ τῷ οἴδματι τῆς θαλάσσης. Schol.

Κεῖαν, ὀρινομένης ἁλὸς οἴδματι· διπλόα δ' ἀκταῖς
Ἤματ' ἐλινύεσκον· ἀτὰρ τριτάτῳ προέηκαν
Νῆα, τανυσσάμενοι περιώσιον ὑψόθι λαῖφος.
Τὴν δ' ἀκτὴν Ἀφέτας Ἀργοῦς ἔτι κικλήσκουσιν.
Ἔνθεν δὲ προτέρωσε παρεξέθεον Μελίβοιαν,
Ἀκτήν τ' αἰγιαλόν τε δυσήνεμον εἰσορόωντες.
Ἠῶθεν δ' Ὁμόλην αὐτοσχεδὸν εἰσορόωντες
Πόντῳ κεκλιμένην παρεμέτρεον· οὐδ' ἔτι δηρὸν
Μέλλον ὑπὲκ ποταμοῖο βαλεῖν Ἀμύροιο ῥέεθρα.
Κεῖθεν δ' εὐρυμένας τε πολυκλύστους τε φάραγγας
Ὄσσης Οὐλύμποιό τ' ἐσέδρακον· αὐτὰρ ἔπειτα

Cremârunt, concitato maris fluctu; binosque in litoribus
Dies commorati sunt: tertio verò deduxerunt
Navem, dispesso decimano in altum velo.
Hoc autem litus Aphetas Argûs adhuc vocant.
Inde autem ulterius prætercurrerunt Melibœam,
Oramque litusque asperum ventis intuentes.
Mane verò Homolen cominus aspicientes
Mari incumbentem præternavigârunt; nec diu
Cunctati sunt fluminis transire Amyri fluenta.
Inde verò apertas undosasque valles
Ossæ et Olympi prospexerunt: et deinceps

589. Ἐλινύεσκον] περὶ τὸ αὐτὸ διέτριβον. ἢ ἐστρεύγοντο ἐμποδιζόμενοι τῆς ὁδοῦ. Schol.

592. Μελίβοιαν] Μελίβοια πόλις Θεσσαλίας.

594. Ὁμόλην] Ὁμόλη ὄρος Θεσσαλίας οὕτω καλούμενον, ἢ πόλις Θρᾴκης. Schol.

595. Οὐδ' ἔτι δηρὸν] ὁ λόγος. οὐκ ἔμελλον μετὰ πολὺ παρέρχεσθαι τὰ ῥεύματα τοῦ ποταμοῦ. Schol.

596. Ὑπεκβαλεῖν] τὸ ἀμεῖψαι τὰ ῥεῖθρα τοῦ Ἀμύρου ποταμοῦ σημαίνει.
Ἀμύροιο ῥέεθρα. Ἄμυρος Θεσσαλίας ποταμὸς ὁμορίαν, μετὰ τὴν Μελίβοιαν κείμενος, προσηγορευόμενος ἀπὸ Ἀμύρου τοῦ υἱοῦ Ποσειδῶνος. ἔστι δὲ καὶ πόλις αὐτόθι. Schol.

597. Εὐρυμένας] φάραγγας, τὰς εἰς τὸ πλάτος ἀνεῳγμένας. Schol.

Ibid. Εὐρυμένας] Scholiastes *apertas*. at Scylax Εὐρυμένας ponit inter urbes, quæ ἔξω τοῦ κόλπου Παγασητικοῦ. Quocum et Flaccus sentit. Hœlzlinus.

598. Ὄσσης] Ὄσσα ὄρος πρὸς τῷ τέλει τῆς Θεσσαλίας, μεθ' ὃ διαδέχεται ἡ Μακεδονία. Κλίτεα δὲ, τὰς ἀνακλίσεις τῶν ὀρῶν καὶ βάσεις. Παλλήνη δὲ, ὄρος Θρᾴκης καὶ πόλις, ὅθεν ἦν Πρωτεύς. Κανάστρα δὲ, ἀκρωτήριον τῆς Παλλήνης. Ὄλυμποι δὲ εἰσιν ἕξ· Μακεδονίας, Θεσσαλίας (ἐν ᾧ καὶ Ὀλύμπια φησὶν Ἀπολλόδωρος ἄγεσθαι) Μυσίας, Κιλικίας, Ἤλιδος, Ἀρκαδίας. Schol.

Κλίτεα

Κλίτεα Παλληναῖα Καναστραίην ὑπὲρ ἄκρην
Ἤνυσαν ἐννύχιοι πνοιῇς ἀνέμοιο θέοντες.
Ἦρι δὲ νισσομένοισιν Ἄθω ἀνέτελλε κολώνη
Θρηϊκίη, ἣ τόσσον ἀπόπροθι Λῆμνον ἐοῦσαν,
Ὅσσον ἐς ἔνδιόν κεν ἐΰστολος ὁλκὰς ἀνύσσαι,
Ἀκροτάτῃ κορυφῇ σκιάει, καὶ ἐσαίχρι Μυρίνης.
Τοῖσιν δ' αὐτῆμαρ μὲν ἄεν καὶ ἐπὶ κνέφας οὖρος
Πάγχυ μάλ' ἀκραής· τετάνυστο δὲ λαίφεα νηός.
Αὐτὰρ ἅμ' ἠελίοιο βολαῖς, ἀνέμοιο λιπόντος,
Εἰρεσίῃ κραναὴν Σιντηΐδα Λῆμνον ἵκοντο,
Ἔνθ' ἄμυδις πᾶς δῆμος ὑπερβασίῃσι γυναικῶν

Devexa Pallenes ultra Canastræum promontorium
Legerunt noctabundi flatibus venti currentes.
Mane verò discedentibus Atho emicuit mons
Threïcius, qui Lemnum tantùm licèt distantem
Quantum in meridiem bene instructa navis conficiat,
Extantissimo fastigio inumbrat vel usque Myrinam.
Hic illis die eodem spiravit et in noctem aura
Omnino *in superficiem* vivida: extensaque sunt vela navis.
Sed, quia simul cum solis radiis cessavit ventus,
Remigando asperam Sintiacam Lemnum advenerunt:
Ubi populus simul universus, transgressionibus mulierum

599. Κλίτεα Παλληναῖα] *Devexa Pallenes.* Horatius, Usticæ *cubantis, supinum* Tibur.

601. Ἄθω] Ἄθως ὄρος Θρᾴκης ὑψηλότατον. ἡ δὲ διάνοια, ἅμα δὲ τῇ ἡμέρᾳ ὁ Ἄθως αὐτοῖς ἀνεφάνη, ἀπέχων τῆς Λήμνου τοσοῦτον, ὅσον ἂν ναῦς πλέουσα ἀπὸ ἕω μέχρι μεσημβρίας πλοῦν διανύσῃ. ἐκ τοσούτου, φησὶν, ἀπέχουσαν τὴν Λῆμνον ὅμως σκιάζει διὰ τὸ ὕψος παρακλινομένου τοῦ ἡλίου. οὐ μόνον δὲ, ἀλλὰ καὶ μέχρι Μυρίνης. Schol.

604. Καὶ ἐσαίχρι] περιττὸς ὁ καὶ σύνδεσμος. πόλις δέ ἐστιν ἡ Μυρίνη πρὸς τῷ τέλει τῆς Λήμνου. δίπολις γάρ ἐστιν ἡ Λῆμνος. ἔχει γὰρ Ἡφαιστίαν καὶ Μυρίνην. ἐκλήθη δὲ ἀπὸ Μυρίνης τῆς Θόαντος γυναικὸς, Κρηθέως δὲ θυγατρός.

Ibid. Μυρίνης] In cujus forum, inquit Plinius, solstitio Athos ejaculatur umbram. Huc pertinet illud Sophoclis, Ἄθως σκιάζει νῶτα Λημνίας βοός. Vide Schol. Theocriti, Idyll. 6. 77.

608. Σιντηΐδα] ἐπιθετικῶς Σιντηῒς ἡ Λῆμνος. Τυρσηνοὶ γὰρ αὐτὴν πρῶτοι ᾤκησαν, βλαπτικώτατοι ὄντες. ἢ τὴν ὑπὸ τῶν βαρβάρων οἰκισθεῖσαν. καὶ Ὅμηρος, "ᾤχετο δ' ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους." Ἑλλάνικος δέ φησι Σίντιας ὀνομασθῆναι τοὺς Λημνίους, διὰ τὸ πρώτους ὅπλα ποιῆσαι πολεμικὰ πρὸς τὸ σίνεσθαι τοὺς πλησίον καὶ βλάπτειν. Schol.

609. Ἔνθ' ἄμυδις] αἱ Λήμνιαι γυναῖκες ἐπιπολὺ τῶν τῆς Ἀφροδίτης τιμῶν καταολιγωρήσασαι, καθ' ἑαυτῶν τὴν θεὸν

Νηλειῶς δέδμητο περοιχομένῳ λυκάβαντι.
Δὴ γὰρ κουριδίας μὲν ἀπηνήναντο γυναῖκας
Ἀνέρες ἐχθήραντες, ἔχον δ' ἐπὶ ληϊάδεσσι
Τρηχὺν ἔρον, τὰς αὐτοὶ ἀγήνεον ἀντιπέρηθεν
Θρηϊκίην δῃοῦντες, ἐπεὶ χόλος αἰνὸς ὄπαζε
Κύπριδος, οὕνεκά μιν γεράων ἐπιδηρὸν ἄτισαν.
Ὦ μέλεαι, ζήλοιό τ' ἐπισμυγερῶς ἀκόρητοι.
Οὐκ οἶον σὺν τῇσιν ἑοὺς ἔρραισαν ἀκοίτας
Ἀμφ' εὐνῇ, πᾶν δ' ἄρσεν ὁμοῦ γένος· ὥς κεν ὀπίσσω
Μή τινα λευγαλέοιο φόνου τίσειαν ἀμοιβήν.
Οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς

Crudeliter contrucidatus fuerat anno præterito.
Juveniles etenim rejecerunt uxores
Viri exosi; habebant verò pro captivis
Vehementem amorem, quas ipsi abduxerant ex agro opposito,
Thraciam devastantes; quoniam gravis ira invasit
Veneris, eò quòd eam, muneribus jamdiu nullis honoratam, neglexerant.
O miseræ! ærumnosè et insatiabiliter invidæ.
Non solùm cum istis suos occiderunt maritos
Per somnum: sed omnem simul sexum marem, ut in posterum
Nullam tristis cædis rependere possent vicem.
Sola verò ex omnibus seni pepercit patri

ἐκίνησαν. πάσαις γὰρ δυσοσμίαν ἐνέβαλεν, ὡς μηκέτι αὐτὰς τοῖς ἀνδράσιν ἀρέσκειν. τῶν δὲ πρὸς Θρᾷκας ἐχόντων πόλεμον, καὶ πολλάκις ἐκεῖθεν αἰχμαλώτους λαμβανόντων, καὶ ἀποστρεφομένων τὰς γνησίας γαμετὰς, κατὰ τὴν τῆς θεοῦ ὀργὴν, ἐψηφίσαντο αἱ γυναῖκες νύκτωρ τοὺς ἄνδρας ἀνελεῖν. καὶ οὐ μόνον τοῦτο ἐποίησαν ἀλλὰ καὶ τὰς αἰχμαλώτους ἀνεῖλον. δείσασαι δὲ μὴ οἱ παῖδες ἀνδρωθέντες τιμωρήσωνται αὐτὰς, πᾶν ὁμοῦ τὸ ἄρσεν γένος ἀνεῖλον. Schol.

612. Ληϊάδεσσι] ταῖς αἰχμαλώτοις. Schol.

Ibid. Ἐχθαίροντες. Steph. et ed. Gall. ἐχθήραντες.

613. Ἀντιπέρηθεν] ἐξ ἐναντίας. οὕτω γὰρ κεῖται ἡ Θρᾴκη τῆς Λήμνου. Schol.

Ibid. ἀγήνεον. Steph. ἀγίνεον.

615. Ἄτισαν] οὐκ ἐτίμησαν. ἱστέον δὲ ὅτι, τῶν ἄλλων ἱστορούντων ὅτι κατὰ χόλον τῆς Ἀφροδίτης αἱ Λημνιάδες δύσοσμοι ἐγένοντο, Μυρτίλος ἐν πρώτῳ Λεσβιακῶν διαφέρεται, καί φησι τὴν Μήδειαν παραπλέουσαν διὰ ζηλοτυπίαν ῥῖψαι εἰς τὴν Λῆμνον φάρμακον, καὶ δυσοσμίαν γενέσθαι ταῖς γυναιξίν· εἶναί τε μέχρι τοῦ νῦν κατ' ἐνιαυτὸν ἡμέραν τινὰ, ἐν ᾗ διὰ τὴν δυσωδίαν ἀποστρέφονται τὰς γυναῖκας ἄνδρες τε καὶ υἱεῖς. Schol.

620. Οἴη δ' ἐκ πασέων] εἰκότως ἡ Ὑψιπύλη οὐκ ἀπέκτεινε τὸν πατέρα· πρῶτον μὲν, διότι πατὴρ, ἔδωκε τὴν ὀφειλομένην τῷ Θόαντι σωτηρίαν· δεύτερον δὲ

Ὑψιπόλεια

Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ δῆμον ἄνασσε.
Λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι,
Αἴ κε φύγῃ· καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
Πρόσθεν, ἀτὰρ Σίκινόν γε μεθύστερον αὐδηθεῖσαν
Νῆσον ἐπακτῆρες Σικίνου ἄπο, τόν ῥα Θόαντι
Νηϊὰς, Οἰνοίη νύμφη τέκεν εὐνηθεῖσα.
Ταῖσι δὲ βουκόλιαί τε βοῶν, χάλκειά τε δύνειν
Τεύχεα, πυροφόρους τε διατμήξασθαι ἀρούρας
Ῥηΐτερον πάσῃσιν Ἀθηναίης πέλεν ἔργων,
Οἷς αἰεὶ τὸ πάροιθεν ὁμίλεον. Ἀλλὰ γὰρ ἔμπης
Ἦ θαμὰ δὴ πάπταινον ἐπὶ πλατὺν ὄμμασι πόντον
Δείματι λευγαλέῳ, ὁπότε Θρήικες ἴασι.

Hypſipyle Thoanti, qui etiám in populo regnabat:
In arcâ verò concavâ immiſit eum mari avehendum,
Si modò effugeret: et eum quidem, in inſulam ſoſpitem præſtiterunt
Antea quidem Oenoam vocatam, poſtea vero Sicinum,
A Sicino, piſcatores, quem ſane Thoanti
Oenoa, Naiadum Nympharum una peperit, miſta.
Hiſce verò, boves paſcere, et ærea induere
Arma, et feracia diſcindere arva,
Facilius omnibus Minervæ erat ſtudiis,
Quibus ſemper antea verſabantur: ſed tamen
Idque frequenter circumſpectârunt latum oculis mare
Præ timore triſti, nunquando Thraces advenirent.

διὰ τὴν ἡλικίαν, καὶ ὅτι οὐκ αἴτιος ἦν αὐτὸς οὐδὲ συνεργὸς τῆς τῶν ἄλλων Λημνιάδων ἀσελγείας. Schol.

623. Ἐς Οἰνοίην ἐρύσαντο] εἴληφε τὴν ἱστορίαν παρὰ Θεολύτου. Σίκινος δὲ ἐστι νῆσός τις περὶ τῆς Εὐβοίας, τὸ πρότερον Οἰνοίη καλουμένη, διὰ τὸ εἶναι αὐτὴν ἀμπελόφυτον. μνημονεύει δὲ τῆς μετονομασίας Ξεναγόρας, λέγων ὅτι μετωνομάσθη ἀπὸ Σικίνου υἱοῦ Θόαντος καὶ Νηΐδος νύμφης. ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη, καὶ Κλέων ὁ Κουριεὺς ἱστορεῖ, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς, δεικνὺς ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος. Schol.

625. Ἐπακτῆρες] ἀντὶ τοῦ ἁλιεῖς. ἐπὶ νήσου κυνηγοὺς οὐ δεῖ λέγειν. Schol.

627. Ταῖσι δὲ βουκολίαι τε] Λοιπὸν γὰρ διὰ τὸ ἀνδρῶν πολὺν χρόνον στερίσκεσθαι τὴν νῆσον, ἡ πεῖρα αὐτὰς καὶ εἰς ἀνδρεῖον μετέβαλεν βίον καὶ ἐπιτήδευμα. Schol.

631. Ἦ θαμὰ δὴ πάπταινον] ὁ ἢ σύνδεσμος ἰσοδυναμεῖ τῷ δή. ὥστε κεῖσθαι τὸν δὴ σύνδεσμον, ὡς παρ' Ὁμήρῳ, ἢ δὴ λοίγια, ἐκ παραλλήλου. Schol.

Τῷ

Τῷ καὶ ὅτ' ἐγγύθι νήσου ἐρεσσομένην ἴδον Ἀργώ,
Αὐτίκα πασσυδίῃ πυλέων ἔκτοσθε Μυρίνης
Δήϊα τεύχεα δῦσαι ἐς αἰγιαλὸν προχέοντο,
Θυάσιν ὠμοβόροις ἴκελαι· φὰν γάρ που ἱκάνειν
Θρήϊκας. Ἡ δ' ἅμα τῇσι Θοαντιὰς Ὑψιπύλεια
Δῦν' ἐνὶ τεύχεσι πατρός· ἀμηχανίῃ δ' ἐχέοντο
Ἄφθογγοι, τοῖόν σφιν ἐπὶ δέος ᾐωρεῖτο.
Τείως δ' αὖτ' ἐκ νηὸς ἀριστῆες προέηκαν
Αἰθαλίδην κήρυκα θοόν, τῷ πέρ τε μέλεσθαι
Ἀγγελίας καὶ σκῆπτρον ἐπέτρεπον Ἑρμείαο,
Σφωϊτέροιο τοκῆος, ὅς οἱ μνῆστιν πόρε πάντων

Idcirco cùm prope insulam remis agitatam viderunt Argo,
Illico omni impetu extra portas Myrinæ
Bellicis armis indutæ, in litus profundebantur,
Thyadum ad instar, carnes crudas vorantium: dicebant enim jam certe adesse
Thracas. Ipsa verò cum illis Thoantis filia Hypsipyle
Ingressa est in armis patris: præ consilii autem inopiâ eruperunt
Mutæ; tantus ipsis terror impendebat.
Inter hæc verò ex nave Proceres præmiserunt
Æthalidem, caduceatorem expeditum, cujus curæ
Nunciationes et sceptrum commiserunt Mercurii,
Parentis sui; qui ipsi memoriam præbuerat omnium

633. Τῷ καὶ ὅτ'] ἔλεγον γὰρ αὐτοὺς ὡς εἰς πόλεμον ἐληλυθον. Schol.

634. Μυρίνης] Μυρίνη πόλις τῆς Λήμνου, ἧς καὶ ἀνωτέρω μέμνηται. Schol.

636. Θυάσιν ὠμοβόροις] Μαινάσιν. ἔνθεν καὶ τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος εἴσηγεν αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην. ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένας. Ἄλλως. μαινάσι. βάκχαις. καὶ ὡς Σεμέλη, Θυώνη, παρὰ τὸ θύειν καὶ ὁρμᾷν· μαινομένας. τὸ δὲ ὠμοβόροις, ὅτι πολλάκις τῇ μανίᾳ καταχεθεῖσαι καὶ ὠμοσπάρακτα ἐσθίουσιν, ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις φησίν. Schol.

637. Θοαντιὰς] δύο τύποι εἰσὶ τῶν θηλυκῶν πατρωνυμικῶν· ὁ μὲν εἰς ας, οἷον Πελιάς· ὁ δὲ εἰς ις. οἷον Πελοπίς· καὶ ταῦτα δὲ εἰς ας μεταβάλλει τὴν τελευταίαν, παρεντιθεμένου τοῦ ι, ἵνα μὴ ᾖ κακόφωνα. Schol.

640. Τείως δ' αὖτ' ἐκ νηὸς] ἐν τοσούτῳ ἐν ὅσῳ αὗται ὡπλίζοντο. ἐπιτέταται δὲ τὸ τείως, κείμενον ἀντὶ τοῦ ἕως. ἕως δή. Schol.

643. Σφωϊτέροιο] ἀκαίρως τῷ δυϊκῷ ἐχρήσατο ἀντὶ ἑνικοῦ. Schol.

Ἄφθιτον

Ἄφθιτον· οὐδ' ἔτι νῦν περ ἀποιχομένου Ἀχέροντος
Δίνας ἀπροφάτους ψυχὴν ἐπιδέδρομε λήθη·
Ἀλλ' ἥγ' ἔμπεδον αἰὲν ἀμειβομένη μεμόρηται,
Ἄλλοθ' ὑποχθονίοις ἐναρίθμιος, ἄλλοτ' ἐς αὐγὰς
Ἠελίου, ζωοῖσι μετ' ἀνδράσιν. Ἀλλὰ τί μύθους
Αἰθαλίδεω χρειώ με διηνεκέως ἀγορεύειν;
Ὅς ῥα τότ' Ὑψιπύλην μειλίξατο δέχθαι ἰόντας
Ἤματος ἀνυμφόοιο διὰ κνέφας· οὐδὲ μὲν ἠοῖ
Πείσματα νηὸς ἔλυσαν ἐπὶ πνοιῇ Βορέαο.

Incorruptibilem: nec ejus vel nunc, prætereuntis Acherontis
Indeprecabilem ingluviem, animam incursavit oblivio.
Sed illi fato attributum est, ut stato semper jure alternans
Interdum inferis annumeretur; interdum, ad jubar
Solis, adsit inter homines vivos. Sed cur fabulas
De Æthalide necesse est ut prolixè enarrem?
Qui tunc Hypsipylen leniter verbis demulsit, ut reciperet appulsos,
Die jam tenebras induente. Nec sane mane
Navis funes solverunt, ob flatum Aquilonis.

645. Ἀπροφάτους] ἀπροσφωνήτους ἀπροφασίστους. Ἐπιδέδρομε λήθη. ὅτι λέγονται οἱ τεθνηκότες λήθην τῶν γενομένων αὐτοῖς ἐν τῇ ζωῇ λαμβάνειν. οὗτος οὖν, φησὶ, καὶ τεθνηκὼς ὡς λήθην οὐκ ἔπιεν· καὶ μετεμψυχωθεὶς, κατὰ τὸν τῶν φιλοσόφων λόγον, ᾔδει τίς ἦν, διὰ τὰς τοῦ Ἑρμοῦ βουλάς. Φερεκύδης δέ φησιν ὅτι δῶρον εἶχε παρὰ τοῦ Ἑρμοῦ ὁ Αἰθαλίδης, τὸ τὴν ψυχὴν αὐτοῦ ποτὲ μὲν εἰς ᾅδου, ποτὲ δὲ ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις εἶναι. φασὶ δὲ τοῦτον τὸν Αἰθαλίδην οἱ Πυθαγορικοὶ, τῆς ψυχῆς οὔσης ἀφθάρτου, κατὰ μὲν τοὺς Τρωϊκοὺς χρόνους ἀναβιώσαντα, Εὔφορβον εἶναι τὸν Πάνθου. ἔπειτα ἐν τούτου Πύῤῥον τὸν Κρῆτα· εἶτα Ἠλεῖον τινὰ, οὗ τὸ ὄνομα ἀγνοεῖται· μετὰ ταῦτα αὐτὸν τὸν Πυθαγόραν. Πυθαγόρας δὲ ἐν τῷ μεταβάλλειν τὰς ψυχὰς καὶ παρεισδύνειν εἰς ἕτερα σώματα, φησὶν, ὅτι γένοιτο μὲν πρότερον Αἰθαλίδης, εἶτα Εὔφορβος Τρὼς, εἶτα Ἑρμοῦ υἱὸς καὶ Σαμίας ἑταίρας, καὶ Πυθαγόρας. τὴν δὲ μνήμην αὐτῷ παρέπεσθαι τῷ κεχαρίσθαι Ἑρμοῦν τῷ Αἰθαλίδῃ υἱῷ ὄντι. Schol.

646. Μεμόρηται] κατὰ ἔκθλιψιν τοῦ ι. ἔστι γὰρ μεμοίρηται ἀντὶ τοῦ κεκλήρωται. Schol.

649. Αἰθαλίδης] κήρυξ τῶν Ἀργοναυτῶν ἑτερήμερος, ὥς φησιν· ὥστε μίαν μὲν ὑπὸ τὸν ᾅδην, μίαν δὲ ὑπὸ τὴν ἡμέραν διάγειν. Schol.

650. Μειλίξατο] παρεκάλεσεν. ἔπεισε τῷ λόγῳ, συνετὸς ὤν. καὶ γέγονε παρὰ τὸ Ὁμηρικὸν, "ἐσθλὸν καὶ τὸ τέτυκται ὅτ' ἄγγελος αἴσιμα εἰδῇ." Schol.

651. Ἤματος ἀνυμφόοιο] τῆς ἡμέρας ἐπὶ δύσιν ἀνυμβρόης. Schol.

652. Πείσματα] τὰ τῆς πρώρας χοινία. ὁ δὲ λόγος. καί τοι τῇ πνοῇ οὔσῃ τῇ Βορείου ἐπιτηδείᾳ τοῖς Ἀργοναύταις πρὸς τὸν πλοῦν, ὅμως οὐκ ἔλυσαν τὰ χοινία. Schol.

Ibid. Πείσματα, et Schol. ibid. *Licèt ventus Boreas Argonautis ad cursum continuandum secundus esset, non*

Λημνιάδες

Λημνιάδες δὲ γυναῖκες ἀνὰ πτόλιν ἷζον ἰοῦσαι
Εἰς ἀγορήν· αὐτὴ γὰρ ἐπέφραδεν Ὑψιπόλεια.
Καί ῥ' ὅτε δὴ μάλα πᾶσαι ὁμιλαδὸν ἠγερέθοντο,
Αὐτίκα ῥ' ἥγ' ἐνὶ τῇσιν ἐποτρύνουσ' ἀγόρευεν.
Ὦ φίλαι, εἰ δ' ἄγε δὴ μενοεικέα δῶρα πόρωμεν
Ἀνδράσιν, οἷά τ' ἔοικεν ἄγειν ἐπὶ νηὸς ἔχοντας,
Ἤϊα καὶ μέθυ λαρόν· ἵν' ἔμπεδον ἔκτοθι πύργων
Μίμνοιεν, μηδ' ἄμμι κατὰ χρειὼ μεθέποντες
Ἀτρεκέως γνώωσι, κακὴ δ' ἐπὶ πολλὸν ἵκηται
Βάξις· ἐπεὶ μέγα ἔργον ἐρέξαμεν· οὐ δέ τι πάμπαν
Θυμηδὲς καὶ τοῖσι τόγ' ἔσσεται, εἴ κε δαεῖεν.
Ἡμετέρη μὲν νῦν τοίη παρενήνοθε μῆτις·

At fœminæ Lemniacæ pèr urbem ibant, conſeſſuræ
In concilium (ipſa enim indixerat Hypſipyle)
Cumque univerſæ catervatim coiiſſent,
Statim ipſa eas exhortans concionabatur.
Agedum, o amicæ, grata dona præbeamus
Viris, qualia par eſt habeant, et ad navem abducànt,
Viatica, merumque lætificum; ut firmiter extra urbem
Maneant; nec apud nos ex neceſſitate diverſati
Revera rem cognoſcant; malaque longè latéque divulgetur
Fama; quoniam ingens nefas patravimus, nec omnino
Gratum vel hiſce erit, ſi modò edidicerint.
Noſtra igitur nunc talis in mentem venit ſententia.

*tamen ſolverunt.* "Mihi perſpectum eſt nihil veri his ineſſe. Non enim ventus Aquilo ſecundus eſt tendentibus in Pontum, ſed adverſum tenet. Debuiſſet enarrator in memoriam redegiſſe Lemniorum reſponſum, quo irridentes Miltiadi olim dixiſſe perhibentur, tum ſe in Atheniénſium venturos poteſtatem, quum ille domo navibus proficiſcens, vento Aquilone veniſſet Lemnum. Hoc ergo Apollonius indicat, Minyas non ſolviſſe illo mane, ex inſulâ Lemno, quòd, Aquilo, qui ipſis in Pontum porrecturis adverſus erat, ſtaret." Weſſeling. Obſerv. p. 130.

659. Ἤϊα] νηὸς ἐφόδια βρώματα. Λαρόν. ἡδὺ, ἀπολαυστικόν. παρὰ τὸ λῶ πεποίηται, ὃ σημαίνει τὸ θέλω. Schol.

660. Μηδ' ἄμμι] δῶμεν αὐτοῖς χρείας, ἵνα ἐκτὸς τῶν πύργων μένωσιν ἀπρόσοδοι πρὸς ἡμᾶς· μή πως διὰ τὴν τῶν ἐπιτηδείων ἀνάγκην καὶ χρείαν εἰσιόντες εἰς τὴν πόλιν, ἀκριβῶς τὰ καθ' ἡμᾶς μάθωσιν. Schol.

664. Ἡμετέρη μὲν νῦν] Κατ' ἔγκλισιν τὸ νῦν ἀναγνωστέον. οὐ γὰρ δηλοῖ χρόνον, ἀλλ' ἴσον ἐστὶ τῷ δή. ἐκτατέον δὲ διὰ τὸ μέτρον. Schol.

Ὑμέας

Ὑμέων δ' εἴ τις ἄρειον ἔπος μητίσσεται ἄλλη,
Ἐγρέσθω· τοῦ γάρ τε καὶ εἵνεκα δεῦρο κάλεσσα.
Ὣς ἄρ' ἔφη, καὶ θῶκον ἐφίζανε πατρὸς ἑοῖο
Λάϊνον· αὐτὰρ ἔπειτα φίλη τροφὸς ὦρτο Πολυξὼ,
Γήραϊ δὴ ῥικνοῖσιν ἐπισκάζουσα πόδεσσιν,
Βάκτρῳ ἐρειδομένη· περὶ δὲ μενέαιν' ἀγορεῦσαι.
Τῇ καὶ παρθενικαὶ πίσυρες σχεδὸν ἑδριόωντο,
Ἀδμῆτες, λευκῇσιν ἐπιχνοάουσαι ἐθείραις.
Στῆ δ' ἄρ' ἐνὶ μέσσῃ ἀγορῇ· ἀνὰ δ' ἔσχεθε δειρὴν
Ἦκα μόλις κυφοῖο μεταφρένου, ὧδέ τ' ἔειπεν.
Δῶρα μὲν, ὡς αὐτῇ περ ἐφανδάνει Ὑψιπυλείῃ,
Πέμπωμεν ξείνοισιν· ἐπεὶ καὶ ἄρειον ὀπάσσαι.
Υ̓́μμι γε μὴν τίς μῆτις ἐπαυρέσθαι βιότοιο,

Vestrûm verò si qua validius consilium agitat aliâ viâ,
Surgat: hujus enim rei gratiâ vos huc concivi.
Hæc locuta est: et solio insedit patris sui
Saxeo: postea verò cara illius nutrix surrexit Polyxo,
Præ senectute curvis claudicans pedibus,
Baculo suffulta: mirè verò erat cupida concionandi.
Huic etiam puellæ quatuor virgines assidebant,
Nondum compressæ, flavis pubescentes crinibus.
Stetit verò in medio conventu; sustinuitque cervicem
Vix ægréque de gibboso tergo, itaque effata est.
Dona quidem, ut ipsi placet Hypsipylæ,
Mittamus peregrinis; quoniam melius est præbeamus.
Vobis verò quid consilium perfruendæ vitæ,

665. Ὑμέων δ' εἴ τις] παρὰ τὸ Ὁμηρικὸν, "νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι." Schol.

668. Πολυξὼ.
—Vates Phœbo dilecta Polyxo.
Val. Flac. II. 316.

669. Ῥικνοῖσι] ῥυσοῖς. ἡ δὲ λέξις παρὰ Καλλιμάχῳ, "ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν." διασκευάζει δὲ Ὁμηρικῶς τὴν χρείαν οὕτως. "ὃς δὴ γήραϊ κυφὸς ἔην." Schol.

672. Ἐπιχνοάουσαι] ὡς χνοῦν ἐχούσαι τὰς λευκὰς φυομένας τρίχας. Schol.

674. Μόλις] κακῶς διὰ τοῦ λ. ἔδει γὰρ διὰ τοῦ γ, μόγις, παρὰ τὸν μόγον. Schol.

677. Ἐπαυρέσθαι] ἐὰν μὲν παροξυτόνως, ἔσται ἀόριστος, ἀντὶ τοῦ ἀπολαῦσαι· ἐὰν δὲ προπαροξυτόνως, παρατατικὸς, ἀντὶ τοῦ ἀπολαύειν. Schol.

Αἴ κεν ἐπιβρίσῃ Θρήϊξ στρατὸς, ἠέ τις ἄλλος
Δυσμενέων; ἅ τε πολλὰ μετ' ἀνθρώποισι πέλονται.
Ὡς καὶ νῦν ὅδ' ὅμιλος ἀνωΐστως ἀφικάνει.
Εἰ δὲ τὸ μὲν μακάρων τις ἀποτρέπει, ἄλλα δ' ὀπίσσω
Μυρία δηϊοτῆτος ὑπέρτερα πήματα μίμνει.
Εὖτ' ἂν δὴ γεραραὶ μὲν ἀποφθινύθουσι γυναῖκες,
Κουρότεραι δ', ἄγονοι, στυγερὸν ποτὶ γῆρας ἵκησθε,
Πῶς τῆμος βώσεσθε, δυσάμμοροι; ἠὲ βαθείαις
Αὐτόματοι βόες ὔμμιν ἐνιζευχθέντες ἀρούραις
Γειοτόμον νειοῖο διειρύσσουσιν ἄροτρον,
Καὶ πρέκα τελλομένου ἔτεος, στάχυν ἀμήσονται;

Si incubuerit onerosius Thracum exercitus, sive quis alius
Hostium? qualia multa inter homines evenire solent:
Quemadmodum etiam hæc turba improvisò advenit.
Si verò hoc Deorum aliquis averterit, alia tamen in posterum
Infinita, et bello quidem graviora mala supersunt.
Ubi vetulæ jam deperierint mulieres,
Vos verò, o juniores, fœtu cassæ ad odiosam senectutem deveneritis,
Quomodo tunc vivetis, o ter infelices? num in longis
Sponte suâ boves vobis adjugati arvis,
Terram scindens per novale trahent aratrum?
Annoque statim revoluto, spiceam demetent segetem?

678. Ἐπιβρίσῃ] Futura & aoristi verborum in ιζω corripiuntur, quæ etiam in præsenti vocalem habent non naturâ sed positione tantum productam. at βρίθω ἰῶτα habet naturâ longam. Clarkius.

681. Ἄλλα δ' ὀπίσσω] Πολλὰ δὲ κακὰ χείρονα μάχης καὶ πολέμου ἔσται. Schol.

683. Ἀποφθινύθουσι. Rectius ἀποφθινύθωσι ut conveniat cum ἵκησθε, quod quidem Stephanum velle video.

684. Ἄγονοι] ἄσπερμοι. διὰ τὸ ἄνδρα μὴ συνεῖναι. διὰ δὲ τοῦ ἐπιθέτου τοῦ γήρως, τὸ λέγει ἐπιπλεῖον ἐνέκουσι, στυγερὸν γῆρας εἰπών. Schol.

685. Βώσεσθε] ἀντὶ τοῦ βιώσεσθε. ὁ δὲ νοῦς. αἱ δὲ νεώτεραι, πῶς βιώσεσθε, καὶ ζήσεσθε, ὅταν γηράσητε; τῶν μὲν παλαιοτέρων παρελθουσῶν, ὑμῶν δὲ λοιπὸν μὴ δυναμένων ἐργάζεσθαι; ἢ αὐτόματοι οἱ βόες ἀποτελέσουσι καὶ θερίσουσι τοῦ ἔτους περιερχομένου, μηδενὸς ἀνθρώπου ἐπικουροῦντος τῷ ἔργῳ; Schol.

Ibid. Βώσεσθε, Schol. pro βιώσεσθε. quod temerè damnat Hœlzlinus, deducitque a βόω, cujus futurum βόσω & βώσω.

688. Καὶ πρέκα] εὐθέως. γράφεται καὶ περιτελλομένου ἔτεος. Schol.

Ἦ μὲν

Ἦ μὲν ἐγὼν, εἰ καί με τανῦν ἔτι πεφρίκασι
Κῆρες, ἐπερχόμενόν που ὀΐομαι εἰς ἔτος ἤδη
Γαῖαν ἐφέσσεσθαι, κτερέων ἀπὸ μοῖραν ἑλοῦσα
Αὔτως ᾗ θέμις ἐστὶ, πάρος κακότητα πελάσσαι.
Ὁπλοτέρῃσι δὲ πάγχυ τάδε φράζεσθαι ἄνωγα.
Νῦν γὰρ δὴ παρὰ ποσσὶν ἐπήβολος ἔστ' ἀλεωρὴ,
Εἴ κεν ἐπιτρέψητε δόμους καὶ ληΐδα πᾶσαν
Ὑμετέρην ξείνοισι, καὶ ἀγλαὸν ἄστυ νέμεσθαι.
Ὣς ἔφατ', ἐν δ' ἀγορὴ πλῆτο θρόου· εὔαδε γάρ σφιν
Μῦθος· ἀτὰρ μετὰ τήνδε παρασχεδὸν αὖτις ἀνῶρτο
Ὑψιπύλη, καὶ τοῖον ὑποβλήδην ἔπος ηὔδα.
Εἰ μὲν δὴ πάσῃσιν ἐφανδάνει ἥδε μενοινὴ,

Ego certè, licèt adhuc horrori fuerim
Parcis, in insequentem aliquando annum existimo
Fore ut terrâ investiar, justorum funeris potita
Proinde ut fas est, priusquam calamitas appropinquet.
A junioribus verò hæc omnino diligenter perpendi velim.
Nunc enim profecto apud pedes est capillata vitandi occasio;
Si commiseritis ædes, possessionesque universas
Vestras hospitibus, et splendidam urbem administrandam.
Sic dixit; concio verò impleta est fremitu; placuit enim ipsis
Oratio: post hanc verò statim rursus surrexit
Hypsipyle, et talia submonens verba fecit.
Si igitur omnibus placeat hæc sententia,

689. Ἦ μὲν ἐγὼν] ἐν ἤθει λέγει ταῦτα. εἰ καὶ πεφρίκασι. οἷον φοβοῦνται) ἐπ' ἐμὲ αἱ κῆρες ἐλθεῖν νῦν, ὅμως ἀποθανοῦμαι. λέγει δὲ τὸ ὑπεργεγηρακέναι. Schol.

692. Αὔτως ᾗ θέμις] οὕτως ὡς προσῆκόν ἐστιν. Schol.

694. Ἐπήβολος] ἐπιτυχὴς καὶ κυρία ἐπὶ τύχῃ τῶν κακῶν. ἢ ἀντὶ τοῦ διασώζουσα καὶ συμφέρουσα. Schol.

Ibid. Ἐπήβολος, inquit Sanctamandus, videtur ex illis esse vocibus, quæ pro diverso accentu diversam habent significationem, ut μητροκτόνος. Ita significabit *compos*, et *cujus aliquis est compos*, quæ postrema significatio huic loco convenit.

695. Ληΐδα] καταχρηστικῶς τὰ χρήματα. κυρίως δὲ τὰ ἐκ λαφυραγωγίας. Schol.

696. Ἄστυ] ἐτυμολογεῖ Εὔμολπος τὴν λέξιν, ἄστυ λέγων, παρὰ τὸ ἵστασθαι. ἐπὶ μετεώρου γὰρ κεῖνται αἱ πόλεις. Schol.

Ibid. Νέμεσθαι, Flor. μέλεσθαι.

700. Ἥδε μενοινὴ] ἀντὶ τοῦ βουλή. ἀστείως δὲ, ἐπεὶ αὐτῇ ἤρεσε τὰ λεχθέντα, ἵνα μὴ ὥσπερ ἀκολασίαν κατηγορῆται, τὴν κοινὴν πασῶν ἐπικαλεῖται μαρτυρίαν. Schol.

Ἤδη κεν μετὰ νῆα καὶ ἄγγελον ὀτρύναιμι.
Ἦ ῥα, καὶ Ἰφινόην μετεφώνεεν ἆσσον ἐοῦσαν.
Ὄρσο μοὶ, Ἰφινόη, τοῦδ' ἀνέρος ἀντιόωσα,
Ἡμέτερόνδε μολεῖν, ὅστις στόλου ἡγεμονεύει,
Ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπω.
Καί δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴκε θέλωσι,
Κέκλεο θαρσαλέως ἐπιβαινέμεν εὐμενέοντας.
Ἦ, καὶ ἔλυσ' ἀγορήν· μετὰ δ' εἰς ἑὸν ὦρτο νέεσθαι.
Ὡς δὲ καὶ Ἰφινόη Μινύας ἵκεθ', οἱ δ' ἐρέεινον
Χρεῖος ὅ, τι φρονέουσα μετήλυθεν· ὦκα δὲ τούσγε
Πανσυδίῃ μύθοισι προσέννεπεν ἐξερέοντας.
Κούρη τοί μ' ἐφέηκε Θοαντιὰς ἐνθάδ' ἰοῦσαν
Ὑψιπύλη, καλέειν νηὸς πρόμον, ὅστις ὄρωρεν,

Jam ſane ad navem nuncium incitatum dimittam.
Dixit; et Iphinoen allocuta eſt prope exiſtentem.
Surge, Iphinoe, eumque virum ora
Ad noſtram domum venire, quicunque claſſi præerit;
Ut ei populi ſententiam gratam exponam.
Ipſoſque et in agros et urbem, ſi voluerint,
Invita audacter ingrediantur benevolè ſe gerentes.
Cum hoc dicto diſſolvit concionem: poſtea vero ad ſuam domum ſurrexit redire.
Poſtquam verò Iphinoe ad Minyas perveniſſet, illi interrogârunt
Quâ cauſâ, quove animo advenerat: ſtatim igitur eos
Allocuta eſt, omnes ſimul certatim interrogantes.
Miſit me filia Thoantis huc profectam
Hypſipyle, ut accerſerem navis præfectum, quiſquis extiterit,

703. Ὄρσο μοὶ, Ἰφινόη] τὸ ἑξῆς, ὄρσο μοὶ, Ἰφινόη, τοῦδ' ἀνέρος ἀντιόωσα, ὅστις στόλου ἡγεμονεύει, ἡμέτερονδε μολεῖν. τὸ δὲ ἀντιόωσα ἀντὶ τοῦ ἀντιάσουσα, οἷον ἀξιώσουσα, τουτέστι δεησομένη. Schol.

704. Στόλου] στόλος δέ ἐστιν ἐπὶ πρᾶξιν τινὰ πορευόμενον πλῆθος, εἴτε ἐπὶ νεῶν, εἴτε καὶ πεζῇ. καὶ σχεδὸν ἐπὶ πάσης ὁρμῆς, καὶ μείζονος παρασκευῆς. ἐνταῦθα δὲ στόλον τὸ τῆς μιᾶς νηὸς πλῆθος εἶπε. προστίθησι Παλαμήδης, οὕτω δὲ λέγεται καὶ ἡ εἰς ὀξὺ ἀπόληξις. Schol.

707. Εὐμενέοντας] τοῦτο ὡς πρὸς ὃ ἐδεδοίκεισαν, μὴ πολέμιοι ἄρα ἦσαν. Schol.

712. Κούρη τοί μ' ἐφέηκε] διὰ τοῦ κόρη τὸν τῶν Ἀργοναυτῶν φόβον ἀποκρύπτεται (καὶ γὰρ αὐτοὶ ἐδεδοίκεισαν ἑωρακότες αὐτὰς καθωπλισμένας) καὶ ἀποτρέπεται. παρθένος γὰρ ἡ καλέσασα. τὸ δὲ Θοαντιὰς ἀντὶ τοῦ Θόαντος. Schol.

713. Ὄρωρεν, *evectus eſt*, nimirum

Ὄφρα

Ὄφρά τί οἱ δήμοιο ἔπος θυμηδὲς ἐνίσπῃ·
Καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κε θέλητε,
Κέκλεται αὐτίκα νῦν ἐπιβαινέμεν εὐμενέοντας.
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἐναίσιμος ἥνδανε μῦθος.
Ὑψιπύλην δ' εἴσαντο καταφθιμένοιο Θόαντος
Τηλυγέτην γεραῖαν ἀνασσέμεν· ὦκα δὲ τόνγε
Πέμπον ἴμεν, καὶ δ' αὐτοὶ ἐπεντύνοντο νέεσθαι.
Αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι Θεᾶς Ἰτωνίδος ἔργον,
Δίπλακα πορφυρέην περονήσατο, τήν οἱ ὄπασσε
Παλλὰς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
Ἀργοῦς, καὶ κανόνεσσι δάε ζυγὰ μετρήσασθαι.

Ut ei populi ſententiam gratam exponat.
Voſque ipſos in agros et urbem, ſi volueritis,
Invitat ſtatim nunc ingredi, modò benevoli ſitis.
Hæc locuta eſt: omnibus verò æquus placuit ſermo.
Conjecerunt verò Hypſipylen mortui Thoantis
Unicam natam rerum imperio potiri: ſtatim igitur et hunc
Miſerunt ut iret: et ipſi ſe accinxerunt ad abitum.
Ille verò circa humeros Deæ Itoniæ opus,
Lænam duplicatam purpuream fibulavit, quam ei dedit
Pallas, quando primùm carinam impoſuit navi
Argo, et normâ docebat juga metiri.

εἰς τὴν ἀρχήν. ex hoc autem loco ἀναστήσασθαι v. 346, vertendum *evehi* liquet. Sanct.

718. Εἴσαντο] ἀντὶ τοῦ διενοήθησαν, ὑπέλαβον. Schol.

719. Τηλυγέτην] τηλυγέτην δὲ νῦν ἀκουστέον μόνην. ὁ γὰρ νοῦς. διενοήθησαν δὴ μονογενῆ Θόαντι τὴν Ὑψιπύλην γεγενημένην, τὴν βασιλείαν τοῦ πατρὸς εἰληφέναι. Schol.

721. Ἰτωνίδος] ἐν Θεσσαλίᾳ θεὰ Ἰτωνὶς τιμᾶται, καὶ ἐν Κορωνείᾳ πόλει τῆς Βοιωτίας, ἀπὸ Ἰτώνου τοῦ ἱερέως. ἀστείως δὲ οὐ πολεμικῇ σκευῇ χρώμενον ἐξάγει, ἀλλ' ἐσθῆτι κοσμούμενον. πρῶτον μὲν, ὅτι ἀπόλεμοι αὐτὸν ἐκάλουν· ἔπειτα, ὅτι καὶ γυναικῶν μόνον ἡ πόλις, αἳ μάλιστα τοῖς τοιούτοις χαίρουσι. καὶ ὁ Μένανδρος, "εὐκαταφρόνητος τῇ στολῇ ἄσιμι, καὶ ταῦτα εἰς γυναῖκας." ἤδη δὲ καὶ διὰ τῆς δωρησαμένης θεοῦ, τὸ τῆς χλανίδος κάλλος ἐσήμαινεν. Schol.

723. Δρυόχους] ἐν οἷς καταπήγνυται ἡ τρόπις ξύλοις, ταῦτα οὕτως καλοῦσιν. Ὅμηρος, "ἵσταχ' ἑξείης, δρυόχους ὡς, δώδεκα πάντας." δρύοχοι οὖν τὰ ἐγκοίλια τῆς νεώς. Schol.

724. Κανόνεσσι] κανόνας δὲ τὰς στάθμας, αἷς τὰ ξύλα καὶ τοὺς τοίχους οἱ τέκτονες ἐξισάζουσι. δάε δὲ, ἐδίδαξεν ἡ θεός. Schol.

Τῆς

Τῆς μὲν ῥηΐτερόν κεν ἐπ' ἠέλιον ἀνιόντα
Ὄσσε βάλοις, ἢ κεῖνο μεταβλέψειας ἔρευθος.
Δὴ γάρ τοι μέσσῃ μὲν ἐρευθήεσσα τέτυκτο,
Ἄκρα δὲ πορφυρέη πάντῃ πέλεν· ἐν δ' ἄρ' ἑκάστῳ
Τέρματι, δαίδαλα πολλὰ διακριδὸν εὖ ἐπέπαστο.
Ἐν μὲν ἔσαν Κύκλωπες, ἐπ' ἀφθίτῳ ἥμενοι ἔργῳ,
Ζηνὶ κεραυνὸν ἄνακτι πονεύμενοι· ὃς τόσον ἤδη
Παμφαίνων ἐτέτυκτο, μιῆς δ' ἔτι δεύετο μοῦνον

Facilius quidem in orientem folem
Oculos affigeres, quàm illum *ejus* intuereris fplendorem.
Etenim medium ejus rutilum erat,
Extremitates verò undiquaque erant purpureæ, et in fingulâ
Orâ, ingeniofa multa *argumenta* diftinctè pulchréque erant depicta.
Inerant quidem Cyclopes immortali incumbentes operi,
Jovi regi fulmen excudentes, quod ufque eo jam
Fabricatum erat ut corufcaret, uno verò folùm adhuc carebat

725. Τῆς μὲν ῥηΐτερόν] ἐν τῇ ἀνθυποστολῇ. τῆς, τῆς μὲν ῥηΐτερόν κεν, ἑξῆς ἐστιν, ἄκρα δὲ πορφυρέη. οἱ δὲ μεταξὺ δύο στίχοι διὰ μέσου εἰσίν. Schol.

Ibid. Pro τῆς poni vult Sanctamandus ἧς, vertitque ad verbum, *Cujus facilius quàm ruborem contempleris, in ipfo fole oculos figeres.*

726. Ἔρευθος] ἐρύθημα. ἔστι δὲ καὶ βοτάνης ἄνθος ἐρυθρὸν, ᾧ τὰ ἔρια βάπτουσιν. Schol.

727. Ἐρευθήεσσα] ἀντὶ τοῦ πυῤῥὰ, ὑπέρυθρος. καὶ ἔστι παρὰ τὸ Σαπφικὸν, "παντοδαπαῖς μεμιγμένα χροιαῖσιν." Schol.

Ibid. Ἐρευθήεσσα. Schol. ὑπέρυθρος. At diffidere hìc videtur Scholiaftes ab ipfo poeta. Quî enim confiftant unà ἔρευθος quo hebetatur obtutus, et ὑπέρυθρον; At ἐρευθήεσσα eft τῶν μεταπειστικῶν 1. 535. et rutilum eft φοινικοῦν, de quo Gellianus Fronto, *exuberantiam fplendoremque fignificat ruboris.* Et Ariftoteles περὶ αἰσθήσεως cap. 3. folem ait διὰ ἀχλύος ἢ καπνοῦ φαίνεσθαι φοινικοῦν. Hujus confideratione fufpicetur aliquis effe in Scholiis legendum ὑπερέρυθρος. Splendor enim ifte non a diluto eft colore, fed intenfo. Euripides itaque dixit αἵματος νασμὸν μελαναυγῆ. Seneca togam fplendentem vocat candidam. ἱμάτια (Χριστοῦ) στίλβοντα, λευκὰ λίαν, ὡς χιών. Hœlzlinus.

730. Κύκλωπες] οὗτοι οἱ κατασκευάσαντες τῷ Διὶ τὸν κεραυνόν. καὶ Ἡσίοδος, "οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν, τεῦξάν τε κεραυνόν." Ἐπ' ἀφθίτῳ. ἐπὶ θείῳ καὶ θαυμαστῷ καὶ ἀθανάτῳ ἔργῳ. Schol.

731. Ὃς τόσον] ἤτοι ἐπὶ ποσότητος τόσον, ἢ ἐπὶ θαύματος τοσοῦτον, ἀντὶ τοῦ μεγάλως. Schol.

Ibid. Τόσον ex Scholiaftæ fententiâ conjunge cum παμφαίνων. Significabit verò *valdè, fummoperè.* Sanct.

732. Μιῆς δ' ἔτι δεύετο] ὅτι ἦν ἡμιτελὴς παρὰ μίαν ἀκτῖνα κεραυνός. αἱ-

Ἀκτῖνος

Ἀκτῖνος, τὴν οἵγε σιδηρείης ἐλάασκον
Σφύρησιν, μαλεροῖο πυρὸς ζείουσαν ἀϋτμήν.
Ἐν δὲ ἔσαν Ἀντιόπης Ἀσωπίδος υἱέε δοιώ,
Ἀμφίων καὶ Ζῆθος· ἀπύργωτος δ' ἔτι Θήβη
Κεῖτο πέλας, τῆς οἵγε νέον βάλλοντο δομαίους
Ἱέμενοι. Ζῆθος μὲν ἐπωμαδὸν ἠέρταζεν
Οὔρεος ἠλιβάτοιο κάρη μογέοντι ἐοικώς·
Ἀμφίων δ' ἐπί οἱ, χρυσέῃ φόρμιγγι λιγαίνων,
Ἤϊε, δὶς τόσση δὲ μετίχνια νείσετο πέτρη.

Radio, quem illi ferreis ducebant
Malleis, consumentis ignis flammam ebullientem.
Inerant etiam Antiopæ Asopo genitæ filii duo
Amphion et Zethus: ac nondum turritæ Thebæ
Sitæ erant prope, quarum illi nuper jecerant fundamenta
Intenti. Zethus quidem in humeros portabat
Montis præcelsi caput laboranti similis:
Amphion verò post eum aureâ testudine argutum sonans
Ibat; bis tanta verò rupes vestigia sequebatur.

νίτλεται δὲ ὅτι τὸ κατεσκευάσμενον ἀληθῶς ἄρα τὸν κεραυνὸν, καὶ ὀλίγῳ ἐλειπέτο μόνον τὸ ἀληθῶς λαμπηδόνος. οὐ γὰρ οἷόν τε ἦν τεχνίτην ἐν ποικίλματι ὁμοίαν τὴν λαμπηδόνα ποιῆσαι τῷ ἀληθεῖ. Schol.

Ibid. —— μοῦνος δ' ἔτι δεύετο &c.

His informatum manibus jam parte politâ
Fulmen erat ——
— pars imperfecta manebat.
Æn. 8. 426.

734. Μαλεροῖο] οἱ νεώτεροι, τοῦ λαμπροῦ· οἱ δὲ, τοῦ μαραντικοῦ. Schol.

Ibid. Ἀϋτμήν. Sanctamandus contendit legendum ἀϋτμῇ, ut sit, *excandescentem vapore æstuosi ignis*: sed amore certè mutandi adductus, hìc præsertim minimè necessario.

735. Ἀντιόπης] δύο Ἀντιόπαι ἐγένοντο· ἡ μὲν Νυκτέως, ἡ δὲ Ἀσωποῦ (περὶ ἧς νῦν Ἀπολλώνιος) ἧς καὶ Διὸς, Ἀμφίων καὶ Ζῆθος, οἳ καὶ τὰς Θήβας ἐτείχισαν, ὡς καὶ Ὅμηρος φησὶν, "οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο." Φερεκύδης δὲ καὶ τὴν αἰτίαν παραδίδωσι τῆς οἰκοδομῆς. διότι Φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο βασιλεύοντι Κάδμῳ. Schol.

737. Κεῖτο πέλας] ἀστείως, ὡς πρὸς τὴν ἕδραν τῆς πόλεως τῶν τειχῶν καὶ τὴν στάσιν, τὸ κεῖτο ἔταξεν. Schol.

738. Ἐπωμαδὸν ἠέρταζεν] κατὰ τοὺς ὤμους ἐβάσταζεν, ἐπὶ τῶν ὤμων ἦρεν. Schol.

739. Ἐοικώς] διὰ δὲ τοῦ ἐοικὼς ἐκόλασε τὸν λόγον, διὰ τὸ ἐν γραφῇ εἶναι· οὐ γὰρ ἀληθῶς ἐκακοπάθει ἐν τῇ γραφῇ. Schol.

740. Ἐπί οἱ] ἐπ' αὐτῷ τῷ Ζήθῳ ἑπόμενος. Schol.

741. Δὶς τόσση] ἀντὶ τοῦ διπλασίων τοῦ Ἀμφίονος ἐπηκολούθει πέτρα· ὅτι δὲ ἠκολούθησαν τῇ Ἀμφίονος λύρᾳ οἱ λίθοι αὐτόματοι, ἱστορεῖ καὶ Ἀντιμαχίδας ἐν πρώτῳ. τὴν δὲ λύραν δεθλῶσαι Ἀμφίονα ὑπὸ Μουσῶν φησί. Διοσκορίδης δὲ, ὑπὸ Ἀπόλλωνος· καὶ Φερεκύδης δὲ ἐν τῇ δεκάτῃ

Ἑξῆς

Ἑξείης δ' ἤσκητο βαθυπλόκαμος Κυθέρεια,
Ἄρεος ὀχμάζουσα θοὸν σάκος· ἐκ δέ οἱ ὤμου
Πῆχυν ἐπὶ σκαιὸν ξυνοχὴ κεχάλαστο χιτῶνος
Νέρθεν ὑπὲρ μαζοῖο· τὸ δ' ἀντίον ἀτρεκὲς αὔτως
Χαλκείῃ δίκηλον ἐν ἀσπίδι φαίνετ' ἰδέσθαι.
Ἐν δὲ βοῶν ἔσκεν λάσιος νομός· ἀμφὶ δὲ βουσὶ

Deinceps verò depicta erat promissis crinibus Cytherea
Martis tenens agile scutum : at ex ejus humero
Ad sinistrum cibitum junctura diffibulata erat vestis,
Infra sub mammas ; ex adverso autem verè omnino
Æreo in clypeo effigies apparebat ad aspectum.
Inerant etiam boum herbosa pastua ; et de bobus

ἱστορίᾳ, ὑπὸ Μουσῶν. Δὶς τόσση δέ. διπλῆ ὡς πρὸς ἣν ἐβάσταζεν ὁ Ζῆθος. διὰ δὲ τούτου οὐδὲν ἕτερον δηλοῖ ἢ τὴν τῆς μουσικῆς καὶ τὴν τῆς εὐπαιδευσίας ἀρετὴν, ὡς πρὸς τὴν ἄλογον ἀνδρείαν· παραινῶν ὅτι ὁ μὲν, ὡς σφόδρα ἰσχυρὸς, ὀλίγον, καίτοι κακοπαθῶν, ἔφερεν, ὁ δὲ, μέγιστον τῇ εὐπαιδευσίᾳ φέρειν ἠδυνάτο. Schol.

Ibid. Μετίχνια. Flor. et Steph. μετ' ἴχνια. divisim.

743. Ὀχμάζουσα] κατέχουσα, βαστάζουσα, καίτοι μὴ οὖσα πολεμικὴ, ἀλλ' ὡς ἐραστῇ χαριζομένη τῷ Ἄρει. κυρίως δέ ἐστιν ὀχμάσαι, τὸν ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν, ἢ ὑπὸ ὄχημα. σημαίνει καὶ τὸ ἐν μάχῃ κρατῆσαι, ἀπὸ τῆς αἰχμῆς. θοὸν δὲ, τὸ εὐκίνητον καὶ εὐμετάφορον, ἀπὸ τοῦ θοάζειν, ὅ ἐστι ταχύνειν. Schol.

746. Δίκηλον] κυρίως τὸ τῷ Διῒ ἐοικὸς ἄγαλμα· καταχρηστικῶς δὲ καὶ πᾶν ὁμοίωμα, ὡς καὶ νῦν, καὶ δικηλίστας δὲ, τοὺς σκωπτικοὺς, τοὺς ἐν τῷ σκώπτειν ἄλλους τινὰς μιμουμένους. ἐν δὲ τῇ ἀσπίδι, φησὶ, χαλκῇ οὔσῃ ἐφαίνετο αὐτῇ μορφὴ ὁμοία. βουλόμενος δὲ δεῖξαι ὅτι ἀντανακλάσεις ἐγίνοντο τινες ἐν τῇ ἀσπίδι, φησὶν, ὅτι γυμνωθέντος τοῦ ὤμου τῆς Ἀφροδίτης μέχρι τοῦ μαζοῦ, εἰς τὸ ἐναντίον τῆς ἀσπίδος τὸ ὁμοίωμα τῆς Ἀφροδίτης ἐφαίνετο, διὰ τὸ λείαν εἶναι τὴν ἀσπίδα. Schol.

747. Ἐν δὲ βοῶν] ἡ Τάφος νῆσός ἐστι μία τῶν Ἐχινάδων, ἣν ᾤκησαν Τηλεβόαι, οἱ πρότεροι τὴν Ἀκαρνανίαν οἰκοῦντες, ἄνδρες λῃστρικώτατοι τὸν τρόπον· καὶ εἰς Ἄργος ἐπελθόντες τὰς τοῦ Ἠλεκτρύωνος βόας ἀπήλασαν τοῦ πατρὸς Ἀλκμήνης. γενομένης δὲ μάχης, καὶ ὁ Ἠλεκτρύων καὶ οἱ τούτου παῖδες ἀνῃρέθησαν. διὸ Ἀλκμήνη μετέστη, καὶ ἀνεκήρυξεν τὸν ἑαυτῆς γάμον τῷ τιμωρησαμένῳ τὸν πατρῷον φόνον. τιμωρησάμενος δὲ Ἀμφιτρύων ἔγημεν. ἡ ἱστορία σαφῶς παρ' Ἡσιόδῳ. περὶ δὲ τῆς μάχης Ἡρόδωρος ἱστορεῖ, ὅτι Περσέως καὶ Ἀνδρομέδας τέσσαρες παῖδες ἐγένοντο, Ἀλκαῖος, Σθένελος, Μήστωρ, Ἠλεκτρύων· καὶ κοινὴν ἔσχον τὴν βασιλείαν, μετὰ τὸν Περσέως θάνατον. Μήστορος δὲ θυγάτηρ Ἱπποθόη, ἧς καὶ Ποσειδῶνος, Πτερέλαος· τοῦ δὲ, Τηλεβόας καὶ Τάφος. ὡς δέ τινες, Πτερέλα τοῦ Τηλεβόου ἐγένοντο παῖδες οἱ καλούμενοι Τηλεβόαι. ἐλθόντες δὲ ἀπῄτουν Ἠλεκτρύωνα τὰ τῆς μάμμης ἑαυτῶν τῆς μητρὸς Ἱπποθόης. ἀντιστάντες δὲ αὐτοῖς οἱ Ἠλεκτρυωνίδαι ἀνῃρέθησαν ὑπ' αὐτῶν. Πτερέλα παῖδες Τηλεβόας καὶ Τάφος. ἀφ' ὧν ἡ νῆσος. Τηλεβόαι οὖν οἱ Τάφιοι, ἤτοι ὅτι τῆλε οἰκοῦντες ἀπὸ Ἄργους τὰς βοῦς ἀπήλασαν· ἢ ἀπὸ Τηλεβόου τοῦ Πτερέλα τοῦ βασιλέως υἱοῦ, οὗ ἀδελφὸς Τάφιος· ἀφ' οὗ καὶ ἡ νῆσος. Schol.

Ibid. Ἡ ἱστορία σαφῶς παρ' Ἡσιόδῳ, inquit Scholiastes. At fallitur, ut

Τηλεβόαι

Τηλεβόαι μάρναντο, καὶ υἱέες Ἠλεκτρύωνος·
Οἱ μὲν ἀμειβόμενοι, ἀτὰρ οἵγ' ἐθέλοντες ἀμέρσαι
Ληϊσταὶ Τάφιοι· τῶν δὲ αἵματι δεύετο λειμὼν
Ἑρσήεις, πολέες δ' ὀλίγους βιόωντο νομῆας.
Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντες.
Καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε, τινάσσων
Ἡνία, σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια·
Τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους.
Σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς,

Teleboæ pugnabant, et filii Electryonis.
Hi quidem vim arcentes, ſpoliandi verò cupidi
Prædones Taphii; illorum autem ſanguine maduit pratum
Rorulentum; multique paucos vi manuum vicerunt paſtores.
Quin etiam duo currus elaborati ſunt certantes,
Quorum priorem Pelops dirigebat, concuſſis
Habenis, et cum eo erat Hippodamia, curulis inſtar pugnatoris.
Poſt hunc verò in curſu Myrtilus incitavit equos,
Cum quo Oenomaus, protenſam haſtam manu tenens,

rectè annotavit vir doctiſſimus, Thomas Robinſonus. "Alia certè eſt apud Heſiodum hiſtoria. Dicit verò Apollodorus Electryonem filiam ſuam Amphytrioni deſpondiſſe, poſtea verò ab eo fortuito interfectum: itaque narratur fabula in ſcholiis Joannis Diaconi."

749. Ἀμέρσαι] στερῆσαι. Schol.

752. Δηριόωντες] ἀγωνιζόμενοι. ὁ γὰρ Οἰνόμαος, Ἄρεως ἂν παῖς καὶ Ἀρπίνης τῆς Ἀσωποῦ, ἤτοι Εὐρυθόης τῆς Δαναοῦ, θυγατέρα ἔχων Ἱπποδάμειαν, καὶ χρησμὸν λαβὼν ἀναιρεθήσεσθαι ὑπὸ τοῦ ἰδίου γαμβροῦ, οὐκ ἐβούλετο ἐκδοῦναι αὐτὴν, εἰ μὴ τῷ νικήσαντι αὐτὸν δι' ἵππων. προέκειτο δὲ αὐτοῖς Κλάδεως ποταμὸς ἀφετηρία, ἰσθμὸς δὲ τὸ τέρμα. καὶ ἀνεῖλεν τρισκαίδεκα μνηστῆρας, ὡς Πίνδαρος ἱστορεῖ. ἐλθόντος δὲ τοῦ Πέλοπος ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῷ ὑπὸ Ποσειδῶνος, ἐρασθεῖσα ἡ Ἱπποδάμεια Πέλοπος, ἔπεισε Μυρτίλον, τὸν Ἑρμοῦ μὲν παῖδα, ἁρματοπηγὸν δὲ καὶ ἡνίοχον Οἰνομάου, ἐμβαλόντα κήρινον ἔμβολον ἐπὶ τοῦ ἀκραξονίου, ἢ οὐδ' ὅλως ἐμβαλόντα τὸν ἔμβολον, ὡς Φερεκύδης ἱστορεῖ. οὗ γενομένου, Οἰνόμαός τε ἐκκυλισθεὶς τοῦ τροχοῦ ἀπέθανε, καὶ Ἱπποδάμειαν Πέλοψ ἔλαβεν. αἱ δὲ τοῦ Οἰνομάου ἵπποι, Ψίλλα καὶ Ἅρπιννα. ὁ δὲ Μυρτίλος Ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης. οἱ δὲ, ἐκ Μυρτοῦς μιᾶς τῶν Ἀμαζόνων. Schol.

754. Παραιβάτις] οὐχ ὅτι αὐτῷ κατὰ τὸν ἀγῶνα συμπαρῆν, ἀλλ' ὅτι ὁ τεχνίτης ἀμφότερα δεῖξαι θέλων καὶ τὸν δρόμον, καὶ τὴν νίκην, τοῦτο πεποίηκεν. Schol.

756. Προτενὲς] προτεταμένον ἔχων τὸ δόρυ. Schol.

Ἄξονος ἐν πλήμνῃσι παραμπλιδὸν ἀγνυμένοιο
Πῖπτεν, ἐπεσσύμενος Πελοπήϊα νῶτα δαΐξαι.
Ἐν καὶ Ἀπόλλων Φοῖβος ὀϊστεύων ἐτέτυκτο
Βούπαις οὔπω πολλὸς ἐὴν ἐρύοντα καλύπτρης

Axe apud fiſtulas fracto, inclinanter
Cecidit, impetum faciens Pelopis tergum transfodere.
Quin etiam Apollo Phœbus ſagittam mittens formatus eſt,
Puer nondum grandis, in Tityon ingentem, calyptrâ trahentem

757. Ἄξονος ἐν πλήμνῃσι] διαφέρει πλήμνη καὶ πλῆσμη. ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ· ἡ δὲ πλῆσμη, τὴν πλημμύραν τοῦ ποταμοῦ. διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον. "αὐτὸς δ' ἐν πλήσμῃσι διϊπετέος ποταμοῖο." καὶ οὐχ' ὥς τινες, ἐν πλήμνῃσιν· εἰ μὴ ἔξωθεν προσλάβοιμεν τὴν σὺν πρόθεσιν, συμπλήμνῃσι. Παραμπλιδὸν, παρακεκλιμμένως ἔπιπτεν. Schol.

760. Βούπαις] μέγας παῖς, οὔπω τέλειος ἀνήρ. Τιτυὸν μέγαν. Ἐλάρη μήτηρ Τιτυοῦ. μετὰ τὴν τελευτὴν δὲ τῆς μητρὸς λέγεται παρὰ τῆς γῆς ἀνατετράφθαι. καθὰ καὶ Ὅμηρος ἱστορεῖ, "καὶ Τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱόν." Φερεκύδης δὲ φησιν ὅτι Ἐλάρῃ τῇ Ὀρχομενοῦ μιγεὶς ὁ Ζεὺς, ἔκρυψεν αὐτὴν κατὰ γῆς ἤδη κύουσαν, δεδιὼς τὴν τῆς Ἥρας ζηλοτυπίαν· καὶ ἀνεδόθη ἐκ τῆς γῆς Τιτυός· διὸ καὶ γηγενὴς καλεῖται. Ἄλλως. Ἐλάρη μήτηρ Τιτυοῦ, ὃν τεκοῦσα ἐκ Διὸς, καὶ ἀδυνατοῦσα γεννῆσαι, διὰ τὸ μέγεθος τοῦ παιδὸς, ἀπώλετο. δοκεῖ δὲ ἡ ἱστορία ἀπίθανος εἶναι καὶ ἄπιστος, ὅτι ἐκ δευτέρου ἡ γῆ ἐγέννησε τὸν Τιτυόν. Ἀλλ' ἐροῦμεν ὅτι οἱ ποιηταὶ τοὺς τερατώδεις κατὰ τὸ σῶμα, γῆς εἶναι φασίν. οὕτω γὰρ καὶ Καλλίμαχος τὰ δεινὰ τῶν θηρίων γῆς εἶναι ἔφη. ὅτι δὲ μέγας ὁ Τιτυὸς, καὶ Ὅμηρος φησὶν, "ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα." φαμὲν οὖν ὅτι ὅτε πρὸς Ἐλάρης ἐτέχθη, ἰδίας αὐτῆς εἶναι, διὰ τὸ βραχὺ τοῦ σώματος· ὡς δὲ αὐξηθεὶς τερατώδης ἐγένετο, εἶπον καὶ τεχθῆναι αὐτὸν καὶ τετράφθαι πρὸς τῆς γῆς. Τιτυὸν μέγαν. τὸ μέγαν θαυμαστικῶς εἴρηται, ὅτι βούπαις ὢν, μέγαν ἐτόξευσεν. καὶ ἤτοι πρὸς τὴν θέαν φύσιν ἀκουστέον, ἢ πρὸς τὸ ὑπ' ὄψιν εἶναι τὴν ὕβριν τῆς μητρός. ὅτι πολλάκις τὰ δεινὰ τῶν πραγμάτων καὶ τὴν ἡλικίαν, καὶ τὴν φύσιν οἶδε βιάζεσθαι. πρὸς δὲ ὁ ποιητὴς οὐ τῷ κυρίῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τῷ κατὰ φύσιν, μητέρα εἰπών. Schol.

Ibid. Πολλὸς. Rectè vetus interpres, *grandis*, quod, ut plerumque, abſque cauſa damnat Hœlzlinus. Eodem ferme modo Virgilius. Æn. 6. v. 659. *plurimus* Eridani amnis: ubi *plurimus* rectè interpretatus eſt Servius, *magnus*. Ita poni poteſt comma ante οὔπω, quod ſentit Scholiaſtes, vel ſine commate legi. Vertendum verò eſt, adoleſcens nondum *grandis*. Notandum verò eſt, quòd et aliâ ratione πολλὸς *magnus* ſignificare poteſt. πολὺς enim et πολλὸς ſignificabit *ſævus* et *vehemens*. Vide Ariſtophanis aves 488. atque inde tranſlatum ut ſignificaret, *magnus:* quod Latini etiam retinuerunt, *ſævus* pro *magnus* uſurpantes, quod evincit Servius ad Æn. 1. v. 4. Si ſine commate hæc leguntur, ordo erit, οὔπω βούπαις πολλὸς, ita vertendum erit, *Nondum adoleſcens vehemens* aut *acer*. Ita Horat. Non ego hoc ferrem *calidus Juventâ*. Si verò comma poſt βούπαις ponitur, vertendum, *Adoleſcens, nondum vehemens aut acer*. Sanct.

Μητέρα θαρσαλέως Τιτυὸν μέγαν· ὅν ῥ' ἔτεκέν γε
Δῖ' Ἐλάρη, θρέψεν δὲ καὶ ἂψ ἐλοχεύσατο γαῖα.
Ἐν καὶ Φρίξος ἔην Μινυήιος, ὡς ῥ' ἐτεόν περ
Εἰσαΐων κριοῦ, ὁ δ' ἄρ' ἐξενέποντι ἐοικώς.
Κείνους κ' εἰσορόων ἀκέοις, ψεύδοιό τε θυμὸν,
Ἐλπόμενος πυκινήν τιν' ἀπὸ σφείων ἐσακοῦσαι
Βάξιν· ὃ καὶ δηρόν περ ἐπ' ἐλπίδι θηήσαιο.
Τοῖ' ἄρα δῶρα θεᾶς Τριτωνίδος ἦεν Ἀθήνης.
Δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅρρ' Ἀταλάντη

Audacter matrem ſuam: illum ſane peperit
Jovi Elara, nutrivit verò et denuo enixa eſt terra.
Inerat etiam Phryxus Minyeïus, tanquam reverà
Audiens arietem, qui loquenti ſimilis erat.
Illis aſpectis inhiares, deciperesque animum,
Sperans vafrum quendam ab ipſis audire
Sermonem, et eâ ſpe nixus diu aſpiceres.
Talia ſane dona erant Deæ Tritoniæ Minervæ.
Dextrâ verò corripuit haſtam longe jaculabilem, quam Atalanta

763. Ἐν καὶ Φρίξος ἔην Μινυήιος] ὁ Ἰώλκιος. τὴν γὰρ Ἰωλκὸν Μινύαι ᾤκουν, ὥς φησι Σιμωνίδης ἐν συμμίκτοις. δύναται δὲ καὶ ἀντὶ τοῦ Ὀρχομένιος. πολλοὶ γάρ φασιν ἐν Ὀρχομενῷ οἰκῆσαι τὸν Ἀθάμαντα. Ζητητέον δὲ τί βούλεται αὐτῷ ταῦτα τὰ ποικίλματα. καὶ ἐροῦμεν ὅτι ὁ ποιητὴς διὰ τῆς χλαμύδος οὐδὲν ἕτερον ἢ τὴν κοσμικὴν τάξιν καὶ τὰς πράξεις φησί. καὶ πρῶτον μὲν διὰ τοῦ κεραυνοῦ καὶ τῶν Κυκλώπων, θεόν τινα καὶ θείαν φύσιν ἀλληγορεῖ. διὸ καὶ φησὶν, ἐπ' ἀφθίτῳ ἤμενοι ἔργῳ. μετὰ δὲ πόλεις κτιζομένας διὰ τῆς τοῦ Ἀμφίονος λύρας ἱστορεῖ, ἔπειτα τὰ ἐν πόλεσι πάντα γενόμενα, ἔρωτάς τε καὶ πολέμους. τοῦτο γὰρ βούλεται αὐτῷ ἡ Ἀφροδίτη ὁπλοφοροῦσα. ἡ δὲ βία καὶ αἱ μάχαι, διὰ τῆς τῶν Ταφίων ἱστορίας· ἀγῶνάς τε καὶ γάμους διὰ τῶν τοῦ Πέλοπος ἄθλων· ἀσεβείας τε καὶ τιμωρίας πρὸς τῶν κρειττόνων, διὰ τοῦ Τιτυοῦ· ἐπιβουλάς τε καὶ δόλους, καὶ συμβουλὴν ἀγαθὴν, καὶ σωτηρίαν ἀπροσδόκητον δείκνυσι διὰ τῆς Φρίξου ἱστορίας. καὶ σχεδὸν πάντα τὰ ἐν ταῖς πόλεσι γινόμενα, διὰ τῆς χλαμύδος ποιητικῶς ἔφρασε. δῶρον δέ φησιν εἶναι τὴν χλαμύδα, τῆς Ἀθηνᾶς, ἐπειδὴ, ὅ, τε κόσμος ὑπὸ τῆς θείας φρονήσεως γέγονε, τῶν δὲ ἐν αὐτῷ ὑπὸ τῶν ἀνθρώπων πραττομένων οὐδὲν ἄνευ φρονήσεως ὀρθῶς γένοιτ' ἄν. Schol.

764. Εἰσαΐων] ἐφθέγγετο γὰρ ὁ κριὸς πιστούμενος τῷ Φρίξῳ τὴν σωτηρίαν, κατὰ βούλησιν Διός. Schol.

769. Ὅρρ' Ἀταλάντη] οἱ δὲ Ἀριστάρχειοι δι' ἑτέρου ρ ἔχουσι τὰς τοιαύτας γραφὰς, ὡς Ἡρακλέων φησὶν ἐν τῇ π τῆς Ἰλιάδος, "τὸ ῥα τότ' ἐκ χηλοῖο λαβών." Ἀταλάντη. Ἰάσονος θυγάτηρ, ἣν ἔγημε Μειλανίων. ἑτέρα γάρ ἐστιν ἡ Ἀργεία ἡ Σχοινέως, ἣν ἔγημεν Ἱππομέδων. Μαίναλος δὲ ὄρος Ἀρκαδίας, ἐν ᾧ ἡ Ἀταλάντη διῆγεν. ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, ὥς φησιν Ἑλλάνικος. πρὸς δὲ παρθένον στελλόμενος, παρθένιον δῶρα μεταχειρίζεται. Schol.

Μαινάλῳ ἔν ποτέ οἱ ξεινήιον ἐγγυάλιξε
Πρόφρων ἀντομένη· πέρι γὰρ μενέαινεν ἕπεσθαι
Τὴν ὁδόν· ἀλλὰ γὰρ αὐτὸς ἑκὼν ἀπερήτυε κούρην·
Δεῖσεν δ' ἀργαλέας ἔριδας φιλότητος ἕκητι.
Βῆ δ' ἴμεναι προτὶ ἄστυ φαεινῷ ἀστέρι ἶσος,
Ὅν ῥά τε νηγατέῃσιν ἐεργόμεναι καλύβῃσιν
Νύμφαι θηήσαντο δόμων ὑπεραντέλλοντα·
Καί σφίσι κυανέοιο δι' ἠέρος ὄμματα θέλγει
Καλὸν ἐρευθόμενος· γάνυται δέ τε ἠϊθέοιο
Παρθένος ἱμείρουσα μετ' ἀλλοδαποῖσιν ἐόντος
Ἀνδράσιν, ᾧ καί μιν μνηστὴν κομέουσι τοκῆες.

In Mænalo ei olim hoſpitii munus præbuit
Lubenter ei obviam facta: ſummopere etiam cupiebat ſequi
Hoc itinere: ipſe verò ſuâ ſponte retruſit puellam,
Metuens difficiles lites amoris cauſâ.
Perrexit verò ire ad urbem, ſplendenti ſtellæ par,
Quam in nuper paratis concluſæ thalamis
Innuptæ conſpicatæ ſunt ſupra ædes orientem,
Quæque ipſis per cæruleum aëra oculos blanditim aufert,
Pulchrè rubeſcens: lætatur verò adoleſcentis
Æſtuans deſiderio virgo, inter alienos exiſtentis
Viros, cui et ipſam deſponſatam alunt parentes;

773. Δεῖσεν δ' ἀργαλέας ἔριδας] τὰς τῶν μνηστήρων, λέγει, τὰς Ἀταλάντης ἔριδας ἔδεισεν, μὴ εἰς στάσιν αὐτοὺς ἐξάψῃ, καὶ διαφορά τις γένηται μεταξύ, τῶν μὲν μιγῆναι αὐτῇ θελόντων, τῆς δὲ τὴν παρθενίαν τηρῆσαι. ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς Ἀργοναυτικοῖς. Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις, μέχρις οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν ἀποβᾶσι μιγήσεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν. Schol.

775. Νηγατίαις] ταῖς νεοκατασκευάστοις. Καλύβῃσι. ταῖς διὰ τῶν ἱματίων κατεσκευασμέναις, ἃς καλοῦσι παστούς. ἤτοι δὲ δι' ἔρωτας ἢ δι' ἀμνηστείας εἴργεσθαί φησι. Schol.

777. Κυανέοιο] νεοῦ λαμπροῦ. δόλου δὲ ἁρμόζουσα καὶ οἰκεία ἡ εἰκών. καὶ γὰρ καὶ αὐτὸν ἐρῶσα ἐξεδέχετο παρθένος καταλαμπόμενον τῷ κάλλει. Schol.

780. Hœlzlinus vertit κομέουσι, quaſi eſſet κομίουσι. verte, *alunt*, *nutriunt*, *educant*. Hæc autem poſtrema pars comparationis ita eſt intelligenda, ut virgo pro felici augurio ſtellam ſumat, ac reditum futuri ſponſi ominetur, atque ob id lætetur, ſpe, brevi ſe ei nuptam fore. Eximiè verò omni ex parte comparatio hæc Jaſoni reſpondet. Nam et ob pulchritudinem ſtellæ compara-

Τῷ

Τῷ ἴκελος πρὸ πόληος ἀνὰ στίβον ἤιεν ἥρως.
Καί ῥ' ὅτε δὴ πυλέων τε καὶ ἄστεος ἐντὸς ἔβησαν,
Δημότεραί μὲν ὄπισθεν ἐπεκλονέοντο γυναῖκες
Γηθόσυναι ξείνῳ· ὁ δ' ἐπὶ χθονὸς ὄμματ' ἐρείσας,
Νίσσετ' ἀπηλεγέως, ὄφρ' ἀγλαὰ δώμαθ' ἵκανεν
Ὑψιπύλης· ἄνεσαν δ[illegible]ύλας προφανέντι θεράπναι
Δικλίδας, εὐτύκτοι[illegible]ρηρεμένας σανίδεσσιν.
Ἔνθα μὶν Ἰφινόη κλισμῷ ἐνὶ παμφανόωντι
Ἐσσυμένως καλῆς δι' ἀναστάδος εἷσεν ἄγουσα
Ἀντία δεσποίνης· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
Παρθενικὰς ἐρύθηνε παρηΐδας· ἔμπα δὲ τόνγε
Αἰδομένη, μύθοισι προσέννεπεν αἱμυλίοισι.

Huic fimilis ante urbem per callem inceffit heros.
Quando verò portas urbemque intrâffent,
Populariores quidem à tergo tumultuosè commovebantur fœminæ
Lætæ ob hofpitem : ille verò humi defixa tenens lumina
Pergebat incuriosè, donec fplendidas ædes perveniffet
Hypfipyles. Portas verò relaxârunt confpecto ancillæ
Bifores, bene fabricatis aptatas afferibus.
Deinde ipfum Iphinoe in fellâ recubitoriâ undiquaque fplendidâ
Feftinanter per pulchram porticum ductum collocavit
Ex adverfo heræ, quæ, oculis deorfum miffis,
Virgineas rubefacta eft genas: ipfum tamen
Pudibunda verbis allocuta eft blandis.

tur, et ex ejus adventu in urbem, Lemniæ mulieres alios heroas venturos et nuptias augurabantur, non minùs quàm virgines thalamis inclufæ, ex afpectu ftellæ. Sanct.

781. Ἀνὰ στίβον] ἀνὰ τὴν ὁδὸν, παρὰ τὸ στίβεσθαι τὸ περιπατεῖν. Schol.

783. Ἐπεκλονέοντο] οὐ καλῶς τὸ ἐπεκλονέοντο εἴρηκεν ἅμα τῇ χαρᾷ. κλόνος γὰρ ἡ ταραχή. Ὅμηρος, "ὡς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες." Schol.

786. Προφανέντι] περιττὴ ἡ πρὸ πρόθεσις. Θεράπναι δὲ κατὰ συγκοπὴν τοῦ θεράπαιναι. Schol.

787. Σανίδεσσιν] οὕτω λέγονται τὰ ὑπερμήκη ξύλα καὶ πλατέα, οἷον σανίδες παρὰ τὴν τάσιν. Schol.

788. Ἔνθα μὶν] ἐν τῇ προεκδόσει, "ἔνθα μὶν Ἰφινόη πρὸ δόμου διὰ ποιητοῖο Ἐσσυμένως καλῆς διὰ δίφρακος εἷσεν ἄγουσα." Schol.

789. Καλῆς δι' ἀναστάδος] ἣν ἡμεῖς προπαστάδα λέγομεν. εἴρηται δὲ οὕτως διὰ τὸ ἐν αὐτῇ ἱστᾶσθαι ἡμᾶς, οἱονεὶ πάστασθαι. καλῆς δὲ, ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα, ἢ ὅτι ἐρωτικῇ. τοιαῦτα γὰρ τὰ τῶν ἐρώντων, ὡς καὶ Ἀνακρέων ἐπὶ ἐρωμένης φησίν. Schol.

Ξεῖνε

Ξεῖνε, τίη μίμνοντες ἐπὶ χρόνον ἔκτοθι πύργων
Ἧσθ' αὔτως; ἐπεὶ οὐ μὲν ὑπ' ἀνδράσι ναίεται ἄστυ,
Ἀλλὰ Θρηϊκίης ἐπινάστιοι ἠπείροιο
Πυροφόρους ἀρόωσι γύας. Κακότητα δὲ πᾶσαν
Ἐξερέω νημερτές, ἵν' εὖ γνοίητε καὶ αὐτοί.
Εὖτε Θόας ἀστοῖσι πατὴρ ἐμὸς ἐμβασίλευε,
Τηνίκα Θρηϊκίων οἵ τ' ἀντία ναιετάουσι,
Δήμου ἀπορνύμενοι λαοὶ πέρθεσκον ἐπαύλεις

Hospes, cur manentes tamdiu extra mœnia
Sedetis frustra? quoniam non à viris habitatur urbs,
Sed Thraciæ, sedibus suis relictis, continentis
Feracia arant arva. Calamitatem verò omnem
Edicam accuratè, ut bene sciatis et ipsi.
Quando Thoas, pater meus, inter cives imperio potiebatur,
Tunc Thracum ex adverso nobis incolentium
Susceptâ expeditione populi vastabant caulas,

794. Ἧσθ' αὔτως] εἰκῇ καθίζεσθε. ἤδη δὲ καὶ διὰ τούτου ἐφ' ὃ ἐκάλεσεν αὐτὸν ἠνίξατο, καὶ τὰ τῆς συμφορᾶς οὕτω πορίζεται. Ὑπ' ἀνδράσιν. ἀντὶ τοῦ ὑπ' ἀνδρῶν. Ὅμηρος, "Τρωσὶ μὲν ἡγεμόνευσι." τοῦτο δὲ Ἰώνων ἴδιον. πιθανῶς δὲ πλάττεται ἡ Ὑψιπύλη, ἀποδημεῖν ἐπὶ Θρᾴκης τοὺς ἄνδρας. Schol.

796. Ἀρόωσι] ἀροτριῶσιν. ἀφ' οὗ τὸ διάγουσιν, ἀκουστέον. πλάττεται δὲ καὶ ἀφανίζει τὸ ἀληθῶς γεγονὸς, καὶ τὸν φόνον τῶν ἀνδρῶν. Schol.

Ibid. Πυροφόρους γύας. Similiter Theocr. Idyll. 25, 30. Πυροφόροι τε γύαι.

799. Reliquæ editiones Θρηϊκίην. Hœlzlinus mutavit in Θρηϊκίων. Nec incommodè.

800. Ἐπαύλεις] τὰς ἐπαύλεις, τὰς μάνδρας. ἢ κατασχετικῶς τὰς οἰκίας τῶν Θρᾳκῶν ἐπόρθουν οἱ Λήμνιοι. Schol.

Ibid. Δήμου &c. Hœlzlinus conjungit λαοὶ et δήμου, ut λαοὶ sint οἱ στρατιῶται, δῆμος vero universus populus. Hæc firmanda erant veterum exemplis. De voce δῆμος nulla lis, si modo ostendatur λαοὶ significare propriè milites, aut distingui unquam a δήμου, cum δῆμος populum significat. Verùm hæc dubia si non falsa; quin si vera, parum huic loco convenientia: nam omnem Lemniorum copiam in expeditione exisse, colligi potest ex v. 821. et seq. cum enim redirent ab expeditione, insulâ exclusi viris vacuam Lemnum reliquerunt: quare omnes exisse necesse est. δῆμος igitur hìc non est populus, sed regio quæ a populo habitatur. Ita Homerus vocat Athenas δῆμον Ἐρεχθῆος. Quin et totus Atheniensium populus in φύλας, φύλαι verò in δήμους dividebantur; eaque nomina non modo incolis, sed et ipsis regionibus inhæserunt. Ut autem δῆμος quod propriè populum significat, ad significandum locum in quo populus degit, transfertur, ita et ἄροσις v. 826. quod propriè arationem significat, ad significandum locum qui aratur, transfertur. Exempla illic plura congessit

Ex

Ἐκ νηῶν, αὐτῇσι δ' ἀπείρονα ληΐδα κούραις
Δεῦρ' ἄγον· οὐλομένης δὲ θεᾶς πορσύνετο μῆνις
Κύπριδος, ἥ τέ σφιν θυμοφθόρον ἔμβαλεν ἄτην.
Δὴ γὰρ κουριδίας μὲν ἀπέστυγον, ἔκ τε μελάθρων,
Ἧι ματίῃ εἴξαντες, ἐπεσσεύοντο γυναῖκας.
Αὐτὰρ ληϊάδεσσι δορικτήτῃς παρίαυον
Σχέτλιοι· ἦ μὲν δηρὸν ἐτέτλαμεν, εἴ κε ποτ' αὖτις
Ὀψὲ μεταστρέψωσι νόον· τὸ δὲ διπλόον αἰεὶ
Πῆμα κακὸν προὔβαινεν· ἀτιμάζοντο δὲ τέκνα
Γνήσι' ἐνὶ μεγάροις, σκοτίη δ' ἀνέτελλε γενέθλη.

Ex navibus; cumque ipsis ingentem prædam puellis
Huc egerunt. Deæ verò perniciosæ perficiebatur consilium
Veneris, quæ ipsis animum adimentem immisit calamitatem.
Juveniles enim odio prosequebantur, et ex ædibus
Suæ dementiæ morem gerentes festinanter ire cogebant uxores.
Sed cum mulieribus bello captis accumbebant
Nefarii. Diu sane toleravimus, si forte rursus
Ad sanum tandem reverterent animum: sed in duplum semper
Calamitas mala prodibat: contumeliâ enim afficiebantur liberi
Legitimi in ædibus; at furtivo concubitu egerminabat soboles.

Hœlzlinus. Quòd si δῆμος hanc interpretationem non admitteret, legerem νήσε vel Λήμνε. Hoc insuper firmatur verbis illis, ἐπιδημίαν et ἀποδημίαν, quod respectu loci non incolarum dicitur. Ita cum Delum invisit Apollo, dicitur ἐπιδημεῖν ἐς Δῆλον, quod nullo modo ad populum referri potest. Ut uno verbo dicam, Λήμνου ἀπειρύμενοι est ἀποδημοῦντες. Sanct.

801. Αὐτῇσι δ' ἀπείρονα] θαυμαστικῶς. οἷον ληΐδας αὐταῖς καὶ διαπαρθένους ἡμῶν ἔφερον ἄγοντες. ἐν δὲ τῇ προεκδόσει, "ἐκ νηῶν· ἄμυδις δὲ βόας καὶ μῆλα κόμιζον αὐτῇσιν κούρῃσιν ἀπείρονα ληΐδα δεῦρο. καὶ τότ' ἔπειτ' ἀνὰ δῆμον ἀάατος ἔμπεσε λύσσα, οὐκ οἶδ' ἢ θεόθεν, ἢ αὐτῶν ἀφροσύνῃσιν." Schol.

802. Οὐλομένης] ἀντὶ τοῦ τῆς δεινῆς, ἢ καὶ συμβαίνοντος, ὀλέθρου ποιητικῆς, ὡς τὸ, πολυδάκρυον Ἄρηα, τὸν δακρύων ποιητικόν. Schol.

805. Ἧι ματίῃ] τῇ ἑαυτῶν ματαιότητι καὶ μωρίᾳ καὶ φρενοβλαβείᾳ νικηθέντες. Schol.

807. Εἴ κέ ποτ' αὖτις] ἀσφαλὲς ὃ κε σπεύδεσμεν. ὁ γὰρ λόγος, πολλῷ χρόνῳ ὑπεμείναμεν, εἴ ποτε μεταμεληθῶσιν. ἵνα δὲ μὴ ὥσπερ ζηλοτυπίαν καὶ ἀκρασίαν κατηγορήσῃ τῶν γυναικῶν, ἐπὶ πολὺ αὐτὰς φησὶν ἐνωχλῆσθαι τὸ πάθος. Schol.

810. Σκοτίη] Epithetum amoribus illicitis aptissimum.

— ΣΚΟΤΙΟΝ δέ ἑ γείνατο μήτηρ.
Il. 6. 24.

Αὔτως δ' ἀδμῆτές τε κόραι, χῆραί τ' ἐπὶ τῇσι
Μητέρες ἀμπτολίεθρον ἀτημελέως ἀλάληντο.
Οὐδὲ πατὴρ ὀλίγον περ ἑῆς ἀλέγιζε θυγατρὸς,
Εἰ καὶ ἐν ὀφθαλμοῖσι δαϊζομένην ὁρόῳτο
Μητρυιῆς ὑπὸ χερσὶν ἀτασθάλου· οὐδ' ἀπὸ μητρὸς
Λώβην, ὡς τοπάροιθεν, ἀεικέα παῖδες ἄμυνον·
Οὐδὲ κασιγνήτῃσι κασιγνήτη μέλε θυμῷ·
Ἀλλ' οἶαι κοῦραι ληΐτιδες ἔν τε δόμοισιν,
Ἔν τε χοροῖς, ἀγορῇ τε, καὶ εἰλαπίνῃσι μέλοντο·
Εἰσόκε τὶς Θεὸς ἄμμιν ὑπέρβιον ἔμβαλε θάρσος
Ἂψ ἀναερχομένους Θρῃΐκων ἄπο μηκέτι πύργοις

Idcirco innuptæ puellæ, et insuper viduæ
Matres per oppidum neglectæ vagabantur:
Neque pater vel tantillùm suam curabat filiam
Si etiam suis ipsius oculis laniatam aspiceret
Novercæ sub manibus injustæ; nec a matre
Injuriam, sicut antea, indignam liberi arcebant;
Neque sororibus soror curæ erat animo,
Sed solæ captivæ puellæ et in ædibus,
Et in choris, in conventibus, conviviisque curabantur:
Donec Deorum aliquis nobis magis quàm fœmineam injecit fortitudinem,
Ut reversos a Thracibus non amplius intra ædes

De quâ voce consule Schol. De hujusmodi prole Creusa in Ione Euripidis. Οὐχ ὑπὸ λαμπάδων, οὐδὲ χορευμάτων, Ὑμέναιος ἐμός, τέκνον, ἔπεκτε σὰν κόραν.

811. Χῆραί τ' ἐπὶ τῇσιν] ἵνα μὴ τῶν παρθένων ἀσέλγειαν κατηγορῇ. εἶπεν, ἐπὶ τούτων, φησὶν, ἐδυσφόρουν, διὰ τὰς χηρευούσας μητέρας, καὶ ἐφρόντιζον. κατὰ κοινοῦ δὲ τὸ ἀλάληντο. καὶ πρὸς ἕτερον, ὅτι οὐδεμία ἡμῶν πρὸς γάμον ἤρχετο. εἴχομεν γὰρ τὴν τῶν μητέρων χηρείαν καὶ ὕβριν διδάσκαλον τῶν ἡμῖν ἐσομένων. Schol.

813. Οὐδὲ πατὴρ] πρὸς πλείονα οἶκτον καὶ ἔμφασιν διόλου τοῖς φυσικοῖς ὀνόμασι κέχρηται. Schol.

817. Κασιγνήτῃσι] Mavult Sanctamandus legere κασιγνήτοῖσι, quippe in viros tota hæc oratio; aitque errorem natum esse ex simili pronuntiatione τοῦ οῖ et ῆ, quæ apud Græcos saltem recentiores obtinuit.

820. Ὑπέρβιον] μέγα καὶ θαυμαστόν. οὐδὲ γὰρ αὐτὸ δεινὸν καὶ ἄπιστον, εἰ γυναῖκες ἀνδρῶν ἐκράτησαν. διὸ καὶ τὴν τοῦ δαιμονίου σύνταξιν εἴληφεν. Schol.

821. Ἀνερχομένους] Legendum puto ἐπανερχομένους donec talem literæ α productionem inveniam. Quod autem attinet ad vocem Θρῃΐκων, in eâ fieri synizesin poetis usitatam manifestum est; ideoque eam relinquendam censui, licèt alio in loco Θρηκῶν invenirem. Sic et in διαθῆ-

Δέχθαι·

Δέχθαι· ἵν' ἢ φρονέοιεν ἅπερ θέμις, ἠέ πη ἄλλη
Αὐταῖς ληϊάδεσσιν ἀφορμηθέντες ἵκοιντο.
Οἱ δ' ἄρα θεσσάμενοι παίδων γένος ὅσσον ἔλειπτο
Ἄρσεν ἀνὰ πτολίεθρον, ἔβαν πάλιν, ἔνθ' ἔτι νῦν περ
Θρηϊκίης ἄροσιν χιονώδεα ναιετάουσι.
Τῷ ὑμεῖς στρωφᾶσθ' ἐπιδήμιοι· εἰ δέ κεν αὖθι
Ναιετάειν ἐθέλοις, καί τοι ἅδοι, ἦτ' ἂν ἔπειτα
Πατρὸς ἐμοῖο Θόαντος ἔχοις γέρας· οὐδ' ἔτι σ' οἴω
Γαῖαν ὀνόσσεσθαι· πέρι γὰρ βαθυλήϊος ἄλλων

Reciperemus: ut vel saperent prout fas erat, vel aliò alicubi
Cum ipsis captivis se proripientes discederent.
Illi verò postquam expostulassent liberorum quantum reliquum erat
Marium per urbem, ibant rursus, ubi etiam nunc
Thraciæ arva nivibus infesta incolunt.
Quare vos versemini apud nos veluti domestici: si verò hìc
Habitare volueris, idque tibi placuerit, certè in posterum
Patris mei Thoantis obtineas munus: neque te puto
Terram reprehensurum; nam longè feracior est aliis

ναι, et δηωθῆναι exemplaria secutus sum, nec non in aliis quæ habent aliud διπλογραφίας genus, cujusmodi sunt quæ modò σ simplici, modò duplici scribuntur, ut ἴασι et ἴασσι, productâ literâ α utrobique. Steph.

Hœlzlinus, quem secutus sum, scripsit ἀνακεχομένας

823. Αὐταῖς ληϊάδεσσιν] λείπει ἡ σὺν πρόθεσις, ἵν' ᾖ, σὺν αὐταῖς ταῖς γυναιξί. Schol.

824. Θεσσάμενοι] ἐξ αἰτήσεως ἀναλαβόντες. αἰτήσαντες. θέσσασθαι γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. καὶ Ἡσίοδος. "Θεσσάμενος γενεὴν Κλεαδαίου κυδαλίμοιο." καὶ Ἀρχίλοχος, "πολλὰ δ' ἐϋπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσσι θεσσάμενοι γλυκερὸν νόστον." δαιμονίως δὲ καὶ τοῦτο πλάττεται. ἦν γὰρ εὐθέως ζητῆσαι εἰ οἱ ἄνδρες ἀπίωσιν, κἂν ἡ βραχυτέρα τῶν ἀρσένων τῆς ἡλικίας. Schol.

826. Χιονώδεα] οἱ μὲν, ὅτι λευκόγειος ἡ Θρᾴκη· οἱ δὲ, τὴν συνεχῶς χιονιζομένην, παρὰ τὸ δυσχείμερον εἶναι, ὃ καὶ βέλτιον. ψυχρὰ γάρ ἐστιν ἡ χώρα. διὸ καὶ κεῖθεν τοὺς ἀνέμους πνεῖν ἐμυθεύσαντο. Διονυσοφάνης δὲ βόθρον φησὶν εἶναι ἐν τῇ Θρᾴκῃ, ἐξ οὗ φυσήματα ἀνέμων γίνεσθαι, καὶ μεμυθεῦσθαι οὕτω Θρᾴκην ἀνέμων οἰκητήριον. Schol.

827. ——εἰ δέ κεν αὖθι
Ναιετάειν ἐθέλοις &c.

Vultis et his mecum pariter
considere regnis?

Æn. I. 576.

Νήσων, Αἰγαίῃ ὅσαι εἰν ἁλὶ ναιετάουσι.
Ἀλλ' ἄγε νῦν ἐπὶ νῆα κιὼν ἑτάροισιν ἔνισπε
Μύθους ἡμετέρους, μηδ' ἔκτοθι μίμνε πόληος.
Ἴσκεν, ἀμαλδύνουσα φόνου τέλος οἷον ἐτύχθη

Insulis, quæcunque in Ægæo mari habitantur.
Sed agedum nunc ad navem profectus sociis enarra
Sermones nostros; neque maneas extra urbem.
Hactenus dixit; celans quo pacto cædes perfecta erat

831. Αἰγαίῃ] τὸ Αἰγαῖον πέλαγος φησίν. ἐκλήθη δὲ ἀπὸ νήσου Αἰγῶν καλουμένης. Ὅμηρος, "οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγάς." αὕτη γὰρ ἱερὰ Ποσειδῶνος, ἐν ᾗ μηδένα κοιμᾶσθαι λόγος, διὰ τὰ φαντάσματα τοῦ θεοῦ, ὥς φησι Νικοκράτης. οἱ δὲ ἀπὸ Ποσειδῶνος ὀνομασθῆναι φασὶ τὸ πέλαγος. Αἰγαῖος γὰρ οὗτος ὁ θεὸς προσαγορεύεται, ὥς φησι Φερεκύδης. Νικοκράτης δέ φησιν ὅτι ἀπὸ Αἰγέως κατακρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν. οὐκ εὖ. πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης παραπλέοντι. Schol.

Ibid. —— ὅσαι εἰν ἁλὶ ναιετάουσιν. Vox activa apud Græcos interdum passivè significat, et vice versâ. ὅσαι εἰν ἁλί. Ald. et Steph. ὅσσαι εἰν ἁλί, sed everso metro, et Flor. ὅσσαι ἁλί. Secutus sum Hœlzlinum qui scripsit ὅσαι εἰν ἁλί.

834. Ἴσκεν] ἐνταῦθα μὲν ἀντὶ τοῦ ἔλεγε. παρὰ δὲ Ὁμήρῳ, ἀντὶ τοῦ ὡμοίου.

Ἀμαλδύνουσα. ἀφανίζουσα, καὶ τῷ πλάσματι κρύπτουσα. ἀντεγκληματικῶς πανταχόθεν μετάγει τὴν αἰτίαν ἐπὶ τοὺς ἄνδρας. οὐ γὰρ λέγει ὅτι ἐφόνευσαν αὐτούς, καὶ τοὺς ἄρρενας παῖδας καὶ τὰς γυναῖκας, ἀλλ' ὅτι σὺν ταῖς γυναιξὶ ταῖς Θρᾳσσαις καὶ τοῖς ἄρρεσι παισὶν ἀπῆλθον εἰς Θρᾴκην, κἀκεῖ διάγουσιν. οὕτω γὰρ ἐκ τῶν ἐνόντων ἀπέλυσεν αὐτὰς μέμψεως. καὶ ὅλος δὲ ὁ λόγος τῆς Ὑψιπύλης πολλὴν περιέχει δεινότητα. ἀντεγκληματικὴν ποιοῦσα τὴν στάσιν, αὔξει τὸ ἐκείνων ἔγκλημα, διὰ πολλῶν δεικνῦσα πολλῷ μεῖζον ἁμάρτημα τοῦ τῶν γυναικῶν. πολλήν τε γάρ φησι χρόνον ὑπομεμενηκέναι τὰς γυναῖκας τὴν ὕβριν. ἀλλὰ δὴ καὶ τὸ τὰς μὲν κουριδίας μισεῖσθαι, καὶ τῆς οἰκίας ἐκβάλλειν, ταῖς δὲ δορυκτήτοις συγγίνεσθαι, πάνυ τὸ ἔγκλημα τῶν ἀνδρῶν αὔξάνει. αὔξησις δὲ μεγάλη καὶ τὸ τοὺς μὲν γνησίους παῖδας ἀτιμάζεσθαι, τοὺς δὲ νόθους θάλλειν. ὄνειδος δὲ μέγα, καὶ τὸ τὰς κόρας τὰς γνησίας καὶ τὰς χηρευούσας γυναῖκας. ἴσως δὲ καὶ πάσας νῦν χήρας καλεῖ, διὰ τὸ ἐστερῆσθαι τῶν οἰκείων ἀνδρῶν. ταύτας οὖν πάσας πλανᾶσθαι περὶ τὴν πόλιν ἀτημελήτως, καθάπερ προσηλύτους. παροξυντικὸν δὲ τὸ τὸν πατέρα μὴ φροντίζειν τῆς οἰκείας θυγατρός, εἰ καὶ τυπτομένην ἴδοι ὑπὸ τῆς μητρυιᾶς, μηδὲ τοὺς παῖδας ἀμύνειν τῇ μητρί, μηδὲ τοὺς ἀδελφοὺς ἀλλήλων φροντίζειν. μάλιστα δὲ διεγείρει εἰς ὀργὴν καὶ τὸ τὰς μὲν γυναῖκας τὰς ἀστικάς, καὶ κόρας καὶ παῖδας ἐν ἁπάσαις ταῖς πολιτικαῖς κοινωνίαις, καθάπερ μετοίκους διατρίβειν καὶ προσηλύτους· τὰς δὲ δορυκτήτους τούτων ἁπάντων ἀφθόνως μετέχειν. ἱκανὴ δὲ ἀπολογία ὑπὲρ τῶν γυναικῶν, καὶ τὸ μὴ εὐθὺς ἐκδιῶξαι ἐκ τῆς νήσου τοὺς ἄνδρας· ἀλλ' αἵρεσιν δοῦναι, ἢ τὰ καθήκοντα σώζειν πρὸς τὰς γυναῖκας, ἢ ἄλλοσέ ποι ἀπελθόντας μετὰ τῶν δορυκτήτων διάγειν. ὅλως γὰρ τὸ ἐνδιαστικὸν καὶ διατυπωτικὸν ὁ λόγος ἔχει, δι' οὗ περιπαθῆ τὸν ἀκροατὴν ἐργάζεται, συμπάσχειν ταῖς γυναιξὶ δυστυχούσαις. οὕτω δὲ ἀντεγκληματικὴν ποιήσασα τὴν στάσιν, καὶ εἰς μεταστατικὴν περί που τὰ μέσα ἀνήνεγκεν, εἰποῦσα παρά του τῶν θεῶν θάρσος λαβούσας σφᾶς ἀποπέμψαι τοὺς ἄνδρας. οὕτω

Ἀνδράσιν

Ἀνδράσιν· αὐτὰρ ὁ τήνγε παραβλήδην προσέειπεν.
Ὑψιπύλη, μάλα κεν θυμηδέος ἀντιάσαιμεν
Χρησμοσύνης, ἣν ἄμμι σέθεν χατέουσιν ὀπάζεις.
Εἶμι δ' ὑπότροπος αὖθις ἀνὰ πτόλιν, εὖτ' ἂν ἕκαστα
Ἐξείπω κατὰ κόσμον· ἀνακτορίη δὲ μελέσθω
Σοί τ' αὐτῇ, καὶ νῆσος· ἔγωγε μὲν οὐκ ἀθερίζων
Χάζομαι, ἀλλά με λυγροὶ ἐπισπέρχουσιν ἄεθλοι.
Ἦ, καὶ δεξιτερῆς χειρὸς θίγεν· αἶψα δ' ὀπίσσω
Βῆ ῥ' ἴμεν· ἀμφὶ δὲ τόνγε νεήνιδες ἄλλοθεν ἄλλαι
Μυρίαι εἱλίσσοντο κεχαρμέναι, ὄφρα πυλάων

In viros. Ille verò viciſſim eam allocutus eſt.
Hypſipyle, lubenter admodum ea accipiemus
Subſidia, quæ nobis, tuo auxilio egentibus, ſuppeditas.
Reverſurus ſanè ſum ipſe ad urbem, ſingulis
Ordine percenſitis: imperium autem curæ ſit
Tibi ipſi, et inſula: ego quidem, non quòd faſtidiam
Recuſo; ſed me dura urgent certamina.
Hæc locutus, manu eam dextrâ prehendit; ſtatimque retro
Surrexit ire: circa ipſum verò puellæ hinc, illinc,
Innumeræ glomerabantur lætæ, donec portis

γὰρ οὐ μόνον δικαία, ἀλλὰ καὶ ἀναγκαία γίνεται ἡ ἐκβολή. τὰ ὑπὸ θεῶν κριθέντα, ἀναγκαῖα. καὶ τὸ πιθανὸν δὲ οὐ μόνον θαῤῥαλεωτέρους τοὺς Ἀργοναύτας ποιεῖ, λέγων ὅτι ἀποδημοῦσι τῆς πόλεως οἱ ἄνδρες, ἀλλὰ καὶ μέμψεως τὰς γυναῖκας ἀπολύει. μονονουχὶ γὰρ λέγει, ὅτι οὐκ ἀπεκτείναμεν ἐκείνους, ὡς ἡ φήμη κρατεῖ, ἀλλ' ἀποδημοῦσιν εἰς Θρᾴκην. ὁ δὲ ἐπίλογος πάντη ἐπισπᾶται τὸν Ἰάσονα. οὐ γὰρ μόνον τὸ ἡδὺ προβάλλεται, ὅπερ ἦν τὸ συγγενέσθαι αὐτῇ, ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ χρήσιμον. τὴν γὰρ βασιλείαν τοῦ Θόαντος ἐπαγγέλλεται. Schol.

836. Μάλα κεν] ὁ νοῦς. λίαν ἡμῖν ἐστιν ἀρεστὸν τυχεῖν ὧν ἔχομεν χρείαν· σὺ δὲ ὁμοίως δίδως. καὶ γὰρ τὸ ὀπάζεις κεῖται ἀντὶ τοῦ δίδως. Schol.

837. Hœlzlinus interpretatus eſt ἣν ſi, quaſi eſſet ἢν. Sed ſatis ineptè. Non enim erat, ut inquit Sanctamandus, cur dubitaret Jaſon res neceſſarias ſibi dari, cùm antea totam inſulam obtuliſſet Hypſipyle.

842. Χειρὸς θίγεν] ἤδη σύμβολον αὐτῇ τῆς ἑταιρίας διὰ τῆς ἐφάψεως δίδωσιν. Schol.

Ibid. Χειρὸς θίγεν.

Pars mihi pacis erit *dextram tetigiſſe* tyranni. Æn. 7.

843. Νεήνιδες. Schol. θεράπαινιδες. Ego poetam reor memoriam reflectere ad. 1. 693. Nec ancillas ab heroibus amari credam in tantâ ingenuarum copiâ. Ac manifeſtè confutatur Scholiaſta verbis illis, σφίσι δώμαθ' 1. 849. et ſequentibus, Κόρσεις γάρ. Hœlzlinus.

Ἐξέμολεν· μετέπειτα δ᾽ ἐϋτροχάλοισιν ἀμάξαις
Ἀκτὴν εἰσανέβαν ξεινήϊα πολλὰ φέρουσαι.
Μῦθον ὅτ᾽ ἤδη πάντα διηνεκέως ἀγόρευσε,
Τόν ῥα καλεσσαμένη διεπέφραδεν Ὑψιπύλεια,
Καὶ δ᾽ αὐτοὺς ξεινοῦσθαι ἐπὶ σφέα δώματ᾽ ἄγεσκον
Ῥηϊδίως· Κύπρις γὰρ ἐπὶ γλυκὺν ἵμερον ὦρσεν,
Ἡφαίστοιο χάριν πολυμήτιος· ὄφρα κεν αὖτις
Ναίοιτο μετόπισθεν ἀκήρατος ἀνδράσι Λῆμνος.
Ἔνθ᾽ ὁ μὲν Ὑψιπύλης βασιλήϊον ἐς δόμον ὦρτο
Αἰσονίδης, οἱ δ᾽ ἄλλοι ὅπῃ καὶ ἔκυρσαν ἕκαστος,
Ἡρακλῆος ἄνευθεν· ὁ γὰρ παρὰ νηῒ λέλειπτο

Exierat: deinde volubilibus rhedis
Ad litus pervenerunt, multa hoſpitii dona ferentes.
Quando verò ille omnem ſermonem accuratè narraverat,
Quem eos invitans edixit Hypſipyle,
Ipſos quoque, ut hoſpitaliter diverſarentur in ſuis ædibus, induxerunt
Facilè; in illis enim Venus dulce deſiderium excitavit
Vulcani gratiâ ſolertis, ut rurſus
Habitaretur in poſterum viris, integra facta Lemnus.
Tunc verò ipſe in regias Hypſipyles ædes perrexit ire
Æſonis filius, cæterique, cui ſingulus inciderat viæ,
Hercule excepto: ille enim apud navem relictus eſt

847. Μῦθον ὅτ᾽ ἤδη] μετέπειτα δὲ αἱ θεραπαινίδες ἦλθον βαστάζουσαι ξένια, ὅτι ἤδη ὁ Ἰάσων πάντα τὰ παρὰ τῆς Ὑψιπύλης ῥηθέντα τοῖς ἑαυτοῦ ἑταίροις συνετέλεσε λέγων. Schol.

851. Ἡφαίστοιο χάριν] ἱερὰ γὰρ Ἡφαίστου ἡ Λῆμνος. Τὸ δὲ πολυμήτιος, παρὰ τὸ, "εἰδυίῃσι πραπίδεσσι." Schol.

855. Ἡρακλῆος ἄνευθε] τοῦτο ἕνεκα τῆς οἰκονομίας φησὶν ὁ ποιητής. πάντων γὰρ ταῖς ἡδοναῖς νικωμένων, μόνος οὗτος πρὸς τὸν ἆθλον αὐτοὺς προτρέπεται, καὶ πρὸς τὴν κρατερὰν καὶ σώφρονα φύσιν τοῦ ἥρωος. Schol.

Ibid. Ἡρακλῆος ἄνευθεν, &c. Vindicem enim terræ voluptatibus ſuccumbere, inhoneſtum eſſet. Rectè igitur eum poeta talem exhibet, qualis haberi ſolitus eſt, ne ſibi diſpar unquam inveniretur: ut optimè docet norma Horatiana.

— honoratum ſi forte reponis
Achillem,
Impiger, iracundus, inexorabilis, acer,
Jura neget ſibi nata, nihil non arroget armis.
Hor. Ars. Poet.

Αὐτὸς

Αὐτὸς ἑκών, παῦροί τε διακριθέντες ἑταῖροι.
Αὐτίκα δ' ἄστυ χοροῖσι καὶ εἰλαπίνῃσι γεγήθει,
Καπνῷ κνισήεντι περίπλεον· ἔξοχα δ' ἄλλων
Ἀθανάτων, Ἥρης υἷα κλυτὸν ἠδὲ καὶ αὐτήν
Κύπριν ἀοιδῇσιν θυέεσσί τε μειλίσσοντο.
Ἀμβολίη δ' εἰς ἦμαρ ἀεὶ ἐξ ἤματος ἦεν
Ναυτιλίης· δηρὸν δ' ἀνελίννυον αὖθι μένοντες,
Εἰ μὴ ἀολλίσας ἑταίρους ἀπάνευθε γυναικῶν
Ἡρακλέης τοίοισιν ἐνιπλάζων μετέειπεν.

Suâ ſponte, paucique cum eo ſelecti ſocii.
Statim verò urbs choreis conviviiſque gaviſa eſt,
Fumo odorato repleta: eximiè autem præ cæteris
Immortalibus, Junonis filium inclytum, et inſuper ipſam
Venerem, cantibus victimiſque placabant.
Dilatio verò ex die ſemper in diem erat
Navigationis; diuque otiati eſſent ibi manentes,
Niſi congregatos ſocios ſeorſim a mulieribus
Hercules, talibus increpans, allocutus eſſet.

856. Διακριθέντες. Rectiùs διακρινθέντες. Ac ſignificantur qui diverſi erant à cæteris, et hâc in re diſſociati. Hœlzlinus.

859. Ἥρης υἷα] Ἡσιόδῳ ἐπηκολούθησεν ἐξ Ἥρας μόνης τὸν Ἥφαιστον λέγοντι γεγεννῆσθαι. "Ἥρη δ' Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα γείνατο." Ὅμηρος Διὸς καὶ Ἥρας φησὶν αὐτόν. Καὶ αὐτὴν Κύπριν. διότι τὰ παρόντα, ἐρωτικὰ, καὶ ὅτι τοῦ θεοῦ γαμετὴ αὕτη, οὗ ἱερὰ ἡ Λῆμνος. Schol.

861. Ἀμβολίη δ' εἰς ἦμαρ, &c. Simile Didoni Æneam depereunti accidit.

Non cœptæ aſſurgunt turres, non arma juventus
Exercet, portuſve aut propugnacula bello
Tuta parant, pendent opera interrupta, minæque
Murorum ingentes, æquataque machina cœlo.
Æn. IV. 88.

862. Ἀνελίννυον] ἀντὶ τοῦ ἤργουν. καὶ τὰ ἄλινα τὰ θρηνητικὰ ἐντεῦθεν γεγένηται, παρὰ τὸ ἀνήνυτόν τινα εἶναι. παρὰ τὸ Ὁμηρικὸν "οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο." Schol.

Ibid. Ἀνελίννυον. Repono ἂν ἐλίννυον, ſive ἐλίνυον, unico ν. A quo verbo derivanti ἄλινα ſcholiaſtæ non aſſentior. Quod autem apud eum quoque legitur ἀνελίννυον conjunctim, id eſſe temerarii alicujus παραδιορθωτῶν puto; qui Scholiaſtæ lectionem depravarit, dum eam è textu emendare ſe putavit. Quinetiam ἀνήνυτα, non ἀνήνυκτα ſcriptum ab illo fuiſſe arbitror. Steph.

Δαιμόνιοι,

Δαιμόνιοι, πάτρης ἐμφύλιον αἷμ' ἀπεέργει
Ἡμέας; ἦε γάμων ἐπιδευέες ἐνθάδ' ἔβημεν
Κεῖθεν, ὀνοσσάμενοι πολιήτιδας; αὖθι δ' ἕαδεν
Ναίοντας λιπαρὴν ἄροσιν Λήμνοιο ταμέσθαι;
Οὐ μὲν εὐκλειεῖς γε σὺν ὀθνείῃσι γυναιξὶν
Ἐσσόμεθ' ὧδ' ἐπὶ δηρὸν ἐελμένοι· οὐδ' ἔτι κῶας
Αὐτόματον δώσει τις ἑλὼν Θεὸς εὐξαμένοισιν.
Ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα· τὸν δ' ἐνὶ λέκτροις

Anne, o boni viri, patriæ civilis ſanguis abarcet
Nos? an nuptiarum egentes huc pervenimus
Illinc, faſtiditis civibus fœminis? hìc autem placet
Nobis habitantibus, pinguia Lemni arva ſcindere?
Non ſane gloriæ erit nobis, cum peregrinis mulieribus
Huc tamdiu coarctatis: neque vellus
Ultro dabit arreptum Deorum aliquis precantibus.
Eamus rurſus unuſquiſque ad ſuos lares; hunc verò in thalamis

865. Δαιμόνιοι] οἰκεῖοι τῷ ἀξιώματι τοῦ ἥρωος οἱ λόγοι. τεχνικῶς δὲ καὶ συνετῶς οὐχ ἕνα τινὰ λοιδορεῖ, ἀλλὰ πάντας. καὶ ἐπὶ [illegible] τὴν ἀκρασίαν αὐτοῖς ὀνειδίζει, πρὶν τὰ συμφέροντα δηλώσῃ. [illegible] δὲ τοῖς φυσικοῖς ὁ Ἡρακλῆς συνῄσεις καὶ ἀλκὴ [illegible]). ὥστε δηλοῦν τὸν λόγον, ἐνδόντας ἤδη τοὺς ἥρωας τῷ λόγῳ ἀναλαβεῖν ἑαυτούς. ὁ δὲ νοῦς. ὦ μακάριοι, ἐξειργόμεθα τοῦ ἡμῶν αἵματος τῆς πατρίδος; ἢ γάμων ἐνδεεῖς ὄντες ἐνταῦθα ἥκομεν, μεμψάμενοι τὰς ἑαυτῶν πολίτιδας; καὶ Λήμνον κατοικήσοντες, τοῖς κλήροις διελόμενοι; ἢ οὕτως. ὦ μακάριοι, ἐμφύλιον φόνον δράσαντες ἐξειργόμεθα τῆς πατρίδος; ἐπειδὴ οἱ τοιοῦτοι ἐκ τῆς πατρίδος φυγῇ ἐνιαυσιαίᾳ ἐζημιοῦντο. Schol.

Ibid. Δαιμόνιοι —— Val. Flaccus, II, 378, introducit Herculem eodem modo concionantem. Upt.

867. Ὀνοσσάμενοι πολιήτιδας] κυρίως τὸ πολίτιδας γυναῖκας ἔταξεν, οἱονεὶ τὰς Ἑλληνίδας γυναῖκας ἀπαρνησάμενοι, συμβιοῦν βαρβάροις ἤλθομεν; καὶ ὅ φησι, τὸ κάλλος αὐτῶν ἀποφυγόντες. τάχα γὰρ ἀληθῶς ἐν τῇ Λήμνῳ εὐπρεπεστέρας εἶναι γυναῖκας συνέβαινεν. Schol.

869. Εὐκλειεῖς] ἔνδοξοι. καὶ διὰ τούτου δὲ ἐνυβρίζει. οὐδὲ γὰρ ἕκαστον αὐτῶν ὑπὲρ τοῦ πλοῦ ἐλθόντα εἰς εὐδοξίαν. ταύτην δὲ ἂν ἀπώλεσαν, εἰ ἐπιπολὺ διέτριψαν. Schol.

870. Ἐπὶ δηρὸν ἐελμένοι] καὶ τοῦτο συνετῶς καὶ τεχνικῶς τὸν χρόνον αἰνίττεται. τὸ μὲν γὰρ ὀλίγον ἀμελῆσαι τοῦ πόνου, συγγνώμης ἂν εἴη· τὸ δὲ ἐπιπολὺ, ἀνυπόστατον ἦν παντὶ ἀνδρί. καὶ εἰρηκεν αὐτὸ, παρὰ τὸ, "πάντων μὲν κόρος ἐστί. Schol."

872. Ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα] οὐχ ὑγιῶς τὸ σφέα κεῖται. ἐπεδείκνυμεν γὰρ τὸ σφὰ, ἐπὶ τρίτου προσώπου τασσόμενον. ἔδει οὖν εἰπεῖν, ἴομεν αὖτις ἕκαστοι ἐφ' ἡμέτερα. ἔστι γὰρ συζυγία τῶν προσώπων αὕτη; ἡμέτερα, ὑμέτερα, σφέτερα. τοῦ δὲ σφὰ; ἀμφ, ὑμφ. Schol.

Ibid. Σφέα. Culpat hoc Scholiaſtes; ſed jure nullo, cùm valeat ἴδια, ut, *Quiſque ſuos patimur manes.* Addi hic poſſit quod 3. 186. Hœlzlinus.

Ὑψιπύλης

Ὑψιπύλης εἰᾶτε πανήμερον, εἰσόκε Λῆμνον
Παισὶν ἐσανδρώσῃ, μεγάλη τέ ἑ βάξις ἵκηται.
Ὣς νείκεσσεν ὅμιλον· ἐναντία δ᾽ οὔ νύ τις ἔτλη
Ὄμματ᾽ ἀνασχεθέειν, οὐδὲ προτιμυθήσασθαι·
Ἀλλ᾽ αὔτως ἀγορῆθεν ἐπαρτίζοντο νέεσθαι,
Σπερχόμενοι· ταὶ δέ σφιν ἐπέδραμον, εὖτ᾽ ἐδάησαν.
Ὡς δ᾽ ὅτε λείρια καλὰ περιβρομέουσι μέλισσαι,
Πέτρης ἐκχύμεναι σιμβληΐδος, ἀμφὶ δὲ λειμὼν
Ἑρσήεις γάνυται, ταὶ δὲ γλυκὺν ἄλλοτε τ᾽ ἄλλον

Hypsipyles finite manere totos dies, donec Lemnum
Liberis masculis impleverit; magnaque ad ipsum fama pervenerit.
Ita objurgavit cœtum: contra verò nemo ausus est
Oculos attollere, neque proloqui;
Sed utcunque a concione se parabant ad abeundum,
Festinantes; at illæ ipsos in medios currebant, ubi rem intellexerant.
Sicut verò res est, quando circum formosos flores bombilant apes
Ex rupe effusæ instar alvearis excavatâ, undiquaque autem pratum
Rorulentum lætatur; ipsæ verò dulcem incerto volatu

874. Ἐσανδρώσῃ] ἀνδρῶν πληρώσῃ, ἐρωτικῶς. Schol,

875. —— ἐναντία δ᾽ οὔ νύ τις, &c.
—— Olli obstupuere silentes.
Conversique oculos inter se atque ora tenebant.
Æn. XI. 120.

879. Λείρια] καθόλου τὰ ἄνθη λείρια λέγεται. ἔστι δὲ κυρίως ἄνθος λεγόμενον λείριον· ὅ φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ φυτῶν, τὸν νάρκισσον εἶναι. οἱ δὲ τὸ κρίνον. Schol.

Ibid. Ὡς δ᾽ ὅτε, &c. Julius Scaliger hoc loco artem et diligentiam Apollonii prædicat. Et meritò. Quoniam superatur ab eo Homerus qui Il. β'. ἠΰτε ἔθνεα εἶσιν, &c. Atque hinc Virgilius in sexto,
Ac veluti in pratis, &c. Hœl.

880. Σιμβληΐδος] Σίμβλους καλοῦσι τὰ ἀγγεῖα, ἐν οἷς κηροποιοῦσιν αἱ μέλισσαι. σιμβληΐδος οὖν πέτρας, ἐν ᾗ μελιττουργοῦσιν ἐν τοῖς ὄρεσιν. οἱονεὶ σίμβλων τάξιν ἐχούσης. Schol.

Ibid. Πέτρης ἐκχύμεναι σιμβληΐδος, &c.

Neque Scholiastes neque Hœlzlinus comparationis hujus rationem assecuti sunt. Quid enim ineptius quàm quæ ab Hœlzlino dicuntur, "Heroes sunt flores, ac discessu gaudent, apes seu Lemniæ mulieres, dolent." Quomodo enim flores gaudere discessu possunt? An apes dum fugunt flores, dolent? Nil tale in ipso Apollonio. Rupes alveata est urbs, ex quâ mulieres se effundunt in campos, sicut apes ex rupe. Sanct.

881. Ἄλλοτέ τ᾽ ἄλλον] παρὰ τὸ Ἰσοκράτους. "ὥσπερ γὰρ τὴν μέλισσαν ὁρῶμεν ἐφ᾽ ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ᾽ ἑκάστου δὲ τὰ χρήσιμα συλλέγουσαν· οὕτω δὴ καὶ τῆς παιδείας." Schol.

Καρπὸν

Καρπὸν ἀμέργουσιν πεποτημέναι· ὣς ἄρα ταίγε
Ἐνδυκέως ἀνέρας ἀμφὶ κινυρόμεναι προχέοντο,
Χερσί τε καὶ μύθοισιν ἐδεικανόωντο ἕκαστον,
Εὐχόμεναι μακάρεσσιν ἀπήμονα νόστον ὀπάσσαι.
Ὣς δὲ καὶ Ὑψιπύλη ἠρήσατο χεῖρας ἑλοῦσα
Αἰσονίδεω, τὰ δέ οἱ ῥέε δάκρυα χήτεϊ ἰόντος.
Νείσσεο, καί σε θεοὶ σὺν ἀπήμοσιν αὖτις ἑταίροις
Χρύσειον βασιλῆϊ δέρος κομίσειαν ἄγοντα,
Αὔτως ὡς ἐθέλῃς, καί τοι φίλον· ἥδε δὲ νῆσος
Σκῆπτρά τε πατρὸς ἐμεῖο παρέσσεται, ἤν καὶ ὀπίσσω

Fructum delibant; similiter illæ mulieres
Nec minus diligenter circa viros conquerentes profusæ
Manibus verbisque salutabant singulos,
Precatæ Divos, tutum reditum concederent.
Nec dissimiliter Hypsipyle orabat, arreptis manibus
Jasonis, et effusæ sunt lachrymæ desiderio abeuntis.
Abi; teque Divi cum incolumibus iterum sociis
Aurea regi vellera reducant advehentem
Eo modo quo ipse velis, tibique placeat: hæc verò insula
Sceptraque patris mei aderunt, si vel posthac

882. Ὣς ἄρα ταίγε] αἱ Λημνιάδες γυναῖκες. ἡ δὲ παραβολὴ οὐχ ὑγιῶς, οὐδὲ εἰς πάντα ἁρμόζεται, ἔσω γὰρ μελίσσαις εἴκασε τὰς γυναῖκας, ἄνθεσι δὲ τοὺς ἥρωας, σίμβλῳ δὲ κοίλῳ τὴν πόλιν· τὰ δὲ ἐπίλοιπα πῶς ἂν οὐκ εἴη ἀνάρμοστα; δι' ὧν φησὶ, χαίρει καὶ ἀγάλλεται ὁ λειμών· καίτοι λυπεῖται ἡ πόλις, δι' ὧν φησὶ κινυρόμεναι· καὶ πάλιν ἀνάρμοστον τὸ, γλυκὺν ἄλλοτε τ' ἄλλον καρπὸν ἀμέργουσιν. οὐ γὰρ δὴ τὸ ἡδιότερον τῶν ἡρώων ἑκάστη ἐντεῦθεν ἀπολαμβάνειν. ταῦτα δὲ παρὰ τὴν πρώτην μίξιν καὶ σύνοδον ἡρμόζετο. ἄλλως. πρὸς τοὺς ἐπιλαμβανομένους τῆς παραβολῆς, ὅτι οὐ πάντα τὰ λεγόμενα ἁρμόττει τοῖς προκειμένοις, ῥητέον, ὅτι τὰ μὲν τῆς παραβολῆς πρὸς σαφήνειαν τοῦ λεγομένου λαμβάνεται, τὰ δὲ πρὸς κάλλος μόνον καὶ ἔκφρασιν συντελεῖ. Schol.

883. Ἐνδυκέως] ἐπιμελῶς. σπουδαίως. τὸ δὲ κινυρόμεναι, οὐκ εὖ. σημαίνει γὰρ τὸ θρηνῳδοῦσαι, κλαίουσαι. καὶ ἴδει δακρυίσοσαι. Schol.

Ibid. Ἐνδυκέως] Scriptum forsan a poeta ἐνδυκές.

885. Εὐχόμεναι] ὅτι διὰ τὸ ἀσθενὲς ἡ γυναικεία φύσις πάντοτε ἐπὶ τὸ εὔχεσθαι τρέπεται, δῆλον ἐκ τῶν προτέρων, δι' ὧν φησιν, "αἱ δὲ γυναῖκες πολλὰ μάλ' ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον." Schol.

888. Νείσσεο] ἄγαν ἐρωτικὴ προσφώνησις καὶ ἡ εὐχή. πρῶτον γὰρ αὐτῷ κατεύχεται, ἔπειτα, ἐπεὶ οἶδε καὶ τὴν πᾶσαν σπουδὴν καὶ τὸ φίλτρον τῷ Ἰάσονι οὐδὲν ἕτερον ἢ τὴν τῶν ἑταίρων σωτηρίαν, καὶ ταύτην αὐτῷ κατεύχεται· οὐ τοσοῦτον ἐκείνοις χαριζομένη, ὅσον Ἰάσονι. Schol.

Δήποτε

Δή ποτε νοστήσας ἐθέλῃς ἄψορρον ἱκέσθαι.
Ῥηϊδίως δ' ἂν ἑοῖ σὺ ἀπείρονα λαὸν ἀγείραις
Ἄλλων ἐκ πολίων· ἀλλ' οὐ σύ γε τήνδε μενοινὴν
Σχήσεις, οὔτ' αὐτὴ προτιόσσομαι ὧδε τελεῖσθαι.
Μνώεο μὴν ἀπεὼν περ ὅμως καὶ νόστιμος ἤδη
Ὑψιπύλης· λίπε δ' ἧμιν ἔπος, τό κεν ἐξανύσαιμι
Πρόφρων, ἤν ἄρα δή με θεοὶ δώωσι τεκέσθαι.
Τὴν δ' αὖτ' Αἴσονος υἱὸς ἀγαιόμενος προσέειπεν.
Ὑψιπύλη, τὰ μὲν οὕτω ἐναίσιμα πάντα γένοιτο
Ἐκ μακάρων· τύνη δ' ἐμέθεν περὶ θυμὸν ἀρείω
Ἴσχαν', ἐπεὶ πάτρην μοι ἅλις Πελίαο ἕκητι
Ναιετάειν· μοῦνόν με θεοὶ λύσειαν ἀέθλων.

Aliquando reverſus, volueris retrorſum venire.
Facilè verò tibi ipſi infinitum populum colligas
Aliis ex urbibus: ſed neque tu hanc animi ſententiam
Indues; neque ipſa præſagio fore ut ita res perficiatur.
Memineris ſaltem, ſeu abeas, ſeu revertas,
Hypſipyles; relinque verò mihi mandatum, quod perficiam
Lubens, ſi Dii voluerint ut ego pariam.
Hanc verò Æſonis filius mirabundus allocutus eſt.
Hypſipyle, hæc utinam omnia ex fatis fauſta eveniant
Et ex Dîs: tu tamen de me meliorem ſententiam
Teneas, quoniam ſat mihi patriam Peliæ gratiâ
Habitare; modo me Dii liberaverint ex certaminibus.

893. Ῥηϊδίως δ' ἂν ἑοῖ] βούλεται λέγειν, ῥαδίως δ' ἂν σεαυτῷ καὶ πολὺν ἀθροίσαις λαόν. ὀρθῶς δὲ ἔθηκεν τὸ ἑοῖ, ἔστι γὰρ τρίτου προσώπου δηλωτικόν, ὡς παρ' Ὁμήρῳ, "Ὀτρηρὼς θεράποντας ἐποτρύνασθαι ἑοῖ αὐτῷ." Schol.

894. Μενοινὴν] ἀντὶ τοῦ γνώμην καὶ διάνοιαν, ἢ μέριμναν. Schol.

895. Προτιόσσομαι] προορῶμαι.

897. Λίπε δ' ἧμιν ἔπος] ὁ νοῦς ἐστι τοιοῦτος. εἰπὲ δή μοι συμβουλήν τινα ἐὰν φθάσῃ με τεκεῖν, ὥστε τῷ γενομένῳ ὑποθέσθαι τινά. ἐλλείπει γὰρ εἰς τὸ πλῆρες λόγον. Ἐξανύσαιμι. τελέσαιμι. Schol. Ibid. Confer Val. Flaccum, II. 424.

899. Ἀγαιόμενος] θαυμάζων τῆς διαθέσεως καὶ τοῦ ἔρωτος. Schol.

901. Ἐμέθεν περὶ θυμὸν ἀρείω] ὁ νοῦς, σὺ δὲ κρείττονα περὶ ἐμοῦ ψυχὴν καὶ διάνοιαν ἔχε, τὰ περὶ τῆς πατρίδος ἡμῶν σκεπτομένη. οὐ γὰρ εὐτελεῖς ἐσμὲν, ὡς τὴν ἰδίαν καταλείψαντες, εἰς ἑτέραν μετοικεῖν. Schol.

902. Πελίαο ἕκητι] τοῦτ' ἔστιν ἕνεκα Πελίου ἔστι μοὶ οἰκεῖν. Schol.



Εἰ

Εἰ δ' οὔ μοι πέπρωται ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
Τηλοῦ ἀναπλώοντι, σὺ δ' ἄρσενα παῖδα τέκηαι,
Πέμπε μιν ἡβήσαντα Πελασγίδος εἴσω Ἰωλκοῦ,
Πατρί τ' ἐμῷ καὶ μητρὶ δύης ἄκος, ἢν ἄρα τούς γε
Τέτμῃ ἔτι ζώοντας· ἵν' ἄνδιχα τοῖο ἄνακτος
Σφοῖσιν πορσύνωνται ἐφέστιοι ἐν μεγάροισιν.
Ἦ, καὶ ἔβαιν' ἐπὶ νῆα παροίτατος· ὡς δὲ καὶ ἄλλοι
Βαῖνον ἀριστῆες, λάζοντο δὲ χερσὶν ἐρετμὰ
Ἐνσχερὼ ἑζόμενοι· πρυμνήσια δὲ σφίσιν Ἄργος
Λῦσεν ὑπ' ἐκ πέτρης ἁλιμυρέος· ἔνθ' ἄρα τοίγε
Κόπτον ὕδωρ δολιχῇσιν ἐπικρατέως ἐλάτῃσιν.
Ἑσπέριοι δ' Ὀρφῆος ἐφημοσύνῃσιν ἔκελσαν

Si verò fato ſancitum eſt, ut in terram Græciam non revertam
Procul navigans, tu verò marem pepereris,
Mitte eum adultum in Iolcum Pelaſgicum,
Patri meo et matri orbitatis fomentum; ſi eos
Offenderit adhuc ſuperſtites; ut ſeorſim a rege iſto
Suis eum cives alant in ædibus.
Dixit; et navem primus conſcendit: ſimiliter et alii
Conſcenderunt proceres, receperuntque manibus remos
Ordine ſedentes; retinacula verò ipſis Argus
Solvit a rupe marinâ: deinde illi
Pulſârunt aquam longis prævalidè abietibus.
Veſpertini verò Orphei conſilio appulerunt

904. Ἑλλάδα γαῖαν] νῦν τὴν Θεσσαλίαν. Ὅμηρος δὲ μίαν Θεσσαλίας πόλιν οἶδε τὴν Ἑλλάδα. Schol.

905. Σὺ δ' ἄρσενα] τοῦτο ὡς ἐν θαυμασμῷ, εἰ ἄρα ἐν γυναικῶν πόλει καὶ ἐξ ἐπιγονῆς ἔσται ποτὲ ἄῤῥην τις. Schol.

906. Πελασγίδος] τῆς Θετταλικῆς, ἀπὸ τῶν ἐνοικησάντων Πελασγῶν. Schol.

907. Δύης ἄκος] τῆς ταλαιπωρίας οἷον παραμύθιον καὶ ἴαμα. ὅθεν καὶ ἐνδυκὲς προσεπιτείνοντος τοῦ κ, ὥς φησι Τρύφων. ἔστι γὰρ ἐνδυκὲς τὸ μετὰ πολλῆς κακοπαθείας γενόμενον προσηνὲς καὶ ἡδύ. καὶ ἐνδυκέως ἐξ αὐτοῦ. Schol.

909. Ἐφέστιοι] ἔνοικοι. Λακεδαιμόνιοι γὰρ τὴν οἰκίαν ἑστίαν φασίν. Schol.

910. Παροίτατος] ἀντὶ τοῦ πρῶτος. ἐσχημάτισται δὲ ἀπὸ τοῦ πάρος. καὶ Ὅμηρος. "ἄλλοι μοὶ δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι." Ὡς δὲ καὶ ἄλλοι. διὰ τούτου τῶν ἡρώων ὑπεραπολογεῖται, ὅτι καὶ τῆς πρὸς τὰς Λημνιάδας σπουδῆς προεξάρξαντος τοῦ ἀρχηγοῦ, καὶ οὕτω συνετίθεντο· καὶ νῦν δὲ πάλιν ἐκείνου τοῦ πλοῦ ἀρχομένου, καὶ οὕτοι ἕποντο. Schol.

913. Ἁλιμυρέος] τῆς ὑπὸ θαλάσσης περιῤῥεομένης. ἁλιμυρήεντες δὲ ποταμοὶ, οἱ εἰς τὴν θάλασσαν βάλλοντες. Schol.

Νῆσον

Νῆσον ἐς Ἠλέκτρης Ἀτλαντίδος· ὄφρα δαέντες
Ἀῤῥήκτους ἀγανῇσι τελεσφορίῃσι θέμιστας,
Σαώτεροι κρυόεσσαν ὑπεὶρ ἅλα ναυτίλλοιντο.
Τῶν μὲν ἔτ' οὐ προτέρω μυθήσομαι· ἀλλὰ καὶ αὐτὴ

In insulam Electræ Atlantidis, ut edocti
Inviolandas sanctâ initiatione leges,
Securiores horridum trans mare navigarent.
Hæc quidem non ulterius memorabo; sed et ipsa

916. Νῆσον ἐς Ἠλέκτρης] τὴν Σαμοθρᾴκην λέγει. ἐκεῖ γὰρ ᾤκει Ἠλέκτρα ἡ Ἄτλαντος, καὶ ὠνομάζετο ὑπὸ τῶν ἐγχωρίων Στρατηγίς. ἥν φησιν Ἑλλάνικος Ἠλεκτρυώνην καλεῖσθαι. ἐγέννησε δὲ τρεῖς παῖδας, Δάρδανον τὸν ἐς Τροίαν κατοικήσαντα (ὃν καὶ Πολυάρχην φασὶ λέγεσθαι ὑπὸ τῶν ἐγχωρίων) καὶ Ἠετίωνα, ὃν Ἰασίωνα ὀνομάζουσι. καί φασι κεραυνωθῆναι αὐτὸν ὑβρίζοντα ἄγαλμα τῆς Δήμητρος. τρίτην δὲ ἔσχεν Ἁρμονίαν, ἣν ἠγάγετο Κάδμος. καὶ ἀπὸ τῆς μητρὸς αὐτῆς Ἠλεκτρίδας πύλας τῆς Θήβης ὀνομάσαι ἱστορεῖ Ἑλλάνικος ἐν πρώτῳ Τρωϊκῶν, καὶ Ἰδομενεὺς ἐν πρώτῳ Τρωϊκῶν. Schol.

Ibid. Νῆσον ἐς Ἠλέκτρης —— Huc respexit Val. Flaccus, II, 431. Upt.

917. Ἀῤῥήκτους ἀγανῇσι] τὰς τελετὰς λέγει τὰς ἐν Σαμοθρᾴκῃ ἀγομένας, ἃς εἴ τις μυηθείη, ἐν τοῖς κατὰ θάλασσαν χειμῶσι διασώζεται. καὶ Ὀδυσσέα δέ φασι μεμυημένον ἐν Σαμοθρᾴκῃ χρήσασθαι τῷ κρηδέμνῳ ἀντὶ ταινίας. περὶ γὰρ τὴν κοιλίαν οἱ μεμυημένοι ταινίας ἅπτουσι πορφυρᾶς. καὶ Ἀγαμέμνονα δέ φασι μεμυημένον, ἐν ταραχῇ ὄντα πολλῇ κατὰ Τροίαν, δι' ἀνταστασίαν τῶν Ἑλλήνων, παῦσαι τὴν στάσιν, πορφυρίδα ἔχοντα. μυοῦνται δὲ ἐν τῇ Σαμοθρᾴκῃ τοῖς Καβείροις, ὧν Μνασέας φησὶ καὶ τὰ ὀνόματα. τέσσαρες δ' εἰσὶ τὸν ἀριθμόν· Ἀξίερος, Ἀξιόκερσα, Ἀξιόκερσος. Ἀξίερος μὲν οὖν ἐστιν ἡ Δημήτηρ· Ἀξιόκερσα δὲ, ἡ Περσεφόνη· Ἀξιόκερσος δὲ, ὁ Ἅδης. ὁ δὲ προστιθέμενος τέταρτος Κάσμιλος, ὁ Ἑρμῆς ἐστιν, ὡς ἱστορεῖ Διονυσόδωρος. Ἀθηνίων δέ φησιν ὅτι Διὸς καὶ Ἠλέκτρας ἐγένοντο Ἰασίων καὶ Δάρδανος. Κάβειροι δὲ δοκοῦσι προσηγορεῦσθαι ἀπὸ Καβείρων τῶν κατὰ Φρυγίαν ὀρῶν, ἐπεὶ ἐντεῦθεν μετηνέχθησαν. οἱ δὲ, δύο εἶναι τοὺς Καβείρους φασὶ πρότερον· πρεσβύτερον μὲν, Δία, νεώτερον δὲ Διόνυσον. ἡ δὲ Σαμοθρᾴκη ἐκαλεῖτο πρότερον Λευκωσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθρᾴκης πολιτείᾳ. ὕστερον δὲ ἀπὸ Σάου τοῦ Ἑρμοῦ καὶ Ῥήνης παιδὸς, Σάμος προσωνομάσθη κατὰ παρένθεσιν τοῦ μ. Θρᾳκῶν δὲ οἰκησάντων αὐτὴν ἐκλήθη Σαμοθρᾴκη. Schol.

Ibid: Ἀῤῥήκτους] Fortassis hic scriptura textus in scholia reposita fuit: viz. ἀῤῥήκτους pro ἀῤῥήτους. Neque enim dubito quin ἀῤῥήτους Scholiastes scripserit: quod ex veteri etiam codice affertur. Ut taceam aptum esse epithetum, et quod etiam sequentibus verbis confirmetur. Steph.

918. Σαώτεροι] ἀκινδυνότεροι. λέγονται γὰρ οἱ αὐτόθι μυηθέντες ἐπακούεσθαι εἰς ὃ ἂν εὔξωνται. ὡς Ἀριστοφάνης φησὶν, "ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τυγχάνῃ μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλόν." δοκοῦσι γὰρ μᾶλλον σώζεσθαι, οἱ τὰ μυστήρια εἰδότες. Schol.

919. Τῶν μὲν ἔτ' οὐ προτέρω] τὸ μὲν προτέρω ἐστὶ σημαντικὸν τοῦ εἰς τοὔμπροσθεν. ὡς καὶ παρ' Ὁμήρῳ, "οὐδ' ἄρα μοι προτέρω νῆες κίον." κεῖται δὲ νῦν καταχρηστικῶς ἐπὶ τοῦ λόγου. ὁ γὰρ νοῦς. ταῦτα δὲ οὐκ ἂν ἔτι πλέον τι εἴποιμι· ἀλλὰ χαίροι μὲν ἡ νῆσος, χαίροιεν δὲ καὶ οἱ δαίμονες, ὧν ἐστι τὰ μυστήρια. οὐ γὰρ καθῆκον ἡμῖν ἐστιν αὐτὰ λέγειν. Schol.

Νῆσος ὁμῶς κεχάροιτο, καὶ οἳ λάχον ὄργια κεῖνα
Δαίμονες ἐνναέται· τὰ μὲν οὐ θέμις ἄμμιν ἀείδειν.
Κεῖθεν δ' εἰρεσίῃ μέλανος διὰ βένθεα πόντου
Ἱέμενοι, τῇ μὲν Θρηκῶν χθόνα, τῇ δὲ περαίην
Ἴμβρον ἔχον καθύπερθε· νέον γε μὲν ἠελίοιο
Δυομένου, χέρνησον ἐπὶ προὔχουσαν ἵκοντο.
Ἔνθα σφὶν λαιψηρὸς ἄη νότος· ἱστία δ' οὔρῳ
Στησάμενοι, κούρης Ἀθαμαντίδος αἰπὰ ῥέεθρα
Εἰσέβαλον· πέλαγος δὲ τὸ μὲν καθύπερθε λέλειπτο
Ἦρι, τὸ δ' ἐννύχιοι Ῥοιτειάδος ἔνδοθεν ἀκτῆς

Insula pariter valeat, quique his imbuti mysteriis
Dii incolæ: hæc verò nobis nefas canere.
Illinc verò remigando, Nigri profunditates ponti
Transvecti, hâc quidem Thracum terram, hâc verò adversam
Habebant superiùs Imbrum: soleque nuper
Occaso, ad prominentem Chersonesum pervenerunt.
Ibi ipsis citus afflavit Auster; velisque vento
Expositis, filiæ Athamantis difficilia fluenta
Ingressi sunt: mare verò alterum desuper relictum erat
Manè, alterum noctabundi intra Rhœteïum litus

920. Ὄργια] τὰ μυστήρια. παρὰ τὸ εἴργειν τοὺς ἀμυήτους αὐτῶν. ἢ τὰ ἐν ὀργάσι γινόμενα. ὀργάδες δὲ οἱ σύμφυτοι τόποι καὶ ὑγροί. Schol.

Ibid. Λάβον] Ald. Steph. et Flor. λάχον. Quod melius.

922. Μέλανος] μέλας πόντος οὕτω λεγόμενος, ὡς ἱστορεῖ Εὔδοξος ἐν δ τῆς περιόδου. ὄπισθεν δὲ αὐτοῦ εἶναι τὴν Σαρπηδονίαν πέτραν φασίν. ὅτι δὲ οὕτω λέγεται, καὶ Ὅμηρος, "ἔνθορε Μείλανι πόντῳ." ὠνομάσθη δὲ ἀπὸ Μέλανος τοῦ Φρίξου υἱοῦ ἐμπεσόντος, ἢ ἀπὸ ποταμοῦ Μέλανος καλουμένου, κἀκεῖ ῥέοντος. Schol.

923. Τῇ μὲν Θρηκῶν] ταυτῇ μὲν τῇ χειρὶ τῇ δεξιᾷ. Περαίην δὲ, τὴν κατὰ τὸ ἐναντίον κειμένην. ἡ γὰρ Ἴμβρος ἀντικρύ ἐστι τῆς Θρᾴκης· Ὅμηρος, "ἐς Σάμον ἔς τ' Ἴμβρον καὶ Λῆμνον." Σάμον γὰρ εἶπεν ἐνταῦθα τὴν Σαμοθρᾴκην. Schol.

Ibid. Τῇ μέν. Schol. τῇ δεξιᾷ. Sed fallitur. Thracia quippe è Samothraciâ in Hellespontum navigantibus est ad sinistram. Hœl.

925. Χέρνησον] τὴν μετὰ Θρᾴκην κειμένην Χερσόνησον. ἣν δὲ πρότερον νῆσος. κεῖται δὲ ἀντικρὺ τῆς Τροίας. ἔστι καὶ ἑτέρα Χερσόνησος Καρίας, ἔνθεν ἦν Ἀλέξανδρος ὁ περὶ Καρίας γράψας. Schol.

927. Ἀθαμαντίδος] τοῦτ' ἔστιν εἰς τὸν Ἑλλήσποντον, ἀπὸ Ἕλλης τῆς Ἀθάμαντος θυγατρὸς κληθέντα. Schol.

929. Ῥοιτειάδος] ἀπὸ Ῥοιτείας τῆς Πρωτέως θυγατρός. Ῥοίτειον δὲ καὶ Σίγειον ἀκρωτήριον τοῦ Ἰλίου. Schol.

Μέτρεον,

Μέτρεον, Ἰδαίην ἐπὶ δεξιὰ γαῖαν ἔχοντες.
Δαρδανίην δὲ λιπόντες, ἐπιπροσέβαλλον Ἀβύδῳ·
Περκώτην δ᾽ ἐπὶ τῇ, καὶ Ἀβαρνίδος ἠμαθόεσσαν
Ἠιόνα, ζαθέην τε παρήμειβον Πιτύειαν.
Καὶ δὴ τοίγ᾽ ἐπὶ νυκτὶ, διάνδιχα νηὸς ἰούσης,
Δίνῃ πορφύροντα διήνυσαν Ἑλλήσποντον.
Ἔστι δέ τις αἰπεῖα Προποντίδος ἔνδοθι νῆσος,

Emensi ſunt, ad dextram habentes Idæam terram.
Dardaniâ verò relictâ, appellebantur Abydo:
Et inde Percoten, et Abarnidis arenoſum
Litus, mirandamque tranſierunt Pityæam.
Adeoque nocturni, utrinque navi procurrente,
Vorticibus æſtuantem præternavigârunt Helleſpontum.
Eſt autem quædam excelſa in Propontide inſula,

932. Περκώτη] πόλις Τρωίας, ἧς καὶ Ὅμηρος μέμνηται. Ἀβαρνίδος. ἡ Ἀβαρνὶς, πόλις τῆς Λαμψάκου. ὠνομάσθη δὲ ἀπὸ αἰτίας τοιαύτης. Διονύσου ἐρασθεῖσα Ἀφροδίτη ἐμίγη αὐτῷ· καὶ ἀναχωρήσαντος αὐτοῦ εἰς τὴν Ἰνδικὴν, ἐμίγη τῷ Ἀδώνιδι. ὡς δὲ ἦλθεν ὁ Διόνυσος, στέφανον ποιήσασα ὑπηντησεν αὐτῷ· καὶ στέψασα αὐτὸν, ἀκολουθῆσαι μὲν ᾐδεῖτο, διὰ τὸ ἤδη γεγαμῆσθαι· εἰς δὲ Λάμψακον ἀναχωρήσασα, τὸ ἐξ αὐτῆς κυοφορούμενον ἐβούλετο τεκεῖν. Ἥρα δὲ ζηλοτυποῦσα, μεμαγευμένη τῇ χειρὶ ἐφήψατο τῆς γαστρὸς αὐτῆς, καὶ ἐποίησε τεκεῖν παῖδα τά τε ἄλλα δύσμορφον, καὶ αἰδοῖον ἔχοντα ὑπέρμεγα· ὃν Πρίαπον προσαγορευθῆναι. ἰδοῦσα δὲ ἡ Ἀφροδίτη, οὐκ ἠξίωσεν ἀναλαβέσθαι, τά τε ἄλλα μισήσασα τὸν παῖδα, καὶ διὰ τὸ ἀπρεπὲς τοῦ αἰδοίου. διὰ οὖν τὸ τὴν Ἀφροδίτην ἀπαρνηθῆναι τὸν παῖδα ἐκεῖ, Ἀπαρνὶς ἡ πόλις ἐκλήθη. ὕστερον δὲ κατὰ μετάθεσιν τοῦ στοιχείου ἐκλήθη Ἀβαρνίς. Schol.

Ibid. Περκώτην ——

Jam juga Percotes ——
Val. Flacc. II. 612. Upt.

933. Πιτύειαν] ἡ Λάμψακος τοπρότερον Πιτύεια προσηγορεύετο, ἣν τινες Πιτύαν ὀνομάζουσιν. τινὲς δέ φασιν ὅτι Φρίξος πλεόμενος ἐνταῦθα θησαυρὸν ἔθηκεν, καὶ ἀπὸ τούτου ἡ πόλις ὠνομάσθη. Θρᾶκες γὰρ τὸν θησαυρὸν Πιτύην λέγουσιν, μνημονεύει δὲ αὐτῆς καὶ Ὅμηρος, "καὶ Πιτύειαν." Schol.

934. Τοίγε] Hœlzlinus mavult legere τῆγε. *Ea nocte.*

Ib. Διάνδιχα. πλησιστίοις ποιαῖς. Cum nec dextera, ut loquitur Catullus, nec læva vocat aura, ſed Jupiter utrumque in pedem incidit. Hœlz.

935. Πορφύροντα] τὸν τοῖς ῥοθίοις μελαινόμενον, καὶ σφοδρὰ κύματα ἔχοντα. Schol.

936. Ἔστι δέ τις αἰπεῖα] Προποντίς ἐστι τὸ μετὰ τὸν Ἑλλήσποντον πέλαγος· οὗ ἑξῆς ὁ Θρακικὸς Βόσπορος. ἐν οὖν ταύτῃ τῇ Προποντίδι ἐστὶ νῆσος, ἣ ὕστερον χερρόνησος γεγένηται, ἢ ἰσθμόν τινα ἔχει. πᾶσα γὰρ γῆ ἐξέχουσα εἰς θάλασσαν, ἰσθμὸς καλεῖται. ταύτῃ οὖν τῇ χερρονήσῳ παράκειται Ἄρκτων ὄρος, κυρίως οὕτω λεγόμενον· ἐπειδή φασι τὰς τροφοὺς τοῦ Διὸς ἐκεῖ διατριβούσας εἰς ἄρκτους μεταβληθῆναι· ἢ ὅτι ὁ τόπος ἔνθηρος, καὶ ἀπὸ τοῦ θηρίου τῆς ἄρκτου ὠνομάσθη. ἢ διὰ τὸ ὑψηλὸν τοῦ ὄρους ἀπὸ τοῦ δοκεῖν ταῖς Ἄρκτοις προσπελάζειν τοῖς ἄστροις. τοῦτο δὲ ἄγριοι τινὲς γη-

Τυτθὸν

Τυτθὸν ἀπὸ Φρυγίης πολυληΐου ἠπείροιο
Εἰς ἅλα κεκλιμένη, ὅσσον τ' ἐπιμύρεται ἰσθμὸς
Χέρσῳ ἐπιπρηνὴς καταειμένος· ἐν δέ οἱ ἀκταὶ
Ἀμφίδυμοι· κεῖνται δ' ὑπὲρ ὕδατος Αἰσήποιο.
Ἄρκτων μιν καλέουσιν ὄρος περιναιετάοντες·

Paululum a Phrygiæ feraci terrâ
In mare porrecta, quatenus remurmurat Isthmus
In continentem decliviter summissus; in eâ verò litora
Geminos aditus habentia, super fluvium Æsepi sita.
Arctorum illum montem dicunt accolæ;

γείτονες ᾤκουν. αὐτὴν δὲ τὴν χερρόνησον καὶ τὸν ἰσθμὸν ᾤκουν Δολίονες, ὧν ἐβασίλευε Κύζικος. τὸ δὲ ἑξῆς οὕτως. ἔστι δέ τις ἐν τῇ Προποντίδι νῆσος ὑψηλὴ, ἀπέχουσα βραχὺ τῆς Φρυγίας κατὰ τὸ ῥεῦμα τοῦ ἰσθμοῦ, ἐπικειμένη τῇ γῇ ὑπὲρ τὸν Αἴσηπον ποταμὸν, ἔχουσα ἑκατέρωθεν ἀκτάς. καλοῦσιν Ἄρκτων τὸ ὄρος. ἔστι δὲ χερρόνησος ἐφ' ἧς κεῖται ἡ Κυζικηνῶν πόλις. νῆσον δὲ αὐτὴν εἶπε, διὰ τὸ πρότερον αὐτὴν οὖσαν νῆσον, ὕστερον συνῆφθαι τῇ ἠπείρῳ. Schol.

937. Ἀπὸ Φρυγίης] Ἡ Φρυγία παράκειται τῇ Τροίᾳ. ἔστι δὲ τὰ ἔθνη τῆς Ἀσίας. τοῖς οὖν εἰς Κόλχους πορευομένοις, ἐκ μὲν δεξιῶν ἐστιν ἡ Ἀσία, ἐκ δὲ ἀριστερῶν, ἡ Εὐρώπη. Πολυληΐου δὲ τὴν Φρυγίαν εἶπε, τὴν πολυθρέμμονα. Schol.

938. Ὅσσον τ' ἐπιμύρεται] ὅσον φησὶ διάστημα ἰσθμοῦ ἐστι. οἱ δὲ τὸ ὅσσον θαυμαστικῶς ἤκουσαν, ὃ κρεῖττον. ἴσως ἡ, ἡ χερρόνησος, καὶ εἰς θάλασσαν κειμένη καὶ ἰσθμὸν ἔχουσα. εἶτα θαυμαστικῶς, ὅσον γὰρ ἐκεῖνος ὁ ἰσθμὸς βοᾷ τοῖς κύμασι ῥησσόμενος. Ἰσθμὸς δὲ καλεῖται ὁ ἐξ ἀμφοτέρων τῶν μερῶν θάλασσαν ἔχων τόπος, οἷον ἰσθμός τις ὤν. εἴρηται δὲ ἰσθμὸς παρὰ τὸ ἐν στενῷ εἶναι. ὅθεν καὶ τραχήλου τὰ παρίσθμια. πορθμὸς δὲ ἡ ἐξ ἀμφοτέρων τῶν μερῶν γῆν ἔχουσα στενὴ θάλασσα. Schol.

Ibid. Ἐπιμύρεται, vertendum *fluctibus agitatus resonat*, ut ex compositione liquet. Virg. Æn. III. 555. *Gemitum ingentem pelagi, &c.* Ἰσθμὸν hìc vocat Apollonius, qui Argonautarum tempore fuit tantùm ἰσθμώδης. Dubium omne tollit v. 947. Turpiter verò errat Scholiastes qui καταειμένος ab εἵμαι *indutus sum*, componi putat, cum sit præteritum verbi καθίεμαι, *demittor*, ut vel præcedens vox ἐπιπρηνὴς arguit. Absurda Scholiastæ sententia lexica occupavit. Monstrosa verò est editio H. Stephani, in quâ καταείμενος antepenacuitur. Ordo. καταειμένος ἐπιπρηνὴς χέρσῳ ὅσσον ἰσθμὸς ἐπιμύρεται, i. e. ad verbum, *demissus vel depressus pronus versùs continentem quatenus Isthmus undis agitatus resonat.* Errat enim Scholiastes, et eum secutus Hœlzlinus in notis, qui putat ὅσσον esse hìc θαυμαστικὸν cum sit reverà ἀναφορικόν. Porro χέρσῳ regitur a præpositione ἐπὶ, vocis ἐπιπρηνής. Sanct.

939. Καταειμένος] καταῤῥεόμενος, ἢ καταπνεόμενος, ἢ κεκαλυμμένος φυτοῖς. Schol.

940. Ἀμφίδυμοι] ὅτι ὁ τῆς Κυζίκου λιμὴν διττὰς εἰσόδους ἐξ ἑκατέρου μέρους ἔχει. Schol.

941. Ἄρκτων] Ald. Steph. et Flor. Ἄρκτον. Hœlzlinus monet à se mutatum ex v. 1150.

Καὶ

Καί τὸ μὲν ὑβρισταί τε καὶ ἄγριοι ναιετάουσι
Γηγενέες, μέγα θαῦμα περικτιόνεσσιν ἰδέσθαι.
Ἓξ γὰρ ἑκάστῳ χεῖρες ὑπέρβιοι ἠερέθονται
Αἱ μὲν ἀπὸ στιβαρῶν ὤμων δύο, ταὶ δ' ὑπένερθεν
Τέσσαρες, αἰνοτάτῃσιν ἐπὶ πλευραῖς ἀραρυῖαι.
Ἰσθμὸν δ' αὖ πεδίον τε Δολίονες ἀμφενέμοντο
Ἀνέρες· ἐν δ' ἥρως Αἰνήϊος υἱὸς ἄνασσε
Κύζικος, ὃν κούρη δίου τέκεν Εὐσώροιο
Αἰνήτη· τοὺς δ' οὔτι, καὶ ἔκπαγλοί περ ἐόντες,
Γηγενέες σίνοντο, Ποσειδάωνος ἀρωγῇ.
Τοῦ γὰρ ἔσαν τὰ πρῶτα Δολίονες ἐκγεγαῶτες.
Ἔνθ' Ἀργὼ προύτυψεν ἐπειγομένη ἀνέμοισι

Et eum quidem injurioſi efferique incolunt
Gigantes, ingens miraculum finitimis viſu.
Senæ enim unicuique manus violentæ dependebant,
Duæ quidem validis ex humeris: ſubtus verò
Quatuor, horrendis adaptatæ lateribus.
Iſthmum verò campumque Doliones circumhabitabant,
Quos inter Ænei filius imperio potiebatur
Cyzicus, quem filia glorioſi peperit Euſori
Æneta: hos tamen nullo modo, quamvis terribiles eſſent,
Gigantes infeſtabant, Neptuni auxilio *tutos*:
Ex eo enim primitus Doliones prognati erant.
Ibi appulit Argo incitata ventis

943. Γηγενέες] τούτων καὶ Ἡρόδωρος μνημονεύει ἐν τοῖς Ἀργοναυτικοῖς· καὶ ὅτι ἐπολέμησαν Ἡρακλεῖ. οἱ μὲν οὖν γηγενεῖς παρὰ Κύζικον ᾤκουν, οἱ δὲ Δολίονες παρὰ τὸν ἰσθμόν. Schol.

948. Ἐν δ' ἥρως Αἰνήϊος] ὅτι Αἰνεὺς Θετταλὸς ὢν τὸ γένος ᾤκησεν ἐν Ἑλλησπόντῳ. γήμας δὲ Εὐσώρου βασιλέως τῶν Θρᾳκῶν Αἰνήτην, γεννᾷ Κύζικον, ἀφ' οὗ ἡ πόλις. Εὐσώρου δὲ υἱὸς Ἀκάμας, ὃν Ὅμηρος ἐν τῇ Βοιωτίᾳ ἡγεῖσθαι Θρᾳκῶν ἅμα τῷ Πείρῳ φησίν. Ἄλλως. Κυζίκου πατὴρ Αἰνεύς, Ἀπόλλωνος παῖς καὶ Στίλβης. ὅθεν καὶ πόλις ὠνόμασται. θυγατρὸς δὲ Εὐασθέας. μετέστη δὲ ἐκ Θεσσαλίας, καὶ ᾤκησε περὶ τὸν Ἑλλήσποντον. Schol.

949. Δίου Εὐσώροιο] τοῦ ἐνδόξου Εὐσώρου ἡ θυγάτηρ. Εὔσωρος δὲ Θρᾴκης βασιλεύς, Ὅμηρος, "υἱὸν Εὐσώρου Ἀκάμαντ' ἠΰν τε μέγαν τε." Schol.

954. Λιμὴν ὑπέδεκτο] πάνορμος λιμὴν τῆς Κυζίκου, οὗ ὁμώνυμος πόλις ἐν Σικελίᾳ. Schol.

Ibid. In Gallicano pro θέουσαν ſcriptum πάνορμος, quam ſane lectionem agnoſcit Scholiaſtes.

Θρηϊκίοις

Θρηϊκίοις, καλὸς δὲ λιμὴν ὑπέδεκτο θέουσαν.
Κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ἑλκύσαντες
Τίφυος ἐννεσίῃσιν, ὑπὸ κρήνῃ ἐλίποντο,
Κρήνῃ ὑπ' Ἀρτακίῃ· ἕτερον δ' ἕλον ὅς τις ἀρήρει
Βεβριθύς· ἀτὰρ κεῖνόν γε θεοπροπίαις Ἑκάτοιο
Νηλεΐδαι μετόπισθεν Ἰάονες ἱδρύσαντο
Ἱερὸν, ᾗ θέμις ἦεν, Ἰησονίης ἐν Ἀθήνης.

Thracenſibus, pulcherque portus excepit currentem.
Illic qui pro anchorâ erat, exiguum lapidem, extractum
Tiphyos conſilio, ad fontem reliquerunt
Artacium; alium verò ceperunt, qui juſtioris eſſet
Momenti: illum verò oraculo Apollinis,
Nelidæ poſtea Iones collocârunt
Sacrum, prout fas erat, Jaſoniæ in *templo* Minervæ.

955. Κεῖσε καὶ εὐναίης] λείπει ἡ ἀντὶ πρόθεσις, ἵν' ᾖ, τὸ ἀντὶ εὐναίας καὶ ἀγκύρας λίθον, διὰ τὸ βεβραδέως ἐκ τῆς θαλάσσης, ἀπολύσαντες, ὕστερον ἔλαβον· ἐκεῖνον δὲ κατέλιπον ἐν τῇ Ἀρτακίῃ κρήνῃ. Μιλήσιοι δὲ ἐνοικήσαντες, κατὰ χρησμὸν Ἀπόλλωνος ἄραντες τὴν ἄγκυραν, ἀνιέρωσαν ἐν τῷ ναῷ τῆς Ἰασονίας Ἀθηνᾶς.
Ὀλίγον λίθον, τὸν μικρὸν ἔφη. ὡς καὶ Ὅμηρος, ὀλίγην τράπεζαν, καὶ Θεόκριτος, ὀλίγον χῶρον. Schol.

Ibid. Εὐναίης λίθον, *pro anchorâ lapidem*. E Scholiis. Alius mihi ſenſus. Non ille *pro ancorâ* erat lapis, ſed *ancora*. Eſt igitur περίφρασις, ut I. I. et anchora intelligenda lapidea. Ἐν Ἱκέτισιν Euripidis, ὅπλισμα κορύνης, hoc eſt κορύνη, vel ὅπλον κορύνης, ut enunciatur à Plutarcho in Theſei vita. Et mecum ſtat Arrianus idem, cum de alio hujus anchoræ loco, ait, καὶ ἡ ἄγκυρα δείκνυται τῆς Ἀργοῦς, &c. Hœl.

Non nego Apollonii mentem Hœlzlinum aſſecutum eſſe; ſed ex ejus interpretatione Apollonius Orpheo contradicit, qui, etſi v. 490 et ſequentibus hanc hiſtoriam narret, non obſcurè tamen v. 495. Argonautas anchoris uſos eſſe docet curvis, ac propterea, ut veriſimile eſt, ferreis. Negari quidem non poteſt antiquiores uſos eſſe lapidibus pro anchoris: ſed ii gravitate ſolùm, non morſu naves tenebant: neque ἀγκύραι unquam ſunt dicti, aut dici potuerunt, ut ex etymologiâ conſtat, ſed εὐναῖοι λίθοι. Jam hic lapis ὀλίγος eſſe dicitur, quare omnino non anchoræ vices ſuſtinebat. Εὐναίας idem quod εὐνῆ, unde formatur eodem modo ac a γῆ γαῖα, a σελήνη σεληναία. Sanct.

957. Κρήνη ὑπ' Ἀρτακίῃ] Ἀρτακία κρήνη περὶ Κύζικον, ἧς καὶ Ἀλκαῖος μέμνηται καὶ Καλλίμαχος, ὅτι τῆς Δολιονίας ἐστίν. Schol.

959. Νηλεΐδαι] οἱ μετὰ Νηλέως τοῦ Κόδρου ἀποικήσαντες ἐκ τῆς Ἀττικῆς Ἴωνες, καὶ τὴν Καρίαν καὶ Φρυγίαν κατασχόντες, χρησμοῖς τοῦ Ἀπόλλωνος ἐκεῖνον τὸν λίθον τῇ Ἀθηνᾷ ἀφιέρωσαν. Schol.

960. Pro ἱερὸν legit Sanctamandus ἱερῷ. viz. *in templo*. Sed malè. Multo enim elegantius ſubauditur ex verbis, Ἰησονίης ἐν Ἀθήνης.

Τὺς

Τοὺς δ' ἄμυδις φιλότητι Δολίονες, ἠδὲ καὶ αὐτὸς
Κύζικος ἀντήσαντες, ὅτε στόλον ἠδὲ γενέθλην
Ἔκλυον οἵτινες ἦεν, ἐϋξείνως ἀρέσαντο.
Καί σφεας εἰρεσίῃ πέπιθον προτέρωσε κιόντας
Ἄστεος ἐν λιμένι πρυμνήσια νηὸς ἀνάψαι.
Ἔνθ' οἵγ' ἐκβασίῳ βωμὸν θέσαν Ἀπόλλωνι,
Στησάμενοι παρὰ θῖνα θυηπολίης ἐμέλοντο.
Δῶκεν δ' αὐτὸς ἄναξ λαρὸν μέθυ δευομένοισιν,
Μῆλά θ' ὁμοῦ· δὴ γάρ οἱ ἔην φάτις, εὖτ' ἂν ἵκωνται
Ἀνδρῶν ἡρώων θεῖος στόλος, αὐτίκα τόνγε
Μείλιχον ἀντιάαν, μηδὲ πολέμοιο μέλεσθαι.

Illis verò Doliones ſimul cum ipſo
Cyzico obviam facti, comperto quæ eſſet claſſis, et quo
Ipſi genere nati, hoſpitio eos acceperunt:
Iiſque perſuaſerunt ut ulterius provecti remis
In portu urbico retinacula navis alligarent.
Ibi illi, arâ Ecbaſio Apollini
Inſtauratâ, in litore rei ſacræ operam dabant.
Dedit verò ipſe rex vinum lætificum egentibus
Simulque pecora: oraculo enim erat ille præmonitus, ſi quando appelleret
Heroum divina claſſis, ut ſtatim
Comiter illi obviam occurreret, neque belli curam haberet.

961. Τοὺς δ' ἄμυδις] Δηΐλοχος τοὺς μὲν Δολίονας οὐκ ὀνομάζει, τὸν δὲ Κύζικον φησὶ πυθόμενον τὴν τῶν ἀριστέων παρουσίαν ξενίσαι. Schol.

962. Στόλον] τὸν πλοῦν φησὶν ὃν ἐστέλλοντο. τὸ δὲ ἑξῆς, τούτους δὲ οἱ Δολίονες καὶ ὁ Κύζικος, ἐπειδὴ ἔμαθον τίνες εἰσὶ, φιλοφρόνως ἐξένισαν. καὶ γὰρ οἱ Δολίονες ἄποικοι Θετταλῶν εἰσί. διὸ καὶ αὐτοὺς ὡς ὁμοφύλους ἐδέξαντο. Schol.

964. Πέπιθον] ἔπεισαν αὐτοὺς ἐνδότερον ὁρμίσαι τὴν ναῦν. τὸ γὰρ πλοῖον ἔξωθεν τῆς πόλεως ἦσαν ὁρμίσαντες. Schol.

966. Ἔνθ' οἵγ' ἐκβασίῳ] ἀπὸ τῆς ἐκβάσεως τῆς νεὼς ἐπὶ τὴν Δολιονίαν. Δηΐλοχος δὲ τὸ ἱερὸν οὐκ Ἐκβασίου Ἀπόλλωνος φησὶν εἶναι, ἀλλ' Ἰασονίου Ἀπόλλωνος. Σωκράτης δὲ ἐν ταῖς ἐπικλήσεσι Κυζικηνοῦ Ἀπόλλωνος φησὶ καλεῖσθαι. Schol.

967. Deeſſe videtur comma poſt θῖνα, et τε, inter θυηπολίης et ἐμέλοντο.

970. Ὁ δὲ στόλος ὡς περιληπτικὸν ὄνομα, συντέτακται ἐνταῦθα πρὸς πληθυντικὸν ῥῆμα τὸ ἵκωνται.

971. Μέλεσθαι.] Mavult Sanctamandus legere μέδεσθαι, ut ſemper Homerus; notatque in antiquiſſimo Apollonii codice Medicæo, δ hoc modo formari, Δ, unde extritâ lineâ infimâ fit Λ.

Ἰσόν που κἀκείνῳ ἐπιστεχύεσκον ἴουλοι·
Οὐδέ νύ πω παίδεσσιν ἀγαλλόμενος μεμόρητο,
Ἀλλ' ἔτι οἱ κατὰ δώματ' ἀκήρατος ἦεν ἄκοιτις
Ὠδίνων, Μέροπος Περκωσίου ἐκγεγαυῖα,
Κλείτη ἐϋπλόκαμος· τὴν μὲν νέον ἐξέτι πατρὸς
Θεσπεσίοις ἕδνοισιν ἀνήγαγεν ἀντιπέρηθεν.
Ἀλλὰ καὶ ὣς θάλαμόν τε λιπὼν καὶ δέμνια νύμφης,
Τοῖς μετὰ δαῖτ' ἀλέγυνε, βάλεν δ' ἀπὸ δείματα θυμοῦ.
Ἀλλήλους δ' ἐρέεινον ἀμοιβαδίς· ἤτοι ὁ μὲν σφέων

Nuper et ei primâ lanugine effloruerat barba,
Neque hactenus liberis gloriari sorte contigerat,
Sed adhuc illi in ædibus immunis erat conjux
Dolorum partûs, Merope Percosio sata
Clite pulchricoma, quam paulo ante è domo paternâ
Splendidâ cum dote duxerat ex oppositâ regione.
Sed, vel in hoc rerum statu, relicto thalamo et toro sponsæ suæ,
Cum illis convivium adornavit, excussitque timorem animo.
Inter se autem interrogârunt alternatim: ille sane ab ipsis

972. Ἴσον που κἀκείνῳ] ἀντὶ τοῦ νεωστί. τοῦτο δέ φησιν ὡς καὶ τοῦ Κυζίκου τὴν αὐτὴν ἡλικίαν ἄγοντος τῷ Ἰάσονι. γράφεται δὲ, ἀρμοῖ που κἀκείνῳ ὑποστεχύεσκον. ἀντὶ τοῦ ἀρτίως, νεωστὶ ὑπηνύξανον, ὑπήνθουν. Ἴουλος δὲ καλεῖται ἡ πρώτη ἐξάνθησις καὶ ἔκφυσις τῶν ἐν τῷ γενείῳ τριχῶν. ὁ μέντοι Ἐρατοσθένης ὄνομα ᾠδῆς ἐρίθων ἀπέδωκεν ἐν τῷ Ἑρμῇ, λέγων οὕτω, "Ἡ χερνῆτις ἔριθος, ἐφ' ὑψηλοῦ πυλεῶνος Δινδαλίδας πεύχουσα, καλὰς ἤειδεν ἰούλους." οὐκ ἔστι δὲ, φησὶ Δίδυμος, ἀλλ' ὕμνος εἰς Δήμητρα, ὡς ὁ οὔπιγγος παρὰ Τροιζηνίοις εἰς Ἄρτεμιν. ἔστι γὰρ οὖλος καὶ ἴουλος ἡ ἐκ τῶν δραγμάτων συναγομένη δέσμη· καὶ Οὐλὼ ἡ Δημήτηρ. λέγεται δὲ ἴουλος καὶ ζῶόν τι, θηρίδιον πολύπουν. ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ ἡ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ ἐν κωφοῖς σατύροις, κυλισθεὶς ὥς τις ὄνος ἰσόπεδος. Schol.

973. Μεμόρητο] ἐκεκλήρωτο. ὑπὸ τῆς τύχης μεμοιραμένως εἶχεν. τὸ δὲ κατάλληλον. οὐδέ νύ πω παίδεσσιν ἀγάλλεσθαι (μετοχὴ ἀντὶ ἀπαρεμφάτου) μεμόρητο. Schol.

974. Ἀκήρατος] ἀντὶ τοῦ ἄπαις καὶ καθαρὰ ὠδίνων. Schol.

976. Κλείτη] θυγάτηρ Μέροπος, Περκωσίου τὸ γένος, μάντεως, ἣν Κύζικος ἔγημεν, ὡς ἱστορεῖ Δηΐλοχος καὶ Ἔφορος. Schol.

977. Ἀντιπέρηθεν] ἢ τὸ ἐκ τῆς Εὐρώπης δηλοῖ. (ἀντίκειται γὰρ ἡ Εὐρώπη τῇ Ἀσίᾳ.) ἢ τὸ ἐκ τοῦ ἀντικειμένου τῆς Προποντίδος πρὸς τὴν Κύζικον. τῆς γὰρ Πιτυείας βασιλεὺς ἦν Μέροψ ὁ Περκώσιος, ὡς δηλοῖ Ὅμηρος ἐν καταλόγῳ. Schol.

979. Βάλεν δ' ἀπὸ δείματα θυμοῦ] τοῦτο ἐμφαίνει ὅτι χρησμόν τινα ἔοικε φοβεῖσθαι, ὡς μέλλων τεθνήξεσθαι ὑπὸ τῶν Ἀργοναυτῶν. Schol.

Πεύθετο

Πεύθετο ναυτιλίης ἄνυσιν Πελίαό τ' ἐφετμάς·
Οἱ δὲ περικτιόνων πόλιας καὶ κόλπον ἅπαντα
Εὐρέης πεύθοντο Προποντίδος. οὐ μὲν ἐπιπρὸ
Ἠείδει καταλέξαι ἐελδομένοισι δαῆναι.
Ἠοῖ δ' εἰσανέβαν μέγα Δίνδυμον, ὄφρα καὶ αὐτοὶ
Θηήσαιντο πόρους κείνης ἁλός· ἐν δ' ἄρα τοίγε
Νῆα Χυτοῦ λιμένος προτέρου ἐξήλασαν ὅρμου.

Percontabatur navigationis profectum et Peliæ mandata:
Hi verò accolarum urbes, ſinumque univerſum
Latæ ſciſcitabantur Propontidis: ille verò ulterius
Neſcibat recenſere ſciendi cupidis.
Manè verò aſcenſu ſuperârunt excelſum Dindymum, ut et ipſi
Conſpicerent vada illius maris: interim alii
Navem e Chyto portu, priore ejus ſtatione, propulerunt.

981. Ἄνυσιν] τόν τε πλοῦν καὶ ἐφ' ἣν πρᾶξιν ἔπλεον. ἀσαφῶς δὲ ταύτην αὐτοῖς τὴν ἐρώτησιν δίδωσι τὴν κατεπείγουσαν καὶ χρησίμην. Schol.

982. Περικτιόνων] περιοίκων.

983. Οὐ μὲν ἐπιπρὸ] εἰς τοὔμπροσθεν τῆς Δολιονίας. ἢ ἀντὶ τοῦ διόλου. διὰ δὲ τούτου οὐδὲν ἕτερον ἢ τὴν ἀπραγμοσύνην τοῦ Κυζίκου ἐμφαίνει. Schol.

985. Ἠοῖ δ' εἰσανέβαν] ἡ εἰς πρόθεσις περιττή. Δίνδυμον δὲ, ὄρος Κυζίκου, ἱερὸν τῆς Ῥέας, διὰ τὸ διδύμους μαστοὺς ἐν αὐτῷ ἀνήκειν, ὥς φησι Φιλοστέφανος, οὕτω προσαγορευθῆναι. σύμπασα δὲ ἡ Φρυγία ἱερὰ τῇ θεῷ· ἢ διὰ τὸ δύο ἔχειν, οὕτω καλεῖται. Schol.

987. Χυτοῦ λιμένος] χυτὸς λιμὴν ἐν Κυζίκῳ οὕτω καλούμενος. ἐπεχείρησαν γὰρ οἱ Πελασγοὶ χῶσαι αὐτὸν, ὥς φησι Δηΐλοχος, κατὰ ἔχθος τὸ πρὸς τοὺς Θεσσαλοὺς, ὑφ' ὧν ἐξεβέβληντο. οὗτος δὲ ὑπὸ τῶν γηγενῶν φησὶ κεχῶσθαι αὐτὸν, ποιητικῶς. Schol.

Ibid. Fallitur Hœlzlinus qui χύτον eundem eſſe portum credit de quo agit poeta v. 954. non enim ampliùs illic erat Argo, ut apparet ex v. 964. et ſequentibus; ſed in ulteriore portu et urbi viciniore. Hic eſt quem hìc vocat Apollonius χύτον λιμένα. Ex collatione verſ. 964 cum hoc verſu, patebit quid ſit πρότερος ὅρμος. Suadent enim Cyziceni Argonautis προτέρωσε κιόντας, &c. quare πρότερος ὅρμος eſt, ut dixi, portus urbi vicinior, ac verti poteſt, prior, reſpectu eorum qui ab urbe ſolvunt, vel ulterior, reſpectu eorum qui ad urbem navigant. Utramque ſignificationem accipit vox πρότερος: ſed poſteriorem ſignificationem hìc prætulerim ob προτέρωσε κιόντας, v. 964. Per ἐν intelligit Hœlzlinus ἐν νηὶ ὄντες, quod ferri poteſt, quia νηὶ commodè ſubauditur ex νῆα quod ſequitur. Fortaſſe tamen legendum εἰς δ' ἄλλα τοίγε, &c. ut locus à quo, et locus ad quem deſignentur. Vulgata verò lectio ita vertenda: *at qui in nave erant, navem remis propulerunt ex Chyto portu qui ulterior eſt*. Sanct.

Ἠδὲ δ' Ἰησονίη πέφαται ὁδὸς, ἥν περ ἔβησαν.
Γηγενέες δ' ἑτέρωθεν ἀπ' οὔρεος ἀΐξαντες
Φράξαν ἀπειρεσίοιο Χυτοῦ στόμα νειόθι πέτρης
Πόντιον, οἷά τε θῆρα λοχώμενοι ἔνδον ἐόντα.
Ἀλλὰ γὰρ αὖθι λέλειπτο σὺν ἀνδράσιν ὁπλοτέροισιν
Ἡρακλέης, ὅς δή σφι παλίντονον αἶψα τανύσσας
Τόξον, ἐπασσυτέρους πέλασε χθονί· τοὶ δὲ καὶ αὐτοὶ
Πέτρας ἀμφιῤῥῶγας ἀερτάζοντες ἔβαλλον.
Δὴ γάρ που κἀκεῖνα Θεὰ τρέφεν αἰνὰ πέλωρα
Ἥρη Ζηνὸς ἄκοιτις ἀέθλιον Ἡρακλῆϊ.
Σὺν δὲ καὶ ὧλλοι δῆθεν ὑπότροποι ἀντιόωντες,
Πρίν περ ἀνελθέμεναι σκοπιὴν, ἥπτοντο φόνοιο

Illa autem Jaſonia dicta eſt via, quâ iverunt.
Gigantes verò alterâ ex parte, a monte cum impetu ruentes
Obſtruxerunt ingentis Chyti os, ſub petrâ
Ponticum, veluti inſidias molientes feræ intus exiſtenti.
At verò ibi relictus eſt cum viris junioribus
Hercules, qui ſtatim recurvo in ipſos intento
Arcu, crebros humi proſtravit. Ipſi etiam
Correpta ſaxorum fragmina intorſerunt.
Nam et hæc formidoloſa portenta nutrierat Dea
Juno, Jovis conjux, in certamen Herculeum.
Quin etiam alteri reduces illis obviam facti
Priuſquam conſcendiſſent ſpeculam, aggreſſi ſunt cædem

989. Γηγενέες] Δηΐλοχος Θετταλοὺς εἶναί φησιν ἐγχειρογάστορας· τοὺς δὲ γηγενεῖς φησὶ τοῖς Ἀργοναύταις ἐπιβουλεῦσαι, δοκοῦντας λῃστὰς εἶναι. Schol.

991. Quærit Stephanus annon πόντιον aptiùs conjungatur cum θῆρα.

995. Ἀμφιῤῥῶγας] ἤτοι διεῤῥωγυίας καὶ διεσχισμένας, ἢ διαβεβρωμένας ὑπὸ τῆς θαλάσσης. Schol.

Ibid. Πέτρας ἀμφιῤῥῶγας,
—— ingenti fragmine montis.
Æn. 9. 569.

996. Θεὰ τρέφεν] μυθικῶς φησὶν ὑπὸ Ἥρας ἐφ' Ἡρακλεῖ τετράφθαι τοὺς γηγενεῖς. ὁ δὲ μῦθος ἀπὸ τοῦ Νεμαίου λέοντος αὐτοὺς γίνεται. Πολύγνωστος δὲ ἐν τοῖς περὶ Κυζίκου λῃστὰς αὐτοὺς λέγει. μέμνηται δὲ καὶ Καλλίμαχος ἐν οἷς φησι, "τὴν δὲ μίαν κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν Ἥρας ἐννεσίῃσιν, ἀέθλιον Ἡρακλῆϊ ὕστερον ὄφρα γένοιτο, πάγος κεραύνιος ἔδεκτο. Schol.

998. Ὦλλοι] τῆς νεωτέρας Ἰάδος τὸ ὦλλοι. Τὸ δὲ δῆθεν, ποτὲ μὲν παραπληρωματικὸν, ποτὲ δὲ ἀντὶ τοῦ δηλαδή. ἢ ὡς δή. ὑπερβιβάζεται δὲ ἡ φράσις. ἔστι γὰρ τὸ ἑξῆς, ὡς δὲ καὶ ὧλλοι δῆθεν ὑπότροποι ἀντιόωντες ἥπτοντο φόνοιο. Schol.

Γηγενέων

Γηγενέων ἥρωες ἀρήϊοι, ἠμὲν οϊστοῖς,
Ἠδὲ καὶ ἐγχείῃσι δεδεγμένοι, εἰσόκε πάντας
Ἀντιβίην ἀσπερχὲς ὀρινομένους ἐδάϊξαν.
Ὡς δ᾽ ὅτε δούρατα μακρὰ νέον πελέκεσσι τυπέντα
Ὑλοτόμοι στοιχηδὸν ἐπὶ ῥηγμῖνι βάλωσιν,
Ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους·
Ὣς οἱ ἐνὶ ξυνοχῇ λιμένος πολιοῖο τέταντο
Ἑξείης· ἄλλοι μὲν ἐς ἁλμυρὸν ἀθρόοι ὕδωρ
Δύπτοντες κεφαλὰς καὶ στήθεα, γυῖα δ᾽ ὕπερθεν
Χέρσῳ τεινάμενοι· τοὶ δ᾽ ἔμπαλιν, αἰγιαλοῖο
Κράατα μὲν ψαμάθοισι, πόδας δ᾽ εἰς βένθος ἔρειδον·

Gigantum heroes bellicosi, vel sagittis
Vel hastis excipientes, donec omnes
E contrario indesinenter concitatos interfecissent.
Sicut verò ligna longa nuper securibus percussa
Fabri lignarii ex ordine in ripam conjiciunt
Ut humectata validos recipiant cuneos;
Sic illi in angustiis cani portûs extensi sunt
Ex ordine: alii quidem in salsam confertim aquam
Mergentes capita et pectora, pedibus desuper
Terræ porrectis: alii e contrario, litoris
In arenâ quidem capita insigebant, pedes verò profundo.

1002. Ἀσπερχὲς ὀρινομένους] ἀδιαλείπτως, ἢ ἀνεκπλήκτως ταρασσομένους ἐδάϊξαν. ἢ οὕτως, ἐναντιούμενοι ταῖς δυνάμεσιν ἀκαταπαύστως αὐτοὺς ἀνεῖλον. Schol.

1003. Ὡς δ᾽ ὅτε δούρατα μακρὰ] ἡ παραβολὴ εἰς πάντα ἁρμόδιος καὶ ὑγιής. ξύλοις γὰρ εἰκάζει αὐτοὺς, πρὸς τὸ εὐτράπελον τῶν σωμάτων, καὶ πρὸς τὴν ἐν τοῖς ὄρεσιν αὐτῶν διατριβήν. καὶ ξυλοτόμους δὲ τοὺς ἥρωας. Schol.

Ibid. Ὡς δ᾽ ὅτε, &c. Confer Val. Flac. III. 163. Upt.

1005. Ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους] τὸ δὲ πρός τε τὴν τῶν αἰγιαλῶν ἐγγύτητα. καὶ πρὸς ἕτερον, ὅτι οἱ τέκτονες τοῦτο ποιοῦσιν, ἵνα πλείονος καμάτου ἀπαλλαγῶσιν ἐργαζόμενοι, καὶ τοὺς σφῆνας ἐπιβάλλοντες. ὁμοίως δὲ καὶ οἱ ἥρωες αὐτοὺς ἀνεῖλον, ὅπως λοιπὸν αὐτοῖς ἀκίνδυνος γένηται) ἡ εἰς τὸ ὄρος ἀνάβασις. ὄφρα νοτισθέντα. ὅπως βραχέντα εὐεπίδεκτα γένηται τῶν σφηνῶν. Schol.

1006. Ἐνὶ ξυνοχῇ] ἐν τῇ περιφερείᾳ, ἐν τῷ πρώτῳ τοῦ λιμένος. Schol.

1008. Δύπτοντες κεφαλὰς] ἀντὶ τοῦ δύοντες τὰς κεφαλάς. παρατατικὸν δὲ εἴρηκεν ἀντὶ συντελικοῦ δύψαντες, ἐπὶ τοῦ δύπτειν ἐπὶ κεφαλὴν κατενεχθέντες. δύπτειν δέ ἐστι τὸ δύνειν· ὡς παρὰ Καλλιμάχῳ, " δύπται δ᾽ ἐξ ἁλὸς ἐρχόμενοι" πρότερος δὲ Ἀντίμαχος, " ἠΰτε τὶς καύηξ δύνῃ ἐς ἁλμυρὸν πέλαγος." Schol.

Ἄμφω

Ἄμφω ἅμ' οἰωνοῖσι καὶ ἰχθύσι κύρμα γενέσθαι.
Ἥρωες δ', ὅτε δή σφιν ἀταρβὴς ἔπλετ' ἄεθλος,
Δὴ τότε πείσματα νηὸς ἐπὶ πνοιῇς ἀνέμοιο
Λυσάμενοι, προτέρωσε δι' ἐξ ἁλὸς οἶδμα νέοντο.
Ἡ δ' ἔθεεν λαίφεσσι πανήμερος· οὐ μὲν ἰούσης
Νυκτὸς, ἔτι ῥιπὴ μένεν ἔμπεδον, ἀλλὰ θύελλαι
Ἀντίαι ἁρπάγδην ὀπίσω φέρον, ὄφρ' ἐπέλασσαν
Αὖτις εὐξείνοισι Δολίοσιν· ἐκ δ' ἄρ' ἔβησαν
Αὐτονυχεί· ἱερὴ δὲ φατίζεται ἥδ' ἔτι πέτρη,
Ἧι πέρι πείσματα νηὸς ἐπεσσύμενοι ἐβάλοντο.
Οὐδέ τις αὐτὴν νῆσον ἐπιφραδέως ἐνόησεν

Ita utrique avibus et piſcibus eſcæ fuerunt.
Heroes verò, cùm omnis jam eſſet prælii diſcuſſus terror,
Tunc ſane retinaculis navis ad flamina venti
Solutis, ulteriùs maris æquor navigârunt.
Ipſa autem *navis* procurrit velis totum diem: non tamen ſequente
Nocte, manſit ventus ſtabilis; ſed procellæ
Adverſæ raptim navem retrò egerunt, donec appulerant
Iterum hoſpitalibus Dolionibus: egreſſi verò ſunt
Iſtâ nocte: ſacra autem dicitur etiamnum petra
Quam circum retinacula navis adacti jecerunt.
Nec verò aliquis inſulam accuratè cognovit,

1012. Ἀταρβὴς] ἀκίνδυνος καὶ ἄφοβος, ὡς τῶν ἐχθρῶν ἀπολωλότων. Schol.

1016. Ῥιπὴ μένεν] οὐκ ἔτι ἀσφαλὴς καὶ ὁμοίας ἔμενεν ἡ τοῦ ἀνέμου πνοὴ, ἀλλ' ἐναντίως ἐγένετο. προσληπτέον γὰρ τὸ ἡ ἄρθρον. ἑξῆς ὁ λόγος, ἐπιούσης δὲ νυκτὸς, οὐκ ἔτι ἔμενεν ὁμοίως ἡ πνοὴ τοῦ ἀνέμου. Ἀλλὰ θύελλαι. αἱ χειμεριναὶ καταιγίδες καὶ πνοαί. Ὅθεν Ὅμηρος ἐν συνωνυμίᾳ τίθησι θυέλλας τε καὶ ἅρπυιας, ἀντὶ τοῦ καταιγιδώδεις πνοάς. ἀπὸ τοῦ οἷον ἁρπάζειν παραγόμενος· "ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι." εἶτα, "τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρέψαντο." ὡς τῶν αὐτῶν ὄντων. τὸ μὲν, ἀπὸ τοῦ ἁρπάζειν· τὸ δὲ, ἀπὸ τοῦ θύειν, ὅ ἐστι μετὰ βίας ἄγειν. Schol.

1017. Ἁρπάγδην] ἀπὸ τοῦ ἁρπάζειν· ὡς φοράδην, ἀπὸ τοῦ φέρειν· καὶ ἀΐγδην, ἀπὸ τοῦ ἀΐσσειν. Schol.

1018. Εὐξείνοισιν] ὥσπερ καὶ αὐτὸς δεινοπαθῶν ἐπὶ τοῖς συμβεβηκόσι τοῦτο φησίν. Ἐκ δ' ἄρ' ἔβησαν. ἐξέβησαν. ἐξέβησαν καὶ προσεπελάσθησαν πάλιν τοῖς Δολίοσι. Schol.

1019. Ἱερὴ δὲ φατίζεται] κατ' εὐφημισμόν. τὰ γὰρ μεγάλα τῶν παθῶν εὐφήμως ἱερὰ καὶ καλὰ φασίν· ὡς καὶ τὰς Ἐριννύας, Εὐμενίδας· καὶ τὴν λοιμικὴν λέπραν. οἱ δὲ καὶ νόσον ἱερὰν ἐκάλεσαν, ὡς καὶ Καλλίμαχος, "ψευδόμενοι δ' ἱερὰν φημίζομεν." Schol.

Ἔμμεναι·

Ἔμμεναι· οὐδ' ὑπὸ νυκτὶ Δολίονες ἂψ ἀνιόντας
Ἥρωας νημερτὲς ἐπήϊσαν, ἀλλά που ἀνδρῶν
Μακριέων εἴσαντο Πελασγικὸν ἄρεα κέλσαι.
Τῷ καὶ τεύχεα δύντες ἐπὶ σφίσι χεῖρας ἄειραν.
Σὺν δ' ἔλασαν μελίας τε καὶ ἀσπίδας ἀλλήλοισιν,
Ὀξείῃ ἴκελοι ῥιπῇ πυρὸς, ἥτ' ἐνὶ θάμνοις
Αὐαλέοισι πεσοῦσα κορύσσεται· ἐν δὲ κυδοιμὸς

An eadem esset: nec præ nocte Doliones reversos
Heroas reverà agnoverunt; sed forte Macrensium
Arbitrati sunt Pelasgicam classem appulisse.
Quare armis induti, manus illis et vim intulerunt:
Conseruerunt hastas et scuta inter se mutuò
Vehementi similes ignis impetui, qui arbustis
Aridis illapsus furit: at tumultus

1023. Ἐπήϊσαν] οὐκ ἐπήρχοντο, φησὶν, ἀληθῶς, ὡς ἐπὶ τοὺς ἥρωας. ἠγνόησαν γὰρ, διότι νὺξ ἦν. Schol.

1024. Μακριέων] τῶν καλουμένων Μακρέων, οἵ εἰσιν ἄποικοι Εὐβοέων. ἀφ' οὗ καὶ Μάκρωνες ἐκλήθησαν. καὶ Μάκρις γὰρ ἡ Εὔβοια ἐκαλεῖτο. Πελασγικὸν δὲ εἶπεν, διὰ πλησιόχωρον εἶναι τὴν Εὔβοιαν τῇ Πελοποννήσῳ, ἣ πρότερον ἐκαλεῖτο Πελασγία. ἦσαν δὲ ἀστυγείτονες τῶν Δολιόνων οἱ Μάκρωνες. οἱ δὲ ἔθνος Βεχείρων φασὶ τοὺς Μάκρωνας, οἵτινες ἀεὶ πολεμοῦσι τοῖς Κυζικηνοῖς. ἦσαν δὲ τὰ πολεμικὰ ἔργα ἠσκηκότες, ὡς ἱστοροῦσι Φιλοστέφανός τε καὶ Ἡρόδωρος, οἱ τὰ περὶ τῶν βίων αὐτῶν γεγραφότες. Διονύσιος δὲ ὁ Χαλκιδεὺς εἰρηκὼς φησὶν αὐτοὺς Μάκρωνας, ἐπειδὴ Εὐβοέων εἰσὶ Μάκρωνες ἄποικοι. ἄλλοι δὲ Μάκρωνας αὐτοὺς φασὶ λέγεσθαι διὰ τὸ πλείστους εἶναι παρ' αὐτοῖς μακροκεφάλους, ὥσπερ παρὰ τοῖς Πέρσαις χρυσοῦς. μέμνηται δὲ τούτων Ἡρόδοτος ἐν δευτέρᾳ. Πελασγικὸν δὲ ἄρεα εἶπεν τὸν τῶν Μακριέων, ἐπεὶ Εὐβοέων εἰσὶν ἄποικοι. ἡ δὲ Εὔβοια πλησίον Πελοποννήσου κεῖται, ἥτις τὸ παλαιὸν Πελασγὶς ἐκαλεῖτο. Schol.

1025. Χεῖρας ἄειραν. Flor. τεύχε' ἄειραν. Minus rectè.

1026. Σὺν δ' ἔλασαν] τὸ Ὁμηρικὸν παρέγραψε, "σὺν ῥ' ἔβαλον ῥινοὺς, σὺν δ' ἔγχεα καὶ μένη ἀνδρῶν." Schol.

1027. Ἥτ' ἐν θάμνοις] τοῖς στελέχεσι τῶν δένδρων, ἀπὸ τοῦ θέσεως. "θάμνος ἔφυ τανύφυλλος ἐλαίης." καὶ ταῦτα δὲ ἐξ Ὁμήρου παρῆκται, "μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ Οὔρεσι μαίνηται βαθέης ἐνὶ τάρφεσιν ὕλης." Schol.

Ibid. Ὀξείῃ, &c.

Ὡς δ' ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ
Πάντῃ δ' εἰλυφόων ἄνεμος φέρει· οἱ δέ τε θάμνοι
Πρόῤῥιζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ. Il. λ'.

Deerat adhuc ΑΥΑΛΕΟΝ, ceu anima παραβολῆς. E nostro igitur Maro

Ac velut immissi diversis partibus ignes
*Arentem* in sylvam et virgulta sonantia lauro. Hœlz.

Δεινὸς

Δεινός τε ζαμβρής τε Δολιονίῳ πέσε δήμῳ.
Οὐδ᾽ ὅγε δηϊοτῆτος ὑπὲρ μόρον αὖτις ἔμελλεν
Οἴκαδε νυμφιδίους θαλάμους καὶ λέκτρον ἱκέσθαι.
Ἀλλά μιν Αἰσονίδης τετραμμένον ἰθὺς ἑοῖο
Πλῆξεν ἐπαΐξας στῆθος μέσον· ἀμφὶ δὲ δουρὶ
Ὀστέον ἐῤῥαίσθη· ὁ δ᾽ ἐνὶ ψαμάθοισιν ἐλυσθεὶς,
Μοῖραν ἀνέπλησεν· τὴν γὰρ θέμις οὔποτ᾽ ἀλύξαι
Θνητοῖσιν· πάντη γὰρ περὶ μέγα πέπταται ἕρκος.
Ὣς τὸν ὀϊόμενόν που ἀδευκέος ἔκτοθεν ἄτης

Gravis terribilisque Dolienfi incidit populo.
Nec verò ipfe (Cyzicus) pugnæ fato fuperato, rurfus erat
Domum ad fponfales thalamos torumque reverfurus;
Sed ipfum Æfonis filius rectà verfum contra fe
Percuffit, adortus medium pectus: circa autem haftam
Os fractum eft: ipfeque in arenis volutus
Fatum explevit; quod nulli fas eft evitare
Mortalium; undiquaque enim circa ingens extenditur vallum.
Sic illum, qui putabat fe amaram noxam evafiffe

1029 Ζαμβρής] ἄγαν ἰσχυρός. τὸ ζα κατ᾽ ἐπίτασιν ἐντος, ὡς ζάπλουτος, ζάκοτος, ζάθεος. Schol.

1030. Ὑπὲρ μόρον] συνυπακούεται τὸ χὼν, ἢ ἄλλο τι παραπλήσιον. ἵν᾽ ᾖ, οὐδ᾽ ὅγε ὁ Κύζικος ὑπερσχὼν τὸν μόρον τῆς δηϊοτῆτος. τὸ δὲ ἑοῖο καὶ νῦν κακῶς κεῖται. ἔστι γὰρ συλληπτικὸν, ἰσοδυναμοῦν τῷ ἑαυτοῦ. Schol.

Ibid. Οὐ δ᾽ ὅγε] Neque *ille*, viz. Rex Cyzicus, quem ab Jafone cæfum tradit Valer. Flac. III. 240. Pro ὅγε Sanctamandus putat legendum αὖτε. Sed prorfus ineptè, ita enim deeft nominativus verbo ἔμελλεν.

Ὑπὲρ μόρον. Schol. fubintelligit τὸ σχὼν, ut fit ὑπερσχὼν μόρον. Hoc non probat Hœlzlinus, citatque exemplum ex Ulyffeæ α, ubi Ægifthus ὑπὲρ μόρον ἔγημεν. Notat præterea ἀκριβεστέρους τῶν παλαιῶν fcripfiffe conjunctim ὑπέρμορον, quo modo illud χὼν prorfus eliditur.

1034. Ἐῤῥαίσθη] ἀντὶ τοῦ ἐθραύσθη. Schol.

1035. Μοῖραν ἀνέπλησεν] τὸ ἀπότευγμα τῆς εἱμαρμένης ἐτέλεσε. Τὴν γὰρ θέμις. τοῦτο ὥσπερ ἀποδεικτικόν ἐστι τοῦ, ἀφύκτον εἶναι τὴν μοῖραν· ὡς καὶ Ὅμηρος ἐν πολλοῖς δείκνυσιν. Schol.

1036. In omnibus editionibus fcriptum eft πάντη γὰρ περί. Sed in hoc verfu γὰρ eft contra leges metricas, et fortaffe irrepfit ex verfu priore. Quid fi legamus δὲ, quod paffim pro γὰρ inveniendum eft apud Homerum, vel tranfponamus, περὶ γάρ.

1037. Ἀδευκέος ἔκτοθεν ἄτης] οὐ συνήθους, ἀπροσδοκήτου, πικρᾶς (δεῦκος γὰρ τὸ γλυκύ. ὅθεν Πολυδεύκης. καὶ γὰρ ζῶν, εὐεργετικώτατος· καὶ ἀποθεωθεὶς, ἅμα τῷ ἀδελφῷ διασώζει τὰς ναῦς) ἢ ἀφανοῦς καὶ

Εἶναι

Ξείνων ἀριστήων, αὐτῇ δ' ὑπὸ νυκτὶ πέδησεν
Μαρνάμενον κείνοισι. πολέες δ' ἐπαρηγόνες ἄλλοι
Ἔκταθεν. Ἡρακλέης μὲν ἐνήρατο Τηλεκλῆα,
Ἠδὲ Μεγαβρόντην· Σφόδριν δ' ἐνάριξεν Ἄκαστος.
Πηλεὺς δὲ Ζέλυν εἷλεν, ἀρηΐθοόν τε Γέφυρον·
Αὐτὰρ ἐϋμμελέης Τελαμὼν Βασιλῆα κατέκτα·
Ἴδας δ' αὖ Προμέα, Κλύτιος δ' Ὑάκινθον ἔπεφνεν·
Τυνδαρίδαι δ' ἄμφω Μεγαλοσσάκεα, Φλόγιόν τε.
Οἰνείδης δ' ἐπὶ τοῖσιν ἕλεν θρασὺν Ἰτυμονῆα,
Ἠδὲ καὶ Ἀρτακέα, πρόμον ἀνδρῶν· οὓς ἔτι πάντες
Ἐνναέται τιμαῖς ἡρωΐσι κυδαίνουσιν.
Οἱ δ' ἄλλοι εἴξαντες ὑπέτρεσαν, ἠΰτε κίρκους

Heroum, ipsâ sub nocte irretiit
Cum illis pugnantem: multique auxiliatores alii
Interfecti erant: Hercules quidem occidit Teleclem
Et Megabrontem: Sphodrin verò interemit Acastus;
Peleus autem Zelyn prostravit, fortemque bello Gephyrum:
Hastæ autem peritus Telamon Basileum occidit.
Idas verò Promea, Clytiusque Hyacinthum interemit.
Tyndaridæque gemini Megallossaca Phlogiumque.
Oenides insuper post hos interfecit fortem Itymonea,
Nec non Artacea, antesignanum cohortis, quos adhuc omnes
Incolæ honoribus, heroibus idoneis, celebrant.
Alii verò cedentes trepidârunt, ad instar columbarum

ἀπεσσοβεῖτο, παρὰ τὸ δείκω. τὸ δὲ ἔκτοθεν, ταυτόν ἐστι τῷ ἐκτός. περὶ τῆς μάχης καὶ Δηΐλοχος ἱστορεῖ. περὶ δὲ τοῦ Κυζίκου ἀναιρέσεως, καὶ τῆς ὅλης μάχης, οὐ συμφωνεῖται. Ἔφορος μὲν γὰρ τοὺς Δολίονας, Πελασγοὺς ὄντας, καὶ ἐχθρωδῶς διακειμένους πρὸς τοὺς τὴν Θεσσαλίαν καὶ Μαγνησίαν κατοικοῦντας, διὰ τὸ ἀπελαθῆναι ὑπ' αὐτῶν, ἐπιθέσθαι αὐτοῖς νύκτωρ, γράφει ἐν τῇ ἐνάτῃ. ἠκολούθηκε δὲ Ἀπολλώνιος Δηϊλόχῳ. Καλλισθένης δὲ ἐν τῷ πρώτῳ τοῦ περίπλου κατ' ἔχθραν φησὶ τοὺς οἰκοῦντας τὴν Κύζικον ἐπιθέσθαι νυκτὸς τοῖς Ἀργοναύταις. Schol.

1040. Τηλεκλῆα ἠδὲ Μεγαβρόντην] πέπλακε τὰ ὀνόματα ταῦτα Ἀπολλώνιος, οὐκ ἀπὸ ἱστορίας ἔλαβεν. οὕτω Ταρραῖος. τὸν δὲ Κύζικον οἱ μὲν ὑπὸ Διοσκούρων φασὶν ἀναιρεθῆναι, ἄλλοι δὲ ὑπὸ Ἰάσονος. Schol.

1047. Ἀρτακέα] Ἡρωδιανὸς βαρυτονεῖ τὸ ὄνομα ἐν τῷ τρίτῳ τῆς καθόλου. Ἀρτάκης γάρ. Schol.

1049. Ἠΰτε κίρκους] εἶδος ἱέρακος. ἔστι δὲ ἱεράκων γένη ἕξ· ὡς Καλλίμαχος ἐν τοῖς περὶ ὀρνέων. καὶ Ὅμηρος δὲ ἴσως

Ὠκυπέτας ἀγεληδὸν ὑποτρέσσωσι πέλειαι.
Ἐς δὲ πύλας ὁμάδῳ πέσον ἀθρόοι· αἶψα δ' ἀϋτῆς
Πλῆτο πόλις, στονόεντος ὑποτροπίῃ πολέμοιο.
Ἠῶθεν δ' ὀλοὴν καὶ ἀμήχανον εἰσενόησαν
Ἀμπλακίην ἄμφω· στυγερὸν δ' ἄχος εἷλεν ἰδόντας
Ἥρωας Μινύας Αἰνήϊον υἷα πάροιθεν
Κύζικον, ἐν κονίῃσι καὶ αἵματι πεπτηῶτα.
Ἤματα δὲ τρία πάντα γόων, τίλλοντό τε χαίτας
Αὐτοὶ ὁμῶς λαοί τε Δολίονες· αὐτὰρ ἔπειτα
Τρὶς περὶ χαλκείοις δίχα τεύχεσι δινηθέντες
Τύμβῳ ἐνεκτερέϊξαν, ἐπειρήσαντό τ' ἀέθλων

Accipitres celeres turmatim fugientium.
In portas verò cum tumultu ruebant conferti; statimque clamore
Impleta est urbs, luctuosi reversione belli.
Manè verò perniciosum et irreparabilem intellexerunt
Errorem utrique: acerbus autem dolor invasit intuentes
Heroas Minyas, Ænei filium ante oculos *jacentem*
Cyzicum, in pulvere et cruore prolapsum.
Tres itaque dies perpetuos luctui indulgebant, et capillos vellebant
Ipsi simul, et Doliones: at deinceps
Ter æreis cum armis bifariam circumrotati,
Sepulchro justa fecerunt, tentâruntque certamina,

τοῦτο γινώσκειν, "ὁ δὲ κεν ἴρηξ κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν. καὶ, κίρκος Ἀπόλλωνος ταχὺς ἄγγελος." ὁ δὲ ἱέραξ, ἱερός ἐστιν Ἀπόλλωνος. Schol.

1050 Πέλειαι] περιστερᾶς εἶδος, ὁμοίως φάσσῃ, ὥς φησιν Ἀριστοτέλης. Schol.

1052. Ὑποτροπίῃ] ὑποστροφῇ, τουτέστι φυγῇ. Schol.

1053. Ἠῶθεν δ' ὀλοὴν] Ἅμα ἠοῖ ἁμαρτίαν ἀμπλακίην καὶ ἀπροσμήχανον εἶδον. οἷον ἀνόητον. Schol.

1057. Τίλλοντό τε χαίτας] Quas rogo injicerent, aut tumulo, aut νεκρῷ. Euripides in Iphigenia Taur. ὁ γὰρ πάροιθε τύμβος οὐ ξανθὰν χαίταν, οὐ δάκρυ' οἴσει. Petronius, *ruptos crines super pectus jacentis imposuit.* Hœlz.

1059. Τρὶς περὶ χαλκείοις δίχα] χαλκείοις σὺν ἵπποις περιδινηθέντες, ὅ ἐστι περιδραμόντες. Schol.

Ibid. Τρὶς περὶ, &c. Eædem exequiæ Patroclo mortuo peraguntur, Il. 23, 13.

Οἱ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
Μυρόμενοι ——

Confer lib. 4. ubi de funere Absyrti. Respexit ad hunc locum Apollonii Val. Flaccus III. 347. Huic ritui accesserit lux è Luciani libello περὶ πένθους.

1060. Τύμβῳ ἐνεκτερέϊξαν] τύμβον ἔστησαν. καὶ περιέχωσαν, τὸ θάψαι· κτερεϊ-

Ἡ θέμις,

Ἠ θέμις, ἀμπεδίον Λειμώνιον· ἔνθ' ἔτι νῦν περ
Ἐγκέχυται τόδε σῆμα καὶ ὀψιγόνοισιν ἰδέσθαι.
Οὐδὲ μὲν οὐδ' ἄλοχος Κλείτη φθιμένοιο λέλειπτο
Οὗ πόσιος μετόπισθε· κακῷ δ' ἐπὶ κύντερον ἄλλο
Ἤνυσεν, ἁψαμένη βρόχον αὐχένι· τὴν δὲ καὶ αὐταὶ
Νύμφαι ἀποφθιμένην ἀλσηΐδες ὠδύραντο·
Καί οἱ ἀπὸ βλεφάρων ὅσα δάκρυα χεῦαν ἔραζε,
Πάντα τάγε κρήνην τεῦξαν θεαί, ἣν καλέουσι

Prout fas est, in campo pratensi; ubi etiamnum
Extructus est hic tumulus, vel posteris videndus.
Neque verò Clite conjux post mortuum relicta est
Maritum suum; malo verò *priori* tristius aliud
Adjecit, annexo cervici laqueo: hanc autem et ipsæ
Nymphæ mortuam nemorenses desleverunt,
Ejusque ex oculis quotquot lachrymæ defluxerunt in terram,
Eas omnes in fontem verterunt Deæ, quem vocant

ξαι, τὸ τύμβον ποιῆσαι, καὶ τὰ ἐπὶ τῷ τύμβῳ τελέσαι. ἔθαψαν γὰρ, τάφον αὐτῷ ποιήσαντες. Schol.

1061. Τοῦ Λειμώνιου πεδίου μέμνηται Δηΐλοχος, περί τε τοῦ τάφου Κυζίκου ὁ αὐτός." Schol.

1062. Ἐγκέχυται] Ὁμηρικῶς, κατὰ τὴν ἀρχαίαν ἀγωγὴν, "χυτὴν ἐπὶ γαῖαν ἔχευαν." Schol.

1063. Οὐδ' ἄλοχος Κλείτη] ὁ μὲν Ἀπολλώνιος γεγαμημένον τὸν Κύζικον καὶ ἄπαιδα ἱστορεῖ, Εὐφορίων δὲ ἐν Ἀπολλοδώρῳ μελλόγαμον. τὴν δὲ Κλείτην ὁ Μέροπος λέγει θυγατέρα, Θρᾷσσαν δὲ τὴν Πιάσου. οὐδὲ παιδίον τι ἐπὶ τῷ τοῦ ἀνδρὸς θανάτῳ, ἀπαχθῆναι δὲ οἴκαδε ὑπὸ τοῦ πατρός. Εὐάνθης δὲ ἐν τοῖς μυθικοῖς συμφωνεῖ τῷ Ἀπολλωνίῳ. περὶ δὲ τῆς Κλείτης φησὶ Δηΐλοχος, ὑπὸ λύπης τελευτῆσαι. ἱστορεῖ δὲ Ἀπολλώνιος ἄπαιδα τὸν Κύζικον ἀναιρεθῆναι. Εὐάνθης δὲ, ἐσχηκέναι παῖδα ὁμώνυμον ἑαυτῷ. Schol.

Ibid. Λέλειπτο] Uxores olim maritis superesse noluerunt. Herodotus lib. 5. vel ut amorem conjugalem testarentur, vel ut fugerent occasiones secundarum nuptiarum. Quæ reprehenduntur in Alcestide Euripidea. 4. Æneidis, Ulyssea π. 75. Ut de aliis taceam. Hœlz.

Confer Val. Flac. III. 314.

1065. Τὴν δὲ καὶ αὐταὶ] τοῦτο ἤτοι ὅτι πρὸς θαυμασμὸν τοῦ πάθους (τοσοῦτον γὰρ ἦν, ὡς καὶ τὴν θείαν φύσιν ἀνεγεῖραι) ἢ ὅτι ὑπόκειται αἱ γυναῖκες θρηνοῦσαι. ἵνα ᾖ, μετὰ τῶν Δολιόνων καὶ αὐταὶ αἱ νύμφαι ὠδύροντο τὴν Κλείτην. Εὐάνθης δὲ καὶ Δηΐλοχος ἱστοροῦσιν ὅτι ἀπήγξατο ἡ Κλείτη, καὶ ὅτι ἡ ταύτης κρήνη ἐν Κυζίκῳ. Schol.

Ibid. Βρόχον] Etiam hoc usus nomine Homerus, quod ut Heroica gravitate loquendi alienum notat Jul. Scaliger. At hic non loquendi partes sustinent Hercules et Jason, sed poeta ipse. Observandum est præterea mortem laqueo accitam, aliquid quondam honestatis habuisse. Phædra in Hippolyto se suspendit, ut εὔκλεα βίον, *nomen honestius* servaret. Jobus ex animo optat מחנק cap. 5. Hœlz.

1068. Ἣν καλέουσι κλείτην] ἀντὶ

Κλείτην, δυστήνοιο περικλεὲς οὔνομα νύμφης.
Αἰνότατον δὴ κεῖνο Δολιονίῃσι γυναιξὶν
Ἀνδράσι τ' ἐκ Διὸς ἦμαρ ἐπήλυθεν· οὐδὲ γὰρ αὐτῶν
Ἔτλη τις πάσσασθαι ἐδητύος, οὐδ' ἐπὶ δηρὸν,
Ἐξ ἀχέων, ἔργοιο μυληφάτου ἐμνώοντο·
Ἀλλ' αὔτως ἄφλεκτα διαζώεσκον ἔδοντες.
Ἔνθ' ἔτι νῦν εὖτ' ἄν σφιν ἐτήσια χύτλα χέωνται,
Κύζικον ἐνναίοντες Ἰάονες ἔμπεδον αἰεὶ
Πανδήμοιο μύλης πελάνους ἐπαλετρεύουσιν.
Ἐκ δὲ τόθεν τρηχεῖαι ἀνηέρθησαν ἄελλαι
Ἦμαθ' ὁμοῦ νύκτας τε δυώδεκα· τοὺς δὲ κατ' αὖθι

Cliten, infelicis illuſtri nomine ſponſæ.
Acerbiſſimus ſane ille Dolienſibus fœminis
Viriſque ex Jove illuxit dies: nec enim ipſorum
Suſtinuit aliquis cibum guſtare; nec ad longum tempus
Præ doloribus, permolendæ frugis recordabantur.
Sed nondum cocta vitam tolerabant edentes.
Hinc etiamnum, quo tempore anniverſaria libamina funduntur,
Cyzicum inhabitantes Iones, ſtatis ſemper vicibus
In molâ publicâ furfuroſos pinſant panes.
Exinde verò aſperæ inortæ procellæ
Dies ſimul nocteſque duodecim, ipſos illine

τοῦ, ὁμωνύμως τῇ παιδί· πρὸς πλείονα χρόνον τοῦ πάθους τὴν μνήμην σώζεσθαι βουλόμενοι. Schol.

1069. Περικλεὲς] ἢ τὸ ἐπίδοξον καὶ διαβοώμενον, ἐκ τοῦ τῆς πένθους ὑπερβολῆς, ἢ τοῦ πρὸς τὸν ἄνδρα διαθέσεως γινόμενον. Schol.

1073. Ἔργοιο μυληφάτου] τοῦ πυροῦ, τουτέστι τοῦ σίτου, τοῦ ἀλεύρου τοῦ ὑπὸ μύλης θλωμένου ἐν τῷ ἀλήθεσθαι. φησὶ δὲ τοὺς ἄρτους. Schol.

1075. Χύτλα] κυρίως τὰ μεθ' ὕδατος ἔλαια. καταχρηστικῶς δὲ, ὡς ἐνταῦθα, τὰ ἐναγίσματα καὶ αἱ χοαί. Schol.

1076. Κύζικον ἐνναίοντες] ἀντὶ τοῦ οἱ Κυζικηνοί. Ἰάονες δὲ, τῷ ἀποίκους εἶναι Μιλησίων. ἦλθε γὰρ ἐς Μίλητον ὁ Νηλεὺς ἀποικίαν ἐστείλατο, καὶ ἐκεῖθεν ἐπὶ Κύζικον μετὰ πολὺν χρόνον. ὅθεν καὶ τοὺς Μιλησίους Ἴωνας ἐκάλεσεν. Schol.

1077. Πελάνους] πέλανοι δὲ πέμματα ποιά. Ἀττικοὶ δὲ πᾶν τὸ πεπηγὸς οὕτω λέγουσι. πελάνους ἐπαλετρεύουσι. πᾶς δῆμος ἐπὶ τῆς μύλης ἐπαλετρεύουσι καὶ ἀλήθουσι πελάνους. πέλανος δὲ ὁ διαπεπηγμένος καὶ ῥυπαρὸς κατὰ Ἀττικούς. ὡς καὶ Εὐριπίδης, πέμματος ἀφρώδη πέλανον. φησὶ δὲ τοὺς ἀκαθάρτους καὶ εὐτελεῖς ἄρτους. οὓς ὁ Θεόκριτος Δωρικῶς φησιν. Schol.

1079. Ἦμαθ' ὁμοῦ] τὸ ὁμοῦ παρ' Ὁμήρῳ μὲν, τὸ ἐν αὐτῷ τόπῳ σημαίνει (ὁμοῦ δ' ἔχον ὠκέας ἵππους) παρὰ δὲ τοῖς μεθ' Ὅμηρον καὶ ἄλλα σημαίνει. ὡς καὶ Σοφοκλῆς ἐπὶ χρόνου τέθεικεν αὐτὸ, " πο-

Ναυτίλλεσθαι

Ναυτίλλεσθαι ἔρυκον· ἐπιπλομένῃ δ' ἐνὶ νυκτὶ
Ὤλλοι μέν ῥα πάρος δεδμημένοι εὐνάζοντο
Ὕπνῳ ἀριστῆες πύματον λέχος· αὐτὰρ Ἄκαστος
Μόψος τ' Ἀμπυκίδης ἀδινὰ κνώσσοντας ἔρυντο·
Ἡ δ' ἄρ' ὑπὲρ ξανθοῖο καρήατος Αἰσονίδαο
Πωτᾶτ' ἀλκυονὶς, λιγυρῇ ὀπὶ θεσπίζουσα
Λῆξιν ὀρινομένων ἀνέμων. Συνέηκε δὲ Μόψος
Ἀκταίης ὄρνιθος ἐναίσιμον ὄσσαν ἀκούσας.
Καὶ τὴν μὲν θεὸς αὖτις ἀπέτραπεν· ἷζε δ' ὕπερθε
Νηΐου ἀφλάστοιο μετήορος ἀΐξασα.

Navigare vetabant: nocte autem sequenti,
Dum alii somno antea oppressi procumberent
Proceres in extremo lecto, & Acastus
Mopsusque Ampyci filius, altum dormientes tuerentur,
Ipsa supra flavum Jasonis caput
Volabat alcedo, stridulâ voce vaticinans
Concitatorum cessationem ventorum: at intellexit Mopsus
Litoralis avis faustam vocem auditam.
Et hanc quidem Dea rursus dimisit: seditque super
Navis aplustri, in sublime emicans.

λις ἀλλ' ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων." νεῶ δὲ ἀντὶ τοῦ ὁμοίως κεῖται, ὡς καὶ παρ' Εὐριπίδῃ, "ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες." Schol.

1080. Ἐπιπλομένῃ] τὴν ἐπερχομένην φησίν. Schol.

1081. Ὤλλοι μέν ῥα] ἡ τοιαύτη συναλοιφὴ τῆς νεωτέρας ἰάδος ἐστί. διὸ μέμφονται Ζηνοδότῳ, εἰπόντι, "ὤλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες." οὐ κέχρηται γὰρ ταύτῃ Ὅμηρος.

1082. Πύματον λέχος] ὕστερον κλῆρον καὶ μερίδα τοῦ ἐν τῇ Δολιονίᾳ ὕπνου λαμβάνοντες, καὶ ἐκεῖσε ὑπνοῦντες. τῇ γὰρ ἑξῆς ἀναπλεῖν ἔμελλον. Schol.

1083. Ἀδινὰ κνώσσοντας] ἐφύλαττον μεγάλως καὶ βαθέως ὑπνοῦντας. ὁ δὲ Ταρραῖος, λοιπὰ κοιμωμένους, καὶ ὁ κατὰ βάθος. Schol.

1086. Λῆξιν ὀρινομένων] τὴν κατάπαυσιν καὶ λώφησιν τῆς τῶν ἀνέμων βίας. τὸ γὰρ ὄρνεον θαλάσσιον ἐστὶ καὶ ἐν τοῖς αἰγιαλοῖς βιοῖ. λέγεται δὲ καὶ ὁ Ζεὺς ἐφεξῆς πέντε καὶ δέκα ἡμέρας, ἢ ὥς τινες, δεκατέσσαρας εὐδιεινὰς ποιεῖν, ἵνα ἀποκυήσῃ παρὰ τοῖς αἰγιαλοῖς. καὶ ἀλκυονίδες ἡμέραι καλοῦνται ἑπτὰ πρὸ τοῦ τόκου, καὶ ἑπτὰ μετὰ τὸν τόκον. ἄλληφε δὲ τὰ περὶ τῶν ἀλκυόνων παρὰ Πινδάρου ἐκ παιάνων.. Schol.

1087. Ἀκταίης ὄρνιθος] τῆς παρὰ ταῖς ἀκταῖς καὶ τοῖς αἰγιαλοῖς διατριβούσης καθήκουσαν φωνὴν ἀκούσας. Εὐλόγως δὲ ὄσσαν εἶπε τὴν ἀλκυόνος φωνήν· ὑπὸ γὰρ Ἥρας ἦν ἀποσταλμένη, ὥς φησι Πίνδαρος. Schol.

1089. Ἀφλάστοιο] Ἀπολλώνιος ἐν ταῖς λέξεσιν ἀποδέδωκεν ἄφλαστον τὸ ἀκροστόλιον· οὐκ εὖ. ἐπειδὴ τὸ ἀκροστόλιον ἐστὶ τοῦ στόλου. στόλος δὲ λέγεται τὸ ἐξέχον ἀπὸ τῆς πρύμνης καὶ

Τὸν

Τὸν δ' ὄγε κεκλιμένον μαλακοῖς ἐνὶ κώεσιν οἰῶν
Κινήσας ἀνέγειρε παρασχεδόν, ὧδέ τ' ἔειπεν.
Αἰσονίδη, χρειώ σε τόδ' ἱερὸν εἰσανιόντα
Δινδύμου ὀκρυόεντος, ἐΰθρονον ἱλάξασθαι
Μητέρα συμπάντων μακάρων· λήξουσι δ' ἄελλαι
Ζαχρηεῖς· τοίην γὰρ ἐγὼ νέον ὄσσαν ἄκουσα
Ἀλκυόνος ἁλίης, ἥ τε κνώσσοντος ὕπερθε
Σεῖο πέριξ, τὰ ἕκαστα πιφαυσκομένη πεπότηται.
Ἐκ γὰρ τῆς ἄνεμοί τε, θάλασσά τε, νειόθι τε χθὼν
Πᾶσα πεπείρηται, νιφόεν θ' ἕδος Οὐλύμποιο.
Καί οἱ, ὅτ' ἐξ ὀρέων μέγαν οὐρανὸν εἰσαναβαίνῃ,
Ζεὺς αὐτὸς Κρονίδης ὑποχάζεται· ὣς δὲ καὶ ὧλλοι

Jaſonem verò ille recumbentem in mollibus pellibus ovium
Quatiens expergefecit illico, et in hunc modum dixit.
Æſonis fili, oportet te, hoc templo aſcenſo
Dindymi aſperi, pulchro ſolio locatam placare
Matrem omnium Deorum: ceſſabunt autem procellæ
Impetuoſæ: talem enim ego nuper vocem audivi
Alcedinis marinæ. quæ ſupra te dormientem
Singula nuncians circum volavit.
Ex hâc enim venti, et mare, et in imo terra
Univerſa continetur, nivoſumque ſolium Olympi.
Et ei, quando ex montibus magnum cœlum aſcendit,
Jupiter ipſe Saturnius locum dat; ſimiliter etiam alii

διήκοντο ἄχρι τοῦ ἀφόρου ξύλου· πλήσχει δὲ λέγοσθαι ὅπου τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. ἔστιν οὖν ἀκροστόλιον τὸ ἄφλαστον κατὰ τὴν ἀναφοράν. ἀλλ' ὁ ποιητὴς αὐτὸ παραδίδωσιν ἐπὶ τῆς πρύμνης, λέγων, "Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὔτι μεθίει, ἄφλαστον μετὰ χερσὶν ἔχων." καὶ εἴρηται ἄφλαστον κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ θ, ἄθλαστον, κατὰ ἀντίφρασιν· ἐπεὶ εὔθλαστόν ἐστιν. ἐὰν δὲ ἄφλαστον, σανίδιον κατὰ τὴν πρύμναν. Schol.

1098. Ἐκ γὰρ τῆς ἄνεμοί τε] ἐκ ταύτης τῆς Ῥέας καὶ γῆ καὶ θάλασσα καὶ οὐρανὸς συνέχεται. οἱ γὰρ φυσικοὶ αὐτὴν γῆν φυσιολογοῦσι τὴν πάντων ἁρμονίαν καὶ διαφοράν. καὶ τὸ ὄνομα αὐτῆς ἐτυμολογοῦσι παρὰ τὸ ῥεῖν ἀεὶ καὶ ποιεῖν τείρεα. καὶ φυσικῶς ταύτης ἄνδρα τὸν Κρόνον φασίν, οἱονεὶ τὸν χρόνον, μεταβολῇ τοῦ ἀντιστοίχου. συνίσταται δὲ τῇ τῶν στοιχείων τάξει ἐξ ἀνάγκης ὁ χρόνος· καὶ ἔτι λοιπὸν ἀλληγορικῶς τούτους τῶν θαλασσίων καὶ οὐρανίων καὶ χθονίων θεῶν πατέρας εἶναί φασι. μετὰ γὰρ τὴν τῶν στοιχείων θέσιν καὶ σύνδεσμον συνέστη καὶ θεοὺς καὶ θεῶν δυνάμεις καὶ διαφορὰς μαθεῖν τοὺς ἄνδρας, καὶ τιμῆσαι. Schol.

1099. Πεπείρηται] ἀντὶ τοῦ συνέχηται, καὶ συνίζανται. Schol.

Ἀθάνατοι

Ἀθάνατοι μάκαρες δεινὴν θεὸν ἀμφιέπουσιν.
Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι.
Ὤρνυτο δ' ἐξ εὐνῆς κεχαρημένος· ὦρσε δ' ἑταίρους
Πάντας ἐπισπέρχων, καί τε σφίσιν ἐγρομένοισιν
Ἀμπυκίδεω Μόψοιο θεοπροπίας ἀγόρευεν.
Αἶψα δὲ κουρότεροι μὲν ἀπὸ σταθμῶν ἐλάσαντες
Ἔνθεν ἐς αἰπεινὴν ἄναγον βόας οὔρεος ἄκρην.
Οἱ δ' ἄρα λυσάμενοι ἱερῆς ἐκ πείσματα πέτρης,
Ἤρεσαν ἐς λιμένα Θρηΐκιον· ἂν δὲ καὶ αὐτοὶ
Βαῖνον, παυροτέρους ἑτάρων ἐν νηῒ λιπόντες.
Τοῖσι δὲ Μακριάδες σκοπιαὶ, καὶ πᾶσα περαίη
Θρηϊκίης ἐνὶ χερσὶν ἑαῖς προὐφαίνετ' ἰδέσθαι.

Immortales Dii terribilem Deam percolunt.
Sic locutus est; illi verò gratus sermo erat audienti.
Ex lecto verò prosiliit lætabundus, excitavitque socios
Omnes festinare cogens; ac ipsis experrectis
Mopsi Ampyci filii vaticinia exposuit.
Statim autem juniores e stabulis pulsos
Inde ad excelsum egerunt boves montis cacumen:
Alii interim, solutis sacrâ ex rupe funibus,
Remigârunt ad portum Thracium: et ipsi etiam
Ascenderunt, paucioribus sociis apud navem relictis.
Illis autem Macriades speculæ, omnisque regio ulterior
Thraciæ, in manibus suis apparebat ad conspectum.

1109. Ἱερῆς ἐκ πείσματα] ἧς καὶ ἐν πρώτοις μέμνηται, εἰπὼν, ἱερὴ δὲ φατίζεται ἤδ' ἔτι πέτρη. Schol.

Ibid. Ἱερῆς, 1. 1019.

1110. Ἤρεσαν] ἐκωπηλάτησαν. τῷ δὲ συντελικῷ ἐχρήσατο ἀντὶ παρατατικοῦ τοῦ ἤρεσσον. Λιμένα δὲ Θρηΐκιον λέγει, ἐπειδὴ κεῖται μὲν ἡ Κύζικος ἐπ' ἐσχάτοις τῆς Φρυγίας, συνάπτει δὲ ἡ Βιθυνία τῇ Φρυγίᾳ. Βιθυνοὶ δὲ Θρᾷκες κατὰ τὸ δεξιὸν μέρος. ἢ ἐπειδὴ Θρᾷκες Κύζικον ᾤκησαν. Schol.

1112. Καὶ πᾶσα περαίη Θρηϊκίης] καὶ πᾶσα ἡ ἐναντία χώρα τῆς Θρᾴκης. Ποντικὸν δὲ ἔθνος οἱ Μάκρωνες. Schol.

1113. Χερσὶν ἑαῖς] ἐν τῷ ἄρχειν. ὤφελε γὰρ, σφετέραις. Schol.

Ibid. Ἐνὶ χερσὶν ἑαῖς] *In propinquo, in potestate suâ.* Æn. 9. Terra autem in *manibus nostris*. Sanctamandus monet, Apollonium hæc ex rei naturâ repræsentâsse, quippe ex vertice collis altioris prospicientibus, etiam quæ procul distant, propinqua esse videntur.

φαίνετο

Φαίνετο δ' ἠερόεν στόμα Βοσπόρου, ἠδὲ κολῶναι
Μυσίαι· ἐκ δ' ἑτέρης ποταμοῦ ῥόος Αἰσήποιο,
Ἄστυ τε καὶ πεδίον Νηπήϊον Ἀδρηστείης.
Ἔσκε δέ τι στιβαρὸν στύπος ἀμπέλου ἔντροφον ὕλῃ
Πρόχνυ γεράνδρυον· τὸ μὲν ἔκταμον, ὄφρα πέλοιτο
Δαίμονος οὐρείης ἱερὸν βρέτας· ἔξεσε δ' Ἄργος
Εὐκόσμως· καὶ δή μιν ἐπ' ὀκρυόεντι κολωνῷ
Ἵδρυσαν φηγοῖσιν ἐπηρεφὲς ἀκροτάτῃσιν,

Apparebat etiam caliginoſum os Boſphori, et juga
Myſiæ; ex alterâ autem parte fluminis Æſepi fluxus,
Urbſque, et campus Nepeïus Adraſteæ.
Erat autem quidam ſolidus truncus vitis, innutritus ſylvâ,
Penitus annoſus; illum quidem exciderunt, ut eſſet
Deæ montanæ ſacrum ſimulachrum: expoliit verò Argus
Affabrè: et ipſum ſane in aſpero cacumine
Collocârunt fagis coopertum ſummis

1114. Ἠερόεν στόμα Βοσπόρου] οἷον ἀερῶδες, ἤτοι ὀμιχλῶδες. Βόσπορος δὲ τὸ τοῦ Προποντίδος στενόν· οὕτω κληθὲν ἀπὸ τῆς διανηξαμένης βοὸς τῆς Ἰοῦς. Schol.

1115. Ἐκ δ' ἑτέρης] οὐ λέγει ἠπείρου τῆς Εὐρώπης (καὶ γὰρ ἡ Μυσία καὶ ὁ Αἴσηπος, τῆς Ἀσίας) ἐπὶ ἑτέρας δὲ χώρας λέγει, τῆς Τρωάδος, καθ' ἣν ὁ Αἴσηπος ῥεῖ, χωρίζων αὐτὴν τῆς Μυσίας. καὶ Ὅμηρος "Γρήνικός τε καὶ Αἴσηπος." ἡ δὲ Τρωὰς ἀπὸ Μυσίας ἀρχομένη τῆς μεγάλης ἐπὶ Αἰσήπου λήγει. ἡ δὲ Δολιονία καὶ Φρυγία ἄρχονται μὲν ἀπὸ Αἰσήπου, λήγει δὲ ἐπὶ Ῥυνδακόν. Μυσίαι δὲ δύο, ἥ τε Εὐρωπαία καὶ ἡ Ἀσιανή. τῆς οὖν ἐν Ἀσίᾳ Μυσίας αἱ κολῶναι τοῖς Ἀργοναύταις ἐφαίνοντο. Schol.

1116. Καὶ πεδίον Νηπήϊον] πεδίον Νηπείας ἐστὶ περὶ Κύζικον. μνημονεύει δὲ αὐτοῦ καὶ Καλλίμαχος ἐν Ἑκάλῃ, "Νηπείης ὅτ' Ἄρηος ἀοίδιμος Ἀδρήστεια," τὴν δὲ Νήπειαν Διονύσιος ὁ Μιλήσιος πεδίον τῆς Μυσίας φησὶν εἶναι. ὁ γὰρ βασιλεὺς τῶν Μυσῶν θυγατέρα Ἰάσσον ἔγημεν Ὄλυμπος Νήπειαν ὄνομα· καὶ κατῴκησεν ἐν τῷ πεδίῳ τούτῳ ὃ νῦν καλεῖται Νηπείας πεδίον. Ἀπολλόδωρος δὲ φησὶ Νηπείας πεδίον ἐν Φρυγίᾳ. ὁ δὲ Καλλίμαχος φησὶν ἐν ὑπομνήμασιν Νέμεσιν εἶναι τὴν τὸ πεδίον κατέχουσαν· ἔστι δὲ καὶ πόλις καλουμένη Ἀδρήστεια ἀπὸ τοῦ ἱδρυσαμένου. ὁ δὲ Ἀπολλώνιος ἑκατέρων μέμνηται, τῆς τε πόλεως, καὶ τοῦ πεδίου. φησὶ γάρ, "ἄστυ τε καὶ πεδίον Νηπήϊον Ἀδρηστείης." τῆς δὲ πόλεως καὶ Ὅμηρος μνημονεύει, "οὐδ' ἄρ' Ἀδρήστειάν τ' εἶχον." Schol.

1117. Ἔσκε δέ τι στιβαρὸν] στύπος τὸ πρέμνον καὶ στέλεχος, ἐξ οὗ καὶ ἀποστύπαζον. Schol.

1118. Πρόχνυ] παντελῶς. Γεράνδρυον, τὸ παλαιὸν ξύλον. Schol.

1119. Βρέτας] τὸ βροτῷ ἐοικός. καὶ Εὐφορίων ἐκ τούτου κινηθεὶς, τὸ ξόανον τῆς μητρὸς τῶν θεῶν φησὶν ἀμπέλινον εἶναι, διὰ τὸ τὴν ἄμπελον ἴσως ἱερὰν εἶναι τῆς Ῥέας. Schol.

1120. Κολωνῷ] τῇ ἐξεχούσῃ ἀκρωρείᾳ. Schol.

Αἵ ῥά

Αἵ ῥά τε πασάων πανυπέρταται ἐῤῥίζωντο.
Βωμὸν δ' αὖ χεράδος παρενηνέον· ἀμφὶ δὲ φύλλοις
Στεψάμενοι δρυΐνοισι θυηπολίης ἐμέλοντο,
Μητέρα Δινδυμίην πολυπότνιαν ἐγκαλέοντες,
Ἐνναέτιν Φρυγίης, Τιτίην θ' ἅμα, Κύλληνόν τε·
Οἳ μοῦνοι πολέων μοιρηγέται, ἠδὲ πάρεδροι
Μητέρος Ἰδαίης κεκλήαται, ὅσσοι ἔασι

Quæ profecto omnium altiſſimè radices egerant.
Aram autem e parvis lapidibus aggerarunt : circumque foliis
Redimiti quernis, ſacræ rei operam dabant ;
Matrem Dindymiam maximè venerandam invocantes
Indigetem Phrygiæ, Tityamque ſimul, Cyllenumque.
Qui ſoli ex multis Parcarum duces, et aſſeſſores
Matris Idææ vocati ſunt, quotquot erant

1123. Βωμὸν] ἀντὶ τοῦ εἰς βωμοῦ κατασκευήν. Χεράδος. χεράς, ἡ τῶν βραχίων λίθων συλλογὴ, τῶν καθ' ἕνα χειρὶ ληφθῆναι δυναμένων, οὓς Ὅμηρος χερμάδια φησί. οἱ χεράδες λέγονται οἱ μικροὶ σωροὶ τῶν λίθων. φησὶ Δημήτριος ὁ Σκήψιος τὴν διάλεκτον Ἀπολλωνιατῶν εἶναι τῶν ἐν Πόντῳ. μνημονεύει καὶ Σαπφὼ, "μὴ κινὴ χεράδος." καὶ Ὅμηρος, "ἅλις χεράδος περιχεύας." χέραδος δὲ, ὁ τῶν λίθων σωρός. εἰς δὲ τὴν τοῦ βωμοῦ κατασκευὴν, λίθους ἐσώρευον. Schol.

Ibid. Παρενηνέον] Lege παρενήνεον, a παραννηνέω. Nam παρενηνέον unde deſcendere poſſit non video. Vide v. 403. Conſtantinus quidem agnoſcit vocem ννηνέω, ſed nulla affertur auctoritas. Παραννηνέω in eodem reperire eſt, Apollonii tantum auctoritate firmatum, nimirum ex hoc loco. Verum meo judicio præſtat emendationem recipere, quàm duas novas voces linguæ Græcæ aſcribere, hujus ſolius loci auctoritate. Sanct.

1124. Δρυΐνοισι] εἰκότως. ἡ γὰρ δρῦς, ἱερὰ τῆς Ῥέας, ὥς φησιν Ἀπολλόδωρος ἐν τρίτῳ περὶ θεῶν. δρυΐνοις δὲ αὐτοὺς φησὶ στέφεσθαι, διὰ τὸ μιμεῖσθαι τῇ θεᾷ τὸ δένδρον τοῦτο, διὰ τὸ καὶ πρὸς στέγας καὶ πρὸς τροφὴν πρῶτον χρησιμεῦσαι. Schol.

1125. Δινδυμίην] τὴν ἐν τῷ Δινδύμῳ ὄρει τιμωμένην ἐπικαλούμενοι καὶ ἱκετεύοντες. Schol.

1126. Τιτίην θ' ἅμα] περὶ τῶν Ἰδαίων Δακτύλων καλουμένων πρώτους φησὶν εἶναι καὶ παρέδρους τῇ μητρὶ τῶν θεῶν, ἀκολουθῶν Μενάνδρῳ, λέγοντι, Μιλησίους, ὅταν θύωσι τῇ Ῥέᾳ, προθύειν Τιτίᾳ καὶ Κυλλήνῳ. εἰσὶ δὲ οὗτοι τῶν Ἰδαίων Δακτύλων μοιρηγέται καὶ μητρὸς θεῶν πάρεδροι. Καλλίστρατος δὲ ἐν τῷ δευτέρῳ τοῦ καθ' Ἡράκλειαν περὶ Τιτίου φησί, Τιτίας ἥρως ἐγχώριος, ὃν οἱ μὲν μυθεύονται παῖδα Διὸς, οἱ δὲ, πρεσβύτερον τῶν Μαριανδυνοῦ τοῦ Κιμμερίου παίδων· δι' ὃν μάλιστα τὸ ἔθνος ηὔξηται, καὶ προάγεται ἔτι εἰς εὐδαιμονίαν. καὶ Προμαχίδας δὲ ἐν τοῖς περὶ Ἡρακλείας λέγει περὶ Τιτίου ὅς τις ἦν. καὶ Θεοφάνης, ἀπεθεώθη δὲ ἀπὸ Μαριανδυνῶν. ὅτι δὲ νύμφη τις Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε, παρὰ Στησιμβρότου εἴληφε. καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν, Δάκτυλοι κληθῆναι. Σοφοκλῆς δὲ αὐτοὺς Φρύγας καλεῖ ἐν κωφοῖς σατύροις. Schol.

Δάκτυλοι Ἰδαῖοι Κρηταιέες· οὕς ποτε Νύμφη
Ἀγχιάλη Δικταῖον ἀνὰ σπέος, ἀμφοτέρῃσιν
Δραξαμένη γαίης Οἰαξίδος ἐβλάστησε.
Πολλὰ δὲ τήνγε λιτῇσιν ἀποστρέψαι ἐργώλας
Αἰσονίδης γουνάζετ' ἐπιλλείβων ἱεροῖσιν
Αἰθομένοις· ἄμυδις δὲ νέοι Ὀρφῆος ἀνωγῇ

Dactyli Idæi Cretenses; quos olim Nympha
Anchiale, Dictæo sub antro, ambabus manibus
Prehensâ tellure Oeaxide peperit.
Hanc verò multis precibus, ut procellas averteret
Precabatur Jason, libans super sacris
Incensis: simulque juvenes, Orphei mandato,

1129. Δάκτυλοι Ἰδαῖοι] ἓξ καὶ πέντε φασὶ τούτους εἶναι. δεξιοὺς μὲν, τοὺς ἄρσενας· ἀριστεροὺς δὲ, τὰς θηλείας. Φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς εἴκοσι λέγει, τοὺς δὲ εὐωνύμους τριακονταδύο. γόητες δὲ ἦσαν καὶ φαρμακεῖς, καὶ δημιουργοὶ σιδήρου λέγονται εἶναι πρῶτοι καὶ μεταλλεῖς γενέσθαι. ὠνομάσθησαν δὲ ἀπὸ τῆς μητρὸς Ἴδης. ἀριστεροὶ μὲν (ὥς φησι Φερεκύδης) οἱ γόητες αὐτῶν· οἱ δὲ ἀναλύοντες, δεξιοὶ, ὡς Ἑλλάνικος. οἱ δὲ φασιν ὅτι Ἰδαῖοι Δάκτυλοι ἐκλήθησαν, ὅτι ἐν τῇ Ἴδῃ ἐντυχόντες τῇ Ῥέᾳ, ἐδεξιώσαντο τὴν θεὸν, καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. ὡς δὲ Μνασέας ἐν πρώτῳ περὶ Ἀσίας, Ἰδαῖοι Δάκτυλοι λέγονται, ἀπὸ τοῦ πατρὸς Δακτύλου καὶ τῆς μητρὸς Ἴδης. ὁ δὲ τὴν Φορωνίδα συνθεὶς, γράφων οὕτως, "Ἔνθα γόητες Ἰδαῖοι Φρύγες ἄνδρες ὀρέστεροι οἰκί' ἔναιον, Κέλμις, Δαμναμενεύς τε μέγας καὶ ὑπέρβιος Ἄκμων, Εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης. Οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο Εὗρον ἐν οὐρείῃσι νάπαις, ἰόεντα σίδηρον· Ἔς πῦρ τ' ἤνεγκαν, καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν." Schol.

Ibid. Δάκτυλοι Ἰδαῖοι] Secundum nonnullos Dactyli Idæi iidem sunt ac Corybantes et Curetes, secundum alios diversi sunt. Consule verò interpretes ad Hygin. L. I. fab. 139. nec non Spanhemium ad Call. hym. in Jovem. 52. Cæterum in Schol. ad hunc vers. pro γράφων lege γράφει. Upt.

1130. Δικταῖον] τὸ Κρητικὸν σπήλαιον. Δίκτη γὰρ ὄρος Κρήτης. Schol.

1131. Δραξαμένη] ἔθος ἐστὶ ταῖς τικτούσαις τῶν παρακειμένων λαμβάνεσθαι, καὶ ἀποκουφίζειν ἑαυτὰς τῶν ἀλγηδόνων. ὡς καὶ Λητὼ ἐλάβετο τοῦ φοίνικος. Ἔδει δὲ εἰπεῖν Ὀαξίδος, προσετέθη δὲ τὸ ι. Ἐβλάστησεν. ἀντὶ τοῦ ἐγέννησεν. Schol.

1132. Ἐργώλας] διαφόρως ἀνεγνώσθη. ἐπικρατεῖ δὲ ἡ βαρεῖα τάσις. Schol.

Ibid. Illud ἐργώλας, inquit Joannes Hartungus, cum interpretarer, non me parum torsit. Sed est depravatum, et veram lectionem invenies libro quarto, οὔτ' ἀνέμων ΕΡΙΩΛΑΙ ἀνεστάθεν. Ibi ἐριωλαὶ, *procellæ vehementes, venti turbulenti*. Schol. αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί.

1134. Ὀρφῆος ἀνωγῇ] τῇ τοῦ Ὀρφέως παρακελεύσει, ὡς αὐτοῦ τῆς ὀρχήσεως προκαταρχομένου. Schol.

Σκαίροντες

Σκαίροντες βηταρμὸν ἐνόπλιον ὠρχήσαντο,
Καὶ σάκεα ξιφέεσσιν ἐπέκτυπον, ὥς κεν ἰωὴ
Δύσφημος πλάζοιτο δι' ἠέρος, ἣν ἔτι λαοὶ
Κηδείῃ βασιλῆος ἀνέστενον· ἔνθεν ἐς αἰεὶ
Ῥόμβῳ καὶ τυπάνῳ Ῥείην Φρύγες ἱλάσκονται.
Ἡ δέ που εὐαγέεσσιν ἐπὶ φρένα θῆκε θυηλαῖς
Ἀνταίη δαίμων· τὰ δ' ἐοικότα σήματ' ἔγεντο.
Δένδρεα μὲν καρπὸν χέον ἄσπετον, ἀμφὶ δὲ ποσσὶν
Αὐτομάτη φύε γαῖα τερείνης ἄνθεα ποίης.
Θῆρες δ' εἰλυούς τε κατὰ ξυλόχους τε λιπόντες,

Tripudiantes Betarmum in armis ſaltabant;
Et ſcuta enſibus allidendo ſonitum ciebant, ut clamor
Infauſtus jactaretur per aerem, quem adhuc cives
Funeri regis gemebant: hinc factum, ut in perpetuum
Rhombo et tympano Rheam Phryges placent.
Ipſa verò puris mentem adhibuit ſacris
Antæa Dea: hæc autem fauſta omina fiebant.
Arbores quidem fructum effundebant uberrimum, circumque pedes
Sponte ſuâ producebat terra teneræ flores herbæ.
Feræ inſuper, latibulis luſtriſque relictis,

1135. Βηταρμὸν] τὴν ὄρχησιν, παρὰ τὴν ἁρμόδιον βάσιν αὐτῶν. λέγει δὲ νῦν τὴν πύῤῥιχην ὄρχησιν. τὸ δὲ ἑξῆς. ἀρχοῦντο τοῖς ξίφεσι τὰς ἀσπίδας κρούοντες, διὰ τὸ τὸν Κύζικον θρηνεῖσθαι ὑπὸ τῶν Δολιόνων, ἵνα μὴ τῆς θυσίας οὔσης, δύσφημος φωνὴ ἀναφέρηται. ὅθεν καὶ Φρύγες κυμβάλοις καὶ τυμπάνοις τὴν Ῥέαν ἱλάσκονται. Schol.

Ibid. Βηταρμὸν] De *betarmo*, ſive *pyrrhica*, ſive *armata ſaltatione* conſulendus eſt Spanhemius in Call. hym. in Jovem, v. 52. et ſeq. qui plurimis collatis exemplis, productioribus quàm quæ hìc proferantur, veterem hunc morem expoſuit.

1139. Ῥόμβῳ] Ῥόμβος τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες, καὶ οὕτως κτύπον ἀποτελοῦσι. τινὲς δὲ ῥόμβον αὐτὸ καλοῦσιν· ὧν καὶ Εὔπολις ἐν Βάπταις, καὶ Δίδυμος. Schol.

1141. Ἀνταίη] ἡ Ῥέα οὕτω λέγεται, διότι ἐναντία τοῖς Τελχῖσιν ἐγένετο. ὡς δέ τινες, ἀνταίη, ἡ εὐλιτάνευτος καὶ εὐάντητος. Σήματ' ἔγεντο. διὰ τούτου οὐδὲν ἕτερον ὁ ποιητὴς φησὶν, ἢ τὴν τῆς θεοῦ φύσιν. καὶ τοῖς φυσικοῖς, φασὶ, δοκεῖ τὴν αὐτὴν εἶναι τῇ γῇ. τῆς δὲ εὐθυμείας σημεῖον, τὸ ἐγκάρπους εἶναι τὰ δένδρα καὶ πόας αὐτομάτως φύειν. Schol.

1143. Τερείνης] τῆς ἁπαλῆς καὶ χλωρᾶς. Schol.

1144. Εἰλυούς] τὰς καταδύσεις τῶν θηρῶν. Ξυλόχους δὲ, τὰς ἐν τοῖς ὄρεσιν ὑλώδεις τόπους. ὅτι δὲ ὑπερβατὸν, εἰλυούς τε ξυλόχους τε καταλιπόντες. διὰ

Οὐρῇσιν σαίνοντες ἐπήλυθον· ἡ δὲ καὶ ἄλλο
Θῆκε τέρας· ἐπεὶ οὔτι παροίτερον ὕδατι νᾶεν
Δίνδυμον, ἀλλά σφιν τότ' ἀνέβραχε διψάδος αὔτως
Ἐκ κορυφῆς ἄλληκτον. Ἰησονίαν δ' ἐνέπουσιν
Κεῖνο ποτὸν κρήνην περιναιέται ἄνδρες ὀπίσσω.
Καὶ τότε μὲν δαῖτ' ἀμφὶ θεᾶς θέσαν οὔρεσιν Ἄρκτων,
Μέλποντες Ῥείην πολυπότνιαν· αὐτὰρ ἐς ἠῶ
Ληξάντων ἀνέμων, νῆσον λίπον εἰρεσίῃσιν.
Ἔνθ' ἔρις ἄνδρα ἕκαστον ἀριστήων ὀρόθυνεν,
Ὅς τις ἀπολλήξειε πανύστατος· ἀμφὶ γὰρ αἰθὴρ
Νήνεμος ἐστόρεσεν δίνας, κατὰ δ' εὔνασε πόντον.
Οἱ δέ, γαληναίῃ πίσυνοι, ἐλάασκον ἐπιπρὸ
Νῆα βίῃ· τὴν δ' οὔ κε δι' ἐξ ἁλὸς ἀΐσσουσαν
Οὐδὲ Ποσειδάωνος ἀελλόποδες κίχον ἵπποι.

Caudis blandientes acceſſerunt: quin etiam aliud
Dedit portentum. Cum enim prius nullâ aquâ fluebat
Dindymus, ipſis tunc ſcatiebat, ex ſiccaneo paſſim
Vertice indeſinenter. Aquam verò illam Jaſonium vocabant
Poſtea fontem viri accolæ.
Et tunc ſane convivium pro Deâ adornârunt montibus Arctorum,
Celebrantes Rheam valde venerandam: at ſub Auroram
Ceſſantibus ventis, inſulam reliquerunt remigatione.
Tunc autem æmulatio unumquemque procerum excitavit
Quiſnam ceſſaret noviſſimus; circum enim cœlum
Tranquillum ſedârat procellas, compoſueratque pontum.
Illi igitur tranquillitate confiſi propellebant ulterius
Navem vi ſuâ. Illam verò per æquor volantem
Vel Neptuni procellipedes non aſſecuti fuiſſent equi.

πολλῶν δὲ τὸ θαυμαστὸν παρίστησι, διά τε τῆς διψάδος, καὶ ὅτι οὐκ ὀλίγον τι ἀναδοθὲν ὕδωρ, ἀλλὰ καὶ ἄληκτον. Schol.

1146. Νᾶεν] οὐκ εὖ. ἔδει γὰρ χωρὶς τοῦ ι νᾶεν· ἵν' ᾖ, ἔῤῥει. ὡς παρ' Ὁμήρῳ, "νᾶεν δ' ὀρῷ ἄγγεα πάντα." ἡ δὲ σύνταξις κατὰ μετάθεσιν· ὡς τὸ "ῥέε δ' αἵματι γαῖα" ἀντὶ τοῦ, αἷμα ἔῤῥεεν ἐν τῇ γῇ. ἢ μεταληπτέον τὸ νᾶεν εἰς τὸ καταῤῥυτον· ἵν' ᾖ, κατάῤῥυτον τὸ Δίνδυμον ὕδασιν. Schol.

Ibid. Νᾶεν] Call. in Dian. v. 224. Vide ibi Spanh. Conſule de effluxu Dindymi hymn. in Jov. 31.

1147. Ἀνέβραχε] ἀντὶ τοῦ ἀνεδόθη. διψὰς τὴν ξηρὰν γῆν σημαίνει. Schol.

1152. Νῆσον] ἔοικε τὴν Κύζικον λέγειν ἐνταῦθα. Schol.

1158. Ἀελλόποδες] τοὺς ταχεῖς λέγει. Τὸ δὲ κίχον, ἀντὶ τοῦ κατέλαβον. Schol.

Ἔμπης

Ἔμπης δ' ἐγρομένοιο σάλου ζαχρηέσιν αὔραις,
Αἳ νέον ἐκ ποταμῶν ὑπὸ δείελον ἠερέθοντο,
Τειρόμενοι, καὶ δὴ μετελώφεον· αὐτὰρ ὁ τούσγε
Πασσυδίῃ μογέοντας ἐφέλκετο κάρτεϊ χειρῶν
Ἡρακλέης, ἐτίνασσε δ' ἀρηρότα δούρατα νηός.
Ἀλλ' ὅτε δὴ Μυσῶν λελιημένοι ἠπείροιο,
Ῥυνδακίδας προχοὰς μέγα τ' ἠρίον Αἰγαίωνος

Attamen excitato mari vehementioribus ventis
Qui nuper ex aquis ſub veſperam attollebantur,
Vexati aliquando ceſſabant: verùm ipſe eos
Totis viribus laborantes attrahebat vi manuum
Hercules, quatiebatque bene aptata ligna navis.
Quando verò Myſorum cupidi attingere terram,
Rhyndaci oſtia magnumque monumentum Ægæonis

1159. Ζαχρηέσιν αὔραις] μεγάλως ἐπιβαρούσαις καὶ πνεούσαις. κυρίως δὲ ζαχρηὲς τὸ βιαίως ταῖς χερσὶ πρattόμενον. παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις, καὶ τὸ ζα ἐπιτατικόν. Schol.

1161. Μετελώφεον] ἀντὶ τοῦ ἐπαύσαντο. Schol.

1162. Ἐφέλκετο] πρὸς τὴν πάντων αὐτῶν ἀργίαν καὶ τὴν τοῦ κύματος ὑπερβολὴν, τὸ ἐφέλκετο, πρὸς πλείονα εἶπεν ἔμφασιν. ὅπερ καὶ Καλλίμαχος ἐπὶ τοῦ ἡττηθέντος ταύρου φησὶν, "ὁ δ' εἵπετο νωθρὸς ὁδίτης." Schol.

1165. Ῥυνδακίδας] Ῥυνδακὸς τόπος ἐστὶ Φρυγίας, οὗ μνημονεύει Βακχυλίδης. ταῖς δὲ ἀληθείαις τάφος ἐστὶ τοῦ Βριάρεω, κατὰ τὴν εἴσοδον. Καλλίμαχος δὲ ἱστορεῖ περὶ τοῦ ποταμοῦ ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν ποταμῶν, καὶ Δημήτριος ὁ Σκήψιος ἐν τῷ αὐτῷ διακόσμῳ. ἄλλως. Ῥυνδακὸς, ποταμὸς Φρυγίας ὁ νῦν Μέγιστος, πρὸς ᾧ κατὰ τὴν ἔξοδον, καὶ Αἰγαίωνος τινὸς ἥρωος Μυσοῦ τάφος. Ῥυνδακὸς δὲ, ὡς Αἰακός. Μέγα τ' ἠρίον. γράφεται καὶ, μέγα τε ῥίον. καὶ τὸ μὲν ῥίον ἐστὶν ὄρος, ἤτοι ἀκρωτήριον· τὸ δὲ ἠρίον, μνημεῖον. οἴομαι δέ τινα ἀγνοοῦντα τὸν μῦθον, τὸ ἠρίον μεταπεποιηκέναι· ἢ γραφέως ἁμαρτήματι παραλελεῖφθαι τὸ η. ὁ δὲ πρὸς τὸν Αἰγαίωνα μῦθος, ὑπὸ Δημητρίου φέρεται τοῦ Κνιδίου. Κόνων δὲ ἐν τῇ Ἡρακλείᾳ φησὶν ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος, κατεποντίσθη εἰς τὸ νῦν λεγόμενον ὑπὸ τοῦ Ἀπολλωνίου ἠρίον Αἰγαίωνος, τὸν αὐτὸν καὶ Βριάρεων καλῶν. περὶ δὲ τῆς κλήσεως τοῦ Αἰγαίου πελάγους ἐν μὲν τῷ τρίτῳ τῷ περὶ τῆς Νησιάδος φησὶν ἐν τούτοις, τὸ Αἰγαῖον πέλαγος οἱ μὲν ἀπὸ τῆς Περκωνίας Αἰγὸς ἐπώνυμον γεγονέναι φασίν· οἱ δὲ, ἀπὸ τῆς Καρυστίας, τῆς Αἰγαίης ὀνομαζομένης. αἱ μὲν γὰρ Αἰγαὶ, ἔνθεν τὸν Ποσειδῶνα παραγίνεσθαι φασὶ, κατὰ Πελοπόννησον εἰσὶν, ἐν τοῖς περὶ Κρίσαν τόποις. εἰσὶ δέ τινες οἳ διὰ τὸ διαρρεῖσθαι δι' ὅλου τοῦ πελάγους τὴν παρακειμένην γῆν. τὸν δὲ Αἰγαίωνα Ἡσίοδος φησὶν οὐρανοῦ καὶ γῆς. Βριάρεως δὲ, καὶ Αἰγαίων, καὶ Γύγης, ὁ αὐτὸς λέγεται συνωνύμως. Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ τὸν Αἰγαίωνα γῆς καὶ πόντου φησὶ παῖδα, κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ τοῖς Τιτᾶσι συμμαχεῖν. καὶ Ἴων φησὶν ἐν διθυράμβῳ, ἐκ μὲν τοῦ πελάγους αὐτὸν παρακληθέντα ὑπὸ Θέτιδος ἀναχθῆναι, φυλάξοντα τὸν Δία, θαλάσσης δὲ

Τυτθὸν ὑπ' ἐκ Φρυγίης παραμέτρειον εἰσορόωντες,
Δὴ τότ' ἀνοχλίζων τετρηχότος οἴδματος ὁλκοὺς,
Μεσσόθεν ἆξεν ἐρετμόν· ἀτὰρ τρύφος ἄλλο μὲν αὐτὸς
Ἄμφω χερσὶν ἔχων πέσε δόχμιος, ἄλλο δὲ πόντος
Κλύζε παλιῤῥοθίοισι φέρων· ἀνὰ δ' ἕζετο σιγῇ
Παπταίνων· χεῖρες γὰρ ἀήθεσον ἠρεμέουσαι.
Ἦμος δ' ἀγρόθεν εἶσι φυτοσκάφος, ἤ τις ἀροτρεὺς
Ἀσπασίως εἰς αὖλιν ἑὴν, δόρποιο χατίζων·

Paululum ſuper Phrygiam præterlegerunt conſpecta,
Tunc ſane removens aſperi maris ſulcos
In medio dirupit remum: fragmen autem aliud ipſe
Utrâque tenens manu, cecidit obliquus; aliud verò pontus
Abluebat refluentibus avectum undis: reſedit igitur ſilentio
Circumviſens: inſuetæ enim erant manus quieſcendi.
Quo tempore verò ab agris venit foſſor aliquis aut arator
Lætabundè ad villam ſuam, cibi egens,

παῖδα. ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον. Ταῤῥαῖος δέ φησιν ὅτι γίγας ὢν, καὶ φυγὼν ἐκ τῆς Εὐβοίας, ἀφίκετο εἰς Φρυγίαν, κἀκεῖ ἐτελεύτησε. Schol.

Ibid. Holſtenius conjectatur legendum in Schol. κατὰ τὸν Ἡσίοδον, non κατὰ τὴν ἔσοδον. Poſtea tamen negat neceſſariam eſſe emendationem, quia ἔσοδος et ἔξοδος indifferenter dicuntur oſtia fluminum. Verùm Schol. hìc Rhyndacum non *fluvium* ſed *locum* facit. Quare juxta Holſtenium pro τόπος legendum ποταμὸς, quod miror ab Holſtenio non fuiſſe animadverſum, cum et Apollonius et ipſe Schol. ſequentibus verbis Rhyndacum *fluvium* dicunt. Sanct.

1166. Τυτθὸν ὑπ' ἐκ Φρυγίης] τὴν οὖσαν ὀλίγον ἄνω τῆς Φρυγίας. οὕτω γὰρ καὶ Ὅμηρος καλεῖ, φησὶ τὴν Φρυγίαν ἐγγὺς πάνυ τῆς Μυσίας. διὸ καί τινες μίαν εἶναι φασὶν ἀμφοτέρας, διὰ τὸ πάνυ πλησιάζειν. παραμέτρειον. παράπλειον. Schol.

1167. Ἀνοχλίζων] ἀνακινῶν ἐν τῷ καταπλατεῖν καὶ ἀνακόπτων τὰ κύματα κατὰ τὰς δίνας. Τετρηχότος δὲ, τεταραγμένου καὶ σφοδροῦ ὄντος. Ὁλκοὺς δὲ, τὰς φυσήσεις καὶ οἷον ἐπάρσεις καὶ μετεωρισμοὺς τῶν κυμάτων. Schol.

1168. Μεσσόθεν ἆξεν] Διὰ ταύτην τὴν αἰτίαν φασὶ καταλελεῖφθαι τὸν Ἡρακλέα ἐν Κίῳ. οἱ δὲ, ἐν Ἀφέταις, ἐπειδὴ ὑπερεκλινε τὴν Ἀργὼ ἐποίει. Ἔφορος δὲ ἐν ἀσεβεῖ τῷ παραδέδωκεν αὐτὸν δι' Ὀμφάλην καταλελεῖφθαι. Τὸ δὲ μεσσόθεν, ἔμφασιν καὶ τῆς τοῦ πελάγους δεινότητος, καὶ τῆς τοῦ ἥρωος ῥώμης ἔχει. Τρύφος δὲ, τὸ κλάσμα τῆς κώπης. Schol.

Ibid. Μεσσόθεν, &c. Confer Val. Flac. III. 476. Upt.

1170. Ἀνὰ cum ἕζετο eſt conjungendum potius quàm cum παπταίνων, tum quia vicinior eſt, tum quia ἀνὰ hìc otioſa non eſt, ut eſſet, ſi jungeretur cum παπταίνων, nam Herculem ex ſede cecidiſſe verſu præcedenti narratur. Sanct.

1171. Ἀήθεσον] ἀήθεις ἦσαν τοῦ ἠρεμεῖν, διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν. Schol.

Αὐτῇ

Αὐτοῦ δ' ἐν προμολῇ τετρυμμένα γούνατ' ἔκαμψεν,
Αὐσταλέος κονίησι, περιτρίβεας δέ τε χεῖρας
Εἰσορόων, κακὰ πολλὰ ἑῇ ἠρήσατο γαστρί·
Τῆμος ἄρ' οἵγ' ἀφίκοντο Κιανίδος ἤθεα γαίης
Ἀμφ' Ἀργανθώνειον ὄρος προχοάς τε Κίοιο.
Τοὺς μὲν ἐυξείνως Μυσοὶ φιλότητι κιόντας
Δειδέχατ' ἐνναέται κείνης χθονὸς, ἤιά τέ σφι
Μῆλά τε δευομένοις μέθυ τ' ἄσπετον ἐγγυάλιξαν.
Ἔνθα δ' ἔπειτ' οἱ μὲν ξύλα κάγκανα, τοὶ δὲ λεχαίην
Φυλλάδα λειμώνων φέρον ἄσπετον ἀμήσαντες,

Atque in ejus vestibulo lassata incurvavit genua
Pulvere sordidus, attritasque manus
Inspiciens, mala multa suo imprecatus est ventri;
Eo sane advenerunt illi Cianeæ sedes terræ
Circiter montem Arganthonium, Ciique ostia.
Ac ipsos quidem hospitaliter Mysi pacatè venientes
Exceperunt, incolæ ejus terræ; et ipsis viatica
Pecoraque egentibus vinumque largiter præbuerunt.
Interim alii quidem ligna arida, alii verò mollem
Foliorum cumulum e pratis ferebant copiosè messum,

1174. Ἐν προμολῇ] τῇ προσόδῳ καὶ τοῖς προθύροις. λέγονται δὲ προμολαὶ καὶ τὰ ἐξόπολα μέρη, ὡς αὐτὸς ἐν τοῖς πρώτοις φησὶ, "στῆ δ' ἄρ' ἐπὶ προμολῆς, οἱ δ' ἄντιοι ἠγερέθοντο." Τετρυμμένα δὲ ἀντὶ τοῦ καταπεπονημένα ὑπὸ τοῦ καμάτου. Schol.

Ibid. Τετρυμμένα γούνατ'. Ad verbum interpretatur Horatius,

—— *Multo jam fractus membra labore.*

1175. Αὐσταλέος] ὁ κατάξηρος καὶ ἀνεπιμέλητος. Περιτρίβεας. τὰς πελιδνωθείσας χεῖρας ὑπὸ τοῦ κόπου. Schol.

1176. Ἠρήσατο] ἀντὶ τοῦ κατηράσατο, ἢ προσεῖπε. Schol.

Ibid. Κακὰ πολλὰ, &c. Ventris accusatio et defensio lepida legitur in Livii I. et Ulyss. P. 286.

1177. Κιανίδος ἤθεα γαίης] περιφραστικῶς τὴν Κίον. ἔστι δὲ πόλις Μυσίας, ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοὶ, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι. καὶ ποταμὸς δέ ἐστιν οὕτως ὀνομαζόμενος, τὴν Μυσίαν περιῤῥέων, οὗ μνημονεύει Σκύλαξ ὁ Καρυανδεύς. περιῤῥέει δὲ καὶ τὴν πόλιν ὁ ποταμὸς οὗτος. Schol.

1178. Ἀμφ' Ἀργανθώνειον] ὄρος τῆς Κίου. Schol.

1180. Ἤιά τέ σφι] ἐφόδια βρώματα. σημαίνει καὶ τὰ ἄχυρα. Ὅμηρος, "ἤια θηρσὶν ἐοικότα πιάξῃ." Schol.

1182. Κάγκανα] κατάξηρα ξύλα.

Λεχαίην φυλλάδα. τὴν πρὸς λέχη καὶ στιβάδας ἐπιτηδείαν, ἀπὸ τοῦ λέχους. Schol.

Στόρνυσαν·

Στόρνυσθαι· τοὶ δ' ἀμφὶ πυρήϊα δινεύεσκον.
Οἱ δ' οἶνον κρητῆρσι κέρων, πένοντό τε δαῖτα,
Ἐκβασίῳ ῥέξαντες ὑπὸ κνέφας Ἀπόλλωνι.
Αὐτὰρ ὁ δαίνυσθαι ἑτάροις εὖ οἷς ἐπιτείλας
Βῆ ῥ' ἴμεν εἰς ὕλην υἱὸς Διὸς, ὥς κεν ἐρετμὸν
Οἷ αὐτῷ φθαίη καταχείριον ἐντύνασθαι.
Εὗρεν ἔπειτ' ἐλάτην ἀλαλήμενος, οὔτε τι πολλοῖς
Ἀχθομένην ὄζοις, οὐδὲ μέγα τηλεθόωσαν·
Ἀλλ' οἷον ταναῆς ἔρνος πέλει αἰγείροιο,
Τόσση ὁμῶς μηκός τε καὶ ἐς πάχος ἦεν ἰδέσθαι.
Ῥίμφα δ' ὀϊστοδόκην μὲν ἐπὶ χθονὶ θῆκε φαρέτρην
Αὐτοῖσιν τόξοισιν, ἔδυ δ' ἀπὸ δέρμα λέοντος.
Τὴν δ' ὅγε χαλκοβαρεῖ ῥοπάλῳ δαπέδοιο τινάξας

Ad ſternendum: illi circum ignitabula verſabantur,
Hi verò vinum crateribus miſcebant, inſtruebantque convivium,
Poſtquam Ecbaſio ſub crepuſculum ſacrificâſſent Apollini.
Ipſe verò, ſociis ſuis bene epulari juſſis,
Perrexit ire in ſylvam filius Jovis, ut remum
Sibi ipſi poſſet commodum parare.
Invenit deinde abietem errans, nec multis
Oneratam ramis, nec valde efflorentem;
Sed qualis proceræ ramus eſt populi,
Talis ſimul in longitudinem et craſſitudinem erat viſu.
Confeſtim igitur ſagittiferam humi depoſuit pharetram
Cum ipſo arcu, exuitque pellem leonis.
Illam autem *abietem* ære gravi clavâ ab ipſâ radice quatiens,

1184. Στορνύσθαι] λείπει τὸ ὥς. ἵν' ᾖ, ὥστε στόρνυσθαι. Τὸ δὲ δινεύεσκον, ἀντὶ τοῦ ἔστρεφον, παρέτριβον. τὰ γὰρ ξύλα παρέτριβον, καὶ ἐπ' αὐτῶν πῦρ ἔβαλλον. πυρήϊα γὰρ ταῦτά φησι τὰ παρατριβόμενα ἀλλήλοις πρὸς τὸ πῦρ ἐγγονᾷν, ὧν τὸ μέν ἐστιν ὕπτιον, ὃ καλεῖται στορεύς· θάτερον δὲ παραπλήσιον τρυπάνῳ, ὅπερ ἐπιτρίβοντες τῷ στορεῖ στρέφουσι. Schol.

1188. Διὸς δὲ υἱὸν, τὸν Ἡρακλέα φησί. Schol.

1189. Φθαίη] ἀντὶ τοῦ παραλάβοι τοῦ πλοῦ. Καταχείριον, τὸ τῇ χειρὶ ἁρμόδιον. Schol.

1190. Ἀλαλήμενος] ἢ διὰ τὸ ἄπειρος εἶναι τῶν τόπων· ἢ ἀντὶ τοῦ περιερχόμενος, ἕως ἂν αὐτῷ ἁρμόδιον εὕρῃ. Schol.

1192. Αἰγείροιο] παρὰ τὸ ἐν τῆς ἔρας ἀΐσσειν καὶ κινεῖσθαι, ἢ παρὰ τὸ καταίγνυσθαι ὑπὸ τῶν ἀνέμων. Schol.

1195. Ἔδυ δ' ἀπὸ δέρμα] τὸ ἑξῆς, ἀπέδυ δέρμα λέοντος. Schol.

1196. Χαλκοβαρεῖ] τῷ ἰσχυρῷ, ἢ τῷ πρὸς τῷ τέλει χαλκῷ βεβαρημένῳ. Πει-

Νειόθεν

Νειόθεν ἀμφοτέρῃσι περὶ στύπος ἔλλαβε χερσὶν,
Ἠνορέῃ πίσυνος· ἐν δὲ πλατὺν ὦμον ἔρεισεν
Εὖ διαβάς· πεδόθεν δὲ βαθύῤῥιζόν περ ἐοῦσαν
Προσφὺς ἐξήειρε σὺν αὐτοῖς ἔχμασι γαίης.
Ὡς δ' ὅτ' ἂν ἀπροφάτως ἱστὸν νεὸς, εὖτε μάλιστα
Χειμερίη ὀλοοῖο δύσις πέλει Ὠρίωνος,
Ὑψόθεν ἐμπλήξασα θοὴ ἀνέμοιο κατᾶιξ
Αὐτοῖσι σφήνεσσιν ὑπ' ἐκ προτόνων ἐρύσηται·
Ὡς ὅγε τὴν ἤειρεν· ὁμοῦ δ' ἀνὰ τόξα καὶ ἰοὺς
Δέρμα θ' ἑλὼν, ῥόπαλόν τε, παλίσσυτος ὦρτο νέεσθαι.
Τόφρα δ' Ὕλας χαλκέῃ σὺν κάλπιδι νόσφιν ὁμίλου

Ex imo utrâque truncum corripuit manu
Viribus fisus; latumque humerum fulcivit
Firmiter ftans divaricatis cruribus: a folo autem profundas licèt habentem radices
Adhærens avulfit cum ipfis glebulentis fibris terræ.
Sicut autem quando improvifo malum navis, çum præfertim
Hibernus fævi occafus eft Orionis,
Ex alto irruens velox venti procella
Cum ipfis cuneis a rudentibus avulferit,
Ita ille ipfam extraxit; fimulque arcu et fagittis
Cum pelle clavâque refumtis, impetum revertendi cepit.
Interim Hylas æreâ cum urnâ procul a cœtu,

σκανδρος δέ φησιν ὁλόχαλκον εἶναι τὸ ῥόπαλον Ἡρακλέους. ἐτυμολογοῦσι δὲ αὐτὸ παρὰ τὴν ῥοπὴν καὶ τὸ ἀλοιᾶν. Δαπέδοιο δὲ, ἐκ τῆς γῆς, ἢ τῆς ῥίζης. Schol.

1197. Στύπος] στέλεχος. Schol.

1200. Ἔχμα] κώλυμα.

1201. Ἀπροφάτως] ἀθρόως.

Ibid. Ὡς δ' ὅτε, &c. Mutuatus eft hunc locum Virgilius Æn. 7. 719.

Sævus ubi Orion, &c.

1203. Καταῖξ] ἡ σφοδρὰ ὁρμή. Schol.

1204. Αὐτοῖς σφήνεσσι] τοῖς περὶ τὴν ἱστοδόκην σφησὶ, τοῖς περιέχουσι καὶ κρατοῦσι τὸν ἱστόν. ὅλη δὲ ἡ παραβολὴ ὑγιὴς καὶ ὀρρωμένη. ἱστῷ γὰρ τὴν ἐλάτην εἰκάζει, διὰ τὸ εὐθυτενὲς καὶ εὐαυξὲς (καὶ γὰρ καὶ κέκνη ἱστοῦ δίκην ἵσταται) χειμερινῷ δὲ καιρῷ τὴν ἀθρόαν τοῦ ἥρωος ἐπιφάνειαν· σφοδρῷ δὲ ἀνέμῳ, τὴν ῥώμην. τὸ δὲ, αὐτοῖσι σφήνεσσι, διὰ τὰ περιέχοντα τῆς ἐλάτης ῥίζαν χώματα. καὶ γὰρ ἐκεῖνα σφηνῶν δίκην τὴν ῥίζαν περιεῖχεν. τοὺς δὲ προτόνους, ὡς τὸν τόνον καὶ τὴν πῆξιν τῶν ῥιζῶν. Schol.

1207. Τόφρα] ἀντὶ τοῦ ἐν ὅσῳ.

Ὕλας. τὸν Ὕλαν ὁ μὲν Ἀπολλώνιος Θειοδάμαντος φησὶν υἱὸν εἶναι, Ἑλλάνικος δὲ, Θειομένους. Ἀντικλείδης δὲ ἐν Δηλιακοῖς ἱστόρησεν οὐ τὸν Ὕλαν εἰς τὴν ὑδρείαν ἐξεληλυθέναι, ἀλλὰ τὸν Ὕλον, καὶ ἀνεύρετον γε-

Q Δίζητο

Δίζητο κρήνης ἱερὸν ῥόον, ὥς κέ οἱ ὕδωρ
Φθαίη ἀφυσσάμενος ποτιδόρπιον, ἄλλα τε πάντα
Ὀτραλέως κατὰ κόσμον ἐπαρτίσσειεν ἰόντι.
Δὴ γάρ μιν τοιοῖσιν ἐν ἤθεσιν αὐτὸς ἔφερβε
Νηπίαχον τὰ πρῶτα δόμων ἐκ πατρὸς ἀπούρας
Δίου Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνεν
Νηλειῶς, βοὸς ἀμφὶ γεωμόρου ἀντιόωντα.

Quærebat fontis ſacrum fluxum, ut et ei aquam
Prius (quam rediret) pararet pro cænâ hauſtam, aliaque omnia
Expeditè et ex ordine odornaret revertenti.
His enim moribus ipſe eum aluèrat
Cum infantem primùm ex patris ædibus abſtulerat
Eximii Theiodamantis; quem inter Dryopas interemit
Crudeliter, bovis aratoris cauſâ, ei adverſantem.

νέσθαι. ἐγένοντο δὲ πολλοὶ ἐρώμενοι Ἡρακλέους, Ὕλας, Φιλοκτήτης, καὶ Δίομος, καὶ Περιθύας, καὶ Φρίξ. ἀφ' οὗ πόλις Λιβύης. Σωκράτης δὲ ἐν τῷ περὶ Εἰδώθεον φησὶ τὸν Ὕλαν ἐρώμενον Πολυφήμου καὶ οὐχ Ἡρακλέους γενέσθαι. Ὀνασος δὲ ἐν τῷ πρώτῳ Ἀμαζονίδων ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθηται, οὐχ ἡρπάσθαι αὐτὸν ὑπὸ νυμφῶν ἀλλὰ κατενεχθῆναι εἰς κρήνην, καὶ οὕτως ἀποθανεῖν. ἀπρεπὲς δὲ νεανίαν ὑδρίαν βαστάζειν. Ὅμηρος δὲ πρεπόντως παρθένον. πιθανώτερον δὲ ἦν ἀμφότερα εἰπεῖν, ὡς Καλλίμαχος. Schol.

1209. Ἀφυσσάμενος Flor. Ἀφυσσάμενος.

1212. Νηπίαχον] Ἡρακλῆς γήμας Δηϊάνειραν τὴν Οἰνέως θυγατέρα, καὶ διάγων ἐν Καλυδῶνι, ἐν συμποσίῳ Κύαθον, ἤτοι τὸν Οἰνέως οἰνοχόον, Ἀρχιτέλους δὲ παῖδα, πλήξας κονδύλῳ ἀνεῖλεν, ὅτι αὐτῷ τὰ ποδόνιπτρα ὕδατα ἀγνοῶν ἐπὶ τῶν χειρῶν ἐπέχεεν. φεύγων οὖν τὸν φόνον, καὶ σὺν τῇ γαμετῇ στελλόμενος, ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ Νέσσον κένταυρον, ὡς καὶ Ἀρχίλοχος ἱστορεῖ. ἔπειτα ὁδεύων, ἔφερεν καὶ Ὕλον τὸν υἱόν· καὶ ἐλθὼν εἰς τὴν Δρυοπίδα (λῃστρικὸν δὲ τὸ ἔθνος, ὁμοροῦν τοῖς Μηλιεῦσιν, ὡς Φερεκύδης ἐν τῇ τρίτῃ φησίν) τοῦ παιδὸς πεινῶντος, καὶ τοῦ παιδαγωγοῦ Λίχα ἀπολιμπανομένου, συντυχὼν τῷ Θειοδάμαντι, ᾐτεῖτο ὀλίγην τροφήν· ὁ δὲ οὐκ ἐδίδου. ὀργισθεὶς δὲ ὁ Ἡρακλῆς, καὶ ἀποσπάσας αὐτοῦ ἕνα τῶν βοῶν, θύσας εὐωχεῖτο. ὁ δὲ Θειοδάμας ἐλθὼν εἰς τὴν τῶν Δρυόπων πόλιν, ἐξῆγεν αὐτοὺς κατὰ Ἡρακλέους· καὶ εἰς τοσαύτην ἀνάγκην ἧκεν ἐστι ὁ Ἡρακλῆς, ὡς καὶ τὴν γυναῖκα Δηϊάνειραν καθοπλίσαι. ὅτε δὴ καὶ τετρῶσθαι φασὶν αὐτὴν κατὰ τὸν μαζόν. ἐπικρατησάμενος δὲ αὐτῶν, καὶ ἀνελὼν τὸν Θειοδάμαντα, ἀνεδέξατο τὸν τούτου υἱὸν Ὕλαν. καὶ τὸ πᾶν δὲ ἔθνος διὰ τὴν λῃστείαν μετῴκησεν περὶ Τραχῖνα τὴν Θεσσαλικὴν πόλιν καὶ τὴν Οἴτην τὸ ὄρος, πρὸς τοῖς ὅροις τῆς Φωκίδος· ἵνα τῇ πολλῇ τῶν ἀνθρώπων ἐπιμιξίᾳ τοῦ λῃστρικοῦ ἤθους ἀπέχωνται. τούτων δὲ καὶ ὁ Καλλίμαχος μέμνηται. Φερεκύδης δὲ ἐν τῷ δευτέρῳ φησὶν ὅτι Πολυδώρᾳ τῇ Δαναοῦ μίσγεται Πηνειὸς ὁ ποταμός. τοῦ δὲ γίνεται Δρύοψ, ἀφ' οὗ Δρύοπες καλοῦνται. οἰκοῦσι δὲ ἐπὶ τῷ Σπερχειῷ ποταμῷ. Schol.

1214. Ἀντιόωντα] ἐναντιούμενον. Schol.

Ἤτοι

Ἤτοι ὁ μὲν νειοῖο γύας τέμνεσκεν ἀρότρῳ
Θειοδάμας, ἀνίῃ βεβολημένος· αὐτὰρ ὁ τόνγε
Βοῦν ἀροτῆρα ἤνωγε παρασχέμεν οὐκ ἐθέλοντα.
Ἵετο γὰρ πρόφασιν πολέμου Δρυόπεσσι βαλέσθαι
Λευγαλέην· ἐπεὶ οὔτι δίκης ἀλέγοντες ἔναιον.
Ἀλλὰ τὰ μὲν τηλοῦ κεν ἀποπλάγξειεν ἀοιδῆς.
Αἶψα δ' ὅγε κρήνην μετεκίαθεν, ἣν καλέουσιν
Πηγὰς ἀγχίγυοι περιναιέται. Οἱ δέ που ἄρτι
Νυμφάων ἵσταντο χοροί· μέλε γάρ σφισι πάσαις
Ὅσσαι κεῖσ' ἐρατὸν Νύμφαι ῥόον ἀμφενέμοντο,
Ἄρτεμιν ἐννυχίῃσιν ἀεὶ μέλπεσθαι ἀοιδαῖς.
Αἱ μὲν ὅσαι σκοπιὰς ὀρέων λάχον, ἢ καὶ ἐναύλους,

Nempe novalis jugera secabat aratro
Theiodamas, tristitiâ compunctus: hic verò illi
Bovem aratorem jussit tradere non volenti.
Quærebat enim causam belli Dryopibus inferendi
Luctuosam, eò quòd, nullâ justitiæ habitâ ratione, viverent.
Sed hæc quidem me longè facerent aberrare à carminis proposito.
Statim autem ille fontem adiit, quem vocant
Pegas propinqui habitatores; fortè verò id temporis
Nympharum instaurabantur chori: curæ enim erat illis omnibus
Nymphis, quotquot illic amabilem juxta fluxum habitabant,
Dianam nocturnis semper celebrare cantibus.
Illæ quidem quæ vertices montium sortitæ, quæque antra,

1218. Ἵετο γὰρ πρόφασιν] οὐκ ἄδικος ὢν ὁ Ἡρακλῆς τοῦτο ἤθελεν, ἀλλ' ἵνα τὸ ἐκείνων λῃστρικὸν ἄγαν παύσῃ. ἀλεξίκακος γὰρ ὁ θεός. ταύτῃ τοι καὶ Θειοδάμαντα ἠρέθισεν, ἵν' ἀφορμῆς λαβόμενος τιμωρήσῃ τὸ ἔθνος. Δρυόπεσσι βαλέσθαι. Δρύοπες, ἔθνος περὶ τὸν Παρνασσὸν ἄδικον, ὃ κατεπολέμησεν Ἡρακλῆς, καὶ μετέστησεν εἰς Πελοπόννησον. ὠνομάσθησαν δὲ ἀπὸ Δρύοπος τοῦ Λυκάονος, καὶ Δίας τῆς Λυκαονίας. Schol.

1220. Ἀλλὰ τὰ μὲν τηλοῦ κεν] φησὶν ὅτι τὴν ἡμῶν ποίησιν καὶ τὴν τῶν Ἀργοναυτῶν πλοῦν καὶ τὰ σπουδαζόμενα ἀποπλανήσειεν, εἰ βουλοίμην εἰπεῖν τὰ συμβάντα τοῖς Δρύοψιν. Ἄλλως. λείπει τὸ λεγόμενα. ἵν' ᾖ, ἀλλὰ ταῦτα λεγόμενα, ἀποστήσει με τῆς ἐν χερσὶν οὔσης ᾠδῆς. Schol.

1221. Ἣν καλέουσιν Πηγὰς] ὄνομα κρήνης Πηγαὶ, οὕτω κυρίως. Ἀγχίγυοι δὲ. οἱ πλησιόχωροι, οἱ γείτονες. Schol.

1226. Ἐναύλους] τὰ σπήλαια νῦν. Schol.

Αἴγε μὲν ὑλήωροι ἀπόπροθεν ἐστιχόωντο·
Ἡ δὲ νέον κρήνης ἀνεδύετο καλλινάοιο
Νύμφη Ἐφυδατίη· τὸν δὲ σχεδὸν εἰσενόησε
Κάλλεϊ καὶ γλυκερῇσιν ἐρευθόμενον χαρίτεσσιν.
Πρὸς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα
Βάλλε σεληναίη· τῆς δὲ φρένας ἐπτοίησεν
Κύπρις· ἀμηχανίῃ δὲ μόγις συναγείρατο θυμόν.
Αὐτὰρ ὅγ' ὡς τὰ πρῶτα ῥόῳ ἔνι κάλπιν ἔρεισε
Λέχρις ἐπιχριμφθεὶς, περὶ δ' ἄσπετον ἔβραχεν ὕδωρ
Χαλκὸν ἐς ἠχήεντα φορεύμενον· αὐτίκα δ' ἥγε

Nec non ſaltuariæ longè ordine procedebant.
Ipſa autem nuper fonte emerſerat pulchrifluo
Nympha Ephydatia; hunc verò prope conſpexit
Pulchritudine et amabilibus rubentem gratiis.
Ipſum enim plena ab æthere refulgens
Irradiabat luna: hujus autem mentem attonitam reddidit
Venus, vixque præ inopiâ conſilii collegit animum.
Simul autem ac ipſe fluctui urnam immerſerat
In obliquum inclinatus, multaque circum reſonuerat aqua
Æs in ſonorum infuſa, ſtatim hæc

1227. Ὑλήωροι] αἱ ἐν τοῖς ὄρεσι διατρίβουσαι. Schol.

1228. Καλλινάοιο] καλλιρρόου. Schol.

1229. Ἐφυδατίη] ὄνομα νύμφης. Schol.

Ibid. Ἐφυδατίη] Alii aliter rem narrant. Val. Flac. III. 529. à Dryopâ, Propertius à Dryadibus, alii Nymphis raptum canunt. Fabulæ poeticæ ſunt fictæ et incertæ. Upt.

1230. Ἐρευθόμενον] τὸν λάμποντα. Schol.

1231. Διχόμηνις] πανσέληνος. Schol.

1232. Φρένας ἐπτοίησεν. Hor. amore *perculſum* gravi.

1233. Κύπρις] τὸ ἐρωτικὸν πάθος. Schol.

1235. Λέχρις ἐπιχριμφθεὶς] πλαγίως πρὸς τὴν κρήνην ἐπικλιθείς. ὁ δὲ νοῦς, ὡς καθῆκε τὴν ὑδρίαν ἐπὶ τὴν κρήνην, ἐμφορουμένη τοῦ ὕδατος εἰς τὸ ἀγγεῖον μετὰ σφοδροῦ ἦχου, ἡ νύμφη τῇ μὲν εὐωνύμῳ χειρὶ τοῦ αὐχένος αὐτοῦ ἐπιλαβομένη, ἐφίλει, φησὶν, τῇ δεξιᾷ δὲ καθέλκυσεν αὐτὸν εἰς τὸ ὕδωρ. Schol.

1236. Αὐτίκα δ' ἥγε] Θεόκριτος ἐν τοῖς Βουκολικοῖς ἐν τῷ Ὕλᾳ ἐπιγραφομένῳ, ὑπὸ πασῶν φησὶν αὐτὸν τῶν νυμφῶν ἡρπάσθαι· Ὀνασος δὲ ἐν τῷ α τῶν Ἀμαζονικῶν πεσόντα τὸν Ὕλαν φησὶν ὑποβρύχιον γενέσθαι. καὶ Νίκανδρος ἐν τῷ δευτέρῳ τῶν ἑτεροιουμένων ὑπὸ πασῶν φησὶν αὐτὸν ἁρπαγῆναι τῶν νυμφῶν· ὁ δὲ Ἀπολλώνιος, ὑπὸ μιᾶς. Schol.

Ibid. Pro ἑτεροιουμένων apud Schol. legit Cl. Munckerus ad Higin. L. 1. fab. 14. ἑτεροιουμένων.

Λαιὸν

Λαιὸν μὲν καθύπερθεν ἐπ' αὐχένος ἄνθετο πῆχυν
Κῦσαι ἐπιθύουσα τέρεν σόμα· δεξιτερῇ δὲ
Ἀγκῶν' ἔσπασε χειρὶ, μέσῃ δ' ἐνικάββαλε δίνῃ.
Τοῦ δ' ἥρως ἰάχοντος ἐπέκλυεν οἶος ἑταίρων
Εἰλατίδης Πολύφημος, ἰὼν προτέρωσε κελεύθου.
Δέκτο γὰρ Ἡρακλῆα πελώριον, ὁππόθ' ἵκοιτο.
Βῆ δὲ μεταΐξας πηγέων σχεδὸν, ἠΰτε τις θὴρ
Ἄγριος, ὅν ῥά τε γῆρυς ἀπόπροθεν ἵκετο μήλων·
Λιμῷ δ' αἰθόμενος μετανίσσεται, οὐδ' ἐπέκυρσε

Lævam quidem collo superimposuit ulnam
Osculari cupiens tenerum os, dextrâ verò
Cubitum attraxit manu, medioque demersit in alveo.
Hunc verò heros clamantem audivit solus sociorum
Polyphemus Elati filius, progressus longius in viam.
Expectabat enim ingentem Herculem, quando rediret.
Ivit verò valde celeriter ad fontem, instar feræ
Agrestis, quam balatus e longinquo invasit ovium:
Fame autem furens accedit, nec tamen potitur

1238. Τέρεν] τὸ ἁπαλόν. ἐν δὲ τούτῳ τὸ νέον. Schol.

1239. Ἀγκῶν' ἔσπασε χειρὶ, &c. Flaccus de eâdem re III. 561.

Illa avidas injecta manus heu sera cientem
Auxilia, et magni referentem nomen amici
Detrahit ——

1241. Εἰλατίδης] γράφεται καὶ Εἰλασίδης. κατὰ γάρ τινας Ἐλάσου υἱός ἐστιν ὁ Πολύφημος· κατὰ δέ τινας, Ποσειδῶνος. γυναῖκα δὲ ἔχει ὁ Πολύφημος Λαονόμην, Ἡρακλέους ἀδελφὴν, Ἀμφιτρύωνος καὶ Ἀλκμήνης θυγατέρα. Προτέρωσε. ἀντὶ τοῦ εἰς τοὔμπροσθεν τῆς κελεύθου. Schol.

1243. Ἠΰτε τις θὴρ] κυρίως οἱ ποιηταὶ τὸν λέοντα φασὶ θῆρα. ὡς καὶ Καλλίμαχος, "Θηρὸς ἀειρπίζων δέρμα καταμφίδιον." Schol.

Ibid. —— ἠΰτε τις θὴρ Ἄγριος, &c.

Ac veluti pleno lupus insidiatus ovili,
Cum fremit ad caulas, ventos perpessus et imbres
Nocte super mediâ: tuti sub matribus agni
Balatum exercent; ille asper et improbus irâ
Sævit in absentes; collecta fatigat edendi
Ex longo rabies, et siccæ sanguine fauces.

Æn. IX. 59.

1245. Αἰθόμενος]. καιόμενος τῷ λιμῷ. τὸ δὲ τοιοῦτον οὐχ ὡς ὁ λιμὸς θερμασίας ἐστὶ ποιητικὸς, ἀλλὰ τὸ αἰθόμενος ἐπὶ τοῦ σπεύδειν ἐστί. Schol.

Ποίμνῃσιν· πρὸ γὰρ αὐτοὶ ἐνὶ σταθμοῖσι νομῆες
Ἔλσαν· ὁ δὲ στενάχων βρέμει ἄσπετον, ὄφρα κάμῃσιν.
Ὣς τότ' ἄρ' Εἰλατίδης μεγάλ' ἔστενεν, ἀμφὶ δὲ χῶρον
Φοίτα κεκληγώς, μελέη δέ οἱ ἔπλετο φωνή.
Αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον, ὦρτο νέεσθαι,
Μή πως ἢ θήρεσσιν ἕλωρ πέλοι, ἠέ μιν ἄνδρες
Μοῦνον ἐόντ' ἐλόχησαν, ἄγουσι δὲ ληΐδ' ἑτοίμην.
Ἔνθ' αὐτῷ ξύμβλητο κατὰ στίβον Ἡρακλῆϊ,
Γυμνὸν ἐπαΐσσων παλάμῃ ξίφος· εὖ δέ μιν ἔγνω
Σπερχόμενον μετὰ νῆα διὰ κνέφας· αὐτίκα δ' ἄτην
Ἔκφατο λευγαλέην, βεβαρημένος ἄσθματι θυμόν.

Grege; prius enim ipsi in stabula pastores
Propulerant: ista autem anhelans immaniter fremit, usque ad lassitudinem:
Ita sane Elati filius vehementer ingemiscebat; circumque locum
Oberrabat clamans, vanus autem ei erat clamor.
Statim igitur districto valido ense, impetum cepit revertendi,
Ne fortè aut feris prædæ foret, aut ei viri
Soli existenti insidiarentur, prædamque facilem abducerent.
Ibi ipsi obviam factus est per callem Herculi
Nudum vibrans manu gladium: bene autem eum cognovit
Festinantem ad navem per caliginem, statimque calamitatem
Exposuit luctuosam, lassatus anhelitu animum.

1246. Ἐνὶ σταθμοῖσι] ἐνήλλακται ἡ ἐν πρόθεσις ἀντὶ τῆς εἰς. ὁ γὰρ νοῦς, οἱ γὰρ νομῆες εἰς τοὺς σταθμοὺς συνήλασαν. Schol.

Ibid. Ἐνὶ σταθμοῖσι. Ἐν pro εἰς ponitur, inquit Schol. sic et L. II. 1038. Nec aliter Virgilius, I. 180. rapuitque *in* fomite flammam. Ubi consule Servium. Upt.

1248. Ὣς τότ' ἄρ' Εἰλατίδης] διόλου ὑγιὴς καὶ ἐρρωμένη ἡ εἰκών. προβάτοις γὰρ βοήσασιν εἰκάζει τὸν Ὕλαν, διὰ τὸ τῆς ἡλικίας νέον, καὶ τὸ τοῦ σώματος ἁπαλόν· θηρὶ δὲ κατακνήσαντι καὶ σπεύδοντι, τὸν Πολύφημον, διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν. τὸ δὲ λιμῷ αἰθόμενος, ὅτι καὶ αὐτὸς τῇ διαθέσει πρὸς τὸν παῖδα ὥρμητο. τὸ δὲ, οὐκ ἐπέκυρσε ποίμνῃσι, πρὸς τὸ συμβεβηκός. καὶ γὰρ ἡ νύμφη συνεῖρξεν τὸν παῖδα πρὸ τῆς τοῦ Πολυφήμου παρουσίας καὶ βοηθείας. Schol.

1252. Ληΐδ' ἑτοίμην] κτῆμα καὶ λάφυρον ἕτοιμον. καὶ διὰ τὸ ἀκμητὶ καὶ χωρὶς μάχης λαβεῖν. Schol.

1254. Εὖ δέ μιν ἔγνω] διὰ τὸ λάμπειν τὴν σελήνην. εἶπεν γὰρ ὅτι διχόμηνις ἔλαμπεν. Schol.

1256. Ἄσθματι] τῷ ἐκ τοῦ δρόμου γινομένῳ φυσήματι. Schol.

Ibid. Θυμόν] Forsan, inquit Sanctamandus, legendum θύνων, non enim animus, sed corpus laborat asthmate.

Δαιμόνιε,

Δαιμόνιε, στυγερόν τοι ἄχος πάμπρωτον ἐνίψω.
Οὐ γὰρ Ὕλας κρήνηνδε κιὼν, σόος αὖτις ἱκάνει,
Ἀλλά ἑ ληϊστῆρες ἐνιχρίμψαντες ἄγουσιν,
Ἢ θῆρες σίνονται· ἐγὼ δ' ἰάχοντος ἄκουσα.
Ὣς φάτο· τῷ δ' ἀΐοντι κατὰ κροτάφων ἅλις ἱδρὼς
Κήκιεν, ἐν δὲ κελαινὸν ὑπὸ σπλάγχνοις ζέεν αἷμα.
Χωόμενος δ' ἐλάτην χαμάδις βάλεν· ἐς δὲ κέλευθον
Τὴν θέεν, ᾗ πόδες αὐτὸν ὑπέκφερον ἀΐσσοντα.
Ὡς δ' ὅτε τίς τε μύωπι τετυμμένος ἔσσυτο ταῦρος
Πίσεά τε προλιπὼν καὶ ἑλεσπίδας, οὐδὲ νομήων
Οὐδ' ἀγέλης ὄθεται, πρήσσει δ' ὁδὸν, ἄλλοτ' ἄπαυστος,
Ἄλλοτε δ' ἱστάμενος, καὶ ἀνὰ πλατὺν αὐχέν' ἀείρων

Infelix, triftem tibi dolorem primùm referam.
Non enim Hylas ad fontem profectus, falvus denuò revertit,
Sed vel eum latrones nacti abducunt,
Vel beftiæ nocent: ego autem clamantem audivi.
Sic dixit: illi autem audienti a temporibus largus fudor
Fluebat, intusque fub vifceribus ater fervebat fanguis.
Iratus verò abietem humi dejecit, atque viâ
Illâ cucurrit, quâ pedes ipfum ferebant incitatum.
Sicut autem quando aliquis ab œftro percitus proruit taurus
Prataque deferens locaque paluftria, nec paftorum
Neque armenti curam habet; fed perficit iter, nunc irrequietus,
Nunc confiftens; latamque attollens cervicem

1265. Ὡς δ' ὅτε τίς τε μύωπι] Μύωψ εἶδος μυίας κατὰ τὸ ἔαρ γινόμενον, ἥ τις ταῖς λαγόσι τῶν βοῶν ἐπικαθεζομένη, δάκνει αὐτὰς, καὶ εἰς μανίαν ἄγει. ἀφ' οὗ καὶ οἶστρος λέγεται). Σώστρατος δὲ ἐν τῇ τετάρτῃ περὶ ζώων, διαστέλλει τὸν μύωπα τοῦ οἴστρου. ὁ μὲν γὰρ μύωψ ἐκ τῶν ξύλων ἀπογεννᾶται), ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωΐων. Schol.

Ibid. Ὡς δ' ὅτε τίς τε μύωπι, &c. Similiter ferè de eâdem re Tryphiodorus, v. 351.

—— ἠύτε πόρτις ἀνίσουρος, ἥντε τυπεῖσαν
Κέντρον ἀνεπτοίησε βοοῤῥαίστοιο μύωπος·
Ἡ δ' οὔτ' εἰς ἀγέλην πολιναίεται, &c.

1266. Πίσεα] τοὺς συμφύτους, ἢ ἑλώδεις καὶ πηλώδεις τόπους. Ἑλεσπίδας. τινὲς τοὺς ἑλώδεις καὶ πηλώδεις τόπους. ἄμεινον δὲ τοὺς πετρώδεις, παρὰ τὸ λέπεσθαι ὑπό τε τοῦ ἡλίου καὶ ἀνέμου καὶ ὑετοῦ. ὅθεν καὶ λέπη τὰ ἀκρωτήρια τῶν ὀρῶν. Εὐριπίδης, "ὦ Κιθαιρῶνος λέπας." Schol.

Ἵησιν μύκημα κακῷ βεβολημένος οἴστρῳ·
Ὡς ὅγε μαιμώων, ὁτὲ μὲν θοὰ γούνατ' ἔπαλλεν
Συνεχέως, ὁτὲ δ' αὖτε μεταλλήγων καμάτοιο,
Τῆλε διαπρύσιον μεγάλῃ βοάασκεν αὐτῇ.
Αὐτίκα δ' ἀκροτάτας ὑπερέσχεθεν ἄκριας ἀστὴρ
Ἠῷος, πνοιαὶ δὲ κατήλυθον· ὦκα δὲ Τῖφυς
Ἐσβαίνειν ὀρόθυνεν ἐπαυρέσθαι τ' ἀνέμοιο.
Οἱ δ' εἴσβαινον ἄφαρ λελιημένοι· ὕψι δὲ νηὸς
Εὐναίας ἐρύσαντες ἀνεκρούσαντο κάλωας.
Κυρτώθη δ' ἀνέμῳ λίνα μεσσόθι, τῆλε δ' ἀπ' ἀκτῆς
Γηθόσυνοι φορέοντο παραὶ Ποσιδήιον ἄκρην.

Mugitum edit, infesto ictus oestro:
Haud aliter ille furiatus nunc quidem velocia movebat genua
Indesinenter; nunc autem rursus cessans labore
Procul penetrantem edidit clamorem ingenti voce.
Statim autem summos superaverat vertices stella
Matutina, et venti increbuerunt: nec mora Tiphys
Inscendere est eos hortatus fruique vento.
Illi igitur inscenderunt statim volentes, et solutis
Navis anchoris, retraxerunt funes.
Recurvatis autem vento linteis in medio, longe a litore
Lætabundi ferebantur præter Posideïum promontorium.

1270. Ὡς ὅγε μαιμάων] δίολυ ὑγιὴς ἡ παραβολή. ταύρῳ γὰρ βεβλημένῳ ἀπεικάζει τὸν Ἡρακλέα, διὰ τὸ τοῦ ἥρωος καρτερόν. ἐπικείμενον δὲ μύωπα φησὶ τὴν τοῦ Ὕλα ζήτησιν. καὶ γὰρ αὕτη δίκην μύωπος αὐτὸν ἤλγυνεν. τὸ δὲ, πίσεά τε προλιπὼν, πρὸς τὴν ναῦν καὶ τὴν τῶν ἑταίρων σπουδήν. τὸ δὲ, οὐδὲ νομήων οὐδ' ἀγέλης ἄθεται, ὅτι οὐδὲ τοῦ ἐξάρχου τοῦ πλοῦ Ἰάσονος ἐπεστράφη, οὐδὲ τῶν ἄλλων ἑταίρων. τὸ δὲ ἄλλοτ' ἄπαυστος, ἄλλοτε δ' ἱστάμενος, ὅτι ποτὲ μὲν ἔτρεχεν, ἕως ἔκαμνε· ποτὲ δὲ ἵστηκεν. τὸ δὲ, ἵησι μύκημα, ὅτι καὶ οὗτος ποτὲ ἐβόα καλῶν τὸν Ὕλαν. Schol.

1273. Αὐτίκα δ' ἀκροτάτας] ἠῷον ἀστέρα τὸν ἑωσφόρον. ὁ δὲ ἑξῆς λόγος, ἅμα δὲ πρὸς ταῖς ἀκρωρείαις ὁ ἑωσφόρος ἐφάνη, παραχρῆμα πνοαὶ παρῆλθον. ταχέως δὲ ὁ Τῖφυς παρεκελεύσατο ἐμβάντας ἀπολύσαι. Schol.

1276. Ὕψι δὲ νηὸς] ἀνασπάσαντες τὰς ἀγκύρας, καὶ τοῦ ὅρμου ἀνακινήσαντες τὴν ναῦν. γελοῖος δὲ Ἔφορος, νομίζων πρῶτον Ἀνάχαρσιν τὴν διπλῆν ἄγκυραν εὑρηκέναι. πρεσβύτεροι γὰρ Ἀναχάρσιδος οἱ Ἀργοναῦται. Schol.

1277. Ἀνεκρούσαντο] διὰ τοῦ συνηγμένου τὸ ἐπακολουθοῦν ἐδήλωσεν. ἀντὶ, τὸ ἱστίον ἐχάλασαν. Schol.

Ἠμος

Ἦμος δ' οὐρανόθεν χαροπὴ ὑπολάμπεται ἠὼς
Ἐκ περάτης ἀνιοῦσα, διαγλαύσσουσι δ' ἀταρποὶ,
Καὶ πεδία δροσόεντα φαεινῇ λάμπεται αἴγλῃ·
Τῆμος τούσδ' ἐνόησαν ἀϊδρείῃσι λιπόντες.
Ἐν δέ σφιν κρατερὸν νεῖκος πέσεν, ἐν δὲ κολῳὸς
Ἄσπετος, εἰ τὸν ἄριστον ἀποπρολιπόντες ἔβησαν
Σφωϊτέρων ἑτάρων. Ὁ δ' ἀμηχανίῃσιν ἀτυχθεὶς,
Οὐδ' ἔτι τοῖον ἔπος μετεφώνεεν, οὐδ' ἔτι τοῖον
Αἰσονίδης· ἀλλ' ἧστο βαρείῃ νειόθεν ἄτῃ
Θυμὸν ἔδων. Τελαμῶνα δ' ἕλεν χόλος, ὧδέ τ' ἔειπεν.

Quando autem de cœlo læta resplendet Aurora
De finibus reversa, et luce flavent colles,
Roscidosque campos fulgidus illuminat splendor,
Tunc sane animadverterunt se illos præ imprudentiâ reliquisse.
Inter autem ipsos magna contentio orta est, et tumultus
Ingens, eò quòd, relicto præstantissimo, conscenderant
Sociorum suorum. Ipse autem rei difficultate perculsus
Neque tale verbum locutus est, neque tale
Æsonides, sed sedebat tristi præ calamitate
Mentem rodens: Telamona autem corripuit ira, itaque effatus est.

1280. Ἦμος δ' οὐρανόθεν χαροπὴ] χαροπὴν τὴν ἠῶ, διὰ τὸ λαμπρύνειν τὸν ἀέρα καὶ φωτίζειν. Schol.

1281. Περάτης] σημαίνει μὲν κατά τινας, καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον· λέγεται δὲ κυρίως ἡ ἀνατολή. πέρας γὰρ αὕτη τῆς τοῦ οὐρανοῦ κινήσεως. ἐκεῖθεν γὰρ ἄρχεται, καὶ εἰς αὐτὴν τελευτᾷ. Τὸ δὲ γλαυκὸν καὶ χαροπὸν συνωνύμως λέγεται. ἀμφότερα γὰρ ἐπὶ τοῦ λαμπροῦ. διὸ καὶ ἐπλήρωσεν διαγλαύσσουσιν, ἀντὶ τοῦ φωτίζουσιν, ἢ διαλάμπουσιν. ὅθεν καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις, καὶ γλήνη, ἡ κόρη τοῦ ὀφθαλμοῦ· παρὰ τὸ γλαύσσειν, ὅ ἐστι λάμπειν, καὶ Εὐριπίδης ἐπὶ τῆς σελήνης ἐχρήσατο, "γλαυκῶπίς τε στρέφεται μήνη. Schol."

Ibid. Ἐκ περάτης] *E metâ.* Confer infra II, 164. IV. 54. Sed vide Spanh. ad Call. p. 433. Upt.

1284. Ἐν δέ σφιν, &c.

Hic verò ingenti repetuntur pectora luctu
Ut socii sedere locis, nullæque leonis
Exuviæ, tantique vacant vestigia transtri.
Val. Flacc. III. 719.

1285. Εἰ pro ὅτι. Sic in Act. XXVI. 8. τί ἄπιστον κρίνεται παρ' ὑμῖν ΕΙ ὁ Θεὸς νεκροὺς ἐγείρει. Et rursus 23.

1287. Οὐδ' ἔτι τοῖον ἔπος οὐδ' ἔτι τοῖον.] Locutio pleonastica pro *nihil omnino*. Φράσις plerisque scriptoribus usitatissima. Sic οὐδὲν οὔτε μέγα οὔτε μικρὸν cum multis hujusmodi.

1289. Τελαμῶνα δ' ἕλεν χόλος] οὗτος γὰρ πάνυ Ἡρακλέους γέγονεν ἑταῖρος,

Ἧσ' αὔτως εὔκηλος, ἐπεί νύ τοι ἄρμενον ἦεν
Ἡρακλῆα λιπεῖν· σέο δ' ἔκτοθι μῆτις ὄρωρεν,
Ὄφρα τὸ κείνου κῦδος ἀν' Ἑλλάδα μή σε καλύψῃ,
Αἴ κε θεοὶ δώωσιν ὑπότροπον οἴκαδε νόστον.
Ἀλλὰ τί μύθων ἦδος; ἐπεὶ καὶ νόσφιν ἑταίρων
Εἶμι τεῶν, οἳ τόν γε δόλον συνετεκτήναντο.
Ἦ, καὶ ἐς Ἀγνιάδην Τῖφυν θόρε· τὼ δέ οἱ ὄσσε
Ὄστλιγγες μαλεροῖο πυρὸς ὣς ἰνδάλλοντο.

Sedes ita quietus ſcilicet: nimirum tibi commodum erat
Herculem relinquere; tuum autem hoc conſilium erat,
Ut illius gloria per Græciam tuæ nequaquam tenebras obduceret,
Si modò Dii dederint ad domum reditum.
Sed quid verbis opus eſt? nam et ipſe ſeorſim a ſociis
Diſcedo tuis, qui hunc dolum unà machinati ſunt.
Dixit, et in Agniadem Tiphyn inſiliit, ejuſque oculi
Scintillis ſimiles flagrantis ignis videbantur.

ὃς καὶ εἰς πολλοὺς ἄθλους αὐτῷ συνεμάχησεν, καὶ εἰς Ἴλιον συνέπλευσεν, καὶ συνεπολέμησεν Ἀμαζόνας· καὶ τὸν Ἀλκυονέα ἀνεῖλεν, ὡς καὶ ὁ Πίνδαρος ἱστορεῖ. Θεόκριτος ἐνδείκνυσι τὴν φιλίαν αὐτῶν, "Οἱ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνυντο τράπεζαν." ὁ δὲ λόγος, καθίζῃ, ὡς ἔτυχεν ἥσυχος. Ἀπολλώνιος μὲν οὖν ἀπολελεῖφθαι φησὶ τὸν Ἡρακλέα περὶ Κίον, ἐκβάντα ἐπὶ τὴν Ὕλα ζήτησιν· Διονύσιος δὲ ὁ Μιτυληναῖος, συμπεπλευκέναι φησὶ τὸν ἥρωα τοῖς ἀριστεῦσιν ἕως Κόλχων, καὶ τοῖς περὶ Μήδειαν συμπεπραχέναι τῷ Ἰάσονι. ὁμοίως καὶ Δημάρετος. Ἡρόδωρος δέ φησι μὴ συμπεπλευκέναι αὐτόν τε καί τινας ἄλλους. Ἡσίοδος ἐν τῷ Κήυκος γάμῳ, ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν, τῆς Μαγνησίας παρὰ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ Ἀφέτας καλουμένας ἀπολειφθῆναι. Ἀντίμαχος δὲ ἐν τῇ Λυδῇ φησὶν ἐκβιβασθέντα τὸν Ἡρακλέα διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος. τούτῳ καὶ Ποσείδιππος ὁ ἐπιγραμματογράφος ἠκολούθησε, καὶ Φερεκύδης. Ἔφορος δὲ ἐν τῇ ε φησὶν αὐτὸν ἑκουσίως ἀπολελεῖφθαι περὶ Ὀμφάλην τὴν Λυδῶν βασιλεύουσαν. ἰδίως δὲ Ἀντικλείδης ἐν τῇ β τῶν δηλιακῶν, Ὕλλον φησὶ τὸν Ἡρακλέους υἱὸν ἀποβάντα ἐφ' ὕδωρ, μὴ ὑποστρέψαι. Schol.

1292. Ὄφρα τὸ κείνου κῦδος] ἀστείως καὶ τεχνικῶς, οὐ τοῦ καταπαίζοντος καιροῦ μέμνηται, ἀλλ' ἐπὶ τὸν νόστον ἀνάγει τὸν λόγον, ἵνα πλεῖον κακίσῃ τὴν πρᾶξιν. οὐδὲν γάρ σοι διεφέρετο ἐν Σκυθίᾳ ὑπὸ Ἡρακλέους ἡττῆσθαι· ἀλλ' ὅμως τοῦτό σοι αἰσχύνην ἔφερεν ὕστερον, ἡμῶν εἰς Ἑλλάδα ἐπανελθόντων. διὸ καὶ τὴν κοινὴν πάντων συνηγορίαν ὑπὲρ τῆς σῆς εὐδοξίας ὑπεριδεῖν ἐπείρασας. Schol.

1294. Ἀλλὰ τί μύθων ἦδος] Ἡρωδιανὸς ἐν τῷ εἰκοστῷ φησὶν ὅτι τὰ εἰς ος λήγοντα οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦται, αἶσχος, ἦθος, εὖρος, ἄλσος. οὕτως οὖν καὶ ἦδος. τὸ δὲ ἀθρόως δασύνεται, καί τοι τὸ η ἔχον ἀπὸ τοῦ θ, τῇ ἐννοίᾳ τοῦ ἥσσω μέλλοντος δασυνομένου. ἐλλείπει δὲ τὸ σοί. ὁ γὰρ νοῦς. ἀλλὰ τί τοσούτων ἦδός μοι λόγων; πορεύομαι γὰρ χωρὶς τῶν συντεθειμένων σοι τοῦτον τὸν δόλον. Schol.

1297. Ὄστλιγγες] αἱ λαμπηδόνες. ἐν ἄλλοις δὲ σημαίνει ἡ λέξις τοὺς βοστρύχους,

Καὶ

Καί νύ κεν ἂψ ὀπίσω Μυσῶν ἐπὶ γαῖαν ἵκοντο,
Λαῖτμα βιησάμενοι, ἀνέμου τ' ἄλληκτον ἰωὴν,
Εἰ μὴ Θρηϊκίοιο δύω υἷες Βορέαο
Αἰακίδην χαλεποῖσιν ἐρητύεσκον ἔπεσσιν,
Σχέτλιοι· ἦ τέ σφιν στυγερὴ τίσις ἔπλετ' ὀπίσσω
Χερσὶν ὑφ' Ἡρακλῆος, ὅ μιν δίζεσθαι ἔρυκον.
Ἄθλων γὰρ Πελίαο δεδουπότος ἂψ ἀνιόντας
Τήνῳ ἐν ἀμφιρύτῃ πέφνεν, καὶ ἀμήσατο γαῖαν

Et profecto iterum in Mysorum terram revertissent
Salo obluctati, ventique continuis flatibus,
Nisi Thracii duo filii Aquilonis
Æaci natum asperis cohibuissent verbis;
Miseri: certè ipsis tristis pœna postea erat *soluta*
Sub manibus Herculis, quòd ipsum requiri vetuerant.
A certaminibus enim Peliæ defuncti revertentes
In Teno insulâ occidit; et aggeravit terram

" ἀπ' ὀσλίγγων δ' αἰὲν ἄλειφα ῥέει." τοῦτο δὲ φησιν Ἡρωδιανὸς ἐν τῷ δευτέρῳ τῆς καθόλου. Schol.

1298. Ἂψ ὀπίσω] Παρὰ μὲν Ἀπολλωνίου καὶ Φιλητᾶ διὰ τοῦ α τὸ ἄψ, καὶ ὀπίσσω, ἐκ παραλλήλου. Schol.

1299. Λαῖτμα βιησάμενοι] ἀντὶ τοῦ μαχεσάμενοι τῷ κατεπείγοντι ἀνέμῳ καὶ βιασάμενοι. λαῖτμα δὲ τὸ κῦτος τῆς θαλάσσης καὶ διάστημα, οἱονεὶ λάτμημα. ἢ παρὰ τὸ λαπίζεσθαι ὑπὸ τῶν κυμάτων, ὅ ἐστι τύπτεσθαι. Σιλλωὸς δὲ ἐν γλώσσαις πέλαγος εἶναι, καὶ Εἰρηναῖος ἐν πρώτῳ Ἀπολλωνίου, ἀποδεδώκασιν. Schol.

1300. Εἰ μὴ Θρηϊκίοιο] τούτους Ἡρακλῆς ἀνεῖλεν ὕστερον, εὑρὼν περὶ Τῆνον τὴν νῆσον, ἣ παράκειται Δήλῳ, ἐπειδὴ Ἡρακλῆς ἐμνησικάκει τῷ Βορέᾳ. Ὅμηρος, " Τὸν " σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας." Αἰνησίδαμος δὲ ἐν Ταυνιακοῖς, ἐπειδὴ τὸν Ἡρακλέα ξενίσαντες, ἐνήδρευσαν αὐτὸν, φονεῦσαι βουλόμενοι. Schol.

1304. Ἄθλων γὰρ Πελίαο] ἕως τοῦ ἀμφ' αὐτοῖς. ὅτι Ἡρακλῆς ἀνεῖλε τοὺς Βορεάδας, διὰ τὸ κωλῦσαι τὴν ναῦν ὑποστρέψαι πάλιν εἰς τὴν Μυσίαν, φησὶν Ἀπολλώνιος. Σῆμος δὲ φησι, διὰ τὸ ληφθῆναι δρόμῳ τὸν Ἡρακλέα τῶν Βορεαδῶν. Στησίμβροτος δὲ φησιν, ὅτι διαφορὰν ἔχον πρὸς τὸν Ἡρακλέα περὶ τῶν διδομένων δώρων ὑπὸ Ἰάσονος τοῖς ἀριστεῦσι. Νίκανδρος δὲ ὁ Κολοφώνιος ἐν τῇ πρώτῃ τῶν Οἰταϊκῶν φησι Βορέαν αἴτιον γεγονέναι τοῦ θανάτου τῶν προειρημένων, διὰ τὸ χειμάσαι τὸν Ἡρακλέα ἐν Κῷ ὑποστρέφοντα. Δεδουπότος. μετὰ γὰρ τὸν θάνατον Πελίου, ἀνιόντας εἰς ἐπὶ τὴν πατρίδα τοὺς Βορεάδας ἐκ τοῦ ἐπιταφίου αὐτοῦ ἀγῶνος συντυχὼν Ἡρακλῆς καὶ ὑπομνησθεὶς αὐτοῦ τούτου, ὅτι αὐτὸν ἀναζητηθῆναι ἐκώλυσαν, ἀνεῖλεν αὐτοὺς ἐν Τήνῳ τῇ νήσῳ. Schol.

1305. Τήνῳ] Tenus insula Delo adjacet: sed de tumulis Zetes et Calais ita scribit Hyginus, L. I. fab. 14. *Quorum in tumulis superpositi lapides flatibus paternis moventur.* Upt.

Ἀμφ' αὐτοῖς, στήλας τε δύω καθύπερθεν ἔτευξεν·
Ὧν ἑτέρη, θάμβος περιώσιον ἀνδράσι λεύσσειν,
Κίνυται ἠχήεντος ὑπὸ πνοιῇ Βορέαο.
Καὶ τὰ μὲν ὣς ἤμελλε μετὰ χρόνον ἐκτελέεσθαι.
Τοῖσιν δὲ Γλαῦκος βρυχίης ἁλὸς ἐξεφαάνθη,
Νηρῆος θείοιο πολυφράδμων ὑποφήτης.
Ὕψι δὲ λαχνῆέν τε κάρη καὶ στήθε' ἀείρας
Νειόθεν ἐκ λαγόνων, στιβαρῇ ἐπορέξατο χειρὶ
Νηΐου ὁλκαίοιο, καὶ ἴαχεν ἐσσυμένοισιν.
Τίπτε παρὲκ μεγάλοιο Διὸς μενεαίνετε βουλὴν
Αἰήτεω πτολίεθρον ἄγειν θρασὺν Ἡρακλῆα;

Circum ipsos; duosque cippos superstruxit;
Quorum alter, non sine magno stupore hominibus videndus,
Movetur sonoris flatibus Aquilonis.
Sed hæc tamen ita erant in posterum perficienda.
Illis autem Glaucus fremibundo è mari apparuit
Nerei divini multiscius vates.
Altè verò hirsutum caput et pectora tollens
Ab imo ex lateribus robustâ apprehendit manu
Navis temonem, et inclamavit festinantibus.
Quare contra magni Jovis nitimini consilium
In Æetæ urbem ducere fortem Herculem?

1306. Στήλας τε δύω] τῶν δύο τάφος ἐστὶν ἐν Τήνῳ τῇ νήσῳ καὶ στῆλαι· ὧν τὴν ἑτέραν πάντως συμβαίνει ὑπὸ ἀνέμου κινεῖσθαι τοῦ Βορέου πατρὸς αὐτῶν. Schol.

1309. Καὶ τὰ μὲν ὡς ἤμελλε] Καλλιμάχου ὁ στίχος. κοινὸν δὲ ἁμάρτημα πάντων τῶν μεθ' Ὅμηρον ποιητῶν, τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα κατὰ τὸν ἐνεστῶτα χρόνον, διὰ τοῦ η ἐκφέρειν ἐπὶ τοῦ παρατατικοῦ. Schol.

1310. Τοῖσιν δὲ Γλαῦκος] Γλαῦκος, Πολύβου παῖς, Ἀνθηδόνιος τὸ γένος (ἡ δὲ Ἀνθηδὼν Βοιωτικὴ πόλις· ὡς καὶ Ὅμηρος, "Ἀνθηδόνα τ' ἐσχατόωσαν") ἁλιεὺς τὴν τέχνην. ὃς πολλῶν ποτὲ ἰχθύων εὐτυχήσας ἄγραν, μεταξὺ τῆς ὁδοῦ ἀποκαμὼν ἀπέθετο τὸ φορτίον τῶν ἰχθύων. ὁ δὲ εἷς τούτων, ἀθανάτου φαγὼν βοτάνης ἀνέζησε. λαβὼν δὲ καὶ ὁ Γλαῦκος, φαγὼν καὶ αὐτὸς ἀπεθεώθη. εἶτα ὡς εἰς ἄκρον γήρως ἤρχετο, μηκέτι φέρων, ἐδίσκευσεν ἑαυτὸν εἰς θάλασσαν· καὶ ἐτιμήθη ὡς θαλάσσιος δαίμων. καὶ τὸν ἰχθὺν τὸν Γλαῦκον ἀπ' αὐτοῦ κεκλῆσθαι λέγουσι. Βρυχίης, βρυχώδους. Schol.

1314. Νηΐου] Μέρος λέγει τῆς νεὼς, ὅπερ σύρεται κατὰ τὸ ὕδωρ. Schol.

1315. Τίπτε παρὲκ μεγάλοιο] τὸ ἑξῆς, τίπτε μενεαίνετε παρὲκ μεγάλοιο Διὸς βουλήν; τουτέστι, τί προθυμεῖσθε παρὰ τὴν τοῦ Διὸς βουλήν. Schol.

Ἀργ

Ἄργει οἱ μοῖρ' ἐστὶν ἀτασθάλῳ Εὐρυσθῆϊ
Ἐκπλῆσαι μογέοντα δυώδεκα πάντας ἀέθλους·
Ναίειν δ' ἀθανάτοισι συνέστιον, εἴ κ' ἔτι παύρους
Ἐξανύσῃ· τῷ μή τι ποθὴ κείνοιο πελέσθω.
Αὔτως δ' αὖ Πολύφημον ἐπὶ προχοῇσι Κίοιο
Πέπρωται Μυσοῖσι περικλεὲς ἄστυ καμόντα,
Μοῖραν ἀναπλήσειν Χαλύβων ἐν ἀπείρονι γαίῃ.
Αὐτὰρ Ὕλαν φιλότητι Θεὰ ποιήσατο Νύμφη
Ὃν πόσιν· οἷό περ οὕνεκ' ἀποπλαγχθέντες ἔλειφθεν.
Ἦ, καὶ κῦμ' ἀλίαστον ἐφέσσατο νειόθι δύψας.
Ἀμφὶ δέ οἱ δίνῃσι κυκώμενον ἄφρεεν ὕδωρ
Πορφύρεον, κοίλην δὲ δι' ἐξ ἁλὸς ἔκλυσε νῆα.

In Argis ei fatò destinatum est ut impio Euristheo
Absolvat laborans duodecim omnia certamina,
Atque cum immortalibus habitet familiaris, si pauca adhuc
Perfecerit: quare nullum ejus sit desiderium.
Similiter etiam Polyphemo, ad ostia Cii
Fato sancitum est, ubi inclytam condiderit urbem,
Mortem obire in Chalybum immensâ terrâ.
Hylan autem Dea Nympha præ amore fecit
Maritum suum, cujus causâ illi aberrantes relicti erant.
Dixit; et immensum subiit fluctum, in imo mersus.
Circum autem ipsum vorticibus agitata spumabat unda
Purpurea, cavamque per mare proluit navem.

1317. Ἄργει οἱ μοῖρ' ἐστὶν] ὅτι ἄθλους ἐπιτελῶν Ἡρακλῆς παραλιπὼν τούτους, ὥρμησεν ἐπὶ τοὺς ἀριστεῖς, αὐτὸς Ἀπολλώνιος ἐν τῷ καταλόγῳ τῶν ἡρώων φησί. Schol.

1319. Συνέστιον] συνδιαιτητὴν, ὁμοτράπεζον, ὁμότιμον. ὅτι ἡ κοινὴ τράπεζα τὴν αὐτὴν τιμὴν τοῖς μεταλαμβάνουσιν αὐτῆς δίδωσιν. Εἴ κ' ἔτι παύρους. ἐὰν ἔτι ὀλίγους, πρὸς οὓς ἤνησεν, ἀνύσῃ ἄθλους. Schol.

1321. Προχοῇσι Κίοιο] Ποταμὸς Μυσίας, ἀφ' οὗ ἡ Κίος, ὁμωνύμως τῷ ποταμῷ. ἐτελεύτα γὰρ Πολύφημος τοῖς Χάλυψι μαχόμενος. ἔστι δὲ ἔθνος Σκυθικόν. Schol.

1323. Χαλύβων] Χάλυβες ἔθνος Σκυθίας, ὅπου ὁ σίδηρος γίνεται. Καλλίμαχος, "Χαλύβων ὡς ἀπόλοιτο γένος." Schol.

1325. Ὃν πόσιν] κακῶς τέθεικεν τὸ ὃν πόσιν. ἔστι γὰρ μεταληπτικὸν, ἰσοδυναμοῦν τῷ ἑαυτῆς. δεῖ δὲ εἰπεῖν, ἧς πόσιν. τοῦτο γὰρ ἰσοδυναμεῖ τῷ αὐτῆς, ἵν' ᾖ ὁ λόγος, ἐποιήσατο νύμφη ἑαυτῆς πόσιν. Schol.

1326. Ἀλίαστον] πολύ. Δύψας. καταδύς. Schol.

Γήθησαν

Γήθησαν δ' ἥρωες· ὁ δ' ἐσσυμένως ἐβεβήκει
Αἰακίδης Τελαμὼν ἐς Ἰήσονα· χεῖρα δὲ χειρὶ
Ἄκρην ἀμφιβαλὼν προσπτύξατο, φώνησέν τε.
Αἰσονίδη, μή μοί τι χολώσεαι, ἀφραδίῃσιν
Εἴ τί περ ἀασάμην· περὶ γάρ μ' ἄχος εἷλεν, ἐνισπεῖν
Μῦθον ὑπερφίαλόν τε καὶ ἄσχετον· ἀλλ' ἀνέμοισιν
Δώομεν ἀμπλακίην, ὡς καὶ πάρος εὐμενέοντες.
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως προσέειπεν.
Ὦ πέπον, ἦ μάλα δή με κακῷ ἐκυδάσσαο μύθῳ,
Φὰς ἐνὶ τοῖσιν ἅπασιν ἐνηέος ἀνδρὸς ἀλείτην
Ἔμμεναι· ἀλλ' οὐ θήν τοι ἀδευκέα μῆνιν ἀέξω,

Heroes autem lætati sunt: ipseque festinanter accessit
Æacides Telamon ad Jasonem, manuque manum
Summam complexus, salutavit et allocutus est.
Æsonis fili, ne quid mihi succenseas, quæ imprudentiâ
Si quid deliquerim: me enim dolor impulit dicere
Verbum temerarium et protervum; sed ventis
Demus errorem, sicut et antea benevoli.
Huic autem Æsonis filius consultè responsum dedit.
O amice, equidem me acerbo incessivisti sermone,
Dicens inter hos omnes me chari viri desertorem
Esse: verùm non diu quidem amaram iram continebo

1329. Γήθησαν] ἐχάρησαν τῷ μαθεῖν τὴν αἰτίαν τῆς ἀπολείψεως. Ἐσσυμένως, ταχέως. Schol.

1331. Προσπτύξατο] ἐδεξιώσατο, ἐφιλοφρονήσατο τοῖς λόγοις. Schol.

1332. Αἰσονίδη, μή μοι τι χολώσεαι] διὰ μὲν τοῦ μή μοι χολώσεαι, τὸ ἀποφατικὸν τέταχεν ἀντὶ τῆς ἀπαγορεύσεως. ἔδει γὰρ εἰπεῖν, μή μοι χόλου, προστακτικῶς. Ἀφραδίῃσιν. ἀγνοίαις. κατὰ μεσότητα ἀκουσίως, ἀφραδέως, ἀδιανοήτως. Εἴ τί περ ἀασάμην. κατὰ μεταφορὰν ἀπὸ τῶν ἁρματοδρόμων. Schol.

1334. Ὑπερφίαλον] ἀντὶ τοῦ ἡμαρτημένον. οἷον ὑπερφίαλον, κατὰ παρέμπλασιν τοῦ α. καταστρέφει δὲ εἰς τὸ οὐ καθῆκον οὐδὲ νόμιμον. Ἀλλ' ἀνέμοισιν δώομεν. ἡ διάνοια παρὰ τῷ ποιητῇ, "ἔπος δ' εἴ πέρ τι βέβακται δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι θύελλαι." Schol.

1336. Ἐπιφραδέως] διανενοημένως καὶ συνετῶς. Schol.

1337. Ἐκυδάσσαο] ἐλοιδόρησας. κύδος γὰρ ἀρσενικῶς ἡ λοιδορία, παρὰ Συρακουσίοις. Σοφοκλῆς Αἴαντι μαστιγοφόρῳ, "κυδάζεται πᾶσιν Ἀργείοις ὁμοῦ." Schol.

1338. Ἐνηέος ἀνδρὸς] συνηλλαγμέναι εἰσὶν αἱ πλάσεις. ὁ γὰρ νοῦς, εἰς [illegible] ἄνδρα ἁμαρτεῖν. Schol.

Πρὶν

Πρίν περ ἀνιηθείς· ἐπεὶ οὐ περὶ πώεσι μήλων,
Οὐδὲ περὶ κτεάτεσσι χαλεψάμενος μενέηνας,
Ἀλλ᾽ ἑτάρου περὶ φωτός· ἔολπα δ᾽ ἔτι σε καὶ ἄλλῳ
Ἀμφ᾽ ἐμεῦ, εἰ τοιόνδε πέλοι ποτὲ, δηρίσεσθαι.
Ἦ ῥα· καὶ ἀρθμηθέντες, ὅπη πάρος, ἑδριόωντο.
Τὼ δὲ Διὸς βουλῇσιν, ὁ μὲν Μυσοῖσι βαλέσθαι
Μέλλεν ἐπώνυμον ἄστυ πολισσάμενος ποταμοῖο
Εἰλατίδης Πολύφημος· ὁ δ᾽ Εὐρυσθῆος ἀέθλους
Αὖτις ἰὼν πονέεσθαι. ἐπηπείλησε δὲ γαῖαν
Μυσίδ᾽ ἀναστήσειν αὐτοσχεδὸν, ὁππότε μή οἱ
Ἢ ζωοῦ εὕροιεν Ὕλα μόρον, ἠὲ θανόντος.
Τοῖο δὲ ῥύσι᾽ ὄπασσαν ἀποκρίναντες ἀρίστους

Antea licèt vexatus: quandoquidem non de gregibus ovium
Neque de possessionibus iratus succensuisti,
Sed pro viro amico: spero autem te etiam cum alio
Pro me, si quid tale unquam contigerit, litigaturum.
Dixit sane; et amici facti, sicut antea, sedebant.
Illi verò, Jovis consilio, alter quidem Mysis extructurus
Erat fabricando cognominem urbem fluvii
Elati filius Polyphemus; alter verò Euristhei labores
Iterum reversurus perficere: minatus est autem se terram
Mysorum protinus vastaturum, nisi ipsi
Aut vivum invenirent Hylan, aut mortuum.
Hujus autem obsides tribuerunt rei optimates

1344. Ἀρθμηθέντες] φιλιωθέντες. Schol.

1346. Ἐπώνυμον] ἀντὶ τοῦ ὁμώνυμον τοῦ ποταμοῦ. καὶ γὰρ Κίος ὁ ποταμὸς καὶ πόλις. ὠνόμασται δὲ ὁ ποταμὸς ἀπὸ Κίου τοῦ ἡγησαμένου Μιλησίων. Schol.

1348. Ἐπηπείλησε δὲ γαῖαν] ἀνάστατον καὶ ἔρημον ποιήσειν παραυτίκα, εὐθέως, τὴν Μυσίδα ἤ τοι Μυσῶν χώραν ἠπείλησε. τὸ Μυσίδα ἔχει μὲν τόπον ὑποκοριστικόν· ὥσπερ καὶ τὸ Ἀσίδα, ἀντὶ τοῦ Ἀσίαν. Schol.

1349. Ὁππότε] Ἀττικόν ἐστι παρῳχημένου χρόνου, ἰσοδυναμοῦν τῷ ὅτε. "ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον." τίθεται δὲ καὶ ἐπὶ τοῦ ἐπιόντος χρόνου, συνεκφερομένου αὐτῷ τοῦ ἐπιζευκτικοῦ συνδέσμου τοῦ ἄν. "ὁππότ᾽ ἂν νοήσητε." ἔδει οὖν ἐπιζευκτικῷ αὐτὸν χρήσασθαι τῷ εἰ, "εἰ μή μοι τλαίης γε θεά." Schol.

1350. Ἢ ζωοῦ εὕροιεν Ὕλα μόρον] ἀντὶ τοῦ μοῖραν ἀκουστέον, παρεσχημάτισται γὰρ ἀπὸ τοῦ μοῖρα, ὡς τῷ πύλῳ παρ᾽ Ὁμήρῳ, ἐν πύλῳ ἐν νεκύεσσι βαλών. μόρον οὖν μοῖραν, ἢ ζῶντος ἢ τεθνηκότος. ὅς ἐστι ποτὲ μοίρας εἴτε ζῶν εἴτε νεκρός. Schol.

1351. Τοῖο δὲ ῥύσι᾽ ὄπασσαν] ἀντὶ τοῦ

Υἱέας

Υἱέας ἐκ δήμοιο, καὶ ὅρκια ποιήσαντο,
Μήποτε μαστεύοντες ἀπολλήξειν καμάτοιο.
Τοὔνεκεν εἰσέτι νῦν περ Ὕλαν ἐρέουσι Κιανοὶ
Κοῦρον Θειοδάμαντος, ἐϋκτιμένης τε μέλονται
Τρηχῖνος· δὴ γάρ ῥα κατ' αὐτόθι νάσσατο παῖδας,
Οὕς οἱ ῥύσια κεῖθεν ἐπιπροέηκαν ἄγεσθαι.
Νηῦν δὲ πανημερίην ἄνεμος φέρε, νυκτί τε πάσῃ
Λάβρος ἐπιπνείων· ἀτὰρ οὐδ' ἐπὶ τυτθὸν ἄητο
Ἠοῦς τελλομένης. Οἱ δὲ χθονὸς εἰσανέχουσαν

Filios ex populo, ac ſacramento firmârunt
Se nunquam quærendi deſituros laborem.
Adeo in hodiernum Hylan inveſtigant Ciani
Filium Theiodamantis, beneque munitam tuentur
Trachinem: nam ibi collocârat filios
Quos ſibi loco pignoris inde miſerunt abducendos.
Navem autem per totam diem ventus ferebat noctemque totam
Vehementer ſpirans; ſed neque vel minimum flabat
Aurorâ ortâ: illi igitur terræ eminentem

Ὕλα ἐνέχυρα οἱ Μυσοὶ παρέχον τῷ Ἡρακλεῖ ὑπὲρ τοῦ πάντοτε αὐτὸν ἐπιζητεῖν. πλεονάζει δὲ ἡ ἀπὸ πρόθεσις. Schol.

1353. Μαστεύοντες] ζητοῦντες. ἐξ οὗ καὶ μαστὸς ἡ ζήτησις. Καλλίμαχος, "μαστύος ἄλλοτ' ἔκαμνον ἀλητύϊ." ὅθεν καὶ Μαστοὶ καλοῦνται, διὰ τὸ ἀναγκαίως ζητεῖσθαι ὑπὸ τῶν παίδων. Schol.

Ibid. Μαστεύοντες. Flor. μαστεύσοντες. Schol.

1354. Ἐρέουσιν] ἀντὶ τοῦ ἐρευνῶσι. Ὅμηρος, "τοὺς ἐρέων, Ὀδυσῆϊ συνήντετο." καὶ, "Κνημοὺς ἐξερέησιν." Schol.

1353. Ἐϋκτιμένης τε μέλονται Τρηχῖνος] Τραχὶν πόλις Θεσσαλίας, ἔνθα τοὺς παῖδας τῶν Μυσῶν ἐνῴκισεν Ἡρακλῆς, ὅτε ἀντενέχυρα τοῦ Ὕλα ἐδέξατο αὐτούς. οὐχ ὑγιῶς δὲ τέθεικεν τὸ αὐτόθι. δηλωτικὸν γάρ ἐστι τοῦ παρόντος τόπου, ἴσον τῷ, αὖθι μένειν, μή πως ἀδροτάζομεν ἀλλήλοιϊν. ἔδει δὲ εἰπεῖν, τὸν ἀφεστῶτα τόπον. ὡς τὸ, ὅθι ποιμένα ποιμὴν ἀπύει. Schol.

1357. Ῥύσια] τὰ ἀντί τινος ἐνέχυρα διδόμενα ὑπὲρ τοῦ ἄξιως. ὅτι δὲ Κιανοὶ ὅμηρα ἔδοσαν Ἡρακλεῖ, καὶ ὤμοσαν μὴ λήξειν ζητοῦντες Ὕλαν, καὶ φροντίδα ἔχουσι Τραχινίων, διὰ τὸ ἐκεῖσε κατοικισθῆναι ὑφ' Ἡρακλέους τοὺς ὁμηρεύσαντας, Κιναίθων ἱστορεῖ ἐν Ἡρακλείᾳ. Schol.

1358. Νηῦν δὲ πανημερίην] ὁ νοῦς οὕτως, τὴν δὲ ναῦν δι' ὅλης ἡμέρας καὶ νυκτὸς ὁ ἄνεμος ἔφερεν σφοδρῶς ἐπιπνέων. τῆς δὲ ἡμέρας ἐπιφανείσης, οὐδὲ ὀλίγον, ἀλλ' εὐθέως ἐπαύετο. Schol.

1360. Εἰσανέχουσαν] ἐξέχουσαν καὶ ἐπηρμένην, ἢ ἀνέχουσαν ἀκτὴν, ἀναπεπταμένην, πλαγίαν ἰδόντες, ἐπίκωποι γενόμενοι, καθώρμισαν τὴν ναῦν. Schol.

Ἀκτὴν

Ἀκτὴν ἐκ κόλποιο μάλ' εὐρεῖαν γ' ἐσιδέσθαι
Φρασσάμενοι, κώπῃσιν ἅμ' ἠελίῳ ἐπέκελσαν·
Ἠὼς δ' ȣ̓ μετὰ δηρὸν ἐελδομένοις ἐφαάνθη.

Ripam ex ſinu valdè latam viſu
Obſervantes, remis cum ſole appulerunt.
Aurora autem non poſt dìu deſiderantibus apparuit.

# ΑΠΟΛΛΩΝΙΟΥ

## ΤΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ

### ΔΕΥΤΕΡΟΝ.

ΕΝΘΑ Δ' ἔσαν σταθμοί τε βοῶν, αὖλίς τ' Ἀμύκοιο,
Βεβρύκων βασιλῆος ἀγήνορος, ὅν ποτε Νύμφη

IBIDEM erant stabula boum et castra Amyci
Bebrycum regis superbi, quem quondam Nympha

Ver. 1. Ἔνθα δ' ἔσαν σταθμοί τε βοῶν. Τοῦ δευτέρου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια ἐστὶ τάδε. Ἄμυκος ὁ τῶν Βεβρύκων ἡγούμενος, διαπυκτεύσας Πολυδεύκει, καὶ ἀναιρεῖται. δι' ὃν μάχη γίνεται τῶν Ἀργοναυτῶν καὶ Βεβρύκων· καὶ πολλοὺς ἀναιροῦσιν οἱ Ἀργοναῦται, οἱ δὲ λοιποὶ φεύγουσιν. ἔπειτα παραγίνονται οἱ Ἀργοναῦται πρὸς Φινέα, πεπηρωμένον τὰς ὄψεις ὄντα· ὃς δὲ ἱκέτευε βοηθῆσαι αὐτῷ. Ἅρπυιαι γὰρ ἐξ ἀφανοῦς τινος παραδιδόμεναι τούτου τὴν τροφὴν ἁρπάζουσαι, ἄγευστον αὐτὸν ἐποίουν. ἐγίνωσκε δὲ, ἅτε δὴ μάντις, ὑπὸ τίνων ἦν μεμοιραμένον αὐτὰς διωχθῆναι. ἱκετεύσαντος δὲ, Βορεάδαι οὐκ ἠπείθησαν, ἀλλ' ἐδίωξαν αὐτάς. ἐν τοσούτῳ δὲ Φινεὺς αὐτοῖς ἐξηγεῖται τὸν εἰς Κόλχους πλοῦν. ἐπανελθόντες δὲ οἱ Βορεάδαι διηγοῦνται ὡς καταπεπαύκασι τὰς Ἁρπυίας. ἑξῆς δέ ἐστι τὰ περὶ Κυρήνην τὴν Ὑψέως, καὶ Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ αὐτῆς τῆς Κυρήνης υἱόν· καὶ ὅσα μεμύθευνται περὶ τῶν ἐτησίων ἀνέμων· καὶ ὡς τὰς Συμπληγάδας διέπλευσαν, καὶ ἐν τῇ παρακειμένῃ νήσῳ ἐγένοντο τῇ Θυνιάδι χώρᾳ, καὶ ἐπιφάνη αὐτοῖς ὁ Ἀπόλλων. ἔνθα τέμενος κατασκευάσαντες, Ἑῷον τὸν θεὸν ἐπωνόμασαν. τά τε περὶ τὴν Μαριανδυνίαν καὶ ἐνταῦθα Ἀχερουσίαν ἄκραν. καὶ ὡς Λύκος ὁ βασιλεὺς τῆς χώρας ταύτης φιλοφρονέστατα αὐτοὺς ὑπεδέξατο, ὅτι ἐχθρὸν αὐτοῦ Ἄμυκον ὄντα ἐκόλασαν· καὶ ὡς Ἴδμων ὁ μάντις καὶ Τῖφυς ὁ κυβερνήτης τελευτῶσιν ἐν τῇ Μαριανδυνίᾳ. τὰ δὲ ἑξῆς, περὶ τῶν παρὰ Χάλυψι καὶ Τιβαρηνοῖς καὶ Μοσσυνοίκοις νομίμων λέγεται, καὶ τῶν ἐν τῇ νήσῳ τοῦ Ἄρεως μυθευομένων ὀρνέων, καὶ ὡς ἐξηλάθησαν ὑπὸ τῶν Ἀργοναυτῶν. καὶ ὡς οἱ Χαλκιόπης τῆς Μηδείας ἀδελφῆς καὶ Φρίξου υἱοὶ στελλόμενοι εἰς Ὀρχομενὸν, ἐναυάγησαν· καταχθέντες δὲ εἰς τὴν Ἄρεως νῆσον, συνέβαλον τοῖς Ἀργοναύταις· καὶ ἀλλήλους γνωρίσαντες κοινῇ ἔπλευσαν εἰς τὸν ἐν Κόλχοις ποταμὸν Φᾶσιν. Schol.

Ibid. Ἔνθα δὲ] ἐν τῷ αἰγιαλῷ, ᾧ προσωρμίσθησαν. αὖλις δὲ, ἡ διατριβὴ καὶ ἡ διαγωγή. Schol.

Ibid. Ἔνθα δ' ἔσαν, &c. Confer Val. Flacc. IV. 99. Virg. V. Ovid. Met. XII.

In Schol. ad hunc ver. pro τῶν ἐν τῇ νήσῳ τοῦ Ἄρεως μυθευομένῃ ὀρνέων, scribit L. Holstenius μυθευομένων. quippe aves fictitiæ et fabulosæ, non insula; cujus alii etiam Geographi meminerunt.

2. Βεβρύκων βασιλῆος] τῶν Βεβρύκων ἐβασίλευσεν Ἄμυκος τῆς Βιθυνίας τά τε

Τίκτε Ποσειδάωνι γενεθλίῳ εὐνηθεῖσα
Βιθυνὶς Μελίη, ὑπεροπληέστατον ἀνδρῶν.
Ὅς τ' ἐπὶ καὶ ξείνοισιν ἀεικέα θεσμὸν ἔθηκε,
Μή τιν' ἀποστείχειν πρὶν πειρήσασθαι ἑοῖο
Πυγμαχίης· πολέας δὲ περικτιόνων ἐδάιξε.
Καὶ δὴ τότε προτὶ νῆα κιών, χρειώ μιν ἐρέσθαι
Ναυτιλίης, οἵ τ' εἶεν, ὑπερβασίῃσιν ἄτισσε.
Τοῖον δ' ἐν πάντεσσι παρασχεδὸν ἔκφατο μῦθον.

Peperit Neptuno natalitio mista,
Bithyna Melie, arrogantissimum hominum:
Qui hospitibus etiam iniquam legem imponere solebat,
Ne quis discederet, priusquam certamen iniisset secum
Pugilationis, quique plurimos accolarum interfecerat.
Quin et tunc navem aggressus sciscitatum ex ipsis causam
Navigationis, et quinam essent, ex animi elatione contempsit eos,
Talemque coram omnibus prope edidit sermonem.

ἄλλα κατ' ἐκείνους τοὺς χρόνους καὶ τὰ παραθαλάσσια κατέχων. κατῴκησαν δέ τινες τῶν Βεβρύκων καὶ περὶ τὴν Λυδίαν ἐν τοῖς πλησίον Ἐφέσου τε καὶ Μαγνησίας τόποις. Χάρων δέ φησι καὶ τὴν Λαμψακηνῶν χώραν πρότερον Βεβρυκίαν καλεῖσθαι, ἀπὸ τῶν κατοικησάντων αὐτὴν Βεβρύκων. τὸ δὲ γένος αὐτῶν ἠφάνισται διὰ τοὺς γενομένους πολέμους, καθάπερ καὶ ἄλλων ἐθνῶν. Ἀγήνωρ. ὁ ὑπερήφανος. Schol.

4. Βιθυνὶς Μελίη] ἄδηλον ποῖόν ἐστι τὸ κύριον. Μελίαν δέ φησιν αὐτὴν διὰ τὸ τινὰς τῶν νυμφῶν Μελίας καλεῖσθαι ἀπὸ Μελίας τῆς ὠκεανοῦ, ὥς φησι Καλλίμαχος. ἢ διὰ τὸ περὶ μηλέας δένδρα διατρίβειν, καθάπερ Ἁμαδρυάδες. Βιθυνίδα δέ, διὰ τὸ Βιθυνὴν τὸ γένος τυγχάνειν. γενέθλιον δὲ εἶπεν αὐτὸν διὰ τὸ δεσπόζειν τοῦ ὑγροῦ καὶ πάσης τροφῆς, καὶ γενέσεως αἴτιον εἶναι, καθὸ τὸ ὕδωρ πάντων γεννητικόν. Schol.

Ibid. Βιθυνὶς Μελίη] Dubitat Scholiastes utrum sit nomen proprium. Apollodorus L. I. pro proprio nomine Βιθυνὶς accipit, Ἧς ἐβασίλευσεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος. Heinsius autem ad Ovidii tertium Amorum, el. 6. legit, καὶ Μελίης Βιθυνίδος. Atque ita legendum censeo. Sic autem Hyginus L. I. fab. 17. *Amycus Neptuni* et MELIES *filius, Bebryciæ rex.* Bebrycia autem est Bithynia. Strabo autem existimat Bebryca, qui ante hos Mysiam coluerunt, Thracas fuisse. Plane Val. Flac. IV. 119. *Melie* pro nomine proprio. Upt.

8. Καὶ δὲ τότε] ὁ νοῦς, καὶ τότε δὲ πρὸς τὴν ναῦν ἐλθών, τοῦ μὲν τὰ πρὸς τὴν χρείαν πυθέσθαι τοῦ πλοῦ (τουτέστι, τίνος χρείαν ἔχουσι, καὶ τίνες εἰσὶν) ἠφρόντισησεν· τοιαῦτα δὲ πρὸς αὐτοὺς εἶπεν.
Μιν ἐρέσθαι. τὸ μὲν ἑνικὸν ἀντὶ πληθυντικοῦ, αὐτοὺς τοὺς ἥρωας. δύναται δὲ καὶ ἑνικὸν εἶναι, ἵνα περὶ τοῦ Ἀμύκου λάβωμεν. ἔδει γὰρ αὐτὸν τὸν Ἄμυκον ἐρωτῆσαι τοὺς ἥρωας. ὁ δὲ Θεόκριτος ἄλλως ἱστόρησεν. Schol.

10. Παρασχεδὸν] ἀντὶ τοῦ ἐγγύς. Schol.

Κέκλυτ'

Κέκλυτ', ἁλίπλαγκτοι, τά περ ἴδμεναι ὔμμιν ἔοικεν.
Οὔ τινα θέσμιόν ἐστιν ἀφορμηθέντα νέεσθαι
Ἀνδρῶν ὀθνείων, ὅς κε Βέβρυξι πελάσσῃ,
Πρὶν χείρεσσιν ἐμῇσιν ἑὰς ἀνὰ χεῖρας ἀεῖραι.
Τῷ καί μοι τὸν ἄριστον ἀποκριδὸν οἶον ὁμίλου
Πυγμαχίῃ στήσασθε κατ' αὐτόθι δηρινθῆναι.
Εἰ δ' ἂν ἀπηλεγέοντες ἐμὰς πατέοιτε θέμιστας,
Ἦ κέν τις στυγερῶς κρατερὴ ἐπιέψετ' ἀνάγκη.
Ἦ ῥα μέγα φρονέων· τοὺς δ' ἄγριος εἰσαΐοντας
Εἷλε χόλος· πέρι δ' αὖ Πολυδεύκεα τύψεν ὁμοκλή.
Αἶψα δ' ἑῶν ἑτάρων πρόμος ἵστατο, φώνησέν τε.
Ἴσχεο νῦν, μηδ' ἄμμι κακήν, ὅτις εὔχεαι εἶναι,

Audite, maria errabundè vecti, quæ quidem ſcire vobis expedit.
Nemini conceſſum eſt abhinc ſolventi diſcedere
Virorum peregrinorum, quiſquis ad Bebrycas delatus fuerit,
Priuſqnam cum meis manibus ſuas manus conſeruerit.
Idcirco et mihi eum qui præſtantiſſimus fuerit, ſelectum ſeorſim a catervâ,
In certamen cæſtuum ſiſtite, illicò hîc pugnare.
Quòd ſi negligentes meas contempſeritis leges,
Certè aliquis abhorrenti animo duræ obſequetur neceſſitati.
Dixit ſuperbiens : illos autem ferox audientes
Corripuit ira ; et præ cæteris Pollucem ſtimulavit provocatio.
Statim autem ſociorum ſuorum propugnator ſtetit, dixitque.
Quin ceſſa ; neque nobis injurioſam, quemcunque te gloriaris eſſe,

12. Θέσμιον] νόμιμον· ὁ δὲ λόγος, νόμος ἐστὶ τὸν προσπλεύσαντα τῇ Βεβρυκίᾳ τῶν ξένων, μὴ ἀπαλλάττεσθαι πρὶν ἢ ἐμοὶ πυκτεῦσαι. Schol.

15. Τῷ καί μοι] διό μοι τὸν ἄριστον ὑμῶν κεκριμένως στήσατε πυγμῇ μοι διαγωνίσασθαι. Schol.

16. Δηρινθῆναι] μαχέσασθαι, ἀπὸ τοῦ δηρίνομαι· τὸ δὲ δηρίσασθαι, ἀπὸ τοῦ δηρίομαι. Schol.

17. Ἀπηλεγέοντες] ἀφροντιστοῦντες, παρ' οὐδὲν ἡγησάμενοι. ὁ δὲ Ἡρωδιανὸς, ἀνηλεγέοντες, διὰ τοῦ ν, ἐν τῷ τρίτῳ τῆς καθόλου· καὶ τὸ ἐπίρρημα ἀνηλεγέως. ὁ δὲ νοῦς, εἰ δὲ ἀφροντιστήσαντες τοὺς νόμους μου παρ' οὐδὲν ἡγήσησθε, πείσεσθε ἂν οἶμαι ἐχθίστην τυχοῦσαν ἀνάγκην. Schol.

21. Αἶψα δ' ἑῶν ἑτάρων] δασυνέται τὸ ἑῶν, ὥσπερ καὶ τὸ ὧν. τὸ γὰρ προστιθέμενον τοῖς δασυνομένοις ε, καὶ αὐτὸ δασύνεται. οἷον ἕρση, ἐέρση, ἕδνα, ἔεδνα. Schol.

22. Ἴσχεο] ἐπίσχες, ὅς τις ποτὲ ὑπάρχεις. πειθαρχήσομεν γὰρ οἷς λέγεις νόμοις. ἀλλὰ δὲ μηδὲ τὸ ὄνομα εἰπεῖν, σφόδρα αὐτοῦ τὴν ἀξενίαν ὀνειδίσει. Τὸ δὲ, ὅ τις εὔχεαι, ἐπὶ καταφρονήσεως εἴρηται. Schol.

Φαῖνε

Φαῖνε βίην· θεσμοῖς γὰρ ὑπείξομεν, ὡς ἀγορεύεις.
Αὐτὸς ἑκὼν ἤδη τοι ὑπίσχομαι ἀντιάασθαι.
Ὣς φάτ' ἀπηλεγέως· ὁ δ' ἐσέδρακεν, ὄμμαθ' ἑλίξας,
Ὥστε λέων ὑπ' ἄκοντι τετυμμένος, ὅν τ' ἐν ὄρεσσι
Ἀνέρες ἀμφιπένονται· ὁ δ' ἰλλόμενός περ ὁμίλῳ,
Τῶν μὲν ἔτ' οὐκ ἀλέγει, ἐπὶ δ' ὄσσεται οἰόθεν οἶος
Ἄνδρα τὸν ὅς μιν ἔτυψε παροίτατος, οὐδ' ἐδάμασσεν.
Ἔνθ' αὖ Τυνδαρίδης μὲν ἐΰστιπτον θέτο φᾶρος
Λεπταλέον, τό ῥά οἵ τις ἑὸν ξεινήιον εἶναι
Ὤπασε Λημνιάδων· ὁ δ' ἐρεμνὴν δίπτυχα λώπην

Interminare vim; legibus enim obſequemur, ut et ipſe jubes.
Ipſe libens jam tecum ſpondeo me pugnaturum.
Sic locutus eſt intrepidè: ille verò intuitus eſt, oculis circumvolutis,
Veluti leo, jaculo vulneratus, circa quem in montibus
Viri occupantur: ille ſtipatus quanquam coronâ,
Hos nec minimum curat, eum autem virum duntaxat intuetur
Qui primus ipſum vulneravit, nec tamen interfecit.
Ibi quidem Pollux bene textum depoſuit pallium
Subtile, quod illi aliqua donum ut eſſet hoſpitale
Dedit Lemniadum: ille verò atram duplicem penulam

24. Ὑπίσχομαι] Steph. edidit ὑπόσχομαι.

25. Ἑλίξας] περιστρέψας τὰ ὄμματα ἐς τὸν Πολυδεύκην. Schol.

Ibid. Ἀπηλεγέως] Scholiaſtes ſupra lib. I. 785. explicat per συντόμως, *breviter*. Homeri ſcholiaſtes etiam καρτερῶς huic loco convenientiſſimè. Secunda tamen eſt vocis notio. Ἀπηλεγέοντες v. 17, explicat Scholiaſtes per ἀφροντιστοῦντες. Quare ἀπηλεγέως eſt ἀφροντίστως, *nibili curans*. Sanct.

27. Ἰλλόμενός] ἀντὶ τοῦ συνειλούμενος, συστρεφόμενος. Schol.

28. Ἐπὶ δ' ὄσσεται οἰόθεν οἶος] φασὶ τοὺς λέοντας τρωθέντας, μόνον τηρεῖν τὸν τρώσαντα. μόνος οὖν ὑπάρχων, μόνον ἐκεῖνον ἀποβλέπει τὸν τρώσαντα. Οἰόθεν. μόνον. καὶ Ἀριστοτέλης δέ φησι τοῦτο ποιεῖν τοὺς λέοντας. Schol.

30. Ἐΰστιπτον] Εὔστρεπτον. εὔπλεκτον. παρὰ τὸ στίβειν. ὅθεν καὶ στιβάς· καὶ στιβεῖς οἱ κναφεῖς. Λώπην. χλαμύδα. ὁ δὲ τὴν μέλαιναν καὶ διπλῆν χλαμύδα σὺν αὐταῖς ταῖς περόναις ἀπέβαλεν, ἢ τὴν διφθέραν. Schol.

Ibid. Ἐΰστιπτον] Heſychius στιπτὸς· πυκνὸς ἢ στερεὸς καὶ πεπιλημένος, ἀπὸ τοῦ στείβειν, τὸ πατεῖν. ἐΰστιπτον hic communi ſignificatione pro πυκνὸς ſumi non poſſe liquet ex λεπταλέον v. ſeq. Quare de colore potius intelligendum, cum στιβεῖς teſte Schol. ſint οἱ κναφεῖς. Ita *bene tinctum coloratumque* ſignificabit. Aliter legerem lubens

Αὐτῆπι

Αὐτῇσι περόνῃσι, καλαύροπά τε τρηχεῖαν
Κάββαλε, τὴν φορέεσκεν ὀρειτρεφέος κοτίνοιο.
Αὐτίκα δ' ἐγγύθι χῶρον ἑαδότα παπτήναντες
Ἷζον ἑοὺς δίχα πάντας ἐνὶ ψαμάθοισιν ἑταίρους,
Οὐ δέμας οὐδὲ φυὴν ἐναλίγκιοι εἰσοράασθαι.
Ἀλλ' ὁ μὲν, ἢ ὀλοοῖο Τυφωέος, ἠὲ καὶ αὐτῆς
Γαίης εἶναι ἔικτο πέλωρ τέκος, οἷα πάροιθεν
Χωομένη Διῒ τίκτεν· ὁ δ' οὐρανίῳ ἀτάλαντος
Ἀστέρι Τυνδαρίδης, οὗπερ κάλλισται ἔασιν
Ἑσπερίην διὰ νύκτα φαεινομένου ἀμαρυγαί.
Τοῖος ἔην Διὸς υἱὸς, ἔτι χνοάοντας ἰούλους

Fibulis solutam, pedumque asperum
Deposuit, quod gestabat silvestri ex oleastro *factum*.
Deinde verò postquam prope locum pactum circumspexerant,
Sedere fecerunt suos bifariam omnes in arenâ socios,
Ipsi nec corpore nec naturâ visu pares.
Sed ille vel infesti Typhoëi, vel ipsius
Telluris esse videbatur prodigiosa proles, qualem antea
Irata Jovi peperit: at cœlesti similis
Stellæ Tyndarides, cujus pulcherrimi sunt
Circiter noctem vesperam lucentis radii.
Talis erat Jovis filius, jam nascentem lanuginem

εὔστικτον, *pictum*, *varium*, neque de hâc lectione dubitarem nî Scholiastes vulgatam agnosceret. Sanct.

33. Καλαύροπα] ποιμενικὴν ῥάβδον. καὶ τοῦτο δὲ διὰ τὸ σκληρὸν καὶ ἄγριον τοῦ ἀνδρός. Schol.

34. Τὴν φορέεσκεν] ἣν τινες ἐβάσταζεν ἐκ κοτίνου οὖσαν, τουτέστιν ἀγριελαίου. Ὀρειτρεφέος δὲ, τοῦ ἐν ὄρει τεθραμμένου κοτίνου. Schol.

35. Gall. Flor. et Steph. πιτήναντες.

38. Ὀλοοῖο Τυφωέος] διὰ τὸ τερατῶδες καὶ ἐκτράπελον τοῦ σώματος τοῦτο φησίν. ἐνομίζετο, φησὶν, ἢ Τυφῶνος ἢ γῆς υἱὸς, ἀπὸ τοῦ μεγέθους. ἔστι δὲ ἀπὸ ὀρθῆς τῆς Τυφωεύς. Schol.

40. Χωομένη Διῒ] ἐπεὶ λέγεται ἡ γῆ κατ' ὀργὴν, ὅτι τοὺς Τιτᾶνας κατεταρτάρωσεν ὁ Ζεὺς, γεννῆσαι τοὺς γίγαντας. Schol.

Ibid. —— οὐρανίῳ ἀτάλαντος
Ἀστέρι Τυνδαρίδης ——
—*sidereo* Pollux interritus *ore*.
Val. Flac. IV. 190.

42. Ἑσπερίην δὲ νύκτα] ἀντὶ τοῦ κατὰ νύκτα. τουτέστι περὶ τὸν ἕσπερον. Ὅμηρος, "ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ." Ἀμαρυγαὶ δὲ, αἱ ἀκτῖνες, αἱ λαμπηδόνες. Schol.

43. Ἔτι χνοάοντας ἰούλους] τοὺς ἰούλους ὡς χνοῦν ἀναφύοντας ἔχων. τὰς ἐξανθήσεις τῶν γενείων. λέγεται δὲ καὶ θηρίον ἴουλος πολύπουν· καὶ εἶδος ᾠδῆς, ὥς φησιν Ἐρατοσθένης. Schol.

Ἀντέλλων

Ἀντέλλων, ἔτι φαιδρὸς ἐν ὄμμασιν· ἀλλά οἱ ἀλκὴ
Καὶ μένος ἠΰτε θηρὸς ἀέξετο· πῆλε δὲ χεῖρας,
Πειράζων εἴθ᾽ ὡς πρὶν εὐτρόχαλοι φορέονται,
Μηδ᾽ ἄμυδις καμάτῳ τε καὶ εἰρεσίῃ βαρύθοιεν.
Οὐ μὰν αὖτ᾽ Ἄμυκος πειρήσατο· σῖγα δ᾽ ἄπωθεν
Ἑστηὼς εἰς αὐτὸν ἔχ᾽ ὄμματα, καί οἱ ὀρέχθει
Θυμὸς ἐελδομένῳ στηθέων ἐξ αἷμα κεδάσσαι.
Τοῖσι δὲ μεσσηγὺς θεράπων Ἀμύκοιο Λυκωρεὺς
Θῆκε πάροιθε ποδῶν δοιοὺς ἑκάτερθεν ἱμάντας
Ὠμοὺς, ἀζαλέους· περὶ δ᾽ οἵγ᾽ ἔσαν ἐσκληῶτες.

Protrudens, jam oculos alacer: verùm illi vigor
Et robur, utpote feræ, increbuerat; vibravit autem manus,
Tentans num ficut antea agiles moverentur,
Et non affiduo labore et remigatione rigerent.
At non fimiliter Amycus tentamen fecit; tacitus autem longè
Stans, in illum intendit oculos; et fibi glifcebat
Animus, fitienti è pectoribus fanguinem effundere.
Illis interea fatelles Amyci Lycoreus
Projecit ante pedes binos utrinque cæftus,
Crudos, exficcatos, et qui egregiè induruerant.

44. Ἀντέλλων] Ἀνατέλλειν τὸ φύειν ἐνταῦθα ἐνεργητικῶς σημαίνει. Schol.

Ibid. Φαιδρὸς ἐν ὄμμασι.

Lætos oculis afflârat honores.
Æn. I.

45. Πῆλε δὲ χεῖρας] οἷον ἀνεσπάλλετο, διάπειραν τῶν χειρῶν ἑαυτοῦ ποιούμενος, εἰ ὡς πρὶν εὐκίνητοί εἰσι, μηδ᾽ ἀπὸ τοῦ τῆς εἰρεσίας καμάτου δυσκινήτως ἔχοιεν. Schol.

Ibid. —— πῆλε δὲ χεῖρας Πειράζων, &c. Sic de Darete Virgilius Æn. V.

—— alternaque jactat
Brachia protendens, et verberat ictibus auras.

48. Οὐ μὰν αὖτ᾽ Ἄμυκος] οὐ μὴν ὁ Ἄμυκος διεπείρασεν ἑαυτοῦ. καὶ διὰ τούτων δὲ δηλοῖ τὸ ὑπερήφανον αὐτοῦ. Schol.

49. Καί οἱ ὀρέχθει] ἐν ὀρέξει ἦν. νῦν δὲ ἀντὶ τοῦ ἐφώρμα καὶ ἐπεθύμει. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ἔστενεν. "ὀρέχθεον ἀμφὶ σιδήρῳ." Schol.

51. Λυκωρεὺς] οὗτος ὑπὸ τοῦ ποιητοῦ πεποίηται, οὐκ ἐξ ἱστορίας παρείληπται. Schol.

52. Ἱμάντας] τοὺς καλουμένους μύρμηκας. Schol.

53. Ἀζαλέους] ἀντὶ τοῦ ξηρούς. ὅθεν τινὲς οὐκ ἀπὸ Ἀζᾶνος βασιλέως, ἀλλὰ διὰ τὸ τραχεῖαν εἶναι, Ἀζανίαν φασὶ κληθῆναι τὴν Ἀρκαδίαν. τραχεῖα γάρ ἐστι καὶ ξηρά. Περὶ δ᾽ οἵγ᾽ ἔσαν. περισσῶς κατεσκληκότες ἦσαν. ὅθεν καὶ σκέλος τὸ ἄσαρκον μέρος τοῦ σώματος. Schol.

Ibid. Ὠμοὺς] Sic et Virgilius Æn. III, 69. *crudum* cæftum.

Αὐτὰρ

Αὐτὰρ ὁ τόνγ' ἐπέεσσιν ὑπερφιάλοισι μετηύδα.
Τῶνδ' ἕλε ὅν κ' ἐθέλῃσθα πάλου ἄτερ ἐγγυαλίξω
Αὐτὸς ἑκὼν, ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν.
Ἀλλὰ βάλευ περὶ χειρί· δαεὶς δέ κεν ἄλλῳ ἐνίσποις
Ὅσσον ἐγὼ ῥινούς τε βοῶν περί τ' εἰμὶ ταμέσθαι
Ἀζαλέας, ἀνδρῶν τε παρηΐδας αἵματι φύρσαι.
Ὣς ἔφατ'· αὐτὰρ ὅγ' οὔτι παρεβλήδην ἐρίδηνεν·
Ἦκα δὲ μειδήσας, οἵ οἱ παρὰ ποσσὶν ἔκειντο,
Τοὺς ἕλεν ἀπροφάτως· τοῦ δ' ἀντίος ἤλυθε Κάστωρ
Ἠδὲ Βιαντιάδης Ταλαὸς μέγας· ὦκα δ' ἱμάντας
Ἀμφέδεον, μάλα πολλὰ παρηγορέοντες ἐς ἀλκήν.
Τῷ δ' αὖ Ἄρητός τε καὶ Ὄρνυτος· οὐδέ τι ᾔδειν

Proinde ille hunc verbis arrogantibus compellavit.
Horum nunc, utrumcunque volueris, abſque ſorte concedam,
Ipſe lubens, ne mihi convitieris poſtea.
Sed apta manui; expertus autem alii dicas
Quantum ego præſto in duris coriis bonm ſcindendis,
Et in genis virorum ſanguine conſpurcandis.
Sic dixit: verùm ille nihil ex adverſo concertabat;
At molle ſubridens, qui ſibi ante pedes jacebant
Eos *cæſtus* ſumpſit, nullo habito diſcrimine: illi verò obvius ivit Caſtor
Et Biantiades Talaus ingens, atque ocius cæſtus
Alligaverunt, plurimis hortantes ad fortitudinem.
Hunc contra Aratus et Ornytus *inſtruxerunt*; neque quidquam noverunt

54. Ὑπερφιάλοισι] ὑπερηφάνοις. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς φιάλης. τὸ γὰρ πληθύον αὐτῆς ὑπερφίαλον, ἀντὶ τοῦ ὑπέρμετρον. φιάλη δὲ εἶδος λεοντώδους ἀγγείου. Schol.

55. Πάλου ἄτερ] χωρὶς κλήρου. καὶ διὰ τούτου δὲ πάλιν ὑπερήφανον δείκνυσι. Schol.

Ibid. Τῶν δ' ἕτι] Magis placet H. Steph. τῶν δέ τοι.

56. Ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν] τὸ δὲ, ὥσπερ ἤδη σεαυτῷ πεπιστευκὼς τὴν νίκην. καὶ τοῦτο βάρβαρον. εἰ γὰρ ὁ κλῆρος τὴν στάσιν λύειν ἐπίσταται, καὶ ἑκάστῳ τὰ ἴσα διδόναι, πῶς ἂν ὕστερον ἔμελλεν αὐτῷ ἀντιμάχεσθαι; μᾶλλον γὰρ νῦν ἐστασίασεν ἄν, μὴ κληρωθείς. Ἀτέμβηαι. ἵνα μή μοι μέμψῃ ὕστερον, ὡς χείρονας εἴληφας. τὸ γὰρ ἀτέμβειν οἱ νεώτεροι οὐκ ἐπὶ τοῦ στερίσκεσθαι ἤκουσαν, ἀλλ' ἐπὶ τοῦ μέμφεσθαι. Schol.

62. Ἀπροφάτως] Ἀδιστάκτως. ἀδιακρίτως. μηδὲν πρὸς τὴν ἀναίρεσιν προφασισάμενος. Schol.

65. Ἤδειν] ἀντὶ τοῦ πληθυντικοῦ κεῖται τὸ ᾔδεσαν. ὡς καὶ τό, τοῦ δ' ἦν τρεῖς κεφαλαί. Schol.

Νήπιοι ὕστατα κεῖνα κακῇ δήσαντες ἐν αἴσῃ.
Οἱ δ' ἐπεὶ οὖν ἐν ἱμᾶσι διασταδὸν ἠρτύναντο,
Αὐτίκ' ἀνασχόμενοι ῥεθέων προπάροιθε βαρείας
Χεῖρας, ἐπ' ἀλλήλοισι μένος φέρον ἀντιόωντες.
Ἔνθα δὲ Βεβρύκων μὲν ἄναξ, ἅτε κῦμα θαλάσσης
Τρηχὺ θοὴν ἐπὶ νῆα κορύσσεται· ἡ δ' ὑπὸ τυτθὸν
Ἰδρείῃ πυκινοῖο κυβερνητῆρος ἀλύσκει
Ἱεμένου φορέεσθαι ἔσω τοίχοιο κλύδωνος·
Ὣς ὅγε Τυνδαρίδην φοβέων ἕπετ', οὐδέ μιν εἴα
Δηθύνειν· ὁ δ' ἄρ' αἰὲν ἀνούτατος ἣν διὰ μῆτιν
Ἀΐσσων ἀλέεινεν· ἀπηνέα δ' αἶψα νοήσας

Stulti, quòd tunc postremò cœstus alligâssent illi ad infestam pugnam.
Ambo igitur, postquam cœstibus utrinque erant *justo* ex intervallo instructi,
Statim sublatis ante ora validis
Manibus, vim inferebant mutuam, facto congressu.
Deinde Bebrycum rex, veluti unda maris
Aspera, quæ in celerem navem cum impetu fertur, ipsa autem *navis* ægrè
Peritiâ prudentis magistri devitat
Connitentem parietes introrumpere fluctum;
Sic ille Tyndaridem territans insequebatur; nec ipsum sinebat
Tardare: hic tamen semper invulneratus propter suam peritiam,
Dissiliens evitabat *ictus*: sævam autem statim intelligens

67. Οἱ δ' ἐπεὶ οὖν ἐν ἱμᾶσι διασταδὸν] διασταδὸν μὲν φησι, ἀντὶ τοῦ, ἐν τῇ παρ' ἀλλήλων διαστάσει παρεσκευάσαντο. Schol.

68. Ῥεθέων] Ῥέθος δὲ ἅπαν μέλος. ἐνταῦθα δὲ τὰ πρόσωπα. Schol.

70. Ἅτε κῦμα θαλάσσης] καθάπερ, φησὶ, μετεωριζόμενον νηὶ προσπίπτει, τῇ δὲ ἐμπειρίᾳ τοῦ κυβερνήτου παρακλίναντος ἡ ναῦς διαφεύγει· οὕτω καὶ ὁ Ἄμυκος ἐπέκειτο μὲν ἐκφοβῶν αὐτὸν, διακλινόμενος δὲ ἐκεῖνος, ἄτρωτος ἦν. Schol.

Ibid. ——— ἅτε κῦμα θαλάσσης] Haud dissimili comparatione in eâdem pugnâ utitur Val. Flacc. IV. 270.

——— spumanti qualis in alto
Pleiade capta ratis, trepidi quam sola magistri
Cura tenet, rapidum ventis certantibus æquor
Intemerata secat; Pollux sic providus ictus
Servat.

72. Ἀλύσκει] ἐκφεύγει. διὰ δὲ τὴν τραχύτητα καὶ τὴν σφοδρὰν αὐτοῦ ὁρμὴν, φύρματι εἴκαζε τὸν Ἄμυκον, κυβερνήτῃ δὲ τεχνίτῃ τὸν Πολυδεύκην. Schol.

74. Φοβέων] πτοῶν τῇ ἀθρόᾳ καὶ αὐτοῦ ὁρμῇ, ἐμβραδύνειν οὐ συνεχώρει αὐτόν. Schol.

76. Ἀΐσσων] λείπει ἡ ὑπό. ἵνα ᾖ ὑπαΐσσων καὶ ὑποφεύγων τὸν Ἄμυκον τῇ

Πυγμαχίῃ,

Πυγμαχίην, ᾗ κάρτος ἀάατον, ᾗ τε χερείων,
Τῇ ῥ' ἄμοτον καὶ χερσὶν ἐναντία χεῖρας ἔμιξεν.
Ὡς δ' ὅτε νήια δοῦρα θοοῖς ἀντίξοα γόμφοις
Ἀνέρες ὑληουργοὶ ἐπιβλήδην ἐλάοντες,

Pugilationem, quà robur inviolabile, quáque inferior esset *Amycus*,
Hàc indesinenter manibus manus conseruit.
Sicut autem quando navalia ligna acutis adversa clavis
Fabri lignarii superinjectim cogentes,

ἑαυτοῦ τέχνῃ ἄπληκτος καὶ ἀσφαλὴς διέμεινεν. Ἀπλωΐα δ' αὖψα. συνιδὼν (φησὶν) ὁ Πολυδεύκης ὅπῃ ἄπρακτος καὶ ἀνεπιχείρητός ἦν, συνέμιξεν αὐτῷ τὰς χεῖρας ὑποστάς. Schol.

77. Ἧ κάρτος] ὁ Πολυδεύκης (φησὶν) ἐτήρει τὸν Ἄμυκον ὅπῃ ἄτρωτος τυγχάνει καὶ οὐκ ἀνεπιχείρητός ἐστιν, ἢ οὔ. συνιδὼν ἐν ᾧ ὑπερεῖχεν αὐτοῦ, καὶ ἐν ᾧ καταδεέστερος ἦν, ὑποστὰς συνέμιξεν αὐτῷ τὰς χεῖρας. θάρσος δὲ θράσους διαφέρει. θάρσος γὰρ, τὸ εὔλογον, θράσος δὲ, τὸ μετ' ἐπιμόνητος. οὕτω καὶ Ἀρίστιππος ὁ φιλόσοφος. Schol.

Ibid. Dubium non est quin legendum sit ᾗ τε, ut in Gallicanâ editione, non ὅπῃ, ut quædam habent editiones: est enim partitio in illis ᾗ κάρτος ἀάατον et ᾗ τε χερείων, quæ inter se opponantur. Scholiastes satis apertè rem explicat. Pollux vitavit Amyci ictus, donec ejus modum et rationem pugnandi edidicisset; quodnam genus ictuum sæpiùs ac certiùs infligeret, et quod rariùs et imperitiùs; item quod dexteriùs evitabat, et quod evitare nesciebat. Locum igitur, in quo interpretando ita fœdè aberrârunt interpretes, ad verbum ferè sic verte. *Sævam verò statim animo concipiens pugilationem*, i. e. *rationem et modum citò concipiens sævi pugilatus; quà robur invictum Amyci, et quà Amycus sibi esset inferior, hac violenter*, &c. Ita explicari vulgata lectio potest, ut subaudiatur Ἀμύκου et Ἄμυκος, quasi scriptum fuisset ᾗ κάρτος Ἀμύκου ἀάατον, ᾗ τε Ἄμυκος χερείων. Verùm hoc non necessarium, et syntaxis multò elegantior fiet legendo ἀάατος, atque ita legisse videtur Scholiastes. Ita κάρτος erit κατὰ κάρτος, vertendumque *invictus robur*. Notissimum est aliter pugnam inire robore præstantem, aliter agilem, viribus autem disparem. Hoc igitur observat Pollux, viribus Amyco inferior, ut ita certet ut Amyco robur minimè, sibi verò agilitas plurimum prosit. Cave autem ne ἄμοτον epithetum tantùm hujus pugilatûs cum interpretibus credas; est enim epithetum omnis pugilatûs in genere. Sanct.

78. Τῇ ῥ' ἄμοτον] Mavult Sanctamandus legere τῇ ῥ' ἄμοτον, ne καὶ ineptè abundare videatur.

79. Ὡς δ' ὅτε νήια] οὕτως ἀντεξετασμένα ἀλλήλοις, ὥς τε ἡνίκα συμβάλλονται ἐναντία, συναρμόζειν ἀλλήλοις. ἢ τὰ ἀντιπεπόρθμα τοῖς σφησίν. εἰς γὰρ τὰ πλάγια τῶν σανίδων τιθέασι τοὺς σφῆνας πρὸς ἀσφάλειαν. Θοοῖς. ὀξέσιν. Schol.

80. Ὑληουργοὶ] ὑλοτόμοι. καὶ τὰς ναῦς ἐργαζόμενοι. ὥσπερ δὲ ναυπηγήσιμα ξύλα συναρμόζοντες ξυλουργοὶ γόμφοις, συνεχῶς ταῖς σφύραις τύπτουσιν, ἐγείρεται δὲ ἄλλος ἐξ ἄλλου ψόφος· οὕτως ὁ Ἄμυκος καὶ ὁ Πολυδεύκης ἀλλήλους ἔτυπτον τὰς σιαγόνας. Schol.

Θείνουσι σφύρησιν, ἐπ᾽ ἄλλῳ δ᾽ ἄλλος ἄητει
Δοῦπος ἄδην· ὡς τοῖσι παρήϊά τ᾽ ἀμφοτέρωθεν
Καὶ γένυες κτύπεον· βρυχὴ δ᾽ ὑπετέλλετ᾽ ὀδόντων
Ἄσπετος· οὐδ᾽ ἔλληξαν ἐπισταδὸν οὐτάζοντες,
Ἔς τέ περ οὐλοὸν ἆσθμα καὶ ἀμφοτέρους ἐδάμασσε.
Στάντε δὲ βαιὸν ἄπωθεν ἀπωμόρξαντο μετώπῳ
Ἱδρῶ ἅλις, καματηρὸν ἀϋτμένα φυσιόωντε.
Ἂψ δ᾽ αὖτις συνόρουσαν ἐναντίοι, ἠΰτε ταύρω
Φορβάδος ἀμφὶ βοὸς κεκοτηότε δηριάασθον.
Ἔνθα δ᾽ ἔπειτ᾽ Ἄμυκος μὲν ἐπ᾽ ἀκροτάτοισιν ἀερθεὶς,

Malleis tundunt; ſuper alium autem alius oritur
Sonitus indeſinenter; ita his genæ utrinque
Et maxillæ reſonuerunt, et ſtridor ſubortus eſt dentium
Immenſus; nec ceſſārunt cominus ſe invicem vulnerare
Donec æger anhelitus utroſque perdomuerat.
Stantes autem paululum ſeorſim abſterſerunt à facie
Sudorem largum, ſatis ægrè feſſéque anhelantes.
Repente iterum congreſſi ſunt adverſi, veluti tauri
De paſcuali vaccâ furentes contendunt.
Tum demum Amycus, extremis ſublatus

81. Ἄητει] ἐξοχεῖται καὶ ἐξακούεται Schol.

82. Ἄδην] συνεχῶς, ἢ ἀκορέστως. Schol.

84. Ἐπισταδὸν] ἀντὶ ἐπιστατικῶς καὶ ἀμεταχινήτως. Schol.

87. Ed. Flor. et Steph. ponunt comma poſt ἱδρῶ, quod ſuſtulit Hœlzlinus, ut eſt IV. 656. et alibi.

88. —— ἠΰτε ταύρω
Φορβάδος &c.
Non aliter fortes vidi concurrere tauros,
Cum pretium pugnæ toto nitidiſſima ſaltu
Expetitur conjux ——
Ov. Met. IX. 46.

Confer quoque Virgilium in certamine Æneæ et Turni XII. 715.

89. Φορβάδος ἀμφὶ βοὸς] ὑπὲρ νομάδος καὶ εὐτραφοῦς βοὸς, ἵνα τὸ τῆς καταγομῆς ὄνομα πλέον καὶ μεῖζον τῇ βοῒ δοίη τὸ σῶμα καὶ τὸ κάλλος. Ἀντίπατρος ἐν τῷ περὶ ζώων φησὶ τὸν ἀλκιμώτατον ἐν τῇ ἀγέλῃ ταῦρον μίγνυσθαι πάσαις ταῖς βουσὶν, μὴ ἐπιτρέπειν δὲ ἑτέρῳ. ἐὰν δέ τις πεποιθὼς τῇ ἰδίᾳ δυνάμει ἀνθίσταται αὐτῷ, καταγωνισάμενος τοῦ λοιποῦ, πλησιάζει ἐκεῖνος. Schol.

90. Ἀερθεὶς βουτύπος οἷα] ἐπαρθεὶς ἐπ᾽ ἄκρων τῶν ποδῶν (φησὶ) σταθεὶς, καὶ ἐκτείνας ἑαυτὸν, ὡς βουτύπος, τὴν χεῖρα ἑαυτοῦ κατέφερεν. ἐπιόντος δὲ αὐτοῦ, ὁ Πολυδεύκης ὑπέστη, καὶ παρακλίνας τὴν κεφαλὴν τῷ ὤμῳ αὐτοῦ ἐδέξατο τὸν πῆχυν. Βουτύπος δέ ἐστιν ὁ τοὺς θυομένους βοῦς τῷ πελέκει τύπτων κατὰ τοῦ αὐχένος. οὗτος δὲ ἐπ᾽ ἄκροις τοῖς ὄνυξιν ἵσταται μέλλων κρούειν. Schol.

Βυτύπος οἷα, πόδεσσι τανύσσατο, κὰδ δὲ βαρεῖαν
Χεῖρ ἐπί οἱ πελέμιξεν· ὁ δ' ἀΐξαντος ὑπέστη
Κρᾶτα παρακλίνας, ὤμῳ δ' ἀνεδέξατο πῆχυν
Τυτθόν· ὁ δ' ἄγχ' αὐτοῖο παρὲκ γόνυ γουνὸς ἀμείβων
Κόψε μεταΐγδην ὑπὲρ οὔατος· ὀστέα δ' εἴσω
Ῥῆξεν· ὁ δ' ἄμ' ὀδύνῃ γνὺξ ἤριπεν· οἱ δ' ἰάχησαν
Ἥρωες Μινύαι· τοῦ δ' ἀθρόος ἔκχυτο θυμός.
Οὐδ' ἄρα Βέβρυκες ἄνδρες ἀφείδησαν βασιλῆος,
Ἀλλ' ἄμυδις κορύνας ἀζηχέας, ἠδὲ σιγύννας
Ἰθὺς ἀνασχόμενοι, Πολυδεύκεος ἀντιάασκον.
Τοῦ δὲ πάρος κολεῶν εὐήκεα φάσγαν' ἑταῖροι

Bovis interfectoris instar, pedibus, se extendit, gravemque
Manum ei illisit: ille verò irruentem sustinuit
Capite declinato, humeroque excepit cubitum
Paululum: tum prope ipsum genu alternans genu,
Percussit cum impetu supra aurem, ossaque intus
Fregit; ipse verò præ dolore in genua procidit, acclamantibus
Heroibus Minyis, ejusque simul omnis effusus est animus.
Neque verò Bebryces nihili habuerunt regem *occisum*,
Sed simul clavabus aridis et venabulis
Sublatis, rectà se Polluci opposuerunt.
Ante hunc autem socii e vaginis ensibus acutis

Ibid. —— ἐπ' ἀκροτάτοισιν ἀερθεὶς,
Constitit *in digitos arrectus* uterque. Æn. V. 426.

94. Ὁ δ' ἄγχ' αὐτοῖο] ἐγγὺς δὲ αὐτοῦ παραβαίνων καὶ μεταφέρων τὰ σκέλη ἔτυψεν αὐτὸν πρὸς τὸ οὖς. Schol.

95. Μεταΐγδην] ὁρμητικῶς. Schol.

96. Ὁ δ' ἄμ' ὀδύνῃ] ὁ δὲ Ἄμυκος ὑπὸ τῆς ἀλγηδόνος ἐπὶ γόνυ κατενεχθεὶς εἰς τὴν γῆν, ἀπώλετο. Schol.

Ibid. Lege, ut voluit Stephanus ante Hœlzlinum ἀμφ'. Hanc emendationem firmat etiam metrum: Vix enim puto primam in ἄμα unquam produci. Correptionis passim exempla videre licet.

98. Οὐδ' ἄρα Βέβρυκες] Ἀπολλώνιος μὲν ἐμφαίνει ὡς ἀνῃρημένον τὸν Ἄμυκον· Ἐπίχαρμος δὲ καὶ Πείσανδρος φασὶν ὅτι ἔδησεν αὐτὸν ὁ Πολυδεύκης. Δηΐλοχος δὲ ἐν πρώτῳ περὶ Κυζίκου, κατακεκλεῖσθαι φησὶν αὐτὸν ὑπὸ Πολυδεύκους. οὐκ ἠμέλησαν δὲ, φησὶν, οὐδὲ κατεφρόνησαν τοῦ Ἀμύκου πεπληγότος· ἀλλὰ δὲ τὸ βάρβαρον αὐτῶν καὶ πόλεμον ἤγειραν. Schol.

Ibid. Οὐδ' ἄρα Βέβρυκες, &c. Aliter rem narrat Val. Flacc. IV. 315.
—— nullus adempti
Regis amor: montem celeres sylvamque capessunt. Upt.

99. Ἀζηχέας] τὰς ξηράς. τὰς ἠχούσας ξηρὸν ἦχον. Σιγύννας δὲ καλοῦσιν οἱ Κύπριοι τὰ ἀκόντια. ἄλλοι δὲ τὰ ὁλοσίδηρα ἀκόντια. Schol.

Ἔστευ

Ἔσταν ἐρυσσάμενοι· πρῶτός γε μὲν ἀνέρα Κάστωρ
Ἤλασ' ἐπεσσύμενος κεφαλῆς ὕπερ· ἡ δ' ἑκάτερθεν
Ἔνθα καὶ ἔνθ' ὤμοισιν ἐπ' ἀμφοτέροισι κεάσθη.
Αὐτὸς δ' Ἰτυμονῆα πελώριον ἠδὲ Μίμαντα,
Τὸν μὲν ὑπὸ στέρνοιο θοῷ ποδὶ λὰξ ἐπορούσας
Πλῆξε, καὶ ἐν κονίῃσι βάλεν· τοῦ δ' ἆσσον ἰόντος
Δεξιτερῇ σκαιῆς ὑπὲρ ὀφρύος ἤλασε χειρί.
Δρύψε δέ οἱ βλέφαρον, γυμνὴ δ' ὑπελείπετ' ὀπωπή.
Ὠρείδης δ', Ἀμύκοιο βίην ὑπέροπλος ὀπάων
Οὖτα Βιαντιάδαο κατὰ λαπάρην Ταλαοῖο,
Ἀλλά μιν οὐ κατέπεφνεν· ὅσον δ' ἐπὶ δέρματι μοῦνον

Steterunt eductis: ac primus virum Castor
Percussit irruens super caput, quod utrinque
Huc et illuc humeros in utrosque diffindebatur.
Ipse verò Pollux Itymonea immanem, ac Mimanta,
Hunc quidem sub pectore celeri pede calcitrando irruens
Percussit, et in pulverem prostravit: alterum propius accedentem
Dextrâ lævum super supercilium vulneravit manu:
Excidit autem illi palpebram, nudusque supererat oculus.
Ast Oreides, Amyci præfortis assecla,
Vulneravit Biantiadem Talaum ad ilia,
Nec tamen eum interfecit; sed paululum tantum cutem

105 Αὐτὸς δ' Ἰτυμονῆα] ὁ δὲ Πολυδεύκης λὰξ ἐπορούσας ἔπληξεν. Λέγεται δὲ λὰξ ὁ ὑπὸ τοὺς δακτύλους τοῦ ποδὸς ψόφος. ἢ οὕτω κυρίως τὸ ὑποκάτω τῶν τοῦ ποδὸς δακτύλων λὰξ καλεῖται. οὕτως ἀποδέδωκεν καὶ παρὰ τῷ ποιητῇ Ποσειδώνιος, "λὰξ ποδὶ κινήσας." Schol.

107. Τοῦ δ' ἆσσον ἰόντος] Ἐπεμβολὴ γέγονε τοῦ πλάσματος. ἔδει γὰρ εἰπεῖν, τὸν δ' ἆσσον ἰόντα. οὕτω γὰρ καταλλήλως ἂν ἀπέδωκε πρὸς τὸ ἀνώτερον, εἰπὼν Ἰτυμονῆα καὶ Μίμαντα. πρὸς μὲν τὸ πρότερον αἰτιατικὴν ἀπέδωκεν, ἐπενεγκών, τὸν μὲν ὑπὸ στέρνοιο· πρὸς δὲ τὸ δεύτερον, οὐκ ἐφύλαξε τὸ κατάλληλον. συγχωρεῖται δ' ὅμως διὰ τὸ συγγενὲς τοῦ πλαγίου. τοῦ Μίμαντος τῇ δεξιᾷ ὁρμήσαντος ἐγγὺς τοῦ Πολυδεύκους, αὐτὸς τὸ εὐώνυμον ἀπόδρυψε βλέφαρον τοῦ Μίμαντος, ἀποκόψας αὐτοῦ τὸν ὀφθαλμόν. τοῦτο γὰρ νοεῖται διὰ τοῦ ἐπιφερομένου, γυμνὴ δ' ὑπελείπετ' ὀπωπή. ὁ τοῦ ὀφθαλμοῦ χῶρος δηλονότι. Schol.

110. Ὠρείδης δ' Ἀμύκοιο] διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα. οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου. Schol.

112. Ὅσον δ' ἐπὶ δέρματι] μέχρις ὅσον ἀντὶ τοῦ ὀλίγου. δι' αὐτῆς τῆς ἐπιφανείας ἦλθεν ὁ σίδηρος ὑπ' αὐτὸν τὸν κατὰ τὴν ζώνην τόπον· ὥστε τῶν ἐντοσθιδίων μὴ ψαῦσαι, ἀλλ' ἐπὶ τῷ δέρματι μόνον. Schol.

Νηδυίων

Νηδυίων ἄψαυστος ὑπὸ ζώνην θόρε χαλκός.
Αὔτως δ' Ἄρητος Μενεδήϊον Εὐρύτου υἷα
Ἴφιτον ἀζαλέῃ κορύνῃ συνεφάλιξεν ἐλάσσας,
Οὔπω κηρὶ κακῇ πεπρωμένον· ἦ τάχ' ἔμελλεν
Αὐτὸς δῃώσεσθαι ὑπὸ ξίφεϊ Κλυτίοιο.
Καὶ τότ' ἄρ' Ἀγκαῖος Λυκοόργοιο θρασὺς υἱὸς
Αἶψα μέλαν πιτυγὼν πέλεκυν μέγαν, ἠδὲ κελαινὸν

Intestinis intactis, sub zonam perstrinxit ærea cuspis.
Cæterùm ipse Aretus fortem Euryti filium
Iphitum rigidâ clavâ domuit percussum,
Nondum fato malo debitum : siquidem celeriter erat
Ipse interimendus ense Clytii.
Tunc sane Ancæus, Lycurgi animosus filius,
Statim arripiens securim vastam nigramque, et atrum

114. Μενεδήϊον] ἔφη τὸν Ἴφιτον, ὡς ἐμμενετικὸν ἐν τῷ πολέμῳ. δήϊς γὰρ ὁ πόλεμος καὶ ἡ μάχη. Schol.

115. Ἀζαλέῃ] τῇ ξηρᾷ, ἐπεὶ ἦν ξυλίνη· Ὅμηρος δὲ καὶ σιδηρᾶν οἶδεν, "ἀλλὰ σιδηρείῃ κορύνῃ." τινὲς δὲ ἀποδεδώκασι σιδηρέῃ, τῇ εὐτόνῳ· ὥσπερ καὶ, "σιδήρειος δ' ὀρυμαγδὸς ὀρώρει." Schol.

116. Οὔπω κηρὶ κακῇ] οὔπω πεπρωμένον ἀποθανεῖν. Schol.

117. Δῃώσεσθαι] φονευθήσεσθαι. Ὁ δὲ Κλυτίος υἱὸς ἦν Εὐρύτου, ἀδελφὸς Ἰφίτου. Schol.

118. Ἀγκαῖος] Ἀρκὰς τὸ γένος ἐστί. φασὶ δὲ αὐτὸν ὁπλίσασθαι πελέκει καὶ ἄρκτου δορᾷ. Ὁ δὲ θρασὺς ἐνταῦθα ἐπὶ τοῦ ἀνδρείου, ἀλλ' οὐκ ἐπὶ τοῦ ὑπερβάλλοντος κεῖται. Schol.

119. Μέλαν] τὸ μέλαν ἐπὶ τοῦ δέρους ἀναφέρειν δεῖ, ὥσπερ καὶ τὸ κελαινὸν, ἀλλ' οὐκ ἐπὶ τοῦ πελέκεως. οὐ γὰρ κατὰ ἀλλήλους τὸ ὕστερον ἐπιτεθεῖσθαι τῷ δρυτικῷ. καὶ ἤτοι ἐκ παραλλήλου κεῖσθαι τὸ μέλαν καὶ τὸ κελαινόν. ἢ τὸ μὲν μέλαν ἐπὶ τὸ χρῶμα ἀναφέρειν δεῖ, τὸ δὲ κελαινὸν ἐπὶ τὸ ἐκπληκτικόν.

Πιτυγὼν, ἀντὶ τοῦ ἐκτείνας, ἀκοντίσας. καὶ τὸ πτυχόμενος, περιπλεκόμενος ἀντὶ ἀσπίδος. Schol.

119. Αἶψα μέλαν πιτυγὼν] Silent hic in re difficillimâ interpretes, Scholiaste excepto, quo nemo melius interpretari possit vulgatam lectionem. Verùm si ita scripsit Apollonius, culpari sane dignus est hoc in loco, tum ob pravam verborum dispositionem, tum ob μέλαν et κελαινὸν, voces planè geminas in eâdem sententiâ diverso planè significatu usurpatas, aut ἐκ παραλλήλου sumptas, cum una non plus dicat quàm altera. Antiquissimum profectò mendum, si mendum, latet : quod potius crediderim, quàm reum Apollonium talis inscitiæ ; eoque magis, quòd levissimâ mutatione locus hic planè restitui possit, ac dignus fieri Apollonio. Lego itaque αἶψα μάλ' ἀντιπτυγὼν, &c. Error ex omissa apostrophe ortus ; inde factum ut ἂν a πιτυγὼν divelleretur, quòd ἀντιπτυγὼν rarò occurrat, simplex verò πιταγὼν passim. Hinc etiam lectura pro μάλ' μάλαν, quæ vox cum nè Græca quidem sit, mutata est in μέλαν. Lexica quidem ἀντιτάζω vel ἀνατάζω non agnoscunt ; sed nec alias bene multa,

Ἄρκτῳ

Ἄρκτου προσχόμενος σκαιῇ δέρος, ἔνθορε μέσσῳ,
Ἐμμεμαὼς Βέβρυξιν· ὁμοῦ δέ οἱ ἐσσεύοντο
Αἰακίδαι· σὺν δέ σφιν ἀρήϊος ὤρνυτ' Ἰήσων.
Ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσιν ἀπείρονα μῆλ' ἐφόβησαν
Ἤματι χειμερίῳ πολιοὶ λύκοι ὁρμηθέντες,
Λάθρη ἐϋρρίνων τε κυνῶν αὐτῶν τε νομήων·
Μαίονται δ' ὅ, τι πρῶτον ἐπαΐξαντες ἕλωσι,
Πόλλ' ἐπιπαμφαλόωντες ὁμοῦ· τὰ δὲ πάντοθεν αὔτως

Ursi corium lævâ gestans, in medium prosiliit,
Succensens Bebrycibus; unáque cum eo irruerunt
Æacidæ, cum quibus bellicosus irrupit Jason.
Veluti autem cum in caulis permultas oves territare solent
Die hyberno cani lupi violenter aggressi
Clam sagaces naribus canes, ipsosque pastores,
Et disquirunt, quam primam *ovium* invasam corripiant,
Multas avidè intuiti simul; hæ undiquaque circum

quæ genuinæ sunt. Sat est analogicum esse, ut ἀνατανύω ἀντανύω, ἀνατείνω ἀντείνω, et similia. Jam si τάζω per ἐκτείνω cum Scholiaste reddis, vide quàm commodè ἀντιταγὼν huic loco conveniat; significat enim *erectum protendens*, quo modo sane tenent secures qui ferire volunt. Quanto hoc præstat vulgatæ lectioni quæ per simplex *protendens* juxta Schol. explicari debet? etenim non satis explicat actum viri ictum meditantis. At si τάζω cum Eustathio ad Homerum pro λαμβάνω interpreteris, ἀντιταγὼν erit *arripiens*, et expressior *simplice* τεταγών. Sanct.

121. Ὁμοῦ δέ οἱ ἐσσεύοντο] τὸ ὁμοῦ καὶ ἐπὶ τοῦ ἀθροίσματος τιθέασι, καὶ ἐπὶ τοῦ ἐγγὺς, ὡς Ἀθηναῖοι εἰώθασι χρῆσθαι. Μένανδρος, "ὁμοῦ δὲ τῷ τίκτειν περιγέγονεν ἡ κόρη·" ἀντὶ τοῦ ἐγγύς. Schol.

123. Ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσιν] ὥσπερ δὲ ἀφυλάκτῳ ποιμνίῳ ἐπελθόντες λύκοι ἀποροῦσι ποῖον πρῶτον ἁρπάξωσιν, οὕτω καὶ οἱ ἀριστεῖς τοὺς Βέβρυκας ἐτρέψαντο. ὁμοία δὲ ταύτῃ καὶ παρ' Ὁμήρῳ παραβολὴ, "ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι Σίνται. Schol.

124. Πολιοὶ] ἤτοι ὑπόστεφροι, ἢ ἔντιμοι. τίμιον γὰρ τὸ ζῶον παρ' Ἀθηναίοις. ὁ γὰρ ἀποκτείνας λύκον, ἀγείρει αὐτῷ τὰ πρὸς τὴν ταφήν. καὶ ἴσως ἐπεὶ ἡ Λητὼ ἔγκυος οὖσα διὰ δώδεκα ἡμερῶν εἰς Δῆλον ἦλθε μεταβαλοῦσα εἰς λύκον. διόπερ καὶ πάντα ἀριθμὸν χρόνον τοῦ ἐνιαυτοῦ τίκτει πᾶσα λύκαινα ἐν δώδεκα ἡμέραις, ὡς Φιλοστέφανος φησὶν ἐν τοῖς ὑπομνήμασιν. Schol.

125. Λάθρῃ ἐϋρρίνων] τοῦτο φησὶν ὅτι διὰ τὸ ψύχος καταδύουσιν εἰς τὰς ἐπαύλεις οἵ τε ποιμένες καὶ οἱ κύνες. εἶτα οὕτως ἀφύλακτα γίνονται τὰ πρόβατα. Εὐρρίνων δὲ, ἤτοι εὐδερμάτων. ἢ κυρίως διὰ τὸ ταῖς ῥισὶν ἰχνεύειν τὰ θηρία. διὸ καὶ παραινοῦσιν οἱ κυνηγοὶ πρὸ ἡμέρας ἐξάγειν τοὺς κύνας ἐπὶ θήραν· ἵνα πρὶν ἥλιον ἐπιτεῖλαι, εὐκαίρως ἰχνηλατῶσι ταῖς ῥισί. Schol.

126. Μαίονται] ἐπιζητοῦσι. Schol.

127. Πόλλ' ἐπιπαμφαλόωντες] πολλὰ

Στρέφονται

Στείνονται πίπτοντες περὶ σφίσιν· ὡς ἄρα τοίγε
Ἀζαλέως Βέβρυκας ὑπερφιάλους ἐφόβησαν.
Ὡς δὲ μελισσάων σμῆνος μέγα μηλοβοτῆρες
Ἠὲ μελισσοκόμοι πέτρῃ ἔνι καπνιόωσιν,
Αἱ δή τοι τείως μὲν ἀολλέες ᾧ ἐνὶ σίμβλῳ
Βομβηδὸν κλονέονται, ἐπιπρὸ δὲ λιγνυόεντι
Καπνῷ τυφόμεναι πέτρης ἑκὰς ἀΐσσουσιν·
Ὡς οἵγ' οὐκ ἔτι δὴν μένον ἔμπεδον, ἀλλὰ κέδασθεν

In arctum coguntur corruentes invicem; pariter illi
Vehementer Bebrycas insolentes terruerunt.
Veluti autem apium examen magnum vel opiliones
Vel mellarii in scopulo fumo infestant,
Hæ quidem aliquantisper confertæ suo in alveari
Insusurrantes conturbantur; plus æquo autem flammeolo
Fumo suffitæ e petrâ erumpunt,
Sic illi non diu postea stabiles manebant, sed dispersi sunt

ἐπιβλέποντες καὶ μετ' ἐνθουσιασμοῦ. παμφαλᾶν γὰρ τὸ μετὰ πτοιήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν. κέχρηται δὲ τῇ λέξει καὶ Ἱππώναξ καὶ Ἀνακρέων. λέγει δὲ καὶ Ἐρύκιος, "πάντοσε παμφαλόωντες δινήσαντο πόδεσσι." περιαντητέον δὲ Εἰρηναῖον ἀμφαινέοντες γράφοντα, καὶ ἐξηγούμενον κτείνοντες. οὔτε γὰρ κέχρηταί τις οὕτως τῇ λέξει, οὔτε ἐστὶν ἁπαξαπλῶς ἡ γραφὴ τοῦ ποιητοῦ. Schol.

128. Περὶ σφίσιν] ἔδει εἰπεῖν περὶ ἀλλήλοις πίπτοντες. οὐ γὰρ περὶ ἑαυτούς. τὸ δὲ ἁμάρτημα τοῦ μεθ' Ὅμηρον. Schol.

Ibid. Στείνονται] Στείνοντο Hesychius ἐστενοχωροῦντο, appositissimè ad hunc locum. Bebryces hìc comparantur ovibus, quia turbati conferti in se invicem cadebant. Habuit nimirum ante oculos Apollonius locum Homeri, Il. ε'. 141.

130. Ὡς δὲ μελισσάων] ὅτι τὸν καπνὸν φεύγουσιν αἱ μέλισσαι, διὰ τὸ στενότερον εἶναι αὐτῶν τὴν ὄσφρησιν· ὅπερ καὶ ἐπὶ τῶν ὄφεων συμβαίνει, θυμιωμένου τοῦ ἐλαφείου κέρως, ὥς φησι Νίκανδρος.

Σμῆνος δέ ἐστι τὸ τῶν μελισσῶν πλῆθος. Schol.

Ibid. Ὡς δὲ μελισσάων, &c.

Inclusas ut cum latebroso pumice pastor
Vestigavit apes, fumoque implevit amaro:
Illæ intus trepidæ rerum per cerea castra
Discurrunt, &c. Æn. XII. 587.

132. Σίμβλῳ] Σίμβλος δέ ἐστιν, εἰς ὃ τὰ κηρία συνάγεται ἀγγεῖον, ἡ κυψέλη. Schol.

133. Βομβηδὸν] ἀντὶ τοῦ μετὰ ἤχου καὶ βόμβου. βόμβος δέ ἐστιν, ὁ τῶν μελισσῶν ἦχος. ἔνιοι δέ, τῆς βοξαίου μελίττης λεγομένης.

Λιγνυόεντι. τῷ αἰθαλώδει. ὁ δὲ λόγος, ἐπιπλέον δὲ τῷ λιγνυώδει καὶ σποδώδει καπνῷ καπνιζόμεναι ὑποχωροῦσι τῶν σίμβλων. Schol.

134. Καπνῷ τυφόμεναι] ἀντὶ τοῦ καπνιζόμεναι. σημαίνει δὲ καὶ τὸ καιόμεναι. εἰώθασι δὲ καπνίζειν κόνυζαν. δριμὺς γὰρ μάλιστα ὁ ταύτης καπνός. Schol.

Εἴσω Βεβρυκίης, Ἀμύκου μόρον ἀγγελέοντες·
Νήπιοι· οὐδ' ἐνόησαν ὃ δὴ σφίσιν ἐγγύθεν ἄλλο
Πῆμ' ἀΐδηλον ἔην· πέρθοντο γὰρ ἡμὲν ἀλωαὶ,
Ἠδ' οἶαι τῆμος δηΐῳ ὑπὸ δουρὶ Λύκοιο
Καὶ Μαριανδυνῶν ἀνδρῶν, ἀπεόντος ἄνακτος.
Αἰεὶ γὰρ μάρναντο σιδηροφόρου περὶ γαίης.
Οἱ δ' ἤδη σταθμούς τε καὶ αὔλια δηιάασκον·
Ἤδη δ' ἄασπετα μῆλα περιτροπάδην ἐτάμοντο
Ἥρωες· καὶ δή τις ἔπος μετὰ τοῖσιν ἔειπεν.
Φράζεσθ' ὅ, ττι κεν ᾖσιν ἀναλκείῃσιν ἔρεξαν,

In interiorem Bebryciam, de fato Amyci nunciatum.
Stulti; nec enim intellexerunt, quàm prope ſibi erat alia
Funeſta clades: vaſtabantur enim non tantùm vindemiæ
Verùm etiam villæ infeſtis ſub armis Lyci
Et Mariandynorum, abſente rege.
Continuò enim dimicabant de ferrifero ſolo.
Verùm illi caulas et ſtabula ſpoliaverunt:
Jamque innumeras oves circum undique cogentes interfecerant
Heroes; et aliquis inter eos tale verbum effatus eſt.
Cogitate quid ſuâ imbecillitate effeciſſent iſti

138. Ἠμὲν ἀλωαὶ] αἱ ἀμπελόφυτοι χῶραι. Schol.

139. Οἷαι] αἱ κῶμαι· διὰ τὸ ἐν αὐταῖς τὰ πρόβατα καὶ τὰ ἄλλα βοτὰ νέμεσθαι. Schol.

140. Καὶ Μαριανδυνῶν] Φινέως παῖδες, ἐκ μὲν Κλεοπάτρας, Παρθένιος καὶ Κράμβοις· ἐκ δὲ Ἰδαίας τῆς Δαρδάνου, ἢ Σκυθικῆς τινὸς παλλακίδος, Θυνὸς καὶ Μαριανδυνός. ἐξ ὧν τὰ ἔθνη κέκληνται. οἱ δέ φασι κεκλῆσθαι τοὺς Μαριανδυνοὺς, ἀπὸ Μαριανδυνοῦ υἱοῦ Κιμμερίου. Ἀπεόντος ἄνακτος ἤγουν τεθνηκότος. ὥσπερ καὶ τὸ παρόντος τοῦ ζῶντος. Schol.

In Schol. Παρθένιος καὶ Κράμβοις. Scribe Κάραμβις. Ut de hujus quoque nomine oppidum Ponticum appellatum fuerit, ſicut à cæteris fluvius et populi. L. Holſtenius.

Ibid. Ἀπεόντος, *defuncti*. Sic et apud Latinos et Græcos εἶναι *eſſe*, i. e. *vivere*, οὐκ εἶναι *non eſſe*, i. e. interiiſſe. Upt.

141. Σιδηροφόρου περὶ γαίης] τῆς τῶν Χαλύβων. οἱ δὲ Μαριανδυνοὶ, ἔθνος ὁμοροῦν αὐτοῖς. Schol.

142. Οἱ δ' ἤδη] οἱ δὲ Ἀργοναῦται, τῶν Βεβρύκων περιφυγόντων, τὰς παρὰ θάλασσαν ἐπαύλεις ἐπόρθουν. ἤδη δὲ καὶ τῶν θρεμμάτων πολλὰ περιειληφότες ἀπετέμνοντο. Schol.

143. Περιτροπάδην] περιτρέποντες. ἐπὶ τὴν ναῦν ἐλαύνοντες. σημαίνει δὲ καὶ τὸ νικᾶν. Schol.

145. Φράζεσθ' ὅ, ττι κεν ᾖσιν] ὁ νοῦς. καὶ τί ἂν ἐποίησαν οἱ Βέβρυκες εἰ καὶ ὁ Ἡρακλῆς μεθ' ἡμῶν ἐληλύθει, οἷον, πῶς ἔφυγον καὶ ἡττήθησαν, οἶμαι γὰρ ὅτι οὐδὲ ἀγῶνα

Εἴπαις

Εἴπως Ἡρακλῆα θεὸς καὶ δεῦρο κόμισσεν.
Ἤτοι μὲν γὰρ ἐγὼ, κείνου παρεόντος, ἔολπα
Οὐδ' ἂν πυγμαχίῃ κρινθήμεναι· ἀλλ' ὅτε θεσμοὺς
Ἤλυθεν ἐξερέων, αὐτοῖς ἄφαρ οἷς ἀγόρευεν
Θεσμοῖσιν, ῥοπάλῳ μιν ἀγηνορίης λελαθέσθαι.
Ναὶ μὲν ἀκήδεστον γαίῃ ἔνι τόνγε λιπόντες
Πόντον ἐπέπλωμεν· μάλα δ' ἡμέων αὐτὸς ἕκαστος
Εἴσεται οὐλομένην ἄτην, ἀπάνευθεν ἐόντος.
Ὣς ἄρ' ἔφη· τὰ δὲ πάντα Διὸς βουλῇσι τέτυκτο.
Καὶ τότε μὲν μείναν αὖθι διὰ κνέφας, ἕλκεά τ' ἀνδρῶν
Οὐταμένων ἀκέοντο, καὶ ἀθανάτοισι θυηλὰς
Ῥέξαντες, μέγα δόρπον ἐφώπλισαν· οὐδέ τιν' ὕπνος
Εἷλε παρὰ κρητῆρι καὶ αἰθομένοις ἱεροῖσιν.
Ξανθὰ δ' ἐρεψάμενοι δάφνῃ καθύπερθε μέτωπα

Si modò Herculem etiam Deus hùc transtulisset.
Certè equidem ego, si ipse adfuisset, opinor
Quòd nemo esset seligendus pugilationi, sed quando leges
Accederet *Amycus* promulgaturus, ut illis statim ipse quas enunciabat
Legibus, clavâ *lacessitus* arrogantiam dedidicisset.
Nunc eo incurato, et in *alterâ* terrâ relicto,
Pontum pernavigavimus: valde autem nostrûm unusquisque
Sentiet perniciosum damnum, eo absente.
Sic locutus est: hæc autem omnia Jovis consilio fiebant.
Et tunc quidem manserunt ibi per noctem, et vulnera virorum
Sauciorum curârunt; et immortalibus sacra
Cum fecissent, magnam cœnam apparârunt; nec quenquam somnus
Invasit inter pocula et incensa sacra.
Sed cùm flavas lauro coronâssent desuper frontes

ἂν τῆς συμμαχίας ἐγένετο, ἀλλὰ προκαλεσάμενον τὸν Ἄμυκον τότε οἷς συνετίθει νόμοις ἡμῖν, τῷ ῥοπάλῳ πλήξας ἀνῄρηκεν. Schol.

148. Διακριθήμεναι] χωρισθῆναι. Schol.

Ibid. Κριθήμεναι. Flor. κρινθήμεναι, quod meliùs. Nec aliter stabit versus. Primam enim in κριθήμεναι semper corripiunt Homerus, Theocritus, aliique. Sic et ὀλισθη pro ὀλισθη, et similia apud poetas passim.

151. Ναὶ μὲν ἀκήδεστον] ὁ νοῦς. ἐκεῖνον μέν τοι ἀφροντίστως καταλιπόντες, τουτέστι τὸν Ἡρακλέα, ἐπ' ἀλλοτρίας ἐπλεύσαμεν. ἐκείνου δὲ ἀπόντος, ἕκαστος ἡμῶν αἰσθήσεται ὅσον βεβλάμμεθα. Schol.

159. Ξανθὰ δ' ἐρεψάμενοι] στεψά-

Ἀγχιάλῳ, τῇ καί τε περὶ πρυμνήσι᾽ ἀνῆπτο,
Ὀρφείῃ φόρμιγγι συνοίμιον ὕμνον ἄειδον
Ἐμμελέως· περὶ δέ σφιν ἰαίνετο νήνεμος ἀκτὴ
Μελπομένοις· κλεῖον δὲ Θεραπναῖον Διὸς υἷα.
Ἦμος δ᾽ ἠέλιος δροσερὰς ἐπέλαμψε κολώνας
Ἐκ περάτων ἀνιών, ἤγειρε δὲ μηλοβοτῆρας·
Δὴ τότε λυσάμενοι νεάτης ἐκ πείσματα δάφνης,
Ληΐδα τ᾽ εἰσβήσαντες ὅσην χρεὼ ἦεν ἄγεσθαι,
Πνοιῇ δινήεντ᾽ ἀνὰ Βόσπορον ἰθύνοντο.

Litorali, quâ funes etiam circum vinctæ erant,
Orpheæ testudini consonum hymnum cecinerunt,
Aptis numeris; circumque eos lætabatur tranquillum litus
Concinentes: celebrârunt autem Therapnæum Jovis filium.
Quando verò sol roscidos irradiavit colles,
Ex finibus oriens, et suscitavit ovium pastores,
Tunc sane, postquam solvissent ab extremâ funes lauro,
Tantumque prædæ imposuissent, quantum opus erat asportare,
Secundâ aurâ vorticosum per Bosphorum rectà impellebantur.

μενοι δὲ ὑπεράνω τῶν μετώπων δάφνῃ τὰς κεφαλάς· ἐξ ἧς δάφνης ἀνημμένα ἦν τὰ σχοινία τῆς νεώς. οὐ ποιητικῶς δὲ ἀνέπλασε τὴν δάφνην ὁ Ἀπολλώνιος, ἀλλ᾽ ἔστιν ὄντως ἐν τῷ τόπῳ δένδρον δάφνης εὐμέγεθες, ὥς φησιν Ἀνδρείτας ὁ Τενέδιος ἐν τῷ περίπλῳ τῆς Προποντίδος, παρατηρῶν ὅτι Ἄμυκος μὲν καλεῖται τὸ χωρίον, ἔχει δὲ ἐποίκια καὶ νεών. διέστηκε δὲ τῆς Χαλκηδόνος νυμφαίου σταδίους πέντε. Ἀπολλόδωρος δὲ ἐν τῷ πρώτῳ τῶν Ποντικῶν ἡρῷον αὐτόθι φησὶν εἶναι Ἀμύκου ἐκεῖ· καὶ εἴ τις ἐκ τῆς δάφνης κλάδον λάβοι, εἰς λοιδορίαν ἀνίστησι. Ἐρεψάμενοι δάφνῃ. δάφνῃ ἐστέψαντο διὰ Ἀπόλλωνα. ἐχρῶντο δὲ τῇ στέψει τριχῶς· ἐπὶ τῆς κεφαλῆς, ἐπὶ τοῦ μετώπου, ἐπὶ τοῦ τραχήλου τιθέμενοι τοὺς στεφάνους, διὰ τὸ θυμῆδες τῆς τριμεροῦς ψυχῆς. Schol.

161. Συνοίμιον] συνῳδόν. οἴμη γὰρ ἡ ᾠδή. Schol.

162. Περὶ δέ σφιν ἰαίνετο] διεχέετο ἡ ἀκτή. καθ᾽ ὑπερβολήν· καθ᾽ ὃ μυθεύεται ὁ Ὀρφεὺς κηλεῖν καὶ τὰ ἄψυχα· ᾖδον δὲ ἐπινίκιον τῷ Ἀπόλλωνι.

163. Θεραπναῖον] ἀπὸ μέρους, τὸν Λάκωνα. Θεράπναι γὰρ τόπος τῆς Σπάρτης, οἱ δὲ πόλιν. ὁ δὲ Ἀπολλώνιος, τόπον ἱερὸν Ἀπόλλωνος. Schol.

165. Ἐκ περάτων] ἐκ τοῦ ὑπερορίζοντος ἡμισφαιρίου. Schol.

168. Ἀνὰ Βόσπορον] Βόσπορος ὀνομάζεται διὰ τὸ δοκεῖν τὴν Ἰὼ βοῦν οὖσαν διαπορεύσασθαι τὸ ἀπὸ Βυζαντίου καὶ Χαλκηδόνος διάστημα * σταδίων ἐστὶ τούτων τὸν τόπον ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν διαβαίνουσαν. ἢ διὰ τὸ πάντας τοὺς στενοὺς πορθμοὺς Βοσπόρους καλεῖσθαι. ἔνιοι δέ φασι τοὺς ἐπὶ τοῦ στόματος οἰκοῦντας τὸ παλαιόν, ὁπότε ἐθέλοιεν εἰς τὸ πέραν διαβαίνειν, σχεδίας πηγνύντας καὶ βόας ὑποζεύξαντας, ἐπὶ τούτων διαπεραιοῦσθαι· ὅθεν καὶ ὀνομάσθαι τὴν θάλασσαν. ἔστι δὲ καὶ ἕτερος Βόσπορος τῆς Σκυθικῆς, Κιμμερ-

Ἔνθα

Ἔνθα μὲν ἠλιβάτῳ ἐναλίγκιον οὔρεϊ κῦμα
Ἀμφέρετ' προπάροιθεν ἐπαΐσσοντι ἐοικὸς,
Αἰὲν ὑπὲρ νεφέων ἠερμένον, οὐδέ κε φαίης
Φεύξεσθαι κακὸν οἶτον, ἐπεὶ μάλα μεσσόθι νηὸς
Λάβρον ἐπικρέμαται καθάπερ νέφος· ἀλλὰ τόγ' ἔμπης
Στόρνυται, εἴ κ' ἐσθλοῖο κυβερνητῆρος ἐπαύρῃ.
Τῷ καὶ Τίφυος οἵδε δαημοσύνῃσι νέοντο

Ibi quidem excelso similis monti unda
Sursum fertur coram ipsis irruenti similis,
Usque supra nubes elata, neque putares
Evasuros fore illos tristem mortem, tam directè mediæ navi
Minax impendebat instar nubis: sed hæc tamen
Sternitur, si modò *navis* peritum nacta fuerit gubernatorem.
Idcirco et hi Tiphyos solertiâ transibant

ρικὸς προσαγορευόμενος, διὰ τὸ Κιμμερίους ἔθνος Σκυθικὸν περὶ ἐκείνους οἰκῆσαι τοὺς τόπους. οἱ δέ φασι στόμα τῆς Μαιώτιδος λίμνης εἶναι καὶ ἐπίμηκες, ὁμοφυὲς τῷ κατὰ τὸ Βυζάντιον Βοσπόρῳ. ἄλλως. περὶ τοῦ Βοσπόρου ἡ ἱστορία παρὰ τοῖς παλαιοῖς διαφόρως λέγεται. Νύμφις μὲν γάρ φησιν ἱστορεῖν Ἀκαρίωνα, ὡς ἄρα Φρύγες διαπλεῦσαι βουλόμενοι τὸν πορθμὸν, κατασκευάσασθαι ναῦν ἔχουσαν ἐγκεχαραγμένην προτομὴν ταύρου. διαπλευσάντων δὲ αὐτῶν, ἀπὸ τοῦ ἄθλους τοῦ περὶ τὸ σκάφος προσαγορευθῆναι τὸ πέλαγος Βόσπορον. Ἔφορος δέ φησιν ἡρπάσθαι τὴν Ἰὼ ὑπὸ Φοινίκων καὶ διακομισθῆναι εἰς Αἴγυπτον. ἀνθ' ἧς τὸν βασιλέα τῶν Αἰγυπτίων πέμψαι Ἰνάχῳ ταῦρον. τετελευτηκότος δὲ ἐκείνου προελεῖναι αὐτοὺς παραδεικνύντας, καθὸ πρότερον οὐκ ἐγίνωσκον τὸ ζῶον. τὸν δὲ τόπον προσαγορευθῆναι, δι' οὗ οἱ τὸν ταῦρον ἔχοντες ἔπλευσαν, Βόσπορον. οἱ δὲ, καθὸ ὁ Φρίξος ἐπὶ κριοπρώρου σκάφους ἔπλευσεν. δύο δέ εἰσι Βόσποροι, Κιμμέριος, καὶ Θράκιος, ὁ πάλαι Μύσιος καλούμενος. Schol.

Post σταδίων in init. Schol. deest numerus stadiorum qui supplendus est ex Geographis, et sine dubio latet in voce ἐστὶ, quod statim sequitur; eo enim in numerum mutato, cuncta rectè procedunt. Hœlzlinus temerè id in διὰ mutavit, clam quoque, nullibi de eâ re monito lectore. Paulo post pro βόας legendum puto βοείας, nam non boves sed bovinas pelles intelligere videtur. Vide quæ de modo navigandi Euphratem scribit Herodotus. Sanct.

Hunc locum sic puto corrigendum. Τὸ ἀπὸ Βυζαντίου εἰς Χαλκηδόνα διάστημα ϛ' σταδίων ἐπὶ τοῦτον τὸν τόπον ἐκ τῆς, &c. Nam Dionysius Byzantius septem stadia ponit inter Bosphorium et Damalin promontoria. Vel etiam, τὸ μεταξὺ Βυζ. καὶ Χαλ. διάστημα σταδίων ἑπτὰ, εἰς τοῦτον, &c. L. Holstenius.

169. Ἠλιβάτῳ] Ἠλίβατον ὄρος φησὶν, ἀφ' οὗ ἀλιτεῖν ἐστι τῆς βάσεως, διὰ τὸ ὕψος· τοῦτ' ἔστιν ὑψηλὸν καὶ ἀπρόσβατον. Schol.

170. Ἐπαΐσσοντι] ἀντὶ τοῦ ἐπιπεχθησομένῳ ἢ ἐφορμήσοντι. Schol.

173. Ἀλλὰ τό γ' ἔμπης] ἀλλὰ καίπερ οὕτω μέγα καὶ λάβρον ὑπάρχον τὸ κῦμα, ὁμαλίζεται, εἰ ἀγαθοῦ κυβερνήτου τύχοι. Schol.

Ἀσκηθεῖς

Ἀσκηθεῖς μὲν, ἀτὰρ πεφοβημένοι· ἤματι δ' ἄλλῳ
Ἀντιπέρην γαίῃ Βιθυνίδι πείσματ' ἀνῆψαν.
Ἔνθα δ' ἐπάκτιον οἶκον Ἀγηνορίδης ἔχε Φινεύς·
Ὃς περὶ δὴ πάντων ὀλοώτατα πήματ' ἀνέτλη
Εἵνεκα μαντοσύνης, τήν οἱ πάρος ἐγγυάλιξε

Illæsi, sed non interriti: postridiè autem
Ex adverso terræ Bithynicæ religârunt funes.
Ibi propè litus ædes Agenorides habuit Phineus,
Qui præ omnibus longè gravissimas ærumnas passus est
Propter divinandi artem, quam ei antea suppeditaverat

177. Ἀντιπέρην γαίῃ Βιθυνίδι] διτταί εἰσι Βιθυνίαι· ἡ μὲν, ἐπὶ τῆς Εὐρώπης· ἡ δὲ, ἐπὶ τῆς Ἀσίας. καὶ ἡ μὲν ἐπὶ τῆς Εὐρώπης, περὶ Σαλμυδησσὸν κεῖται ἐπὶ τῆς Θρᾴκης· ἡ δὲ ἑτέρα καθήκει ἐπὶ τὸν Βόσπορον, καὶ ἐπὶ τὸ στόμα τοῦ Πόντου. ἔστι δὲ καὶ τρίτη Βιθυνία νῆσος περὶ τὸν Πόντον. ἔστι δὲ ἀμφίβολον εἰς ποίαν Βιθυνίαν φησὶν, ἀμφοτέρων οὐσῶν ἐπὶ τὸ πέραν. ἄμεινον οὖν τὴν περὶ τὴν Εὐρώπην Βιθυνίαν λέγειν. τῇ γὰρ ἐπιούσῃ, φησὶν, ἡμέρᾳ ἐν τῇ Βιθυνίᾳ τὰ ἀπόγεια ἔδησαν, ὡς δῆλον, ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην. καὶ γὰρ ὁ Φινεὺς (ὡς οἱ πλεῖστοι) ἐπὶ τοῦ Σαλμυδησσοῦ λέγεται) ᾠκηκέναι, ὅς ἐστι τῆς Θρᾴκης, κατὰ τὰ ἀριστερὰ μέρη τοῦ Πόντου εἰσπλέοντι. ἔστι δὲ καὶ ἑτέρα Βιθυνία, νῆσος μετὰ τὸν Πόντον, ἐν ᾗ ἐστιν Ἀπόλλωνος ἱερόν. Ἄλλως. οὐκ ἐν τῇ πέραν Βιθυνίᾳ ἀλλ' ἐν τῇ τῆς Θρᾴκης· ἥ τις ἐστὶ τῆς Εὐρώπης. ὡς ἀποδέδεικται, ἔνθα Φινεὺς ᾤκει. Schol.

Διτταί εἰσι Βιθυνίαι. Confundit Bithuniam cum Thyniade loco ceu promontorio Thraciæ. Nam licèt nomina quodammodo affinia sint, diversa tamen sunt, ut et Thynia et Thynias insula, quam mox tertio loco jubjungit. Id verò multo magis miror Scholiastem in loco clarissimo sibi nebulam offundere, et disquirere quam Bithyniam poeta intelligat. Multò autem certiora sunt quæ de his locis habentur infra ad v.347. Unde apparet hanc scholiornm miscellam ex diversis esse congestam. L. Holstenius.

178. Ἀγηνορίδης] Ἀγήνορος γὰρ παῖς ἐστιν, ὡς Ἑλλάνικος. ὡς δὲ Ἡσίοδός φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. ὁμοίως δὲ καὶ Ἀσκληπιάδης, καὶ Ἀντίμαχος, καὶ Φερεκύδης φησίν. ἐκ γὰρ Κασσιεπείας τῆς Ἀράβου Φοίνικι γίνεται Κίλιξ, καὶ Φινεὺς, καὶ Δόρυκλος. ὁ δὲ Ἀτύμνιος κατὰ μὲν ἐπίκλησιν, καὶ αὐτὸς τοῦ Φοίνικος· παῖς δὲ ἀληθείαις, τοῦ Διός. ἔνιοι δὲ αὐτὸν ἐν τῇ Παφλαγονίᾳ βασιλεῦσαι ἱστοροῦσιν, ἥ τις ἐστὶ τῆς Ἀσίας, ὡς φησιν Ἑλλάνικος. Ἀγηνορίδην δὲ εἶπε τὸν Φινέα, καθὸ Ἀγήνορός ἐστι παῖς. ὁ δὲ Ἡσίοδος τοῦ Φοίνικος αὐτόν φησι τοῦ Ἀγήνορος. πηρωθῆναι δὲ λέγουσι τὸν Φινέα ὑπὸ ἡλίου, ὅτι πολυχρόνιος εἵλετο μᾶλλον εἶναι ἢ βλέπειν. ἔνιοι δὲ ἀπίθανον οἴονται, τοσαύτας γενεὰς ἐζηκέναι Φινέα, ὥστε τοῦ Φοίνικος ὄντα υἱὸν, μέχρι τῶν Ἀργοναυτῶν διαρκέσαι. καὶ ἕτερον τοῦτον φασὶ τὸν Φινέα, ἕβδομον ὄντα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος, πρὸς ὃν ἀπήντησαν οἱ ἥρωες. πηρωθῆναι δὲ αὐτὸν ὅτι ἐπιδείκνυσι Περσεῖ. Σοφοκλῆς δὲ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν, Ὄρυθον καὶ Κράμβιν, πεισθεὶς διαβολαῖς Δίας τῆς αὐτῶν μητρυιᾶς. ὁ δὲ Ἀπολλώνιος φησὶ πηρωθῆναι αὐτὸν, καὶ πρὸς τῶν Ἁρπυιῶν κακῶς πάσχειν, ὅτι ἀνέδην πᾶσαν ἐκ διαρρήδην ἐμαντεύετο. φησὶ γὰρ "οὐδ' ὅσσον ὀπίζετο καὶ Διὸς αὐτοῦ."

Λητοΐδης

Λητοΐδης· οὐδ' ὅσσον ὀπίζετο καὶ Διὸς αὐτοῦ,
Χρείων ἀτρεκέως ἱερὸν νόον ἀνθρώποισι.
Τῷ καί οἱ γῆρας μὲν ἐπὶ δηναιὸν ἴαλλεν,
Ἐκ δ' ἕλετ' ὀφθαλμῶν γλυκερὸν φάος· οὐδὲ γάνυσθαι
Εἴα ἀπειρεσίοισιν ὀνείασιν, ὅσσα οἱ αἰεὶ
Θέσφατα πευθόμενοι περιναιέται οἴκαδ' ἄγειρον·
Ἀλλὰ διὰ νεφέων ἄφνω πέλας ἀΐσσουσαι
Ἅρπυιαι στόματος χειρῶν τ' ἄπο γαμφηλῇσι
Συνεχέως ἥρπαζον· ἐλείπετο δ' ἄλλοτε φορβῆς
Οὐδ' ὅσον, ἄλλοτε τυτθὸν, ἵνα ζώων ἀκάχοιτο.

Latonæ filius: neque vel minimùm reveritus eſt Jovem ipſum,
Exponens intrepidè ſacram mentem hominibus.
Idcircò ſenectutem ei perpetuam immiſit *Jupiter*,
Ademitque oculorum dulce lumen, neque lætari
Paſſus eſt copioſiſſimo victu, quem ei ſemper
Vaticinia ſciſcitantes vicini ad domum ferebant:
Sed a nubibus ſubitò prope irruentes
Harpyiæ, ex ore manibuſque, roſtris ſuis
Indeſinenter raptabant: relinquebatur autem interdum cibi
Ne tantillum quidem, interdum autem paululum, ut viveret ad cruciatus ſubeundos.

181. Οὐδ' ὅσσον ὀπίζετο] οὐδὲ ἐλάχιστον τοῦ Διὸς αὐτοῦ ἐπεστρέφετο, τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων. λέγων γὰρ πάντα τὸν νοῦν τοῖς ἀνθρώποις, οὐδεμίαν χρείαν αὐτοῖς τῶν θεῶν κατελίμπανεν. ὅτι δὲ ἦρχεν ὁ Φινεὺς μέχρι τοῦ Βοσπόρου Θρᾳκῶν πάντων τῶν ἐν τῇ Ἀσίᾳ (εἰσὶ δὲ οὗτοι Βιθυνοί τε καὶ Παφλαγόνες) Φερεκύδης ἐν τῇ ϛ΄ φησί. πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν. ἐν δὲ τῷ γ΄ καταλόγῳ, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν. παῖδας δὲ αὐτοῦ φασὶ γενέσθαι Μαριανδυνὸν καὶ Θυνόν· καὶ ἀπὸ μὲν Θυνοῦ Θυνίδα, ἀπὸ δὲ Μαριανδυνοῦ Μαριανδυνίαν προσαγορευθῆναι λέγουσιν. Schol.

185. Ὀνείασιν] ὀνείατα δέ φησι τὰ σιτία καὶ βρώματα. Schol.

187. Ἀλλὰ διὰ νεφέων, &c.

At ſubito horrifico lapſu de montibus adſunt
Harpyiæ, et magnis quatiunt clangoribus alas,
Diripiuntque dapes, contactuque omnia fœdant
Immundo, tum vox tetrum dira inter odorem.
Æn. III. 225.

Similiter etiam Flaccus,

Diripiunt verruntque dapes fœdataque turbant
Pocula, fragrat odor, &c.

Καὶ

Καὶ δ' ἐπὶ μυδαλέην ὀδμὴν χέον· οὐδέ τις ἔτλη
Μὴ καὶ λευκανίηνδε φορεύμενος, ἀλλ' ἀπὸ τηλοῦ
Ἑστηώς· τοῖόν οἱ ἀπέπνεε λείψανα δαιτός.
Αὐτίκα δ' εἰσαΐων ἐνοπὴν καὶ δοῦπον ὁμίλου,
Τούσδ' αὐτοὺς παριόντας ἐπήϊσεν, ὧν οἱ ἰόντων,
Θέσφατον ἐκ Διὸς ἦεν, ἑῆς ἀπόνασθαι ἐδωδῆς.
Ὀρθωθεὶς δ' εὐνῆθεν, ἀκήριον ἠΰτ' ὄνειρον,
Βάκτρῳ σκηπτόμενος, ῥικνοῖς ποσὶν ᾖε θύραζε
Τοίχους ἀμφαφόων· τρέμε δ' ἅψεα νισσομένοιο
Ἀδρανίῃ γήραΐ τε· πίνῳ τέ οἱ αὐσταλέος χρὼς
Ἐσκλήκει· ῥινοὶ δὲ σὺν ὀστέα μοῦνον ἔεργον.
Ἐκ δ' ἐλθὼν μεγάροιο καθέζετο γοῦνα βαρυνθεὶς

Præterea fœtidum odorem circumfuderunt; adeo ut nemo ſuſtineret
Non modò non gutturi admovere, ſed nè procul quidem
Stare, tam fœdè oluerunt reliquiæ epularum.
Statim autem exaudiens clamorem ſtrepitumque turbæ,
Ipſos adeſſe ſenſit, quibus venientibus,
Ex Jovis oraculo ſteterat, quòd ſuo iterum frueretur cibo.
Erectus autem grabato, inanime velut ſomnium,
Baculo innixus, marcidis pedibus ivit ad fores,
Parietes contrectans; tremuerunt autem membra incedentis
Præ torpore et ſenio; ſordibus ei ſqualidum corpus
Aruerat; et cutis oſſa ægrè coercebat.
Egreſſus autem ex ædibus conſedit, genua gravatus,

191. Μυδαλέην] τὴν μυσαράν. Schol.

192. Μὴ καὶ λευκανίηνδε] οἱ μὲν τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος ἀπέδωκαν· Ἀμερίας δὲ, τὸν λαιμὸν καὶ τὸν βρόγχον. Schol.

195. Ἐπήϊσεν] ἀντὶ τοῦ ᾔσθετο.
Ὧν οἱ ἰόντων. ὧν ἐλθόντων, εἵμαρτο αὐτῷ ἐκ Διὸς ὄνασθαι τῶν ἐδεσμάτων ὧν προσφέροιντο. Schol.

196. Θέσφατον] τὸ εἱμαρμένον. Schol.

197. Ἀκήριον] ὡς ἄψυχον ὀνειράτιον. Διὰ τὸ καταλελεπτύνθαι ὑπὸ τῆς νόσου. Schol.

198. Ῥικνοῖς] ἀντὶ τοῦ ῥυσοῖς. Schol.

200. Πίνῳ τέ οἱ] τῷ δὲ ῥύπῳ ὁ αὐσταλέος καὶ κατεσκληκὼς αὐτοῦ χρὼς ἐρρυπαίνετο. Schol.

201. Ῥινοί] Ῥινός ἐστι τὸ δέρμα.
Τὴν δὲ σὺν συναπτέον τῷ ἔεργον, ἵν' ᾖ, αἱ ῥινοὶ δὲ μόνοι ξυνεῖχον τὰ ὀστᾶ αὐτοῦ. Schol.

Οὐδοῦ

Οὐδοῦ ἐπ' αὐλείοιο· κάρος δέ μιν ἀμφεκάλυψεν
Πορφύρεος, γαῖαν δὲ πέριξ ἐδόκησε φέρεσθαι
Νειόθεν, ἀβληχρῷ δ' ἐπὶ κώματι κέκλιτ' ἄναυδος.
Οἱ δέ μιν ὡς εἴδοντο, περισταδὸν ἠγερέθοντο,
Καὶ τάφον· αὐτὰρ ὁ τοῖσι μάλα μόλις ἐξ ὑπάτοιο
Στήθεος ἀμπνεύσας, μετεφώνεε μαντοσύνῃσι.
Κλῦτε, πανελλήνων προφερέστατοι, εἰ ἐτεὸν δὴ
Οἵδ' ὑμεῖς, οὓς δὴ κρυερῇ βασιλῆος ἐφετμῇ
Ἀργῴης ἐπὶ νηὸς ἄγει μετὰ κῶας Ἰήσων.
Ὑμεῖς ἀτρεκέως· ἔτι μοι νόος οἶδεν ἕκαστα

In limine porticûs: vertigo verò ipſum cooperuit
Caliginoſa, terramque putavit circumagi
Subtus; ipſeque elinguis in languidum inclinatus eſt ſomnum.
Illi verò ut eum conſpexerant, circumſtiterunt coacti,
Et obſtupuerunt: quos ipſe vix ægréque ab imo
Pectore ſuſpirans affatus eſt per divinationem.
Audite, omnium Græcorum optimi, ſi modò verè
Illi vos eſtis, quos, ſævo regis juſſu,
Argoâ in navi ducit pellis acquirendæ ſtudio Jaſon:
Vos haud dubiè: adhuc mihi mens novit ſingula

203. Κάρος] κάρος δὲ αὐτὸν κατεῖχεν, τουτέστι σκότωσις. τὴν δὲ γῆν διὰ τὴν σκοτοδινίαν ᾠήθη φέρεσθαι. ὥστε εἶπεν ὅτι ᾠήθη τὴν γῆν ἐπικεῖσθαι ἑαυτῷ. Schol.

205. Ἀβληχρῷ] ἀσθενοποιῷ. ἢ ἀσθενεῖ, κατὰ στέρησιν τοῦ βληχροῦ. ὁ δὲ νοῦς, ὑπὸ τῆς λεπτῆς ἐκείνης διὰ τὴν σκότωσιν καταφορᾶς ἔκειτο ἄφωνος. Κώματι δὲ, ὕπνῳ, ἐκλύσει. καὶ ἔστι κατὰ συγκοπὴν ἀπὸ τοῦ κοίμημα, ὡς οἴμημα, οἶμα· καὶ δόμημα, δῶμα. καὶ τροπῇ τοῦ οι διφθόγγου εἰς ω κῶμα. Schol.

207. Καὶ τάφον] ἀντὶ τοῦ ἐξεπλάγησαν. Τὸ δὲ μόλις, οὐδὲν ἕτερον ἢ τὸ τῆς νόσου σφοδρὸν καὶ μέγα αἰνίττεται.
Ἐξ ὑπάτοιο στήθεος. οἷον ἐξ ἄκρου καὶ ἐκ βάθους, διὰ τὴν ἀσθένειαν ἀναπνεῖν τε καὶ λαλεῖν οὐ δυνάμενος. Διονύσιος δὲ ἐν τοῖς Ἀργοναύταις φησὶν ἀναιρεθῆναι τὸν Φινέα ὑπὸ Ἡρακλέους ἰδόντος τοὺς παῖδας ἐν ἐρημίᾳ, καὶ μαθόντος ὅτι ὑπὸ Φινέως ἦσαν ἐκτετυφλωμένοι, κατὰ διαβολὴν Σκυθικῆς γυναικὸς, ἣν γεγαμήκει ὁ Φινεὺς παραιτησάμενος Κλεοπάτραν. γεγόνει δὲ τοῦ Φινέως ἡ ἀξιοῦσα κατήγορος παρὰ τῷ Ἡρακλεῖ. διόπερ Ἡρακλῆς ἀναστίους εὑρὼν τοὺς παῖδας, κατήγαγεν εἰς τὴν πατρῴαν οἰκίαν. Φινέα δὲ ἀνιστάμενον, καὶ θελήσαντα καταποντίσαι τὸν ἕτερον τῶν παίδων, λακτίσας ὁ Ἡρακλῆς ἀπέκτεινεν. Ἴστρος δέ φησι τὸν Αἰήτην γνόντα ὅτι τοὺς Φρίξου υἱοὺς εἴη σεσωκὼς ταῖς μαντείαις, καταράσασθαι αὐτῷ· τὸν δὲ ἥλιον ἐπακούσαντα πηρῶσαι. Schol.

212. Ὑμεῖς ἀτρεκέως] Λείπει τὸ ἐστέ, ὁ δὲ λόγος. ἔτι μοι νόος διὰ τῆς ἐμῆς μαντείας ἕκαστα οἶδεν. διὰ δὲ τούτου οὐδὲν ἕτερον, ἢ τὴν τέχνην ἐπαγγελλόμενος, λεληθότως αὐτοὺς εἰς συμμαχίαν παρακαλεῖ. Schol.

Ἧισι θεοπροπίῃσι· χάριν νύ τοι, ὦ ἄνα Λητοῦς
Υἱὲ, καὶ ἀργαλέοισιν ἀνάπτομαι ἐν καμάτοισιν.
Ἱκεσίου πρὸς Ζηνὸς, ὅτις ῥίγιστος ἀλιτροῖς
Ἀνδράσι, Φοίβου τ' ἀμφὶ, καὶ αὐτῆς εἵνεκεν Ἥρης
Λίσσομαι, ἧς πέρι ἀλλὰ θεῶν μέμβλεσθε κιόντες,
Χραίσμετέ μοι· ῥύσασθε δυσάμμορον ἀνέρα λύμης,
Μηδέ μ' ἀκηδέστως ἀφορμήσητε λιπόντες
Αὔτως· οὐ γὰρ μοῦνον ἐπ' ὀφθαλμοῖσιν Ἐριννὺς
Λὰξ ἐπέβη, καὶ γῆρας ἀμήρυτον ἐς τέλος ἕλκω·
Πρὸς δ' ἔτι πικρότατον κρέμαται κακὸν ἄλλο κακοῖσιν.

Suâ divinatione: gratias proinde tibi refero, ô rex, Latonæ
Fili, quanquam duris *oppreſſus* ærumnis.
Per Jovem ſupplicum vindicem, qui ſæviſſimus eſt delinquentibus
Hominibus; per Phœbum, ipſamque Junonem,
Cui præſertim Deorum curæ eſtis in hâc profectione,
Opitulamini mihi; eripite miſerum virum calamitate,
Neque hinc ſolvite, incurato me relicto,
Temerè: non enim modò oculos Erinnys
Calcitratu invaſit, et ſenectutem perennem uſque traho,
Verùm inſuper acerbiſſimum malum aliud appenſum eſt his malis.

213. Χάριν νύ τοι, ὦ ἄνα] ἀναφέρω σοι χάριν, καίπερ ὢν ἐν κακοῖς. Ὁ καὶ ἐναντιωματικὸς, ἀντὶ τοῦ καίπερ. Schol.

215. Ὅτις ῥίγιστος] ὅστις φοβερός ἐστι τοῖς ἁμαρτάνουσιν εἰς ἱκέτας. κυρίως δὲ πρὸς τὰ ὑποκείμενα, οὐ ξενίου Διὸς, ἀλλ' ἱκεσίου μέμνηται. ἐπεὶ καὶ αὐτὸς ὡς ἱκέτης ἐστὶ τῶν ἡρώων διὰ τὴν κατεπείγουσαν χρείαν. Schol.

216. Φοίβου τ' ἀμφὶ] τοῦτο ἢ ὡς μάντεως, ἢ ὡς αἴτιον τοῦ πλοῦ τὸν θεὸν γεγονότα φησίν. Schol.

217. In Flor. et Ald. editione pro ἠδὲ θεῶν οἷσιν μέμβλεσθε, ut eſt in Gall. legitur ἧς πέρι ἀλλὰ θεῶν μέμβλεσθε. Quam ſcripturam nemo eſt qui non averſetur, idque meritò. Verùm minimâ mutatione mihi videor eam non minùs alterâ gratam poſſe reddere: nimirum ſi ita legatur οἷς περίαλλα θεῶν μέμβλεσθε. Hoc autem adverbio uti hunc (ſicut et alios poetas) videmus in hoc libri tertii loco. Τὴν Ἑκάτη περίαλλα, &c. Steph.

218. Χραίσμετέ μοι] βοηθεῖτέ μοι. τὸ γὰρ χραισμεῖν Κλιτόριοι λέγουσι τὸ ἐπαρκεῖν. ἀπὸ βαρυτόνου δὲ κέκλικε τοῦ χραίσμω, ὡς βαίνω, βαίνετε. τὸ γὰρ περισπώμενον, χραισμεῖτε. Ἄλλως. τὸ χραισμεῖν ἀντὶ τοῦ ἐπαινεῖν ἢ παραινεῖν λαμβάνουσι Κλιτόριοι. κοινῶς δὲ τὸ βοηθεῖν. Schol.

221. Ἀμήρυτον] γράφεται καὶ ἀμήρυον. τοῦτ' ἔστιν, ἀτέλεστον καὶ διηνεκῶς ἐπιμέτρον, ἀπέραντον. ἢ τὸ τέλος μὴ ἔχον. λέγει δὲ τὸ θάνατον μὴ ἔχον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μηρυομένων ἐρίων. Schol.

222. Πρὸς δ' ἔτι πικρότατον] πλέον τὸ πάθος ποιῆσαι βουλόμενος, ἀπ' αὐτοῦ

Ἅρπυιαι

Ἅρπυιαι στόματος μοι ἀφαρπάζουσιν ἐδωδὴν,
Ἔκποθεν ἀφράστοιο καταΐσσουσαι ὀλέθρου.
Ἴσχω δ' οὔ τινα μῆτιν ἐπίρροθον· ἀλλά κε ῥεῖα
Αὐτὸς ἑὸν λελάθοιμι νόον, δόρποιο μεμηλὼς,
Ἢ κείνας· ὧδ' αἶψα διηέριαι ποτέονται.
Τυτθὸν δ' ἢν ἄρα δή ποτ' ἐδητύος ἄμμι λίπωσι,
Πνεῖ τόδε μυδαλέον τε καὶ οὐ τλητὸν μένος ὀδμῆς.
Οὔ κέ τις οὐδὲ μίνυνθα βροτῶν ἄνσχοιτο πελάσσας,
Οὐδ' εἴ οἱ ἀδάμαντος ἐληλάμενον κέαρ εἴη.

Harpyiæ mihi ex ore eripiunt cibum,
Ex alicunde cum improviso delapsæ malo.
Neque aliquod habeo consilium quod adjuvet; sed faciliùs
Ipse meum latere possim animum, cibi appetens,
Quàm illas; tam celeriter aërem travolant.
Si verò paululum aliquando nobis cibi reliquerint,
Effundit hoc putrem et intolerabilem vim odoris.
Neque quisquam mortalium sustineat vel paulùm appropinquare,
Ne si cor ei sit ex adamante excusum.

τοῦ πάθους ἤρξατο. ὁ δὲ νοῦς· αὐτὸς δὲ τοῖς ἄλλοις κακοῖς πικρότατον ἄλλο ἐπ' ἄλλῳ ἐπικείμενον ἔχει. Schol.

224. Ἀφράστοιο] ἀνεπινοήτου, ἀπροοράτου, ἀδήλου. Schol.

225. Ἀλλά κε ῥεῖα] οὕτω ταχέως ἀπὸ τῶν ἀφανῶν ἔρχονται. Schol.

226. Ἑὸν] Κακῶς δὲ τὸ ἑὸν τέθεικεν, ἀντὶ τοῦ ἐμὸν εἰπεῖν. Μεμηλώς. φροντίζων. τοῦτο δὲ δαιμονίως εἶπεν. οὐ γάρ φησι εὐωχούμενος, ἢ ἐσθίων· ἀλλὰ μόνον φροντίδα τροφῆς ἔχων· ἵνα τὸ πάθος ἐπαίρῃ. Schol.

Ibid. Mirum est enarratorem legisse hìc ἑὸν: cujus pronominis usus vel potius abusus hoc in loco meritò reprehensione dignus videri possit; ut et ipse reprehendit. Mirum, inquam, est, veram lectionem ἐμὸν, ad nos potiùs quàm ad illum pervenisse. Nam quin Apollonius scripserit ἐμὸν, dubitandum non puto. Ac potiùs mirum alicui fuerit, nec satis credibile, eum nullâ necessitate versus (si ita loquendum est) coactum, ἑὸν pro ἐμὸν scripsisse: quod certè de aliis quibusdam locis dici non potest, ubi paulo liberior est illi hujusmodi pronominum usus. Atque adeo in alio hujus libri loco ita usus esse comperitur hoc ipso pronomine, sed coactus. Nisi forte possit etiam dici pro ἑὸν legendum μεῖο, sicut μεῦ et μοὶ pro ἐμοῦ et ἐμοὶ dici solent. In præcedente autem versu aptiùs legi ῥεῖον, in comparatione, quàm ῥεῖα (ut habent edit. Flor. et Ald.) manifestum est. Steph.

231. Ἀδάμαντος] ἀδάμας δὲ καὶ σκληροῦ σιδήρου εἶδος. Ἐληλάμενον, ἀντὶ τοῦ κεχαλκευμένον Schol.

Ibid. Ἐληλάμενον] *Ductum*. Nam

Ἀλλά με πικρὴ δῆτά κε δαιτὸς ἐπίσχει ἀνάγκη
Μίμνειν, καὶ μίμνοντα κακῇ ἐν γαστέρι θέσθαι.
Τὰς μὲν θέσφατόν ἐστιν ἐρητύσαι Βορέαο
Υἱέας· οὐδ' ὀθνεῖοι ἀλαλκήσουσιν ἐόντες·
Εἰ δὴ ἐγὼν ὁ πρίν ποτ' ἐπικλυτὸς ἀνδράσι Φινεὺς
Ὄλβῳ μαντοσύνη τε, πατὴρ δέ μ' ἐγείνατ' Ἀγήνωρ·
Τῶν δὲ κασιγνήτην, ὅτ' ἐνὶ Θρήκεσσιν ἄνασσον
Κλειοπάτρην ἕδνοισιν ἐμὸν δόμον ἦγον ἄκοιτιν.
Ἴσκεν Ἀγηνορίδης· ἀδινὸν δ' εἷλε κῆδος ἕκαστον
Ἡρώων, πέρι δ' αὖτε δύω υἷας Βορέαο.
Δάκρυ δ' ὀμορξαμένω σχεδὸν ἤλυθον· ὧδέ τ' ἔειπε
Ζήτης, ἀσχαλόωντος ἑλὼν χερὶ χεῖρα γέροντος.

Sed me dura ſane cibi cogit neceſſitas
Manere, et quæ edulia maneant importuno ventri inferre.
Has quidem oraculo traditum eſt depulſuros eſſe Boreæ
Filios: nec alienigenæ exiſtentes opem ferent,
Si profecto ego ille ſim aliquando illuſtris inter homines Phineus
Opibus et vaticinio; pater verò me genuerit Agenor;
Horumque ſororem, quando in Thracibus regnabam,
Cleopatram, cum dote domum meam duxerim conjugem.
Finierat Agenoris filius: vehemens autem dolor invaſit unumquemque
Heroum, præcipuè verò duos filios Boreæ:
Lachrymis autem abſterſis, prope acceſſerunt; itaque dixit
Zetes, infelicis amplexus manu manum ſenis.

ἐλαύνειν eſt *ducere*. Sic Horat. ne quis ſe *duceret* ære. Ita etiam Homerus utitur voce ἤλασε. Upt.

232. Ἀλλά με πικρὴ] ἡ πολυβλαβής. τοῦτο δὲ πρὸς πλείονα ἔμφασιν. οἱονεὶ οὐ μόνον φέρειν τὴν ὀδμὴν, ἀλλὰ καὶ ἑδραίως μένειν, διὰ τὸ τυφλώττειν, καὶ διὰ τὸ δεῖσθαι πάντων τροφῆς. Schol.

234. Τὰς μὲν θέσφατον] τὰς Ἁρπυίας, τὸ δὲ θέσφατον, σφόδρα ἀναγκαίως ἐχρήσατο. ὥσπερ εἰ ἔστι κατὰ ἀνάγκην ὑπὸ τῶν Βορεαδῶν ἀναιρεθῆναι. Schol.

235. Οὐδ' ὀθνεῖοι] οὐκ ἀλλότριοι δὲ ὄντες μοι βοηθήσουσιν. ὅτι δὴ ἡ συγγένεια προθυμοτέρους πάντας πρὸς τὰς εὐεργεσίας ποιεῖ καὶ Εὐριπίδης φησίν. "Ἑλληνικόν τι τὸ ὁμόθεν τιμᾶν ἀεί." Schol.

238. Τῶν δὲ κασιγνήτην] Κλεοπάτρα Βορέου καὶ Ὠρειθυίας θυγάτηρ, ἀδελφὴ τῶν περὶ Ζήτην καὶ Κάλαϊν, ἣν ἔγημεν ὁ Φινεύς. γεγόνασι δὲ αὐτῶν παῖδες Ὤρυθος καὶ Κράμβις. Schol.

241. Πέρι δ' αὖτε δύω] ἴσως διὰ τὴν συγγένειαν τοὺς Βορεάδας πλέον οἰκτείρειν φησίν. Schol.

243. Ἀσχαλόωντος] δυσφοροῦντος. Schol.

Ἆ δειλ',

Ἆ δεῖλ', οὔτινα φημὶ σέθεν συγερώτερον ἄλλον
Ἔμμεναι ἀνθρώπων· τί νύ τοι τόσα κήδε' ἀνῆφθαι;
Ἦ ῥα θεοὺς ὀλοῇσι παρήλιτες ἀφραδίῃσι,
Μαντοσύνας δεδαώς· τῷ τοι μέγα μηνιόωσιν.
Ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι
Χραισμεῖν, εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων
Νῶϊν (ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἐνιπαὶ
Ἀθανάτων·) οὐδ' ἂν πρὶν ἐρητύσαιμεν ἰούσας
Ἁρπυίας, μάλα περ λελιημένοι, ἔστ' ἂν ὀμόσσης,
Μὴ μὲν τοῖό γ' ἕκητι θεοῖς ἀπὸ θυμοῦ ἔσεσθαι.

Ah miser! neminem cenſeo te infeliciorem
Eſſe hominum: quamobrem tantæ tibi ærumnæ appenſæ ſunt?
Certè Deos gravi offendiſti imprudentiâ,
Ex divinandi peritiâ: idcirco tibi graviter ſuccenſent.
Nobis autem animus intus refugit, cupientibus
Opitulari (ſi modò planè munus hoc impoſuit Deus
Nobis; manifeſtè enim liquent terricolis iræ
Deorum:) neque prius repellemus advenientes
Harpyias, valde licèt cupidi, donec juraveris
Nos hujus cauſâ Diis non fore inviſos.

244. Συγερώτερον] συγερὸν σημαίνει μὲν καὶ τὸ μισητὸν, καὶ τὸ ἐπίφοβον. ἐνταῦθα δὲ ἴσως τὸ ἐπίπονον. Schol.

246. Ἦ ῥα θεοὺς ὀλοῇσιν] ἄρα εἰς τοὺς θεοὺς ἠσέβησας καὶ ἥμαρτες, ἀφραδίᾳ ἢ κακοτροπίᾳ τινί. γράφεται γὰρ καὶ ἀτραπίῃσι, τοῦτ' ἔστιν, ἐκτραπεὶς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ. παρὰ τὴν ἀτραπὸν, ἥ ἐστιν ὁδός. Schol.

247. Δεδαώς] τὸ μαθεῖν μᾶλλον ἢ τὸ διδάσκειν σημαίνει. διὰ γοῦν τὸ μαθεῖν σε, φησὶ, τὴν μαντικὴν, καὶ μαντεύσασθαι παρὰ τὴν τῶν θεῶν γνώμην, ἥμαρτες εἰς τοὺς θεούς. Schol.

248. Ἀτύζεται] ἀντὶ τοῦ φοβεῖται. Schol.

249. Εἰ δὴ] εἴπερ παρέθετο ἡμῖν ταύτην τὴν τιμὴν ἀπαραιτήτως τὸ δαιμόνιον ὥστε σοὶ βοηθῆσαι. ὁ δὲ λόγος καθ' ὑπερβατὸν, ἵν' ᾖ οὕτως. ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι χραισμεῖν. ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἀθανάτων ἐνιπαί. εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων. Ἄλλως. ἡμεῖς δὲ, εἰ οὕτως ἔχομεν παρὰ τοῦ δαιμονίου τὸ γέρας, δεδοίκαμεν μὴ ἄρα χαλεπήνῃ τὸ θεῖον. Schol.

253. Θεοῖς ἀπὸ θυμοῦ ἔσεσθαι] ὅτι γὰρ τὸ τοῖς ἀσεβέσι βοηθεῖν, εἰς τοὺς θεοὺς ἔχει ἀσέβειαν, καὶ Εὐριπίδης φησίν. "ὡς οὖν ἂν ἴδῃς Μενέλεως, τοῖσιν θεοῖς μὴ πράσσ' ἐναντία, ὠφελεῖν τούτους θέλων." ἀσεβὴς γάρ τις εἶναι δοκεῖ παρ' αὐτῷ ὁ Ὀρέστης. Schol.

Ὣς φάτο· τοῦ δ' ἰθὺς κενεὰς ὁ γεραιὸς ἀνέσχε
Γλήνας ἀμπετάσας, καὶ ἀμείψατο τοῖσδ' ἐπέεσσι.
Σίγα, μή μοι ταῦτα νόῳ ἔνι βάλλεο, τέκνον.
Ἴστω Λητοῦς υἱός, ὅ με πρόφρων ἐδίδαξε
Μαντοσύνας· ἴστω δὲ δυσώνυμος ἥ μ' ἔλαχεν κήρ.
Καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαὸν νέφος, οἵ θ' ὑπένερθεν
Δαίμονες, οἳ μηδ' οἶδε θανόντι περ εὐμενέοιεν,
Ὡς οὔτις θεόθεν χόλος ἔπεται εἵνεκ' ἀρωγῆς.
Τὼ μὲν ἔπειθ' ὅρκοισιν ἀλαλκέμεναι μενέαινον.
Αἶψα δὲ κουρότεροι πεπονήατο δαῖτα γέροντι,

Sic dixit, inque eum rectà ſenex expertes lumine ſuſtulit
Oculos quos aperuerat, reſponditque his verbis.
Sile, ne mihi animo hæc ingeras, fili.
Sit teſtis Latonæ filius, qui mihi ſavens edocuit
Vaticinationem; ſit teſtis infanda ſors, quæ mihi obtigit:
Et hæc ſuper oculos cæca nubes, et inferi
Dii, qui utinam nec mortuo propitii ſint,
Quòd nulla divina ira exorietur propter opem latam.
Illi deinde jurejurando freti, opem ferre geſtiebant.
Statim autem juniores inſtruxerunt cœnam ſeni,

254. Κενεὰς] κενὰς γλήνας ἔφη τοὺς κενοὺς καὶ τυφλοὺς ὀφθαλμούς. Schol.

257. Ἴστω Λητοῦς υἱὸς] τὸν ὅρκον εἴληφε παρὰ τοῦ ποιητοῦ. "οὐ μὰ γὰρ Ἀπόλλωνα Διὶ φίλον." ἐπέβαλλε γὰρ μάντει εἰς πίστιν ἄγοντι, τὸν προστάτην αὐτοῦ τῆς τέχνης ὀμνύειν θεόν. Schol.

259. Καὶ τόδ' ἐπ' ὀφθαλμῶν] κατηγοροῦσι τινὲς τοῦ Ἀπολλωνίου, ὡς οὐκ εὖ τὸν ὅρκον τοῦτον εἰσενηνοχότος. ὀμνύει γὰρ καθ' ὧν κινδυνεύουσιν οὐ δικαίως. ῥητέον δὲ ὅτι ἐμπαθέστερος γίνεται ὁ ὅρκος ὅταν τις κατὰ τῆς ἰδίας ὀμνύῃ συμφορᾶς. "οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο." καὶ Δημοσθένης. "μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους." ἔθος ἦν ἀρχαῖον, πρῶτον θεοὺς ὀμνύναι, εἶτα ἐπάγειν καὶ τὰς ἰδίας συμφοράς. Ἀλαὸν νέφος φησὶ τὸ τυφλὸν νέφος, καὶ ἡ ἐπικειμένη μοι ἀχλύς. ὥστε τὸ ἀλαὸν οὐ παθητικῶς, ἀλλ' ἐνεργητικῶς μόνον κεῖται, οὐ γὰρ τὸ τυφλὸν, ἀλλὰ τὸ τύφλωσιν ἐμποιοῦν σημαίνει. (γράφεται) καὶ ὀλοόν. Schol.

260. Οἱ μηδ' οἶδε] οἱ μηδὲ οὗτοι ὡς ἐπιόρκῳ εὐμενεῖς εἴησαν. παρὰ τὸ Ὁμηρικόν. "εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν." Schol.

Ibid. Οἱ δε. Gall. Οὔδε, minùs recte. Steph. ὅδε.

261. Ἕπεται] An non potius ἕψεται;

263. Κουρότεροι] τὸ συγκριτικὸν ἀντὶ τοῦ ἀπολελυμένου κεῖται τὸ κοῦροι. καὶ ἡμεῖς πολλάκις λέγομεν, νεώτεροί εἰσιν, ἀντὶ τοῦ νέοι. καὶ παρὰ τῷ ποιητῇ. δεξιτερὴν ἕλε χεῖρα, ἀντὶ τοῦ δεξιάν. Πεπονήατο. πρὸς τὴν τῶν νέων σπουδὴν καὶ ταχυτῆτα τὸ πεπονήατο· οἷον ἐνεργῶς ἐποίουν, ἡτοίμαζον. Schol.

Λοίσθιον

Λοίσθιον Ἁρπυίῃσιν ἑλώριον· ἐγγύθι δ' ἄμφω
Στῆσαν, ἵνα ξιφέεσσιν ἐπεσσυμένας ἐλάσειαν.
Καὶ δὴ πεπρώτισθ' ὁ γέρων ἔψαυεν ἐδωδῆς·
Αἱ δ' ἄφαρ, ἠΰτ' ἄελλαι ἀδευκέες, ἢ στεροπαὶ ὥς,
Ἀπρόφατοι νεφέων ἐξάλμεναι ἐσσεύοντο
Κλαγγῇ μαιμώωσαι ἐδητύος. οἱ δ' ἐσιδόντες
Ἥρωες μεσσηγὺς ἀνίαχον, αἳ δ' ἅμ' αὐτῇ
Πάντα καταβρώξασαι ὑπὲρ πόντοιο φέροντο
Τῆλε πάρεξ· ὀδμὴ δὲ δυσάσχετος αὖθι λέλειπτο.
Τάων δ' αὖ κατόπισθε δύω υἷες Βορέαο
Φάσγαν' ἐπισχόμενοι ὀπίσω θέον· ἐν γὰρ ἧκεν
Ζεὺς μένος ἀκάματόν σφιν· ἀτὰρ Διὸς οὐκ ἂν ἑπέσθην

Ultimam Harpyis prædam; propeque ambo
Steterunt, ut ensibus irruentes fugarent.
Quamprimum autem senex attigerat dapes,
Illæ repente, sicut procellæ inopinatæ, vel fulgura veluti,
Haud prius conspectæ, ex nubibus emicantes, irruerunt
Cum strepitu efflagitantes cibum: cùm verò eas conspexerant
Heroes, in medio acclamârunt: hæ cum impetu
Postquam omnia devorâssent, trans mare ferebantur
Procul illinc; relicto ibi fœtore intolerabili.
Illas autem a tergo duo filii Boreæ
Ensibus porrectis sequebantur; ipsis enim inflavit
Jupiter vires indefessas: neque insecuti fuissent

264. Λοίσθιον] ἔσχατον. Ἑλώριον δέ, ἀνάρπασμα, ἅρπαγμα, ἢ βρῶμα. Schol.

265. Ἐπεσσυμένας] πρὸς τὴν ἀθρόαν [illegible] τῶν Ἁρπυιῶν εἴρηται. Schol.

267. Ἀδευκέες] ἀπροσδόκητοι. ἢ πικραί. δεῦκος γὰρ τὸ γλυκύ. Schol.

268. Ἀπρόφατοι] ἀντὶ τοῦ ἀπροοίμιαστοι, ἀπροφάσιστοι, οἷον ἄνευ προφάσεως καὶ ἐποχῆς καὶ ὑπερθέσεως, παρόσον τοῖς προφασιζομένοις παρέπεται ὑπέρθεσις. Schol.

269. Κλαγγῇ μαιμώωσαι] ὁρμῶσαι μετὰ κλαγγῆς ἐπιθυμοῦσαι τῆς τροφῆς. τοῦτο δὲ ὡς ἐπὶ ὀρνέων ἁρπακτικῶν. καὶ γὰρ ἐκεῖνα πρὸς τῆς ἁρπαγῆς κλάζειν φιλεῖ. καὶ τὸ μεσσηγὺς κατὰ ἀθρόαν ἐπίπληξιν καὶ τάχος ἀναφέρεται. Schol.

271. Καταβρώξασαι] καταφαγοῦσαι. ἀπὸ τοῦ βιβρώσκω παρεισαχθέν. Ὑπὲρ πόντοιο. ὅτι διὰ τοῦ Αἰγαίου πόντου καὶ τοῦ Σικελικοῦ αὐτὰς ἐδίωκον, Φερεκύδης ἐν ἕκτῃ φησί. Schol.

274. Φάσγαν' ἐπισχόμενοι] τὰ ξίφη ἐν χερσὶν ἔχοντες παρακλησίως ἔτρεχον ὀπίσω αὐτῶν. Schol.

275. Ἀτὰρ Διὸς οὐκ ἂν ἑπέσθην] οὐ γὰρ ἄν φησι χωρὶς τοῦ Διὸς ταῖς Ἁρπυίαις ἠκολούθησαν. Schol.

Νόσφιν,

Νόσφιν, ἐπεὶ ζεφύροιο παραΐσσεσκον ἀέλλας·
Αἰὲν ὅτ᾽ ἐς Φινῆα καὶ ἐκ Φινῆος ἴοιεν.
Ὡς δ᾽ ὅτ᾽ ἐνὶ κνημοῖσι κύνες δεδαημένοι ἄγρης
Ἢ αἶγας κεραοὺς ἠὲ πρόκας ἰχνεύοντες
Θείωσιν, τυτθὸν δὲ τιταινόμενοι μετόπισθεν
Ἄκρης ἐν γενύεσσι μάτην ἀράβησαν ὀδόντας·
Ὣς Ζήτης Κάλαΐς τε μάλα σχεδὸν ἀΐσσοντες,
Τάων ἀκροτάτῃσιν ἐπέχραον ἤλιθα χερσί.

Sine Jovis numine; in cursu enim illæ præverterunt flatus Zephyri,
Quoties ad Phineum vel a Phineo volitarent.
Sicut autem quando in saltibus canes venandi callentes
Vel capros cornigeros vel cervos indagantes
Currunt, tenui verò intervallo a tergo protenti
Extremis rictibus frustra increpuerunt dentes;
Ita Zetes Calaisque admodum prope irruentes
Extremis illas captabant frustra manibus.

276. Ἐπεὶ ζεφύροιο] ἤτοι ταχίονες τῶν πνοῶν τοῦ Διός. ἢ εἰς τὰς πνοὰς ἔτρεχον, ὥς Ἡσίοδος, φησὶν, ἐπεὶ πάντοτε αἱ Ἅρπυιαι καὶ τὰς τοῦ Ζεφύρου ἀέλλας παρεπέτοντο, εἴ ποτε εἰς τὰ τοῦ Φινέως ἔρχοιντο, ἢ ἐκεῖθεν ὑπαναχωροῖεν. Ἄλλως. αἱ τῶν ἀνέμων συστροφαὶ πνοῶν εἰσι ταχύτεραι. συμβαίνει μὲν γὰρ τὴν πνοὴν παρεκτείνεσθαι καὶ βραδύνειν· αἱ δὲ ἄελλαι ταχύτεραι καὶ κουφότεραι εἰσι τῆς πνοῆς. εὐλόγως δὲ τοῦ ζεφύρου ἐμνήσθη. ταχύτατος γάρ ἐστιν ὁ ζέφυρος τῶν λοιπῶν ἀνέμων. ὡς καὶ Ὅμηρος, "νῶϊ δὲ καί κεν ἅμα πνοιῇ ζεφύροιο θέοιμεν, τήν περ ἐλαφροτάτην φασ᾽ ἔμμεναι." Schol.

278. Ὡς δ᾽ ὅτ᾽ ἐνὶ κνημοῖσι, &c.
Inclusum veluti si quando in flumine nactus
Cervum, &c. Æn. XII. 749.

279. Ἠὲ πρόκας] ζῶόν τι ὅμοιον ἐλάφῳ ὁ λεγόμενος νεβρός. Διονύσιος δέ φησιν ὁ Ἀθηναῖος ἐν ταῖς κτίσεσι τὰς ἐλάφους οὕτω λέγεσθαι πρόκας. ὅθεν καὶ Προκόννησος, ἐπεὶ καὶ ἐν ταύτῃ πληθύουσιν ἔλαφοι. οἱ δὲ Προχόννησον λέγουσιν εἰρῆσθαι ἀπὸ τοῦ προχόου, ὃν ἔχουσα τοῖς Μιλησίοις ἀπήντησεν ἡ παρθένος, ὅτε τὴν ἀποικίαν ἐστέλλοντο. οἱ δὲ Προχόννησον ἐτυμολογοῦσι, καθὸ πρότερον οὖσα νῆσος προσεχώσθη. ὑπό τινων δὲ Προκόννησος καὶ Ἐλαφόννησος ἐκλήθη. Φιλητᾶς δέ φησι πρόκας λέγεσθαι τὰς πρώτας τικτούσας, οἷον πρωτοτόκους. Schol.

280. Τυτθὸν δὲ] μικρὸν δὲ ἄποθεν μετὰ διαστάσεως ἔτρεχον. Schol.

281. Μάτην ἀράβησαν] προσδοκῶντες ἀεὶ διὰ τὸ σφόδρα ἐγγὺς εἶναι καὶ δάκνειν καὶ ἐπιψαύειν δοκεῖν. Schol.

Ibid. Ἄκρης ἐν γενύεσσι ΜΑΤΗΝ ΑΡΑΒΗΣΑΝ ΟΔΟΝΤΑΣ.
——jam jamque tenet, similisque tenenti.
*Increpuit malis, morsuque elusus inani est.* Æn. XII. 755.

283. Ἐπέχραον ἤλιθα] πολλάκις, φησὶν, ἐθελήσαντες αὐτὰς πλῆξαι, μάτην ἐκτείνουσι τὰς χεῖρας. Schol.

Καὶ

Καί νύ κε δή σφ' ἀέκητι Θεῶν διεδηλήσαντο
Πολλὸν ἑκὰς νήσοισιν ἐπὶ Πλωτῇσι κιχόντες,
Εἰ μὴ ἄρ' ὠκέα Ἶρις ἴδεν, κατὰ δ' αἰθέρος ἆλτο
Οὐρανόθεν, καὶ τοῖα παραιφαμένη κατέρυκεν.
Οὐ θέμις, ὦ υἱεῖς Βορέω, ξιφέεσσιν ἐλάσσαι
Ἁρπυίας, μεγάλοιο Διὸς κύνας· ὅρκια δ' αὐτὴ
Δώσω ἐγὼν, ὡς οὔ οἱ ἔτι χρίμψουσιν ἰοῦσαι.
Ὡς φαμένη, λοιβὴν Στυγὸς ὤμοσεν (ἥ τε Θεοῖσιν
Ῥιγίστη πάντεσσιν ὀπιδνοτάτη τε τέτυκται)
Μὴ μὲν Ἀγηνορίδαο δόμοις ἔτι τάσδε πελάσσαι
Εἰσαῦτις Φινῆος· ἐπεὶ καὶ μόρσιμον ἦεν.

Jamque ipſas, vel invitis Diis, peremiſſent
Longè procul inſulis in Plotis prehenſas,
Niſi velox Iris intuita ab æthere deſiliiſſet
Cœlitus, et talia admonens compeſcuiſſet.
Haud fas eſt, ô filii Boreæ, enſibus inſequi
Harpyias, magni Jovis canes: jusjurandum autem ipſa ego
Præſtabo, quod ei non amplius appropinquabunt illapſæ.
Sic fata, per aquam Stygis juravit (quæ Diis
Verenda omnibus maximè eſt, et extimeſcenda)
Haud amplius Agenoris filii ædibus illas appropinquaturas
In poſterum Phinei, quoniam ita fatis ſanctum erat.

284. Ἀέκητι Θεῶν] τὸ παρὰ γνώμην τῶν θεῶν σημαίνει. οὐ γὰρ ἦν μόρσιμον αὐτὰς ἀποθανεῖν. Schol.

Ibid. Καί νύ κε δή σφ' ἀέκητι θεῶν, &c. Similia ſunt hæc illis quæ τῷ Ποιητῇ παρατετολμημένα laudat Longinus,

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, &c.

ΚΑΙ ΝΥ ΚΕΝ ΕΞΕΤΕΛΕΣΣΑΝ ——

285. Πλωτῇσι] Πλωτάς φησι νήσους, ἤτοι πάσας ἐπιθετικῶς καλῶν, διὰ τὸ περικεχύσθαι καὶ κλύεσθαι ὑπὸ τῶν κυμάτων. ἢ ἰδίως ταύτας φησὶ Πλωτάς, ἐν αἷς ὑπὸ τῶν Βορεαδῶν κατελήφθησαν, κατὰ τὸ μυθολόγημα οὕτω κληθείσας. σχεδὸν δὲ οἱ ποιηταὶ οὕτως αὐτὰς ὀνομάζουσιν. εἰσὶ δὲ ἐν τῷ Σικελικῷ πελάγει. ταύτας δὲ ὁ ποιητὴς Καλυδνὰς νήσους καλεῖ· εἰ καὶ Λυκόφρων ἄλλας νήσους καλεῖ Καλυδνάς. Schol.

286. Εἰ μὴ ἄρ' ὠκέα Ἶρις] ἄλλοι τὸν Ἑρμῆν φασίν. ἀστείως δὲ ταύτῃ τῇ θεῷ τὸ κωλῦσαι τοὺς Βορεάδας δίδωσιν, ἤτοι ὅτι ἄγγελος, ἢ ὅτι τῶν Ἁρπυιῶν ἀδελφή. Schol.

292. Ῥιγίστη] φρικτή, διὰ τὸ τιμωρεῖσθαι τοὺς ἐπιόρκους. Ὀπιδνοτάτη. τιμία, καὶ ἐπιστροφῆς ἀξία. παρὰ τὴν ὄπιδα καὶ ἐπιστροφήν. Schol.

Οἱ δ' ὅρκῳ εἴξαντες, ὑπέστρεψαν ἂψ ἐπὶ νῆα
Σεύεσθαι. Στροφάδας δὲ μετακλείουσ' ἄνθρωποι
Νήσους τοῖό γ' ἕκητι, πάρος Πλωτὰς καλέοντες.
Ἅρπυιαί τ' Ἶρίς τε διέτμαγον· αἱ μὲν ἔδυσαν
Κευθμῶνα Κρήτης Μινωΐδος, ἡ δ' ἀνόρουσεν
Οὔλυμπόνδε θοῇσι μεταχρονίη πτερύγεσσι.
Τόφρα δ' ἀριστῆες πινόεν περὶ δέρμα γέροντος
Πάντη φοιβήσαντες, ἐπικριδὸν ἱρεύσαντο
Μῆλα, τά τ' ἐξ Ἀμύκοιο λεηλασίης ἐκόμισσαν.

Illi ergo jurijurando credentes conversi sunt iterum ut ad navem
Festinarent: Strophadasque cognominârunt homines
Insulas eam ob causam, antea Plotas nominantes.
Harpyiæ verò et Iris distrahebantur: hæ quidem subierunt
Speluncam Cretæ Minoidis; illa verò emicuit
Ad cœlum, rapidis in sublime lata pennis.
Interim optimates sordidum egregiè corpus senis
Postquam undique lustrâssent, selecta sacrificârunt
Pecora, quæ ex Amyci spoliatione abegerant.

296. Στροφάδας] Στροφάδας φησὶ κεκλῆσθαι διὰ τὸ τοὺς Βορεάδας αὐτόθεν ὑποστρέψαι, στραφέντας εἰς τὸ ὀπίσω· λαβὼν παρὰ Ἀντιμάχου. οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διῒ καταλαβεῖν τὰς Ἁρπυίας. κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται. Schol.

297. Πάρος Πλωτὰς καλέοντες] αἱ Πλωταὶ νῆσοι μετωνομάσθησαν Στροφάδες. μέμνηται αὐτῶν καὶ Ἀντίμαχος ἐν τῇ Λυδῇ. ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διὶ στραφέντες, λέγει καὶ Ἡσίοδος, "ἔνθ' οἵγ' εὐχέσθην Αἰνηΐῳ ὑψιμέδοντι." ἔστι γὰρ καὶ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν· οὗ μνημονεύει καὶ Λέων ἐν περίπλῳ, καὶ Δημοσθένης ἐν τοῖς λιμέσιν. Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος δὲ Ἑρμῆν. αἱ δὲ Πλωταὶ νῆσοι κεῖνται ἐν τῷ Σικελικῷ πελάγει. Schol.

Ibid. Δημοσθένης ἐν τοῖς λιμέσιν. Legendum Τιμοσθένης, cujus Strabo et Marcianus meminerunt: et ipse Schol. infra ad v. 519. L. Holstenius.

299. Κευθμῶνα] κοιλάδα τῆς Κρήτης κατέδυσαν. τοῦτο δέ φησι καὶ Νεοπτόλεμος ὁ τὰ Ναυπακτικὰ ποιήσας. καὶ Φερεκύδης ἐν ϛ' φησὶν εἰς τὸ σπέος αὐτὰς φυγεῖν τῆς Κρήτης τὸ ὑπὸ τῷ λόφῳ τῷ Ἀργινοῦντι. Schol.

300. Μεταχρονίη. Mavult Hen. Stephanus, μεταχθονίη, i. e. *relictâ terrâ.*

302. Φοιβήσαντες] τὸ ῥυπαρὸν σῶμα καθάραντες. φοῖβον γὰρ τὸ καθαρόν. ὅθεν καὶ Φοῖβος ὁ Ἀπόλλων. ἄπλυτος γὰρ, πῖνος δὲ οἱ αὐχμαλέος χρώς. ἀπεσκληκὼς τῷ ῥύπῳ ἐτύγχανεν· φοιβήσαντες οὖν, λαμπρύναντες, καθάραντες. Ἐπικριδόν. ἀντὶ τοῦ ἐπικρίναντες ἱερεῖον ἔθυσαν. Schol.

Αὐτὰρ

Αὐτὰρ ἐπεὶ μέγα δόρπον ἐνὶ μεγάροισιν ἔθεντο,
Δαίνυνθ' ἑζόμενοι· σὺν δέ σφίσι δαίνυτο Φινεὺς
Ἁρπαλέως, οἷόν τ' ἐν ὀνείρασι θυμὸν ἰαίνων.
Ἔνθα δ' ἐπεὶ δόρποιο κορέσσαντ' ἠδὲ ποτῆτος,
Παννύχιοι Βορέω μίμνον υἱέας ἐγρήσσοντες.
Αὐτὸς δ' ἐν μέσσοισι παρ' ἐσχάρη ἧστο γεραιὸς,
Πείρατα ναυτιλίης ἐνέπων, ἄνυσίν τε κελεύθου.
Κλῦτέ νυν· οὐ μὲν πάντα πέλει θέμις ὔμμι δαῆναι
Ἀτρεκέως, ὅσσα δ' ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσω.
Ἀασάμην καὶ πρόσθε Διὸς νόον ἀφραδίῃσι

Postquam autem magnas epulas in ædibus apparâssent,
Convivati sunt sedentes; cumque ipsis epulabatur Phineus
Avidè, quasi in somniis animum exhilarans.
Postquam verò cibo potuque satiati erant,
Per totam noctem Boreæ expectabant filios vigilantes.
Ipse verò in medio ante focum consedit senex
Eventum navigationis prædicens, finemque itineris.
Audite nunc: non quidem omnia fas est vos ediscere
Luculentè; quæcunque verò sunt Diis placita non celabo.
Malè affectus sum et antea Jovis consilium præ imprudentiâ

306. Ἁρπαλέως] ἀδηφαγῶν ἥδετο, ἴσον ὀνείρῳ ἀπόλαυσιν ἔχων· μὴ πιστεύων μηδὲ αὐτὸς ἃ συνεχαίρετο, δι' ἃ πέπονθεν, ἀλλ' ὥσπερ ὀνείρατα εἶναι δοκῶν. Schol.

Ibid. —— οἷόν τ' ἐν ὀνείρασι θυμὸν ἰαίνων.

Eâ videlicet voluptate perfundebatur ut dubitaret an verum esset gaudium, an falsa eum in somnis imago luderet. Ægrè enim iis credunt homines quæ impensè cupiunt. Sic Il. VII. ubi Trojani Hectorem deduxerant incolumem ad urbem, elapsum fortitudinem et invictas manus Ajacis, *quæ Lætitiâ* tamen, (ut annotavit domina Dacier) *desperârunt salvum esse*. ἀέλπτεόντες σόον εἶναι.

308. Μίμνον] Προσεδέχοντο. Ἐγρήσσοντες. ἐγρήσσειν, τὸ ἐγρηγορεῖν. Schol.

310. Πείρατα] Ἃ δεῖ αὐτοὺς διαπεράσαι. ἢ τὰ τέλη. Ἄνυσίν τε. ἀστείως καὶ καιρίως ταύτῃ τῇ λέξει ἐχρήσατο. ἀνύσαι γὰρ κυρίως τὸ μετὰ καμάτου τι ποιῆσαι. Schol.

311. Κλῦτέ νυν] τὸ νῦν ἀντὶ τοῦ οὖν. διὰ δὲ τοῦ οὖν, ὥσπερ ἐφειλομένην τὴν μαντείαν αὐτοῖς ἀποδίδωσι, λέγων, ἐπακούσατε οὖν ὥσπερ τὸ χρέος ἀπολαμβάνοντες. Οὐ μὲν πάντα. τοῦτο δέ φησιν ἵνα μὴ ὕστερον ὀχλήσωσιν αὐτὸν τὰ ἀκριβῆ ζητοῦντες. Καὶ δαιμονίως τούτου τὴν αἰτίαν τοῖς θεοῖς ἀνέθηκε, καὶ οὐχὶ ἑαυτῷ, λέγων, ὅσσα δ' ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσω. Schol.

312. Ἀτρεκέως. Lege ἀτρεκὲς, ut II. 314. II. 393. II. 607.

313. Ἀασάμην] ἀντὶ τοῦ ἐλυπήθην κεῖται. Ἀφραδίαν δέ φησι τὴν ἀσύ-

Χρείων ἑξείης τε καὶ ἐς τέλος· ὧδε γὰρ αὐτὸς
Βούλεται ἀνθρώποις ἐπιδευέα θέσφατα φαίνειν
Μαντοσύνης, ἵνα καί τι Θεῶν χατέωσι νόοιο.
Πέτρας μὲν πάμπρωτον ἀφορμηθέντες ἐμεῖο
Κυανέας ὄψεσθε δύω ἁλὸς ἐν ξυνοχῇσι·
Τάων οὔ τινα φημὶ διαμπερὲς ἐξαλέασθαι.
Οὐ γάρ τε ῥίζῃσιν ἐρήρεινται νεάτῃσιν,
Ἀλλὰ θαμὰ ξυνίασιν ἐναντίαι ἀλλήλῃσιν

Patefaciens ex ordine plenéque; ſcilicet ipſe
Vult hominibus imperfecta reſponſa videri
Vaticinationis, ut aliquatenus indigeant et Deorum conſilio.
Petras quidem primò a me digreſſi
Cyaneas cernetis geminas, in maris anguſtiis:
Has neminem opinor penitus evaſiſſe.
Non enim firmis innituntur radicibus,
Sed frequenter inter ſe coeunt adverſæ

λίαν. καὶ τὴν αἰτίαν δὲ ἐπάγει, δι' ἣν ἐλύπησε τὸν Δία. Schol.

314. Χρείων ἑξείης] μαντευόμενος πᾶσιν ἐφεξῆς καὶ τελείως. παρατίθησι δὲ αὐτοῦ τὰς συμφορὰς, ἤδη δηλῶν ὡς οὐκ ἀκριβῶς αὐτοῖς οὐδὲ ἄκρως μαντεύεται, εἴγε διὰ τοῦτο ἐβλάβη. Schol.

315. Ἐπιδευέα] μὴ τέλεια, ἀλλ' ἔτι ἐνδέοντα λόγια τοῖς ἀνθρώποις ἐκφαίνειν, ἵνα καὶ τοῦ θείου χρείαν ἔχωσι. Θέσφατα δὲ μαντοσύνης, τὰ θεσπίσματα τῆς μαντικῆς λέγει. Schol.

316. Χατέωσι. Gallic. χατίωσι. Illud amplector arctius. Ariſtophanica ſunt ἵνα μὴ ἐνέγραφε, ἵνα διέφυγον. Hœlz.

317. Πέτρας μὲν] περὶ τῶν Συμπληγάδων, ὅτι ἐπὶ τοῦ Ποντικοῦ στόματός εἰσιν. Schol.

318. Κυανέας] καὶ ὅτι Κυάνεαι ἐκαλοῦντο διὰ τὸ χρῶμα, ἐν τῷ περὶ τούτων ἀρήσεται. ὁ δὲ διὰ πάντων, καὶ ἐκ περὶ τῆς ἀκοῆς δεδίσσεται τοὺς ἥρωας, διά τε τῆς ποιᾶς χροιᾶς τῶν πετρῶν, καὶ διὰ τοῦ ἐν θαλάσσῃ στενοῦ, ὅπερ καὶ ἐπὶ γῆς ἄγαν κινδυνῶδες καὶ φοβερόν ἐστιν. Ξυνοχὴν δὲ ἁλὸς, ὅπου στενοῦται ἡ θάλασσα. λέγει δὲ ἐπὶ τοῦ στόματος τοῦ Πόντου. Schol.

319. Διαμπερὲς ἐξαλέασθαι] τοῦτό φησιν ἐπεὶ οὐδεὶς οὐδέποτε ἀβλαβῶς τελείως ἐξέφυγεν, ὥσπερ οὐδὲ ἡ Ἀργὼ, καίτοι Ἥρας συνεργουμένης. Schol.

321. Ἀλλὰ θαμὰ] διὰ πάντων τὸ δεινὸν τοῦ λόγου ἐπαύξει, διά τε τοῦ μὴ ἁπλῶς συνιέναι, ἀλλὰ συνεχῶς· καὶ διὰ τοῦ ἐναντίαι. εἰ μὲν γὰρ ἐκ τοῦ πλαγίου ἑαυταῖς συνήρχοντο, τάχα ἄν πως δυνατὸν ἦν ἐπιτηρήσαντα τὴν σύνοδον ἐκφυγεῖν. εἰ δὲ ἐξ ἐναντίας συνέρχονται, ἄντικρυς καὶ ὡμολογημένος ὁ κίνδυνος. δεινοποιεῖ δὲ, καὶ τῇ ἀκοῇ ἐκπλήττει τοὺς ἥρωας, ἐπεὶ μεγάλας ἔχει παρ' αὐτῶν τὰς εὐεργεσίας, ἵνα καὶ αὐτὸς μεγάλα αὐτοῖς καὶ δεινὰ προμηνύων, ὥσπερ ἴσος ἀντευεργέτης ὀφθῇ. Schol.

Εἰς

Εἰς ἕν, ὕπερθε δὲ πολλὸν ἁλὸς κορθύεται ὕδωρ
Βρασσόμενον· στρηνὲς δὲ περὶ στυφελὴ βρέμει ἀκτή.
Τῷ νῦν ἡμετέρῃσι παραιφασίῃσι πίθεσθε,
Εἰ ἐτεὸν πυκινῷ τε νόῳ μακάρων τ' ἀλέγοντες
Πείρετε· μηδ' αὔτως αὐτάγρετον οἶτον ὄλησθε,
Ἀφραδέως ἰθύνετ' ἐπισπόμενοι νεότητι.
Οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσασθε,
Νηὸς ἀποπρὸ μεθέντες ἐφιέμεν· ἢν δὲ δι' αὐτῶν

In unum: superne autem multa maris attollitur unda
Effervescens; et ubique circum sonorum acutè fremit litus.
Idcirco nostris monitis morigeri estote,
Si modò prudenti mente, Deorumque curam habentes
Tenditis iter; nec temerè ultrò perituri
Inconsulto ruitis, obsequentes *ardori* juventæ
Ave autem prius columbâ periculum facite
E nave præmissâ; quæ si inter illas

322. Κορθύεται ὕδωρ βρασσόμενον] μετ' ἤχου καὶ ταραχῆς αἰρόμενον ὑπ' αὐτῶν τὸ ὕδωρ διϊκνεῖται. Schol.

323. Στρηνὲς] ἔστι τὸ ἀναπεπταμένον, καὶ μέγα, καὶ ὀξὺ, καὶ διάτορον. ὄνομα δὲ ἀντὶ ἐπιῤῥήματος κεῖται. Στυφελὴ δὲ, ἡ τραχώδης ἀκτή. Schol.

324. Τῷ νῦν] διὸ νῦν, ἐπεὶ μέγας καὶ πολὺς ὁ κίνδυνος. Παραιφασίῃσι, παραινέσεσιν, ὑποθήκαις. Schol.

326. Πείρετε] πείρειν δὲ ἐνταῦθα μὲν, διαπλέειν καὶ διαπερᾷν (ὡς τὸ, "ἀλγεινά τε κύματα πείρων") ἀλλαχοῦ δὲ καὶ τὸ διατρυπᾷν. "σπλάγχνα δ' ἄρ' ἀμπείραντες." Αὐτάγρετον, τὸ αὐθαίρετον δηλοῖ. Schol.

Ibid. Οἶτον ὄλησθε] Censet Hœlzlinus legendum ἀλῆσθαι, ut sit ordo, ἰθύνετε ἀλᾶσθ. Sed nullâ videtur opus esse emendatione. Si enim in parenthesi includamus verba (αὔτως αὐτάγρετον οἶτον ὄλησθε) sententia erit satis perspicua. Nec (*sic enim vestrâ sponte illatâ nece pereatis*, &c.

327. Ἰθύνετ'] ἰθύνειν δὲ, τὸ ὁρμᾷν σημαίνει. οἱ δὲ ἰθυνέειν γράφοντες ἁμαρτάνουσιν. Schol.

328. Οἰωνῷ δὴ πρόσθε] τὸ ἑξῆς, οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσασθε ἐφιέμενοι. Πρόσθε, τὸ πρότερον δηλοῖ. Πελειὰς δὲ, εἶδος περιστερᾶς, ὡς καὶ Ἀριστοτέλης φησίν. ὅτι δὲ ἐχρήσαντο περιστερᾷ πλεῖν μέλλοντες, καὶ Ἀσκληπιάδης ἐν τραγῳδουμένοις φησίν. Schol.

Ibid. Οἰωνῷ, &c. Hinc fortasse sua sumpsit Virgilius de columbis viam ad ramum aureum præsignantibus. De hoc autem Phinei consilio, nempe ut columbam per Symplegadas emitterent, quæ si salva evaserat, ipsi quoque Argonautæ sequerentur, consule Hygin. L. I. fab. 19. et Apollodorum lib. I. nec non Spanh. ad Callim. Pall. v. 123, et Broukhus. ad Propert. L. II. Eleg. 20. v. 39. Upt.

329. Ἐφιέμεν] ἐφιέναι, ἐνταῦθα μὲν τὸ ἐνδιδόναι σημαίνει. ἔστι δ' ὅτι τὸ ἐντέλλεσθαι

Πετράων

Πετράων πόντονδε σόη πτερύγεσσι δίηται,
Μηκέτι δὴν μηδ' αὐτοὶ ἐρητύεσθε κελεύθου·
Ἀλλ' εὖ καρτύναντες ἑαῖς ἐνὶ χερσὶν ἐρετμὰ,
Τέμνεθ' ἁλὸς στεινωπόν· ἐπεὶ φάος οὔ νύ τι τόσσον
Ἔσσετ' ἐν εὐχωλῇσιν, ὅσον τ' ἐνὶ κάρτεϊ χειρῶν.
Τῶ καί τ' ἄλλα μεθέντες, ὀνήϊστον πονέεσθε
Θαρσαλέως· πρὶν δ' οὔτι θεοὺς λίσσεσθαι ἐρύκω.
Εἰ δέ κεν ἀντικρὺ πταμένη μεσσηγὺς ὄληται,
Ἄψορροι στέλλεσθε· ἐπεὶ πολὺ βέλτερον εἶξαι
Ἀθανάτοις· οὐ γάρ κε κακὸν μόρον ἐξαλέασθαι
Πετράων, οὐδ' εἴ κε σιδηρείη πέλοι Ἀργώ.

Petras, pontum salva transvolaverit,
Nolite amplius et ipsi prohiberi ab itinere.
Sed validè constrictis remis vestris in manibus,
Scindite iter per maris angustias; quoniam non tantùm salus
Vobis erit in votis, quantùm in viribus manuum.
Quare, omissis aliis, id quod utilissimum urgete
Audacter: prius autem Deos invocari minimè veto.
Si verò contra volans in medio perierit,
Retro navigate, quoniam multo melius est cedere
Immortalibus: non enim fas erit malum fatum evitare
E petris, nec si ferrea fuerit Argo.

καὶ ἐπιτρέπειν. παρὰ δὲ τοῖς ῥήτορσιν ἰδίως τὸ ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταβαίνειν. καὶ ἔφεσις, ἡ μετάβασις. Λουκιανός· ἡ δὲ ἔφεσις ἐπὶ τὸν Δία ἔστω. ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ. Schol.

330. Σόη] ἀβλαβής. Δίηται. διωχθείη καὶ πετασθείη ἡ ὄρνις Schol.

332. Ἀλλ' εὖ καρτύναντες] ἀσφαλισάμενοι. καρτύναντες. Δωρικὸν δέ ἐστι τὸ κατ' ἐναλλαγὴν στοιχείων διαλέγεσθαι. ὡς καὶ κραδίαν καὶ κάρτος λέγουσιν. Schol.

333. Ἐπεὶ φάος οὔ νύ τι τόσσον] ἡ διάνοια αὕτη γέγονε παρὰ τὴν ἐν ἄλλοις λεχθεῖσαν. "οὐδέ τι κῶας αὐτόματοι δώσουσι θεοὶ εὐξαμένοισιν." Schol.

Ibid. Flor. pro τι τοι, sed malè. Non enim unicum aliquem, sed universos Argonautas appellat Phineus.

335. Ὀνήϊστον] ὠφελιμώτερον ποιοῦντες καὶ πράττετε. λέγει δὲ τὸ κωπηλατεῖν. Schol.

336. Πρὶν δ' οὔτι θεοὺς] πρὸ δὲ τοῦ εἰς τὸν πορθμὸν ἐλθεῖν, οὐ κωλύω ὑμᾶς τοὺς θεοὺς ἐπικαλεῖσθαι βοηθούς. Schol.

338. Flor. στέλλεσθε.

339. Ἐξαλέασθαι. Supplendum ἐστί. l. 82. vel μόρσιμόν ἐστι. Haud tamen incommodè posset mutari in ἐξαλέεσθε, idem monente Stephano.

Ὦ μέλεοι,

Ὦ μέλεοι, μὴ τλῆτε πάρεξ ἐμὰ θέσφατα βῆναι,
Εἰ κέν με τρὶς τόσσον ὀίεσθ' Οὐρανίδῃσιν,
Ὅσσον ἀνάρσιός εἰμι, καὶ εἰ πλεῖον στυγέεσθαι,
Μὴ τλῆτ' οἰωνοῖο πάρεξ ἔτι νηῒ περῆσαι.
Καὶ τὰ μὲν ὥς κε πέλῃ, τὼς ἔσσεται· ἢν δὲ φύγητε
Σύνδρομα πετράων ἀσκηθέες ἔνδοθι Πόντου,
Αὐτίκα Βιθυνῶν ἐπὶ δεξιὰ γαῖαν ἔχοντες,
Πλώετε ῥηγμῖνας πεφυλαγμένοι, εἰσόκεν αὖτε

Ah miseri, ne sustineatis mea præter oracula pergere,
Nec si etiam triplò me arbitremini cœlicolis
Ultra quod sum, invisum esse, et majori odio haberi,
Ne sustineatis absque columbâ ulterius nave trajicere.
Atque hæc quidem utcunque fient, ita erunt: si verò fugeritis
Concursus saxorum, incolumes in Pontum *evadentes*,
Statim Bithynorum terram ad dextram habentes
Navigate, evitatis litoribus, usquedum

341. Ὦ μέλεοι] τοῦτο φησὶν ὡς τῶν ἡρώων μέγα φρονούντων ἐπὶ τῇ κατασκευῇ τῆς Ἀργοῦς· διά τε τὸ τῶν ξύλων μέγεθος, καὶ τὴν κατεσκευάσασαν Ἀθηνᾶς τέχνην. Τὸ δὲ πάρεξ βαρυτόνως, ἀντὶ τοῦ χωρίς. συντάσσεται δὲ γενικῇ καὶ αἰτιατικῇ. Schol.

342. Εἰ κέν με τρὶς τόσσον] διὰ τοῦτο μάλιστα ὥσπερ ἐκ θεῶν τὸ κώλυμα τῆς ὁδοῦ λέγων εἶναι, πείθει αὐτοὺς ἐπαναχωρεῖν, ἐάν τι φαῦλον συμβῇ τῇ ὄρνιθι. τοῦτο δέ φησιν, ἐπεὶ τοὺς παρὰ τῶν ἀδίκων λόγους, ὡς ἀπίστους καὶ ἀπληρώτους λαμβάνομεν, διὰ τὸ ἀσεβὲς αὐτῶν. φησὶν οὖν, εἰ καὶ τρὶς τοσοῦτον ἢ καὶ πλέον ὑπονοεῖτέ με μισεῖσθαι ὑπὸ τῶν θεῶν ὅσον ἀληθῶς μισοῦμαι, μὴ τολμήσητε χωρὶς οἰωνοῦ παρελθεῖν. Schol.

344. Ἀνάρσιος] σημαίνει καὶ τὸν ἐχθρόν. οἱ γὰρ ἐχθροὶ ἀλλήλοις οὐ συμβαίνουσι. Schol.

345. Καὶ τὰ μὲν ὥς κε] καὶ ταῦτα μὲν οὕτως ἂν γένηται, καθὼς καὶ ἔτι καὶ εἵμαρται. Schol.

346. Σύνδρομα] τὴν σύνοδον. διὰ δὲ τούτου πάλιν αἰνίττεται μᾶλλον ὡς οὐ ῥᾳδία αὐτοῖς οὐδὲ ἀκίνδυνος ἡ ἔξοδος. Schol.

347. Αὐτίκα Βιθυνῶν] μετὰ γὰρ τὴν Φινέως νῆσον, ἐπὶ τὰ δεξιὰ μέρη ἐστὶ Βιθυνία παρὰ τὸν Βόσπορον. ταχέως γὰρ ἐκπλεύσαντι τὸ στόμα τοῦ Πόντου ἡ ἑτέρα πλευρὰ τῆς Βιθυνίας· ἡ γὰρ Βιθυνία, ὡς προείρηται, περὶ τὸν Βόσπορόν ἐστιν ἐν δεξιᾷ, ἐν ἀριστερᾷ δὲ Σαλμυδησσὸς Θρᾳκῶν ἀγρίων. Schol.

348. Πλώετε] ἐχόμενοι τῆς Βιθυνίας πλεῖτε πρὸς τὰ δεξιὰ, φυλαττόμενοι τὰς ἐκ τοῦ ἀριστεροῦ μέρους ῥηγμῖνας. λέγει δὲ ἂν τοῦ Σαλμυδησσοῦ. ἐπειδὴ οἱ περὶ τὸν Σαλμυδησσὸν κατοικοῦντες Θρᾷκες, ἐπιτιθέμενοι διήρπαζον τοὺς παραπλέοντας. Schol.

Ῥήβαν,

Ῥήβαν, ὠκυρόην ποταμὸν, ἀκτήν τε μέλαιναν
Γνάμψαντες, νήσου Θυνηΐδος ὅρμον ἵκησθε.
Κεῖθεν δ᾽ οὐ μάλα πουλὺ δι᾽ ἐξ ἁλὸς ἀντιπέραιαν
Γῆν Μαριανδυνῶν ἐπικέλσετε νοστήσαντες.
Ἔνθα μὲν εἰς Ἀΐδαο καταιβάτις ἐστὶ κέλευθος·
Ἀκτή τε προβλὴς Ἀχερουσιὰς ὑψόθι τείνει·
Δινήεις τ᾽ Ἀχέρων αὐτὴν διὰ νειόθι τέμνων
Ἀκρης ἐκ μεγάλης προχοὰς ἵησι φάραγγος.

Rhebam, rapidum fluvium, litusque nigrum
Circumvecti, Thyneæ insulæ stationem attigeritis,
Illinc non ita procul per mare, ex adverso sitam
Terram Mariandynorum appulsi eritis profecti.
Ibi quidem ad inferos facilis est descensus.
Litus enim prominens Acheruntium sursum porrigitur,
Quod vorticosus Acheron in imo dividens,
Provolvit fluenta, ex summo et ingenti barathro.

349. Ῥήβαν] ποταμὸν Βιθυνίας. ὠνομάσθη δὲ Σαλμυδησσὸς ἀπὸ τοῦ συῤῥέοντος εἰς αὐτὸν ποταμοῦ. Schol.

351. Κεῖθεν δ᾽ οὐ μάλα] ἐκ τῆς Θυνιάδος νήσου πλεύσαντες, οὐ πολὺ ἐκ τοῦ πέραν εἰς τὴν Μαριανδυνῶν ἥξετε γῆν. Schol.

352. Γῆν Μαριανδυνῶν. τὴν δὲ Μαριανδυνῶν γῆν σὺν Γνησιόχῳ τῷ Μεγαρεῖ Βοιωτοὶ κατέσχον, ὡς Εὐφορίων ἱστορεῖ. παραῤῥεῖ δὲ αὐτὴν ὁ Ἀχέρων ποταμός. Ἀχέρων δὲ παρὰ τὸ ἄχεα ἄρηται. Schol.

353. Ἔνθα μὲν εἰς Ἀΐδαο] κατὰ τὴν ἐν τῇ Μαριανδυνίᾳ ὡς ἐπὶ τὸν τοῦ Ἅδου ποταμὸν Ἀχέροντα καταβατή τις ἐστὶν ὁδός. ὁ δὲ ῥεῖθρον σφοδρὰ ἔχων διατέμνει αὐτὴν τὴν Μαριανδυνίαν κάτωθεν ῥέων, καὶ εἰς ἄκρον αὐτὴν ἔκ τινος φάραγγος ῥέων τὰ ῥεύματα ἀποβάλλει. Schol.

354. Ἀκτή τε προβλὴς] ἄκρα κατὰ τὴν Ἡράκλειαν, ἣν Ἀχερούσιον καλοῦσιν οἱ ἐγχώριοι. Ἡρόδωρος δὲ καὶ Εὐφορίων ἐν τῷ ξενίῳ ἐκείνῃ φασὶ τὸν Κέρβερον ἀνῆχθαι ὑπὸ τοῦ Ἡρακλέους, καὶ ἐμέσαι χολήν· ἐξ ἧς φῦναι τὸ καλούμενον ἀκόνιτον φάρμακον. Ἄνδρων δὲ ὁ Τήϊος ἐν τῷ περίπλῳ φησὶν Ἀχέροντά τινα βασιλεύσαντα τῶν τόπων, οὗ θυγατέρα γεγονέναι Δαρδανίδα· ταύτῃ δὲ Ἡρακλέα πλησιάσαντα ἐγγεννῆσαι υἱὸν Ποιμένα λεγόμενον· ἀποθανόντα δὲ κατὰ τὸν αὐτὸν χρόνον τήν τε Δαρδανίδα καὶ τὸν υἱὸν αὐτῆς Ποιμένα, τοὺς τόπους ἀπ᾽ αὐτῶν κληθῆναι κατὰ τὴν Ἡράκλειαν Δαρδανίδα τε καὶ Ποιμένα. Schol.

Ibid. Schol. καὶ ἐμέσαι χολήν. Habet χυλὸν Dionysius 791. vide Schol. Upt.

355. Δινήεις τ᾽ Ἀχέρων] καὶ ὁ Ἀχέρων ποταμὸς εἰς θάλασσαν ῥεῖ διὰ μεγάλης φάραγγος τέμνων τὴν Ἀχερουσίαν ἄκραν. παρὰ δὲ τὴν Ἡράκλειαν τὴν ἐν Μαριανδυνοῖς, Ἀχερουσίς ἐστι καὶ τόποι τινὲς πηλώδεις. Schol.

356. Φάραγγος] τοῦ τοῦ ὄρους τραχύτητος, καὶ ὀρεινῆς κοιλάδος. φάραγξ γὰρ, ἡ ὀρεινὴ κοιλάς. Schol.

Ἀγχίμολον

Ἀγχίμολον δ' ἐπὶ τῇ, πολέας παρανεῖσθε κολωνοὺς
Παφλαγόνων, τοῖσίν τ' Ἐνετήϊος ἐμβασίλευσε
Πρῶτα Πέλοψ· τοῦ καίπερ ἀφ' αἵματος εὐχετόωνται.
Ἔστι δέ τις ἄκρη Ἑλίκης κατεναντίον Ἄρκτου,
Πάντοθεν ἠλίβατος· καί μιν καλέουσι Κάραμβιν.
Τῆς κεν ὕπερ Βορέαο περισχίζονται ἄελλαι·
Ὧδε μάλ' ἀμπέλαγος τετραμμένη αἰθέρι κύρει.
Τήνδε περιγνάμψαντι πολὺς παρακέκλιται ἤδη
Αἰγιαλός· πολέος δ' ἐπὶ πείρασιν αἰγιαλοῖο
Ἀκτῇ ἐπὶ προβλῆτι ῥοαὶ Ἅλυος ποταμοῖο

Haud longè abhinc, multos prætervehemini colles
Paphlagonum, quibus Eneteïus præfuit
Primùm Pelops; cujus a sanguine *se ortos* gloriantur.
Extat autem adversus Helicam ursam quiddam promontorium
Undique excelsum, ac ipsum vocant Charambyn.
Super hoc Boreæ proscinduntur flatus,
Adeo longè in mare porrectum cœlo appropinquat.
Illud ubi circumierit aliquis, longum adjacet præterea
Litus, et juxta fines longi litoris
Orâ prominenti fluctus Halyos fluvii

357. Ἀγχίμολον δ' ἐπὶ τῇ] ἐπὶ τῇ Μαριανδυνῶν χώρᾳ. τὸ δὲ ἑξῆς, ἐπὶ δὲ τῇ Μαριανδυνῶν γῇ ἐκ τοῦ σύνεγγυς παραπλεῖτε τὰ τῶν Παφλαγόνων ὄρη. Schol.

358. Ἐνετήϊος] ἀπὸ Ἐνέτης πόλεως Παφλαγόνων. Ὅμηρος. Ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων. τούτους δὲ Καύκωνας ἐκάλουν μετὰ τὰ Τρωϊκά. Schol.

359. Πέλοψ] Πέλοπα δὲ, Παφλαγόνα τὸ γένος εἶπεν. ἄλλοι δὲ Λυδὸν αὐτὸν ἱστοροῦσιν. ὁ δὲ Εὐφορίων ἀμφοτέραις ταῖς δόξαις συντίθεται. Τὸ καί περ περισσὸν ἔχει τὸ περ. ἀπὸ τοῦ Πέλοπος γὰρ ἐλέγοντο καυχᾶσθαι οἱ Παφλαγόνες. Schol.

360. Ἔστι δέ τις ἄκρη] ὅτι ἡ Κάραμβις ἄκρα ὑψηλή τε καὶ κατανττικρὺ τῆς Παφλαγονίας, καὶ εἰς τὸ πέλαγος τείνει πρὸς Ἄρκτον, μνημονεύει καὶ Ἔφορος ἐν δ. ὃ δὲ λέγει. ἔστι δέ τις ἐξοχὴ καὶ ἄκρα ὑψηλὴ εἰς τὸ πέλαγος τείνουσα, κατεναντίον τῆς Ἑλίκης Ἄρκτου κειμένη. Schol.

362. Τῆς κεν ὕπερ] ὑφ' ἧς καὶ αἱ τοῦ Βορέου ἄελλαι περισχίζονται, τουτ' ἔστιν αἱ πνοαί. ἔστι δὲ ὑπερβατὸν, καὶ ἡ ὑπὲρ ἀντὶ τοῦ ὑπό. ὑφ' ἧς καὶ αἱ τοῦ Βορέου πνοαὶ σχίζονται. ἴσως δὲ βέλτιον συνάπτειν οἰκείως, καὶ αἱ πνοαὶ τοῦ Βορέου σχίζονται, ἤτοι διαλύονται, ὑπὲρ τοῦ Καραμβίδος, ἀντὶ τοῦ ἐπάνω. αἱ γὰρ ἐν ταῖς κορυφαῖς τῶν ὑψηλῶν ὀρέων νηνεμίαι εἰσὶν, ὡς οἱ φυσιολόγοι ἀξιοῦσι, πολλῷ μᾶλλον ὑπὲρ ἐκείνας. διὸ καὶ ἐπάγει, οὕτως ἀνὰ τὸ πέλαγος τετραμμένη τῷ αἰθέρι κύρει καὶ παραπελάζει. Schol.

366. Ἅλυος ποταμοῖο] Ἅλυς ποταμὸς Παφλαγονίας, ὃν φυλάττεσθαι ὁ Πύθιος τῷ Λυδῶν βασιλεῖ Κροίσῳ εἶπεν. ἔστι δὲ μεταξὺ Σύρων τῶν ἐν τῷ Πόντῳ καὶ Παφλαγόνων, εἰς τὸν Πόντον ἐκδιδοὺς περὶ Σινώπην πόλιν. Schol.

Z Δεινὸν

Δεινὸν ἐρεύγονται· μετὰ τόνδ' ἀγχίῤῥοος Ἶρις
Μειότερος λευκῇσιν ἑλίσσεται εἰς ἅλα δίναις.
Κεῖθεν δὲ προτέρωσε μέγας καὶ ὑπείροχος ἀγκὼν
Ἐξανέχει γαίης· ἐπὶ δὲ στόμα Θερμώδοντος
Κόλπῳ εὐδιόωντι Θεμισκύρειον ὑπ' ἄκρην
Μύρεται, εὐρείης διαειμένος ἠπείροιο.
Ἔνθα δὲ Δοίαντος πεδίον· σχεδόθεν δὲ πόληες

Horrendum eructantur; ultraque eum vicinè fluens Iris
Minor albis volvitur in mare vorticibus.
Illinc ulterius ingens et eminens cubitus
Prætenditur terræ: juxta verò ostium Thermodontis
In sinum tranquillum sub Themiscyræo promontorio
Fluctus emittit, per latam devectus terram.
Porro ibi Doeantis campus; ac prope urbes

367. Ἐρεύγονται] τὸ μετ' ἤχου ῥέειν σημαίνει. Μετὰ τόνδ' ἀγχίῤῥοος. μετὰ τὸν Ἅλυν πλησίον ῥεῖ ὁ Ἶρις, ἐλάττων ὢν τοῦ Ἅλυος κατὰ τὸ μέγεθος. Schol.

Ibid. Ἶρις. Consule Dionys. περιηγ. v. 783. et Schol.

369. Κεῖθεν δὲ] ἐκεῖθεν προελθοῦσιν, ἄκραν τινα εἶναί φησιν ἐκκειμένην εἰς θάλασσαν. κάμψαντι δὲ αὐτὴν, κόλπον εἶναι· εἰς ὃν καταφέρεσθαί φησι τὸν Θερμώδοντα ὑπὸ τὴν Θεμισκύρειον ἄκραν, ἔνθα ᾤκησαν αἱ Ἀμαζόνες. Ὑπείροχος. ὑψηλὸς καὶ μέγας κόλπος. Schol.

Ibid. Ἀγκὼν. Arrianus hoc loco Ἀγκῶνα portum commemorat: quo forte etiam Apollonius alludere noluit. L. Holstenius.

370. Ἐξανέχει γαίης] ἀντὶ τοῦ ἔκκειται εἰς τὴν θάλασσαν. ἔοικε δὲ ὑπὸ ὀρῶν περιέχεσθαι ὁ κόλπος, καὶ διὰ τοῦτο ὑπείροχον ἐξανέχειν ἔφη τὸν ἀγκῶνα. Ἐπισημειώσασθαι δὲ ἄξιον, ὅτι εἰπὼν στόμα Θερμώδοντος, ἐπήνεγκε μετοχὴν ἀρσενικὴν τὴν διαειμένος, δεικνὺς ὅτι ταυτόν ἐστι στόμα Θερμώδοντος καὶ Θερμώδων. Schol.

371. Flor. Κόλπῳ ἐν et pro ὑπ' ἐπ'.

372. Μύρεται] ἀντὶ τοῦ ἐκρεῖ. συνεκπτικὸν δὲ, αὐτῷ τὸ στόμα Θερμώδοντος κόλπῳ μύρεται. διαειμένος δὲ, κατὰ ἀντιστροφὴν διαφερόμενος. μεθ' ὁρμῆς ῥέων. οἷον διὰ πολλῆς γῆς ῥέων ὁ ποταμὸς ὁ Θερμώδων κατὰ τὴν Θεμισκύρειον ἄκραν εἰς κόλπον εὔδιον ἐκρέει. ἀπὸ τοῦ ἵημι δὲ τὸ πορεύομαι, εἶμαι παρακείμενος. Schol.

373. Ἔνθα δὲ Δοίαντος] Δυίας καὶ Ἄλκμων, ἀδελφοί. τίνος δὲ πατρὸς, οὐ φέρεται, ὥς φησι Φερεκύδης. πλησίον δὲ, φησὶ, τοῦ Δοίαντος πεδίου εἰσὶ τρεῖς πόλεις, ἔνθα κατῴκουν αἱ Ἀμαζόνες, Λυκαστία, Θεμισκύρα, καὶ Χαλυβία. Schol.

Ibid. Καὶ Χαλυβία. Depravatè legitur Χαλυβία pro Χαδήσια. In enim in textu 1002 ejusdem libri sequitur, Νόσφι δ' ἀκηγοτόλοι Χαδήσιαι, quo loco Χαλήσιαι est; sed perperam pro Χαδήσιαι. Hartungus.

In eod. schol. Pro Ἄλκμων legit L. Holstenius Ἄκμων, unde infra ἄλσεος Ἀκμόνιον 994. L. H.

Τελοσ ἀ

Τρισσαὶ Ἀμαζονίδων· μετὰ δὲ σμυγερώτατοι ἀνδρῶν
Τρηχεῖαν Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν
Ἐργατίναι· τοὶ δ' ἀμφὶ σιδήρεα ἔργα μέλονται.
Ἄγχι δὲ ναιετάουσι πολύρρηνες Τιβαρηνοὶ,
Ζηνὸς εὐξείνοιο Γενηταίην ὑπὲρ ἄκρην.
Τῇ δ' ἐπὶ Μοσσύνοικοι ὁμούρεοι ὑλήεσσαν
Ἑξείης ἤπειρον ὑπωρείας τε νέμονται,
Δουρατέοις πύργοισιν ἐν οἰκία τεκτήναντες
Κάλλινα, καὶ πύργους εὐπηγέας, οὓς καλέουσι
Μόσσυνας· καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
Τοὺς παραμειβόμενοι, λισσῇ ἐπικέλσετε νήσῳ,

Tres Amazonidum; indeque laboris patientissimi homines
Asperum Chalybes et difficile solum colunt
Operarii; quibus sane curæ sunt ferrea opera.
Juxta colunt Tibareni, pecorum divites,
Jovis hospitalis Genetæum ultra promontorium.
Post hoc Mossynœci affines sylvosam
Deinceps regionem, et montium radices accolunt,
Qui ligneis in arcibus inædificare solebant domos
Ligneas, et turres firmatas, quas vocant
Mossynas; atque ipsi inde sunt cognomines.
His prætermissis, ad asperam insulam appulsi eritis,

374. Σμυγερώτατοι] ἤγουν ἐπιπονώτατοι. Schol.

375. Χάλυβες] ἔθνος Σκυθικὸν, μετὰ τὸν Θερμώδοντα· οἳ μέταλλα σιδήρου εὑρόντες, μοχθοῦσι περὶ τὴν ἐργασίαν. ἐκλήθησαν δὲ Χάλυβες ἀπὸ Χάλυβος τοῦ Ἄρεως υἱοῦ. μέμνηται αὐτῶν καὶ Καλλίμαχος. "Χαλύβων ὡς ἀπόλοιτο γένος, Γειόθεν ἀντέλλοντα κακὸν φυτὸν οἵ μιν ἔφηναν." Schol.

376. Μέλονται] ἀντὶ τοῦ φροντίδα ποιοῦνται. Schol.

377. Τιβαρηνοὶ] ἔθνος Σκυθικὸν, πλησιόχωροι Χαλύβων. Schol.

378. Γενηταίην ὑπὲρ ἄκρην] Γενηταία ἄκρα κυρίως οὕτω λεγομένη ἀπὸ Γενήτου ποταμοῦ, ἔνθα Διὸς ξενίου ἱερόν ἐστι. Schol.

379. Μοσσύνοικοι] ἔθνος καὶ αὐτὸ ἀπὸ τῆς διαγωγῆς τὴν προσηγορίαν ἐσχηκός. Μόσσυνοι γὰρ οἱ ξύλινοι οἶκοι λέγονται, οἷς καὶ αὐτοὶ ἐχρῶντο. ὅπερ καὶ αὐτὸς αἰνιττόμενος, ὑλήεσσαν γῆν αὐτοὺς οἰκεῖν ἔφη. ἀπὸ γοῦν τοῦ μόσσυνος, ὃ λέγεται ὁ ξύλινος οἶκος, ἐκλήθησαν Μοσσύνοικοι. Schol.

Ibid. Μοσσύνοικοι] Eos describit Dionysius περιφράζων. ἢ ἐτυμολογῶν. v. 766. Mela lib. I. cap. 20. *Mossynoeci turres ligneas subeunt, notis corpus omne persignant, propatulo vescuntur*, &c.

384. Λισσῇ ἐπικέλσετε νήσῳ] τῇ τρα-

Μήτι παντοίῃ μέγ᾽ ἀναιδέας ἐξελάσαντες
Οἰωνὲς, οἳ δῆθεν ἀπειρέσιοι ἐφέπουσι
Νῆσον ἐρημαίην· τῇ μέν τ᾽ ἐνὶ νηὸν Ἄρηος
Λάϊνεον ποίησαν Ἀμαζονίδων βασίλειαι
Ὀτρηρή τε καὶ Ἀντιόπη, ὁπότε στρατόωντο.
Ἔνθα γὰρ ὕμμιν ὄνειαρ ἀδευκέος ἐξ ἁλὸς εἶσιν
Ἄρρητον· τῷ κέν τε φίλα φρονέων ἀγορεύω

Poſtquam ſtudio omnigenò importuniſſimas abegeritis
Aves, quæ prope infinitæ circumvolitant
Inſulam deſertam; in quâ templum Martis
Lapideum ædificârunt Amazonidum reginæ
Otrera et Antiopa, cum expeditionem ſuſcepiſſent.
Ibi vos manet ex mari, unde nec ſperabitur, ſalus
Ineffabilis: ideo vobis bene volens jubeo

χεία καὶ ὑψηλῇ. ἡ δὲ νῆσος καλεῖται Ἀρητιάς. ἐν δὲ ταύτῃ τῇ νήσῳ αἱ Στυμφαλίδες ἦσαν ὄρνιθες, ἀπὸ Στυμφάλου τῆς Ἀρκαδίας πόλεως, ὑπὸ Ἡρακλέους διωχθεῖσαι. ἐν ταύτῃ οὖν τῇ νήσῳ, φησὶ, παντοίᾳ σπουδῇ καταπλεύσητε. ἐκεῖ γὰρ ὑμῖν ἐπιφανήσεταί τις ὠφέλεια. λισσὴ δὲ ἀντὶ τοῦ ὁμαλή. Ἀμερίας δὲ ἐν γλώσσαις λισσὸν τὸ ὑψηλὸν ἀποδίδωσιν. ὅτι δὲ ἡ νῆσος αὕτη ὄρνιθας εἶχε τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσιν, ἱστορεῖ καὶ Εὐριπίδης ἐν Φρίξῳ. Schol.

386. Ἐφέπουσι] ἐνταῦθα ἀντὶ τοῦ διατρίβουσι. Schol.

389. Ὀτρηρή τε καὶ Ἀντιόπη] Ἀμαζόνων αὗται βασίλειαι. ποίαν δὲ στρατιὰν, οὐδεὶς ἐδήλωσεν. Schol.

390. Ἔνθα γὰρ ὕμμιν] ἐνταῦθα γὰρ ὑμῖν ὄφελος ἐν τῇ Ἀρητιάδι νήσῳ ἐκ τῆς θαλάσσης ἥξει ἄρρητον. δηλονότι διὰ τὸ ναυάγιον. λέγει δὲ τοὺς Φρίξου καὶ Χαλκιόπης τῆς Αἰήτου θυγατρὸς παῖδας, οἵ τινες ἐπὶ τὴν Ἑλλάδα στελλόμενοι διὰ τὸν Ἀθάμαντος κλῆρον, ἐν ταύτῃ τῇ νήσῳ ναυαγήσαντες, ἔτυχον ἐπιμελείας παρὰ τῶν ἡρώων, καὶ ὁδηγοὶ αὐτοῖς εἰς τὴν Σκυθίαν ἐγένοντο. εἰσὶ δὲ οὗτοι, Ἄργος, Μέλας, Κυτίσωρος, Φρόντις. Ἀδευκέος. τοῦ ἀπροσδοκήτου. ἀντὶ τοῦ, τῆς παρ᾽ ἐλπίδας ὑμῖν φανείσης. ἀδευκῆ δέ φησι τὴν θάλασσαν, ἤγουν πικράν. δεῦκος γὰρ τὸ γλυκύ. Schol.

Ibid. Ἀδευκέος, ἐξ ἁλὸς
—— via prima ſalutis
*(Quod minimè reris) Graiâ*
*pandetur ab urbe.*
Æn. VI.

Vos nihil magis quàm naufragium formidatis, at inde ſperanda eſt vobis ſalus. Rem exitus ipſe docuit ſub hujus libri finem. Hœlzlinus.

391. Τῷ κέν τε φίλα] διὸ ἐπεὶ ὠφελήσει ὑμᾶς, εὐνοῶν ὑμῖν κελεύω προσχεῖν τῇ νήσῳ. ἢ κατέχειν, ἤγουν μνημονεύειν αὐτῶν. Τὰ δὲ ἑξῆς παρείληφεν, ἐπεὶ ἔλαθεν ἑαυτὸν τὰ πάντα μέλλων λέγειν, τίνες τε εἴησαν οἱ συντευξόμενοι, καὶ ὅπερ αὐτοῖς ποιήσουσι· καὶ παρεκβαίνειν τὰ παραγγελθέντα αὐτῷ. ἔφη γὰρ τὰ πάντα ἀκριβῶς μὴ εἰπεῖν, διὰ τὸ μὴ προσπταῖσαι τοῖς θεοῖς πάλιν. ἑαυτοῦ δ᾽ ἐπιλαμβάνεται· καὶ τὰ μὲν κατὰ μέρος συμβησόμενα οὐ λέγει. τὰ δὲ ἑξῆς τῶν Μοσσυνοίκων ἔθνη καταλέγει. Schol.

Ἴσχεμεν·

Ἰσχέμεν· ἀλλὰ τίη με πάλιν χρειὼ ἀλιτέσθαι,
Μαντοσύνῃ τὰ ἕκαστα διηνεκέως ἐνέποντα;
Νήσου δὲ προτέρωσε καὶ ἠπείροιο περαίης
Φέρβονται Φίλυρες· Φιλύρων δ' ἐφύπερθεν ἔασι
Μάκρωνες· μετὰ δ' αὖ περιώσια φῦλα Βεχείρων.
Ἑξείης δὲ Σάπειρες ἐπὶ σφίσι ναιετάουσι·
Βύζηρες δ' ἐπὶ τοῖσιν ὁμώλακες, ὧν ὕπερ ἤδη
Αὐτοὶ Κόλχοι ἔχονται ἀρήιοι· ἀλλ' ἐνὶ νηῒ
Πείρεθ', ἕως μυχάτῃ κεν ἐνιχρίμψητε θαλάσσῃ.
Ἔνθα δ' ἐπ' ἠπείροιο Κυταιΐδος, ἠδ' Ἀμαραντῶν

*Ibi* sistere: sed quid opus est me iterum peccare
Vaticinatione singula continuâ serie enarrantem?
Ultra autem insulam, et regionem ex adverso sitam,
Aluntur Phylyres; supraque Phylaras degunt
Macrones, post hos numerosa gens Bechirorum.
His contigui Sapires accolunt:
Byzeres autem post hos, finitimi, quos ultra
Ipsi Colchi habitant bellicosi. Verùm in nave
Pergite, usque dum in intimum mare deveneritis.
Ibi verò per regionem Cytaicam, et procul ab Amarantis

394. Νήσου δὲ προτέρωσε] τῆς δὲ νήσου τῆς Ἀρητιάδος ἔμπροσθεν καὶ τῆς κατὰ τὸ ἐναντίον γῆς οἰκοῦσι Φίλυρες. Schol.

395. Φίλυρες] οἱ ἐκλήθησαν ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ θυγατρὸς, γαμετῆς δὲ Κρόνου, μητρὸς δὲ Χείρωνος, ἐνταῦθα διατριψάσης. ἢ οὕτως. μετὰ δὲ τὴν νῆσον τὴν περαίαν γῆν νέμονται Φίλυρες.

396. Μάκρωνες] ὑπεράνω δὲ τῶν Φιλύρων καὶ ἔμπροσθεν εἰσὶ οἱ Μάκρωνες, ἔθνος Σκυθικὸν, ἄποικοι τῶν Εὐβοέων. ἡ γὰρ Εὔβοια καὶ Μάκρις ἐκαλεῖτο διὰ τὴν θέσιν. Περιώσια. φησὶ δὲ τοῦτο, διὰ τὸ εἰς πολλὴν χώραν διεσπάρθαι αὐτούς. Schol.

397. Ἑξείης δὲ Σάπειρες] ἐπὶ τοῖς Βεχείροις. Σάπειρες δὲ ἔθνος Σκυθικὸν, οὕτω κληθὲν διὰ τὸ πολλὴν παρ' αὐτοῖς γίνεσθαι τὴν Σαπφειρίτην λίθον. Schol.

398. Ὁμώλακες] ὅμουροι. ὤλακα γὰρ τὴν αὔλακα, Δωρικῶς. καὶ Ὅμηρος. "ἱεμένων κατὰ ὦλκα." Schol.

399. Ἀλλ' ἐνὶ νηῒ] ἀλλὰ πείρετε καὶ πλεῖτε, φησὶν, ἕως ἂν εἰς τὸ μυχαίτατον τῆς θαλάσσης ἀφίκησθε. ἐνταῦθα γὰρ καὶ ἡ Σκυθία τελευτᾷ. καὶ τὴν μὲν Σκυθίαν διαδέχεται ἡ Σαρματία, τὸν δὲ Εὔξεινον ἡ Μαιώτης. περιοικοῦσι δὲ τὴν Μαιῶτιν οἱ Σαρμάται. ὑπὲρ δὲ τοὺς Σαρμάτας ὁ Σαρματικός ἐστι καὶ Ἀρκτικὸς ὠκεανός. Schol.

401. Κυταιΐδος] Κολχικῆς. Κύταια γὰρ, πόλις Κολχίδος. ἔστι δὲ καὶ ἑτέρα πόλις τῆς Εὐρώπης Κύταια, ὁμώνυμος τῇ Σκυθικῇ, ἀφ' ἧς φασὶ καὶ τὴν Κολχικὴν

Τηλόθεν

Τηλόθεν ἐξ ὀρέων, πεδίοιό τε Κιρκαίοιο,
Φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.
Κείνου νῆ' ἐλάοντες ἐπὶ προχοὰς ποταμοῖο,
Πύργους εἰσόψεσθε Κυταιέος Αἰήταο,
Ἄλσος τε σκιόεν Ἄρεος· τόθι κῶας ἐπ' ἄκρης
Πεπτάμενον φηγοῖο, δράκων, τέρας αἰνὸν ἰδέσθαι,
Ἀμφὶς ὀπιπεύει δεδοκημένος· οὐδέ οἱ ἦμαρ
Οὐ κνέφας ἥδυμος ὕπνος ἀναιδέα δάμναται ὄσσε.
Ὣς ἄρ' ἔφη· τοὺς δ' εἶθαρ ἕλεν δέος εἰσαΐοντας.
Δὴν δ' ἔσαν ἀμφασίῃ βεβολημένοι· ὀψὲ δ' ἔειπεν

Montibus, campoque Circæo,
Phaſis vorticoſus latum flumen in mare provolvit.
Illius juxta oſtia fluvii ubi impuleritis navem,
Turres cernetis Cytæii Æetæ,
Et umbroſum Martis nemus, ubi pellem in ſummâ
Suſpenſam fago, draco, monſtrum horribile viſu,
Quoquoverſum oculis luſtrat, obſervans: neque illi die
Nec nocte, dulcis ſomnus truces ſubigit oculos.
Sic fatus eſt; hos autem ſtatim corripuit terror audientes:
Diuque ſtupore perculſi erant; ſerò tamen dixit

ἐσχηκέναι τὴν ἀρχήν. Ἀπολλώνιος δὲ Κυταΐδα τὴν πόλιν ἐνταῦθα φησίν. Ἀμαραντῶν δὲ προπαροξυτόνως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου. ἔστι δὲ Ἀμαραντὸς πόλις ἐν Πόντῳ. ὡς δὲ αὐτός φησιν, ὄρη τῆς Κολχίδος, ἐξ ὧν ὁ Φᾶσις ποταμὸς καταφέρεται. ἔστιν οὖν καὶ ἑτέρα Κύταια πόλις τῆς Εὐρώπης κατὰ τὸν εἴσπλουν τοῦ Εὐξείνου· ἐκεῖθεν δὲ τὴν ἀρχὴν λαμβάνουσι. λέγεται δὲ οὕτως ὀνομαστικῶς. Κυταΐδα γὰρ τὴν Μήδειαν προσηγορεύκασιν. Ἀμαραντὸς δὲ πόλις ἐν Πόντῳ, ἢ ὄρη τῆς Κολχίδος, ὥς φησιν Ἡρωδιανός· ὅθεν καταφέρεται ὁ Φᾶσις. ὅπερ ἀγνοήσας Ἡγήστρατος ὁ Ἐφέσιος, Ἀμαραντίους ἀπέδωκε λιμένας τοῦ Φάσιδος. διὰ δὲ τὸ εὐθαλὲς εἶναι, καὶ ἀμαράντους. ὅτι δὲ Ἀμάραντα ὄρη ἐστὶ Κόλχων, ἱστορεῖ Κτησίας ἐν β΄, ὁ δὲ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίας ὀρῶν, ὥς φησιν Ἐρατοσθένης· ἐκδίδωσι δὲ εἰς Κόλχους κατὰ θάλασσαν. Schol.

402. Κιρκαίοιο] Κιρκαῖον δὲ, τόπος ἐστὶ τῆς Κολχίδος, ἀπὸ Κίρκης τῆς Αἰήτου ἀδελφῆς. ἢ πεδίον. οὐ δύναται δὲ ἀπὸ τῆς ἑτέρας Κίρκης ὀνομάσαι. ἐγένοντο γὰρ Κίρκαι δύο, περὶ ὧν ἐν τοῖς ἑξῆς ἐροῦμεν. Τίμαιος δέ φησι πεδίον ἐν Κόλχοις εἶναι Κιρκαῖον. Schol.

406. Ἄλσος τε σκιόειν] ὁ δὲ Ἑλλάνικος ἐν τῷ ἱερῷ τοῦ Διὸς φησὶ κεῖσθαι τὸ δέρας, τοῦ δὲ ἐν Κόλχοις λεγομένου Ἀργείου πεδίου καὶ τοῦ αὐτόθι Ἄρεος τεμένους μεμνῆνται πολλοί. Φασὶ δὲ ὅτι τὸ χρυσοῦν δέρας ἀνάκειται ἐν τῷ τοῦ Ἄρεος ἄλσει ἐπί τινος φηγοῦ, φυλασσόμενον ὑπὸ δράκοντος πελωρίου τὸ μέγεθος. Τὸ δὲ σκιόειν ἀντὶ τοῦ σκιόεν, κατὰ Ἰωνικὴν πρόσθεσιν τοῦ ι. Ἀφασίῃ βεβολημένοι, ἀντὶ τοῦ ὑπὸ ἀφασίας ἐκπεπληγμένοι. Schol.

Ἥρως

Ἥρως Αἴσονος υἱὸς, ἀμηχανέων κακότητι.
Ὦ γέρον, ἤδη μέν τε διήκεο πείρατ᾽ ἀέθλων
Ναυτιλίης, καὶ τέκμαρ ὅτῳ στυγερὰς διὰ πέτρας
Πειθόμενοι πόντονδε περήσομεν· εἰ δέ κεν αὖτις
Τάσδ᾽ ἡμῖν προφυγοῦσιν ἐς Ἑλλάδα νόστος ὀπίσσω
Ἔσσεται, ἀσπασίως κε παρὰ σέο καὶ τὸ δαείην,
Πῶς ἔρδω, πῶς αὖτε τόσην ἁλὸς εἶμι κέλευθον,
Νῆις ἐὼν ἑτάροις ἅμα νήισιν· Αἶα δὲ Κολχὶς
Πόντου καὶ γαίης ἐπικέκλιται ἐσχατιῇσιν.
Ὣς φάτο· τὸν δ᾽ ὁ γεραιὸς ἀμειβόμενος προσέειπεν.
Ὦ τέκος, εὖτ᾽ ἂν πρῶτα φύγῃς ὀλοὰς διὰ πέτρας,
Θάρσει· ἐπεὶ δαίμων ἕτερον πλόον ἡγεμονεύσει

Heros Æſonis filius, animi anxius inter res adverſas.
O ſenex, jam ſane expoſuiſti exitus periculorum
Navigationis, et quo ſigno freti per terribiles petras
Pontum trajiciemus; ſi verò rurſus
His evitatis, in Græciam nobis poſtea erit
Reditus, lubenter admodum a te et hoc cognoverim,
Quo pacto agam, quo poſthac tantum maris conficiam iter,
Inſcius ipſe cum ſociis ſimul inſciis: Æa nimirum Colchica
Ponti et orbis extremis ſita eſt finibus.
Sic fatus eſt: hunc autem ſenior excipiens reſpondit.
Nate, ut primum evaſeris horrendas per petras,
Bono ſis animo; quoniam Deus reliqui curſûs dux erit

417. Ἀσπασίως κε] ἡδέως ἂν παρὰ σοῦ μάθοιμι εἰ καὶ ὑποστρέψαντος ἐκ Κόλχων ἐκφευξόμεθα. δύο δὲ μάλιστα ἐφίεται ὁ Ἰάσων μαθεῖν παρὰ τοῦ Φινέως· ἓν μὲν, πῶς ἂν αὖθις κατὰ τὴν ὑποστροφὴν διαπλεύσει τὰς Συμπληγάδας· δεύτερον, πῶς ἂν μέχρι τῆς Κολχίδος ἀφίκοιτο, διαπλεύσας τοσαύτην θάλασσαν. τὸ δὲ δυσχερὲς τοῦ πλοῦ ἐνέφηνε διὰ τὸ τὴν Κολχίδα κεῖσθαι ἐπὶ τὰ ἔσχατα τῆς γῆς καὶ τοῦ Πόντου. Schol.

419. Αἶα δὲ] ἡ Αἶα πόλις τῆς Κολχίδος. αὕτη ἐπ᾽ ἐσχάτοις κεῖται τῆς οἰκουμένης. ἄλλοι δὲ τὴν γῆν τῆς Κολχίδος ἰδίως Αἶαν καλεῖσθαι λέγουσι. Schol.

420. Ἐσχατιῇσιν] Errore ſæculi illius heroici. Ὑπερβολὴν vocat Euſtathius et ἐκτοπισμὸν Ulyſſ. ζ΄. in colloquio Nauſicaæ cum Ulyſſe, qui videndus. Hœlzlinus.

423. Ἐπεὶ δαίμων] ἐκ δὲ τῆς Αἴας, φησὶν, τουτέστιν ἐκ τῶν Κόλχων θεὸς ὑμῖν καθηγήσεται, καὶ εἰς τὴν Αἶαν πλέουσι πολλοί εἰσιν) καθόλου πομποί. ἄλλος ὑμῖν, φησὶ, γενήσεται πλοῦς ἐκ τῆς Αἴας. τοῦτο δὲ λέγει, παρόσον οὐ διὰ τῶν Συμπληγάδων ὑπέστρεψαν. Schol.

Ἐξ

Ἐξ Αἴης· μετὰ δ' Αἶαν ἅλις πομπῆες ἔσονται.
Ἀλλὰ, φίλοι, φράζεσθε θεᾶς δολόεσσαν ἀρωγὴν
Κύπριδος· ἐκ γὰρ τῆς κλυτὰ πείρατα κεῖται ἀέθλων.
Καὶ δέ με μηκέτι τῶνδε περαιτέρω ἐξερέεσθε.
Ὣς φάτ' Ἀγηνορίδης· ἐπὶ δὲ σχεδὸν υἱέε δοιὼ
Θρηΐκιε Βορέαο κατ' αἰθέρος ἀΐξαντε,
Οὐδῷ ἐπὶ κραιπνοὺς ἔβαλον πόδας· οἱ δ' ἀνόρουσαν
Ἐξ ἑδέων ἥρωες, ὅπως παρεόντας ἴδοντο.
Ζήτης δ' ἱεμένοισιν ἔτ' ἄσπετον ἐκ καμάτοιο
Ἆσθμ' ἀναφυσιόων, μετεφώνεεν, ὅσσον ἄπωθεν
Ἤλασαν, ἠδ' ὡς Ἶρις ἐρύκακε τάσδε δαΐξαι,
Ὅρκιά τ' εὐμενέουσα θεὰ πόρεν· αἱ δ' ὑπέδυσαν
Δείματι Δικταίης πελώριον ἄντρον ἐρίπνης.
Γηθόσυνοι δ' ἤπειτα δόμοις ἐνὶ πάντες ἑταῖροι

Ab Æâ, ad Æam verò satis erunt comitum.
Proinde, amici, curæ vobis sit Deæ callidum auxilium
Cypriæ, ex hâc enim felices exitus pendent certaminum.
Et ultra hæc me non amplius interrogate.
Sic dixit Agenoris filius: prope autem filii duo
Threicii Boreæ, per aërem irruentes,
Limini agiles immiserunt plantas: ipsi igitur prosilierunt
A sedibus heroes, ut advenientes conspicarentur.
Zetes verò cupientibus, adhuc ingentem præ labore
Anhelationem efflans, narravit quàm longè
Abegerant *Harpyias*, et quomodo Iris prohibuerat illas interimere:
Utque sacramentum Dea benigna dixerat; ipsæque subierant
Metu, Cretensis immane antrum montis.
Læti exinde in ædibus omnes erant socii,

424. Μετὰ δ' Αἶαν] ἡ μετὰ ἀντὶ τῆς ἀπὸ. Schol.

425. Ἀλλὰ, φίλοι, φράζεσθε] διὰ φροντίδος ἔχετε, φησὶ, τὴν ἐκ τῆς Ἀφροδίτης δολίαν βοήθειαν. αἰνίττεται δὲ τὸν ἔρωτα τῆς Μηδείας. Schol.

431. Ὅπως pro ὅτε et ὅτι. Eustath. ad Il. α'.

433. Ὅσσον ἄπωθεν Ἤλασαν] ἀντὶ τοῦ ὅσον μακρὸν ἐπορεύθησαν. Schol.

436. Δικταίης] Δικταῖον ὄρος ἐν Κρήτῃ. Ἐρίπναι δὲ κατὰ μέν τινας τὰ ἀποθραύσματα τῶν ὀρῶν. κατὰ δὲ τοὺς γλωσσογράφους, πάντα τὰ ὄρη ἐρίπναι καλοῦνται. Schol.

Αὐότς

Αὐτὸς τ' ἀγγελίῃ Φινεὺς πέλεν· ὦκα δὲ τόνγε
Αἰσονίδης περιπολλὸν ἐϋφρονέων προσέειπεν.
Ἦ ἄρα δή τις ἔην, Φινεῦ, Θεὸς ὃς σέθεν ἄτης
Κήδετο λευγαλέης, καὶ δ' ἡμέας αὖθι πέλασσεν
Τηλόθεν, ὄφρα τοι υἷες ἀμύνειαν Βορέαο.
Εἰ δὲ καὶ ὀφθαλμοῖσι φόως πόροι, ἦτ' ἂν ὀΐω
Γηθήσειν, ὅσον εἴπερ ὑπότροπος οἴκαδ' ἱκοίμην.
Ὣς ἔφατ'· αὐτὰρ ὁ τόνγε κατηφήσας προσέειπεν.
Αἰσονίδη, τὸ μὲν οὐ παλινάγρετον, οὐδέ τι μῆχος
Ἔστ' ὀπίσω· κενεαὶ γὰρ ὑποσμύχονται ὀπωπαί·
Ἀντὶ δὲ τοῦ θάνατόν μοι ἄφαρ Θεὸς ἐγγυαλίξαι,
Καί τε θανὼν πάσῃσι μετέσσομαι ἀγλαΐῃσιν.
Ὣς τώγ' ἀλλήλοισι παραβλήδην ἀγόρευον.

Ipſeque ex nuncio Phineus: protinuſque eum
Æſonides, peculiari quâdam benevolentiâ, allocutus eſt.
Certè Deorum aliquis erat, ô Phineu, qui calamitatis tuæ
Curam habuit ærumnoſæ, et nos huc appulit
E longinquo, ut tibi filii opem ferrent Boreæ.
Quòd ſi et oculis tuis lumen præberet, certe exiſtimo
Me ita gaviſurum, ac ſi redux domum pervenirem.
Sic dixit: ille verò eum demiſſo vultu allocutus eſt.
Æſonis fili, hoc minimè revocabile eſt, nec aliquod remedium
Ultra reſtat; vacui enim abſumuntur oculorum orbes.
Ejus itaque loco mortem mihi citò concedat Deus,
Et mortuus omnis particeps ero nitoris.
Hoc modo illi mutuò inter ſe locuti ſunt.

440. Ἦ ἄρα δή τις] τὸ ἦ ἄρα, ἠθικῶς, ἀντὶ τοῦ, ὡς ἔοικε· καὶ ἐν Ὀδυσσείᾳ. "οὐκ ἄρα σοί γ' ἐπὶ εἴδει καὶ φρένες ἦσαν." καὶ Ἡσίοδος. "οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος." οὐκ ἦν, ὡς ἔοικε, μία ἔρις. Schol.

443. Εἰ δὲ καὶ ὀφθαλμοῖσι] εἰ δὲ καὶ ἀναβλέψαι θεῶν τίς σε ποιήσειεν, χαρείην ἂν τόσον, ὡς εἰ σωθείην εἰς τὴν πατρίδα. Schol.

446. τὸ μὲν οὐ παλινάγρετον. Eadem verba habet Callim. Hymn. in Pall. 103. Upt.

447. Ὑποσμύχονται] ὅπερ ἐστὶν, ὑπὸ βάθους ἠμαύρωνται. ἔστι δὲ ὑποσμύχειν καὶ τὸ ἠρέμα ὑποκαίειν, οἱονεὶ ὑποσβέννυνται. Schol,

449. Καί τε θανὼν, &c. Anima corporis egreſſa ergaſtulo omnigenâ circumfundetur voluptate. Hœlzl.

Αὐτίκα δ' οὐ μετὰ δηρὸν ἀμειβομένων ἐφαάνθη
Ἠριγενής· τὸν δ' ἀμφὶ περικτίται ἠγερέθοντο
Ἀνέρες, οἳ καὶ πρόσθεν ἐπ' ἤματι κεῖσε θάμιζον
Αἰέν, ὁμῶς φορέοντες ἑῆς ἀπὸ μοῖραν ἐδωδῆς.
Τοῖς ὁ γέρων πάντεσσιν, ὅτις καὶ ἀφαυρὸς ἵκοιτο,
Ἔχραεν ἐνδυκέως· πολέων δ' ἀπὸ πήματ' ἔλυσεν
Μαντοσύνῃ· τῷ κέν μιν ἐποιχόμενοι κομέεσκον.
Σὺν τοῖσιν δ' ἵκανε Παραίβιος, ὅς ῥά οἱ ἦεν
Φίλτατος· ἀσπάσιος δὲ δόμοις ἐνὶ τούσγ' ἐνόησεν.
Πρὶν γὰρ δήν ποτέ τ' αὐτὸς ἀριστήων στόλον ἀνδρῶν
Ἑλλάδος ἐξανιόντα μετὰ πτόλιν Αἰήταο
Πείσματ' ἀνάψασθαι μυθήσατο Θυνίδι γαίῃ,
Οἵ τέ οἱ Ἁρπυίας Διόθεν σχήσουσιν ἰούσας.

Nec diu poſt, colloquendi vices mutantibus, orta eſt
Aurora: circa autem ipſum accolæ congregabantur
Qui et antea indies illuc confluebant
Semper, ſimul ferentes de ſuo partem victu.
His ſenex omnibus, etiamſi quis ſterili manu accederet,
Vaticinia edidit diligenter; a multiſque dempſit mala
Divinando; quocirca ipſum inviſebant et alebant.
Cum illis etiam adfuit Paræbius, qui quidem illi erat
Cariſſimus; libenter autem in ædibus hos conſpexit:
Antea enim ipſe principum claſſem virorum
Græciæ egreſſam ad urbem Æetæ
Retinacula injecturam prædixerat Thynidi terræ,
Qui ipſi Harpyias a Jove repellerent immiſſas.

451. Ἀμειβομένων, &c.
*Hac vice ſermonum* roſeis Aurora quadrigis, &c. Æn. VI.

453. Οἳ καὶ πρόσθεν] οἵ τινες συνεχῶς ἤρχοντο πρὸς αὐτόν. τὸ ἑξῆς, φέροντες μέρος τῆς ἰδίας τροφῆς. Schol.

458. Σὺν τοῖσιν δ' ἵκανε Παραίβιος] ὁ μὲν Ἀπολλώνιος τὸν Παραίβιον φίλον Φινέως εἶναί φησιν· οἱ δὲ ἄλλοι, δοῦλον εἶναι πιστόν. οἱ δὲ περὶ τὸν Παραίβιον, φησίν, ἐχάρησαν ἰδόντες τοὺς ἥρωας. Schol.

460. Πρὶν γὰρ δήν] Αὐτὸς γὰρ ὁ Φινεὺς ὑπεμυθήσατο καὶ προεῖπε τοῦ Παραιβίου τὴν τῶν ἡρώων ἔλευσιν. συνάπτειν γὰρ δεῖ τὴν ὑπὸ τοῦ ἐμυθήσατο· λαμβάνει δὲ ἀντὶ τοῦ πρό· ὥσπερ καὶ τὸ ὑπειπὼν, ἀντὶ προειπών. Schol.

462. Θυνίδι γαίῃ] τὴν περὶ τὸν Βόσπορον χώραν, πάλιν Θυνίδα εἶπεν, ἣν κατῴκει Φινεύς· ὡς εἶναι μέρος τι Θρᾴκης ὃ καλεῖται Θυνίς. Schol.

Τοὺς μὲν ἔπειτ' ἐπέεσσιν ἀρεσσάμενος πυκινοῖσιν
Πέμφ' ὁ γέρων· οἶον δὲ Παραίβιον αὐτόθι μίμνειν
Κέκλετ' ἀριστήεσσι σὺν ἀνδράσιν· αἶψα δὲ τόνγε
Σφωϊτέρων οἴων ὅ τις ἔξοχος εἰς ἓ κομίσσαι
Ἧκεν ἐποτρύνας· τοῦ δ' ἐκ μεγάροιο κιόντος,
Μειλιχίως ἐρέτησιν ὁμηγερέεσσι μετηύδα.
Ὦ φίλοι, οὐκ ἄρα πάντες ὑπέρβιοι ἄνδρες ἔασιν,
Οὐδ' εὐεργεσίης ἀμνήμονες· ὡς καὶ ὅδ' ἀνὴρ
Τοῖος ἐὼν ὧδ' ἦλθεν, ἑὸν μόρον ὄφρα δαείη.
Εὖτε γὰρ οὖν ὡς πλεῖστα κάμοι καὶ πλεῖστα μογήσῃ,
Δὴ τότε μιν περιπολλὸν ἐπασσυτέρη βιότοιο
Χρησμοσύνη τρύχεσκεν· ἐπ' ἤματι δ' ἦμαρ ὀρώρει
Κύντερον· οὐδέ τις ἦεν ἀνάπνευσις μογέοντι.
Ἀλλ' ὅγε πατρὸς ἑοῖο κακὴν τίνεσκεν ἀμοιβὴν
Ἀμπλακίης· ὁ γὰρ οἶος ἐν οὔρεσι δένδρεα τέμνων

Cæteros deinde comiter exceptos confultis dictis
Dimifit fenex; folum verò Paræbium ibi manere
Juffit cum principibus viris; mox et ipfum
Ut de ovibus fuis maximè eximiam ad fe ferret,
Ablegavit et præcepit: eoque ex ædibus profecto,
Blando fermone frequentes compellavit remiges.
O amici, nequaquam omnes injuriofi funt homines,
Aut beneficii immemores; velut hic quoque vir
Talis exiftens huc advenit, fuum ut fatum cognofceret.
Quando enim quamplurimum laboraret, et ærumnas perferret,
Tunc equidem ipfum plus frequens victûs
Egeftas atterebat, dieique dies fuccedebat
Funeftior, nec requies erat ulla laboranti.
Enimverò ille patris fui miferam fubiit vicem luendi
Sceleris, qui folus aliquando in montibus arbores profcindens,

472. Τοῖος, hoc eft οὐ τοῖος. Ariftophanes, ἴσως ἡ θύρα κεκλείσεται). Hoc eft, *æquè non occludetur.* Hœlz.

Ibid. Μόρον] ἐνταῦθα, οὐ τὸν θάνατον, ἀλλ' ἢ τὴν δυστυχίαν ἔφη, ἢ τὴν πενίαν τῆς τύχης διαθέσιν. Schol.

473. Εὖτε γὰρ οὖν] ὁ Παραίβιος, φησὶ, πατρικὴν ἁμαρτίαν ἀποτιννὺς, ἀεὶ ἐν ἀπορίᾳ ἦν βίου, καὶ εἰ πλεῖστα μοχθήσειεν. Schol.

475. Χρησμοσύνη] ἀπορία, πενία, ἔνδεια. Schol.

Δή ποθ' Ἁμαδρυάδος Νύμφης ἀθέριξε λιτάων·
Ἥ μιν ὀδυρομένη ἀδινῷ μειλίσσετο μύθῳ,
Μὴ ταμέειν πρέμνον δρυὸς ἥλικος, ᾗ ἔπι πουλὺν
Αἰῶνα τρίβεσκε διηνεκές· αὐτὰρ ὁ τήνγε
Ἀφραδέως ἔτμηξεν, ἀγηνορίῃ νεότητος.
Τῷ δ' ἄρα νηκερδῆ Νύμφη πόρεν οἶτον ὀπίσσω
Αὐτῷ καὶ τεκέεσσιν. Ἔγωγε μὲν, εὖτ' ἀφίκανεν,
Ἀμπλακίην ἔγνων· βωμὸν δ' ἐκέλευσα καμόντα

Hamadryadis nymphæ nihili habuit preces;
Quæ eum flens lugubri demulsit voce
Ne secaret truncum quercûs coætaneæ, in quâ longum
Ævum duxerat continenter: ille tamen eam
Imprudens amputavit, præ juventutis vehementiâ.
Idcirco infructuosos labores et damna Nympha intulit posthac
Et sibi et liberis: ego quidem cum primò adesset
Delictum comperi, præcepique ut aram instauraret

479. Ἁμαδρυάδος Νύμφης] Ἁμαδρυάδας Νύμφας Μνησίμαχός φησι, διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, Νύμφαι Ἁμαδρυάδες λέγονται. Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προστάξαι τοῖς παισὶν ὑποστηρίξαι ταύτην. ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυὶ Νύμφη, ἐπιστᾶσα τῷ Ῥοίκῳ, χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅ, τι βούλοιτο. ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοιγε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν. ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. καί ποτε πεττεύοντος αὐτοῦ παρίπτατο ἡ μέλισσα. πικρότερον δὲ ἀποφθεγξάμενος, εἰς ὀργὴν ἔτρεψε τὴν Νύμφην, ὥστε πηρωθῆναι αὐτόν. Καὶ Πίνδαρος δέ φησι περὶ Νυμφῶν ποιούμενος τὸν λόγον, "ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσαι." ὁ οὖν τοῦ Παραιβίου πατὴρ ἐκκόπτων δρῦν, παρεκαλεῖτο ὑπὸ Νύμφης μὴ τεμεῖν αὐτήν· συγγεγονημένη οὔσῃ γὰρ, ἐὰν ἐκκοπῇ, παραιτίαν αὐτῇ ἔσεσθαι θανάτου. ἀπειθήσαντος δὲ αὐτοῦ, νεμεσῆσαι τὸ δαιμόνιον αὐτῷ τε καὶ τοῖς ἐγγόνοις, καὶ κακῶν γενέσθαι παραίτιον. Schol.

481. Μὴ ταμέειν πρέμνον δρυὸς ἥλικος, &c.
Unà enim et vivere et mori cum arboribus suis, unà dolere et gaudere feruntur Nymphæ Hamadryades. Rem explicat Spanhemius ad Call. Del. v. 80. ubi notat Apollonium ut in hoc loco, sic in multis aliis Callimachi imitatorem et æmulum fuisse. Hunc autem Apollonii locum in animo forsan habuit Virgilius Æn. III. ubi de Polydoro est fabula.

485. Ἔγωγε μὲν, εὖτ' ἀφίκανεν] πρὸς ἐμὲ ὅτι ἦλθε, φησὶν, ὁ Παραίβιος μαντευσόμενος, καὶ τὴν ἀτυχίαν ἀνεκοινώσατο, ἔγνων αὐτὸν ὑπὲρ τῆς τοῦ πατρὸς ἁμαρτίας δίκην ἀποτιννύντα. Schol.

Θυιάδος

Θυνιάδος Νύμφης, λωφήια ῥέξαι ἐπ' αὐτῷ
Ἱερά, πατρῴην αἰτεύμενον αἶσαν ἀλύξαι.
Ἔνθ' ἐπεὶ ἔκφυγε κῆρα θεήλατον, οὔποτ' ἐμεῖο
Ἐκλάθετ', οὐδ' ἀθέριξε· μόλις δ' ἀέκοντα θύραζε
Πέμπω· ἐπεὶ μέμονέν γε παρέμμεναι ἀσχαλόωντι.
Ὣς φάτ' Ἀγηνορίδης. Ὁ δ' ἐπισχεδὸν αὐτίκα δοιὼ
Ἤλυθ' ἄγων ποίμνηθεν ὄϊς· ἀνὰ δ' ἵστατ' Ἰήσων,
Ἂν δὲ Βορήιοι υἷες, ἐφημοσύνῃσι γέροντος.
Ὦκα δὲ κεκλόμενοι μαντήιον Ἀπόλλωνα,
Ῥέζον ἐπ' ἐσχαρόφιν, νέον ἤματος ἀνομένοιο.
Κουρότεροι δ' ἑτάρων μενοεικέα δαῖτ' ἀλέγυνον.
Ἔνθ' εὖ δαισάμενοι, τοὶ μὲν παρὰ πείσμασι νηὸς,
Τοὶ δ' αὐτοῦ κατὰ δώματ' ἀολλέες εὐνάζοντο.

Thynææ Nymphæ, et in eam piacularia faceret
Sacra, ſupplicans ut paternam devitaret ſortem.
Deinde, quando divinitus immiſſam effugiſſet calamitatem, nunquam mei
Oblitus eſt, neque neglexit: ægrè etiam invitum foras
Amitto, adeo perſtat mihi dolenti adeſſe.
Sic locutus eſt Agenoris filius; prope autem ſtatim duas
Rediit *Paræbius* ducens de grege oves; ſurrexit igitur Jaſon
Et Boreæ filii, præcepto ſenis.
Statim verò invocato fatidico Apolline,
Sacra fecerunt in foco, recèns die deſinente.
Juniores autem ſociorum jucundas epulas adornârunt;
Cumque bene epulati eſſent, alii quidem apud retinacula navis,
Alii ejus in ædibus conferti dormiebant.

487. Λωφήϊα ῥέξαι] ἐφ' οἷς λωφήσει καὶ παύσεται ἡ τῆς Νύμφης ὀργή· τουτέστι καταπαυστικὰ τῆς ὀργῆς. λωφήϊα, ἐξιλαστήρια, ἐφ' οἷς λωφήσει καὶ παύσεται κεκυμμένος. λωφῆσαι δὲ κυρίως ἐπὶ τῶν ζώων, τὸ ἀπὸ τοῦ τραχήλου ἄχθος ἀποθέσθαι. καὶ λωφήσων ἀντὶ τοῦ λήξων, ἀναπαύσων, ἢ ἀναπαυσάμενος τὸν λόφον, τουτέστι τὸν τράχηλον. Schol.

490. —— ΜΟΛΙΣ Δ' ΑΕΚΟΝΤΑ θύραζε
Πέμπω ——
— ΜΟΛΙΣ Δ' ΑΕΚΟΥΣΑ τοκῆι
Πάθετο ——
Tryphiodorus. 431.

495. Μαντήϊον] μαντικόν. Schol.

496. Ἐπ' ἐσχαρόφιν] ἐν τῇ ἑστίᾳ. Νέον ἤματος. ὑπὸ τὴν ἑσπέραν, αὔξησιν τῆς ἡμέρας λαμβανούσης. Schol.

497. Ἀλέγυνον] εὐτρέπιζον. Schol.

Ἠρ

Ἦρι δ᾽ Ἐτήσιοι αὖραι ἐπέχραον, αἵτ᾽ ἀνὰ πᾶσαν
Γαῖαν ὁμῶς τοιῇδε Διὸς πνείουσιν ἀρωγῇ.
Κυρήνη πέφαταί τις ἕλος παρὰ Πηνειοῖο

Manè autem Etesiæ auræ increbescebant, quæ per totam
Terram simul tali Jovis perflant auxilio.
Cyrene perhibetur quædam paludem juxta Penéi

500. Ἦρι δ᾽ Ἐτήσιοι αὖραι] ἐπιφέρει καὶ Ἀπολλώνιος δι᾽ ἣν αἰτίαν πνέουσι τῷ θέρει. τοῦ γὰρ κατηστερισμένου Κυνὸς φλέγοντος τὰς Κυκλάδας νήσους, καὶ πολὺν χρόνον αὐχμοῦ τε καὶ ἀπορίας οὔσης, οἱ τὴν Κέω κατοικοῦντες, ἐκ θεοπροπίου ἐπικαλέσαντο Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ Κυρήνης ἐκ Φθίας. ὁ δὲ, παραλαβὼν τινὰς ἐξ Ἀρκαδίας, ἦλθεν εἰς τὴν Κέω, καὶ Διὸς ἱερὸν ἱδρύσατο Ἰκμαίου, ἕνεκα τοῦ τοὺς ὄμβρους γίνεσθαι· καὶ τὸν Κύνα ἐξιλάσατο, καὶ ἐνομοθέτησε κατ᾽ ἐνιαυτὸν τοῖς Κώοις μεθ᾽ ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ Κυνὸς, καὶ θύειν αὐτῷ. ὅθεν αἱ Ἐτησίαι πνέουσι, καταψύχοντες τῷ θέρει τὴν γῆν. καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ Ἕλληνες. ὅτι Ἐτησίαι ἔπνευσαν Ἀρισταίου αἰτησαμένου, ὃς ἦν Κυρήνης τῆς Ὑψέως καὶ Ἀπόλλωνος, ἀδελφὸς δὲ Αὐτύχου. ἀλλ᾽ ὁ μὲν ἐν Λιβύῃ, Ἀρισταῖος δὲ ἐν τῇ Κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος, καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν, καὶ κατακαλεσάμενος τοὺς Ἐτησίας, Ζεὺς Ἀρισταῖος ἐκλήθη, καὶ Ἀπόλλων, ἀγρεὺς καὶ νόμιος. περὶ δὲ τῆς Κυρήνης Πίνδαρος ἱστορεῖ ἐν Πυθιονίκαις, ὡς παρθένος οὖσα, μίχει πολλοῦ συνέχυνήγει τῷ Ἀπόλλωνι· διαπαλαίουσα δὲ ποτὲ λέοντι, ἠγαπήθη ὑπὸ Ἀπόλλωνος· ὃς καὶ ἁρπάσας αὐτὴν, διεκόμισεν εἰς τὴν νῦν ἀπ᾽ αὐτῆς Κυρήνην τῆς Λιβύης. καὶ μιγεὶς Ἀρισταῖον ἔτεκε. Φερεκύδης δὲ φησὶ καὶ Ἀρκάδος ἐπὶ κύκνων αὐτὴν ὀχηθεῖσαν, κατὰ Ἀπόλλωνος προαίρεσιν, εἰς τὴν Κυρήνην ἀφικέσθαι. Ἀγροίτας δὲ ἐν τρίτῳ Λιβυκῶν, ὑπὸ Ἀπόλλωνος εἰς Κρήτην αὐτὴν κομισθῆναι· ἐκεῖθεν δὲ εἰς Λιβύην. ἀδελφὴ δὲ Κυρήνης Λάρισσα· ἧς ὁμώνυμος πόλις ἐν Θεσσαλίᾳ. τινὲς δέ φασι τὴν Κυρήνην Πηνειοῦ θυγατέρα γενέσθαι, κακῶς. ἔνιοι μὲν γὰρ παρ᾽ αὐτῷ θρέμμα φασι, οὐκ ἔτι δὲ καὶ θυγάτηρ αὐτοῦ ἦν. Μνασέας δέ φησι κατ᾽ ἰδίαν αὐτὴν προαίρεσιν ἐς Λιβύαν ἐληλυθέναι, οὐχ ὑπ᾽ Ἀπόλλωνος διακομισθεῖσαν. Ἀκέστωρ δὲ ἐν τοῖς περὶ Κυρήνης ἱστορεῖ ὡς ἐπ᾽ Εὐρυπύλου βασιλεύοντος Λιβύης, ὑπὸ Ἀπόλλωνος διακομισθείη ἐς Λιβύην ἡ Κυρήνη. λέοντος δὲ τὴν χώραν λυμαινομένου, προθεῖναι τὴν βασιλείαν ὁ Εὐρύπυλος ἆθλον τῷ ἀποκτείνοντι τὸν λέοντα. τὴν δὲ διαχρήσασθαι αὐτὸν, καὶ τὴν βασιλείαν λαβεῖν. παῖδας δὲ αὐτῆς γενέσθαι Αὐτοῦχον, καὶ Ἀρισταῖον. φησὶ δὲ αὐτὴν Φύλαρχος ἐλθεῖν μετὰ πλειόνων εἰς Λιβύην. τούτων δὲ ἐκπεμφθέντων ἐπὶ τὴν κυνηγεσίαν, τούτοις καὶ αὐτὴν συνεξελθεῖν, κἀκεῖ ἀνελεῖν τὸν λέοντα, καὶ λαβεῖν τὴν βασιλείαν. ἐγέννησε δὲ ἐξ Ἀπόλλωνος παῖδας δύο, Αὐτοῦχον καὶ Ἀρισταῖον. τινὲς δὲ τέσσαρας Ἀρισταίους γενεαλογοῦσιν. ὡς καὶ Βακχυλίδης· τὸν μὲν, Καρύστου· ἄλλον δὲ Χείρωνος· ἄλλον δὲ, γῆς καὶ οὐρανοῦ· καὶ τὸν Κυρήνης. οἱ Ἐτησίαι ἄρχονται πνεῖν περὶ τὴν ἐσχάτην μοῖραν τοῦ ἡλίου ὄντος ἐν καρκίνῳ, μέχρις οὗ τὸν λέοντα παρέλθῃ. ὡς καὶ Ἄρατος. "Ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι, Τῆμος καὶ κελάδοντες Ἐτησίαι εὐρέϊ πόντῳ Ἀθρόοι ἐμπίπτουσι." Schol.

Ibid. Pro Κώοις in hoc Schol. legit Holstenius Κείοις.

502. Κυρήνη πέφαται] ἤγουν, λέγεται ὅτι Κυρήνην τὴν Ὑψέως ὁ Ἀπόλλων θεασάμενος παρὰ Πηνειὸν, εἰς Λιβύην ἐκόμισεν. ἔνθα μιγεὶς αὐτῇ (ὅπου καὶ Κυρήνη πόλις ἔκτισται) τὸν Ἀρισταῖον ἐγέννησε. λέγουσι δὲ Κυρήνην, οἱ μὲν, Πηνειοῦ, οἱ δὲ, Ὑψέως τοῦ Πηνειοῦ. Schol.

Μῆκα

Μῆλα νέμειν προτέροισι παρ' ἀνδράσιν· εὔαδε γάρ οἱ
Παρθενίη καὶ λέκτρον ἀκήρατον. Αὐτὰρ Ἀπόλλων
Τήν γ' ἀνερειψάμενος ποταμῷ ἔπι ποιμαίνουσαν
Τηλόθεν Αἱμονίης, χθονίης παρακάτθετο Νύμφαις,
Αἳ Λιβύην ἐνέμοντο παραὶ Μυρτώσιον αἶπος.
Ἔνθα δ' Ἀρισταῖον Φοίβῳ τέκεν· ὃν καλέουσιν
Ἀγρέα καὶ νόμιον πολυλήιοι Αἱμονιῆες.
Τὴν μὲν γὰρ φιλότητι θεὸς ποιήσατο Νύμφην
Αὐτοῦ μακραίωνα καὶ ἀγρότιν· υἷα δ' ἔνεικε
Νηπίαχον, Χείρωνος ὑπ' ἄντροισιν κομέεσθαι.
Τῷ καὶ ἀεξηθέντι θεαὶ γάμον ἐμνήστευσαν
Μοῦσαι, ἀκεστορίην τε θεοπροπίας τ' ἐδίδαξαν.

Oves paviſſe priſcos apud mortales; placuit enim illi
Virginitas et lectus incontaminatus. At Apollo
Cum hanc ſurripuiſſet paſcentem oves juxta fluvium
Procul Æmoniâ, terreſtribus commiſit Nymphis
Quæ Libyam colebant, prope Myrtoſium verticem.
Ibidem Ariſtæum Phœbo peperit, quem vocant
Agreſtem et paſtoralem divites ſegetum Æmonienſes.
Hanc igitur præ amore Deus fecit ſponſam
Suam longævam et venatricem; filium verò tranſtulit
Infantulum, Chironis in antris educandum;
Cui et adulto Deæ nuptias paciſcebantur
Muſæ, artemque medicam et divinandi edocuerunt;

506. Αἱμονίης] τῆς Θεσσαλίας, ἀπὸ Αἵμονος, υἱοῦ Ἄρεως. Χθονίαις. ταῖς ἐγχωρίαις. Schol.

507. Μυρτώσιον] τόπος ἢ ἄκρα περὶ Κυρήνην. Schol.

Ibid. Μυρτώσιον αἶπος. Mons Libyæ. Nomen loci Μυρτοῦσα, vel Μυρτοῦσσα, ut poſtremum apud Stephanum legitur. Unde pro Μυρτοῦσα dixit Apollonius Μυρτῶσα, ſicut vulgo ω et ω pro ου apud Doras. Sic Κόλχως pro Κόλχους Theoc. Idyll. ιγ'. v. ult. et γαυλῶς pro γαύλους. Id. ε'. 58.

509. Ἀγρέα καὶ νόμιον] τὸ μὲν, ὅτι ἐν ἄγρᾳ ἐμίγη τῇ μητρὶ αὐτοῦ ὁ Ἀπόλλων· νόμιον δὲ, ὅτι νεμούσῃ ἐμίγη. οἱ δὲ, ὅτι τὴν κατὰ τοὺς ἀγροὺς θεραπείαν τοῖς νομεῦσιν εἰσηγήσατο. Schol.

Ibid. Ἀγρέα καὶ νόμιον.

ἄγχιστον ὀπάονα μήλων
ΑΓΡΕΑ ΚΑΙ ΝΟΜΙΟΝ
τοῖσδ' Ἀρισταῖον καλεῖν.

Pind. Pyth. IX.

511. Μακραίωνα] πολυχρόνιον. Ἀγρότιν. τὴν Κυρήνην, ὅτι φιλοκύνηγος ἦν. Schol.

514. Ἀκεστορίην τε] ὑπὸ Μουσῶν γὰρ

Καὶ

Καί μιν ἑῶν μήλων θέσαν ἤρανον, ὅσσ' ἐνέμοντο
Ἀμπεδίον Φθίης Ἀθαμάντιον, ἀμφί τ' ἐρυμνὴν
Ὄθρυν, καὶ ποταμοῦ ἱερὸν ῥόον Ἀπιδανοῖο.
Ἦμος δ' οὐρανόθεν Μινωΐδας ἔφλεγε νήσους
Σείριος, οὐδ' ἐπὶ δηρὸν ἔην ἄκος ἐνναέτῃσιν·
Τῆμος τόν γ' ἐκάλεσσαν ἐφημοσύνης Ἑκάτοιο
Λοιμοῦ ἀλεξητῆρα· λίπεν δ' ὅγε πατρὸς ἐφετμῇ
Φθίην· ἐν δὲ Κέῳ κατενάσσατο λαὸν ἀγείρας
Παῤῥάσιον· τοί πέρ τε Λυκάονός εἰσι γενέθλης
Καὶ βωμὸν ποίησε μέγαν Διὸς Ἰκμαίοιο·

Ipſumque ovibus ſuis cuſtodem præpoſuerunt, quotquot paſtæ erant
Per campum Phthiæ Athamantium, circaque opacum
Othryn, et fluvii pulchra fluenta Apidani.
Quando autem de cœlo Minoidas torrebat inſulas
Sirius, neque diu erat aliquod remedium inhabitantibus,
Tunc ſane ipſum invocârunt, ex monitis Apollinis
Famis depulſorem; reliquit autem ille patris præcepto
Phthiam, et in Ceum tranſtulit ad habitandum quem congregârat
Arcadicum populum; qui quidem ſunt ex genere Lycaonis;
Et templum ædificavit ingens, Jovis Icmæi;

αὐτὸν τὴν ἰατρικὴν καὶ τὴν μαντικὴν δεδιδάχθαι φησί. καὶ αὐτὸς γάμοι Αὐτονόην ταῖς δηλαδή, τὴν Κάδμου θυγατέρα. Schol.

515. Θέσαν ἤρανον] Καὶ τῶν ἰδίων ποιμνίων προστάτην αὐτὸν ἐποίησαν αἱ Μοῦσαι. Schol.

516. Ἀθαμάντιον] πεδίον οὕτω καλούμενον περὶ τὴν Ἄλον. κατῴκησε γὰρ Ἀθάμας ἐν Ἄλῳ τῇ νήσῳ, τῆς βασιλείας ἐξελθών. Ὄθρυς, ὄρος Θεσσαλίας ὑψηλόν. καὶ ὁ Ἀπιδανὸς δὲ, ποταμὸς Θεσσαλίας. Schol.

518. Μινωΐδας] τὰς Κυκλάδας φησίν, ἐπεὶ Μίνως, Κρὴς ὤν, ἐβασίλευσε τῶν νήσων θαλασσοκρατῶν, τοὺς Κᾶρας ἐξελάσας. Schol.

519. Σείριος] ἤτοι παρὰ τὴν ζέσιν, ζείριος, καὶ σείριος· ἢ παρὰ τὸ ἐκκινεῖν ἡμᾶς ἱδρῶσι ῥεομένους. σειροῦν γάρ, τὸ κενοῦν. ἢ τοῦ σεσηρέναι αἴτιος. τοὺς γοῦν κύνας διασεσηρέναι καὶ χάσκειν ποιεῖ. ἢ παρὰ τὸ σείειν καὶ πάλλειν. ὁμοίως δὲ καὶ πάντα τὰ ἄστρα σείρια λέγοιντο, οἱονεὶ τείρεα τινὰ ὄντα· ἢ διὰ τὸ τείρειν, τὸ δαμάζειν· ἢ ὅτι τέρατα ἐστίν, καὶ σημεῖα τῶν πλοϊζομένων. οἱ μέντοι ἀστρολόγοι τοὺς ἐν κινήσει ἀστέρας ὄντας, στίλβοντας καλοῦσιν. εἶναι δὲ τὸ ἄστρον, οἱ μὲν, τοῦ Ὠρίωνος κυνός· οἱ δέ, τῆς Ἴσιδος· οἱ δέ, Κεφάλου. ὁ δὲ Τιμοσθένης κύριον ὄνομα εἶναι φησί. Schol.

523. Παῤῥάσιον] Παῤῥάσιον λαὸν. τὸν Ἀρκαδικόν. ἀπὸ μιᾶς Ἀρκαδικῆς πόλεως, καλουμένης Παῤῥασίας. Schol.

524. Διὸς ἰκμαίοιο] ἕνεκα τῆς ἰκμάδος. ἐν τῇ Κῷ δέ ἐστιν ἱερὸν Διὸς ἰκμαίου, τουτέστι διύγρου. ἐπεὶ αἴτιος γέγονε τῆς πνοῆς τῶν ἀνέμων. Schol.

Ἱερά

Ἱερά τ' εὖ ἔρρεξεν ἐν οὔρεσιν ἀστέρι κείνῳ
Σειρίῳ, αὐτῷ τε Κρονίδῃ Διΐ· τοῖο δ' ἕκητι
Γαῖαν ἐπιψύχουσιν Ἐτήσιοι ἐκ Διὸς αὖραι
Ἤματα τεσσαράκοντα. Κέῳ δ' ἔτι νῦν ἱερῆες
Ἀντολέων προπάροιθε κυνὸς ῥέζουσι θυηλάς.
Καὶ τὰ μὲν ὡς ὑδέονται. Ἀριστῆες δὲ κατ' αὖθι
Μίμνον ἐρυκόμενοι· ξεινήια δ' ἄσπετα Θυνοὶ
Πάντημαρ Φινῆϊ χαριζόμενοι προΐαλλον.
Ἐκ δὲ τόθεν μακάρεσσι δυώδεκα δωμήσαντες
Βωμὸν ἁλὸς ῥηγμῖνι πέρην, καὶ ἐφ' ἱερὰ θέντες,

Sacraque ritè fecit in montibus ſtellæ illi
Sirio, et ipſi Jovi Saturnio: ob eam verò cauſam
Terram refrigerant Eteſiæ a Jove auræ
Dies quadraginta: Ceoque etiamnum ſacerdotes
Ante ortum canis, peragunt ſacra.
Et hæc quidem ſic cantantur. Optimates autem ibi
Manebant detenti; donaque hoſpitalia largiter Thynii
Singulis diebus Phineo gratificantes, afferebant.
Exinde verò, Diis duodecim exſtructâ
Arâ, maris in litore ulteriore, ac ſacris impoſitis,

526. Τοῖο δ' ἕκητι] ἤγουν τοῦ Διὸς χάριν. Schol.

528. Ἤματα τεσσαράκοντα] τὰς τῶν Ἐτησίων ἀνέμων ἡμέρας, οἱ μὲν, τεσσαράκοντα, ἄλλοι δὲ, πεντήκοντα φασὶν, ὡς Τιμοσθένης. ἄρχονται δὲ πνεῖν, ὄντος τοῦ ἡλίου ἐν τῷ τοῦ καρκίνου τέλει. πνέουσι δὲ δι' ὅλου τοῦ λέοντος, καὶ λήγουσιν ἐν τῇ δι μοίρᾳ τῆς παρθένου. Κέῳ δ' ἔτι νῦν. ἐνομοθέτησε γὰρ τοῖς Κώοις κατ' ἐνιαυτὸν μεθ' ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ Κυνὸς, καὶ θύειν αὐτῷ. ὅθεν οἱ Ἐτησίαι πνέουσι, καταψύχοντες τῷ ἀέρι τὴν γῆν· καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ Ἕλληνες. Schol.

530. Ὑδέονται] ἀντὶ τοῦ ᾄδονται καὶ λέγονται. Schol.

531. Ἐρυκομένους] κωλυομένους, τοὺς Ἀργοναύτας, διὰ τοὺς Ἐτησίας. ὑπάρχουσι γὰρ ἐναντίοι οἱ Ἐτησίαι τοῖς ἐκπλέουσι τὸν Πόντον, ὄντες Βορραῖ κατ' ἐκείνους τοὺς τόπους· ὥσπερ ἐπὶ τῆς Ἑλλάδος ἐναντίοι εἰσὶν οἱ Ζέφυροι. Schol.

533. Ἐκ δὲ τόθεν] ἤγουν μετὰ ταῦτα. Schol.

534. Βωμὸν ἁλὸς ῥηγμῖνι πέρην] ἐν δὲ τῷ πέραν (φησὶν) αἰγιαλῷ τῆς Ἀσίας διαπλεύσαντες, ἐπ' αὐτὸν βωμὸν τοῖς δώδεκα θεοῖς ἐδομήσαντο. καὶ ἔθηκαν ἐπ' αὐτῷ, ἱερὰ, τοῦτ' ἔστι καλλιέρησαν. φανερὸν οὖν ἐστιν ἐν τῇ Εὐρώπῃ. καὶ γὰρ ἔτι καὶ νῦν ἱερόν ἐστιν οὕτω καλούμενον ἐν τῷ πέραν τῆς Εὐρώπης τῆς Ἀσιάδος. Δημοσθένης δέ φησι τοὺς μὲν Φρίξου παῖδας, βωμοὺς δώδεκα ἱδρύσασθαι τῶν θεῶν· τοὺς δὲ Ἀργοναύτας, τοῦ Ποσειδῶνος. Ἡρόδωρος δὲ ἐπὶ τοῦ βωμοῦ φησὶ τεθηκέναι τοὺς Ἀργοναύτας, ἐφ' οὗ

Νῆα θοὴν εἴσβαινον, ἐρεσσέμεν· οὐδὲ πελείης
Τρήρωνος λήθοντο μετὰ σφίσιν· ἀλλ' ἄρα τήνγε
Δήματι πεπληγυῖαν ἑῇ φέρε χειρὶ μεμαρπὼς
Εὔφημος· γαίης δ' ἀπὸ διπλόα πείσματ' ἔλυσαν.
Οὐδ' ἄρ' Ἀθηναίην προτέρω λάθον ὁρμηθέντες.
Αὐτίκα δ' ἐσσυμένως νεφέλης ἐπιβᾶσα πόδεσσι
Κούφης, ἥ κε φέροι μιν ἄφαρ βεβαρήν περ ἐοῦσαν,
Σεῦατ' ἴμεν Πόντονδε, φίλα φρονέουσ' ἐρέτῃσιν.
Ὡς δ' ὅτε τὶς πάτρηθεν ἀλώμενος (οἷά τε πολλὰ
Πλαζόμεθ' ἄνθρωποι τετληότες) οὐδέ τις αἶα
Τηλουρὸς, πᾶσαι δὲ κατόψιοι εἰσὶ κέλευθοι·

Navem celerem ingreffi funt, ad remigandum, nec columbæ
Pavidæ obliti fecum fuerunt; fed eam
Vinculo inhærentem fuâ geftabat manu tenens,
Euphemus: et a terrâ duplicia retinacula folverunt.
Nec fane Minervam latuit, eos ulterius progreffos effe.
Cum fummâ autem feftinatione, nube pedibus confcenfâ
Levi, quæ ipfam properè ferret gravem licèt exiftentem,
Impetum fecit ad Pontum eundi, bene volens navigantibus.
Sicut autem quando aliquis a patriâ vagatus, (ut fæpe
Vagamur homines laboris patientes) nulla autem terra
Longè eft diffita, fed omnes in confpectu funt viæ,

Ἄργος ὁ Φρίξου ἐπανιὼν ἐπεθύκει. εἰσὶ δὲ οἱ δώδεκα θεοὶ οὗτοι, Ζεὺς, Ἥρα, Ποσειδῶν, Δημήτηρ, Ἑρμῆς, Ἥφαιστος, Ἀπόλλων, Ἄρτεμις, Ἑστία, Ἄρης, Ἀφροδίτη, καὶ Ἀθηνᾶ. Schol.

535. Οὐδὲ πελείης] οὐκ ἐπελάθοντο δὲ τῆς περιστερᾶς. τὸ ἑξῆς, ἀλλ' ἐν τῇ χειρὶ εἶχεν ὁ Εὔφημος. Schol.

537. Δήματι] γράφεται καὶ δείματι· τὸ μὲν διὰ τοῦ η, τὸν δεσμὸν σημαίνει· τὸ δὲ διὰ διφθόγγου, τὸν φόβον. Schol.

543. Ὡς δ' ὅτε τὶς] εἴρηται ἡ παραβολὴ παρὰ τὸ Ὁμηρικόν. "Ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος." ὁ δὲ νοῦς, ὥσπερ δὲ ὅταν τις ἀπὸ τῆς πατρίδος πλανώμενος (οἷα πολλάκις συμβαίνει τοῖς ἀνθρώποις) τοὺς ἰδίους τῇ διανοίᾳ ἐθεάσατο οἴκους, οὐδὲ τὸ μεταξὺ διάστημα πολὺ αὐτῷ φαντασιοῦται εἶναι, ἀλλὰ καὶ πάσας καταφανεῖς ὁδοὺς ἅμα τε τοῖς εἰρημένοις ἢ εἰς τὰ οἰκεῖα ὁδὸς ἥ τε διὰ γῆς καὶ θαλάσσης ὑποφαίνεται αὐτῷ, καὶ ἄλλοθι ἄλλην ἐκ τοῦ τόπου ἐν ᾧ ἐστὶν ἐπέρχεται, καὶ ταχέως ἐν κινήσει ὀξείᾳ τὴν διάνοιαν ἔχων· οὕτω ταχέως διῆλθεν ἡ Ἀθηνᾶ τὴν μεταξὺ χώραν, καὶ παρεγένετο ἐπὶ τὰς Κυανέας πέτρας. Τὸ ἀλώμενος, εἰς τὸ ἐνόησεν ἀναφέρειν δεῖ. ἐν δὲ τῷ, πλαζόμεθα τετληότες, μετάθεσιν ποιητέον. οἷον, πλαζόμενοι τέτλαμεν. ἐν δὲ τῷ, οὐδέ τις αἶα, τὸ διάστημα δηλοῖ. Schol.

544. Οὐδέ τις αἶα] οὐδὲν αὐτῷ πολὺ πάσης διάστημα γῆς φαίνεται. Schol.

Σφωϊτέρους

Σφωϊτέρους δ' ἐνόησε δόμους· ἄμυδις δὲ κέλευθος
Ὑγρή τε τραφερή τ' ἰνδάλλεται, ἄλλοτε δ' ἄλλη
Ὀξέα πορφύρων ἐπιμαίεται ὀφθαλμοῖσιν·
Ὣς ἄρα καρπαλίμως κούρη Διὸς ἀΐξασα,
Θῆκεν ἐπ' Ἀξείνοιο πόδας Θυνηΐδος ἀκτῆς.
Οἱ δ' ὅτε δὴ σκολιοῖο πόρου στεινωπὸν ἵκοντο,
Τρηχείῃς σπιλάδεσσιν ἐεργμένον ἀμφοτέρωθεν,
Δινήεις δ' ὑπένερθεν ἀνακλύζεσκεν ἰοῦσαν
Νῆα ῥόος, πολλὸν δὲ φόβῳ προτέρωσε νέοντο·
Ἤδη δέ σφισι δοῦπος ἀρασσομένων πετράων
Νωλεμὲς οὔατ' ἔβαλλε, βόων δ' ἁλιμυρέες ἀκταί·

Suas verò ædes animo lustravit; simulque iter
Humidum siccumque apparet; ipse nunc huc, nunc illuc
Arctius res animo versans celeriter inquirit oculis;
Æquè velociter Jovis filia prorupta,
Posuit in Euxini pedes Thyneo litore.
Illi verò, quando ad vadi tortuosi angustias pervenissent,
Asperis scopulis utrinque circum munitas,
Subtus verò vorticosus retro inhiberet euntem
Navem fluxus; multâque formidine ulterius contenderent,
Jamque ipsis mutuò illisorum sonitus saxorum
Crebrò aures feriret, reboarentque mari circumluta litora;

546. Σφωϊτέρους] κοινῶς ἐχρήσατο τῷ σφωϊτέρους. ἔδει γὰρ εἰπεῖν σφετέρους. τὸ δὲ, ἐνόησε δόμους, ἀντὶ τοῦ, διανοίᾳ τοὺς ἰδίους οἴκους ἐθεάσατο. Schol.

547. Ὑγρή τε τραφερή τ' ἰνδάλλεται] Ὑγρὴν κέλευθον Ὁμηρικῶς τὴν διὰ θαλάσσης νοεῖ, τραφερὴν δὲ τὴν διὰ ξηρᾶς. Schol.

548. Ὀξέα πορφύρων] πορφύρειν λέγεται τὸ μὴ ἐξ ἐπιπολῆς, ἀλλὰ κατὰ βάθους τι μεριμνᾷν. ἀπὸ τῆς πορφύρας τῆς ἐν βαθεῖ τῆς θαλάσσης εὑρισκομένης. Schol.

550. Ἀξείνοιο] τὸν Εὔξεινον πόντον φησὶν, οἱονεὶ κακόξεινον. τοῦ α σημαίνοντος τὸ κακόν. πρότερον μὲν γὰρ ὑπὸ λῃστῶν πειρατευόμενος, Ἄξεινος ἐκαλεῖτο· καθαρθεὶς δὲ, Εὔξεινος τὸ μετὰ ταῦτα ἐκλήθη. Schol.

552. Ἐεργμένον] παράγεται μὲν ἀπὸ τοῦ ἔργω, τὸ κωλύω· σημαίνει δὲ ὅμως καὶ τὸ περιπεφραγμένον, ὡς ἐνταῦθα. Schol.

553. Δινήεις δ' ὑπένερθεν] ὁ ῥοῦς (φησὶ) δίνας καὶ συστροφὰς ἔχων ῥευμάτων, ἀνέκοπτε τὴν ναῦν· καὶ πολὺ εἰς τοὔμπροσθεν προελθεῖν μετὰ φόβου. Schol.

555. Ἀρασσομένων] ἀντὶ τοῦ, συγκρουομένων ἀλλήλαις. οὕτω δὲ ἀναγινώσκεται καὶ τὸ, θυρῶν ἀρασσομένων. Schol.

556. Νωλεμὲς] συνεχές. Ἁλιμυρέες ἀκταὶ, αἱ ὑπὸ θαλάσσης περιρρεόμεναι, ἢ περιῤῥαντόμεναι. Schol.

Δὴ τότ' ἔπειθ' ὁ μὲν ὦρτο πελειάδα χειρὶ μεμαρπὼς
Εὔφημος πρώρης ἐπιβήμεναι· οἱ δ' ὑπ' ἀρωγῇ
Τίφυος Ἀγνιάδαο θελήμονα ποιήσαντο
Εἰρεσίην, ἵν' ἔπειτα δι' ἐκ πέτρας ἐλάσειαν,
Κάρτεϊ ᾧ πίσυνοι. Τὰς δ' αὐτίκα λοίσθιον ἄλλων
Οἰγομένας, ἀγκῶνα περιγνάμψαντες, ἴδοντο.
Σὺν δέ σφιν χύτο θυμός. Ὁ δ' ἀΐξαι πτερύγεσσιν
Εὔφημος προέηκε πελειάδα· τοὶ δ' ἅμα πάντες
Ἤειραν κεφαλὰς ἐσορώμενοι· ἡ δὲ δι' αὐτῶν
Ἔπτατο· ταὶ δ' ἄμυδις πάλιν ἀντίαι ἀλλήλῃσιν
Ἄμφω ὁμοῦ ξυνιοῦσαι ἐπέκτυπον· ὦρτο δ' ἡ πολλὴ
Ἅλμη ἀναβρασθεῖσα νέφος ὥς· αὖε δὲ πόντος
Σμερδαλέον· πάντη δὲ περὶ μέγας ἔβρεμεν αἰθήρ.
Κοῖλαι δὲ σπήλυγγες ὑπὸ σπιλάδας τρηχείας

Tunc ſane excitatus eſt columbam manù tenens
Euphemus in proram aſcendere; alii autem auxilio
Tiphyos Agneo ſati, promptam urſerunt
Remigationem, ut navem per petras agerent
Suis viribus freti: illaſque ſtatim, noviſſimè cæterorum
Apertas, poſtquam petrarum ſinus circumnavigâſſent, conſpexerunt.
Ipſis autem effuſüs eſt animus: ut verò alis prorumperet,
Euphemus præmiſit columbam, et illi ſimul omnes
Suſtulerunt capita viſendi ſtudio: hæc inter eas
Volavit; quæ ſtatim rurſus adverſæ mutuò
Ambæ unà concurrentes fragorem ediderunt, et excitatum eſt multum
Salſuginis rebullientis, nubis inſtar; reſonuitque pontus
Horrendum; paſſim etiam ingens remugiit æther.
Cavæ inſuper ſpeluncæ ſub ſaxis aſperis

559. Θελήμονα] πρόθυμον καὶ ἐπιτεταμένην. οὐ γὰρ τὴν ἡσύχιον ἐνταῦθα σημαίνει. Schol.

560. Τὰς δ' αὐτίκα] τοῦτο ἔφη ἐπεὶ περιφερὲς ἦν συνειχθῆναι αὐτὰς, ἂν διέλθῃ αὐτῶν ἡ ναῦς. Schol.

564. Προέηκε πελειάδα] ὅτι διὰ πελειάδας ἐπείρασαν οἱ Ἀργοναῦται τὰς Συμπληγάδας, καὶ Ἀσκληπιάδης ἱστορεῖ ἐν δευτέρῳ τραγῳδουμένων. Schol.

570. Σπήλυγγες] αἱ κοιλάδες αἱ ὑπὸ τὰς πέτρας. Schol.

Κλυζούσης

Κλυζούσης ἁλὸς ἔνδον ἐσμαράγησαν· ὑψόθι δ' ὄχθης
Λευκὴ καγχλάζοντος ἀνέπλυε κύματος ἄχνη.
Νῆα δ' ἔπειτα πέριξ εἴλει ῥόος· ἄκρα δ' ἔκοψαν
Οὐραῖα πτερὰ ταί γε πελειάδος· ἡ δ' ἀπόρουσεν
Ἀσκηθής· ἐρέται δ' ἐμέγ' ἴαχον· ἔβραχε δ' αὐτὸς
Τῖφυς ἐρεσσέμεναι κρατερῶς· οἴγοντο γὰρ αὖθις
Ἄνδιχα· τοὺς δ' ἐλάοντας ἔχεν τρόμος, ὄφρα μιν αὖτις
Πλημμυρὶς παλίνορσος ἀνερχομένη κατένεικεν
Εἴσω πετράων· τότε δ' αἰνότατον δέος εἷλε
Πάντας· ὑπὲρ κεφαλῆς γὰρ ἀμήχανος ἦεν ὄλεθρος.
Ἤδη δ' ἔνθα καὶ ἔνθα διὰ πλατὺς εἴδετο πόντος.
Καί σφισιν ἀπροφάτως ἀνέδυ μέγα κῦμα πάροιθεν,

Ab æſtuante mari intus murmurârunt, inque ſummum litoris
Alba cachinnantis undæ ſeſe emiſit ſpuma.
Navem autem deinde circumegit fluctus, ſummaſque ſecuerunt
Caudatas *petræ* pennas columbæ; ipſa tamen evaſit
Incolumis; remiges verò magnum clamârunt, ipſeque vociferavit
Tiphys ſtrenuè remigarent; nam iterum aperiebantur
Bifariàm: ipſos autem remigantes corripuit terror, donec
Æſtus reciproco lapſu rediens, navem promovit
Intra rupes: tnnc verò maximus terror invaſit
Omnes; ſuper caput enim erat inevitabile exitium.
Jamque hinc et illinc latus proſpiciebatur pontus;
Ipſiſque improviſo oborta eſt immanis unda ex adverſo,

571. Ἐσμαράγησαν] ἤχησαν. ὅθεν καὶ βομβύλη, εἶδος μελίσσης. καὶ ποτηρίου δὲ εἶδος ὡς Ἀντισθένης παραδίδωσιν. ἔστι δὲ τοῦτο στενοτράχηλον. Schol.

572. Καγχλάζοντος] Ποιὸν ἦχον ἀποτελοῦντος. περιέκλυζε τὰς ἐφ' ὕψους ἀκτὰς τοῦ κύματος ἀφρός. Schol.

573. Νῆα δ' ἔπειτα] περιῆγε δὲ τὴν ναῦν καὶ περιέστρεφεν ὁ ῥοῦς. Εἴλει, περιέστρεφε. Schol.

574. Οὐραῖα πτερὰ ταί γε] αὗται ἔκοψαν τὰ ἄκρα τῆς οὐρᾶς πτερά. Schol.

578. Πλημμυρὶς] καὶ πλήμμυρις, διχῶς. ἄμεινον δὲ πλημμυρίς. τὰ γὰρ ἀπὸ βαρυτόνων ῥημάτων θηλυκὰ ὀνόματα εἰς ις ὀξύνεται. βασιλεύω, βασιλίς· πλημμύρω, πλημμυρίς. Κατένεικε. κατήνεγκε τὴν ναῦν εἴσω τῶν πετρῶν. Schol.

581. Ἤδη δ' ἔνθα καὶ ἔνθα] χωρουμένων δὲ αὐτῶν μεταξὺ τοῦ στενοῦ, ἡ ὀπίσω καὶ ἡ κατόπιν θάλασσα ἐπεφαίνετο. ἢ τὸ ἔνθα καὶ ἔνθα πρὸς τὰ δεξιὰ καὶ ἀριστερὰ τοῦ Πόντου ἀκουστέον. Schol.

582. Ἀπροφάτως] ἀντὶ τοῦ ἀπροοράτως. Schol.

Κυρτὸν,

Κυρτὸν, ἀποτμήγι σκοπιῇ ἴσον· οἱ δ' ἐσιδόντες
Ἤμυσαν λοξοῖσι καρήασιν· εἴσατο γάρ ῥα
Νηὸς ὑπὲρ πάσης κατεπάλμενον ἀμφικαλύψειν.
Ἀλλά μιν ἔφθη Τῖφυς ὑπ' εἰρεσίῃ βαρύθουσαν
Ἀγχαλάσας· τὸ δὲ πολλὸν ὑπὸ τρόπιν ἐξεκυλίσθη.
Ἐκ δ' αὐτὴν πρύμνηθεν ἀνείρυσε τηλόθι νῆα
Πετράων· ὑψοῦ δὲ μεταχρονίη πεφόρητο.
Εὔφημος δ' ἀνὰ πάντας ἰὼν βοάασκεν ἑταίρους
Ἐμβαλέειν κώπῃσιν ὅσον σθένος. Οἱ δ' ἀλαλητῷ
Κόπτον ὕδωρ· ὅσσον δ' ἂν ὑπείκαθε νηῦς ἐρέτῃσι,

In altum tumida, prærupto monti similis, quâ visâ,
Declinârunt illi obliqua capita; videbatur enim
Totam navem illapsu coopertura.
Sed eam anticipavit Tiphys, *navem* remigatione gravatam
Laxans, illa verò multùm sub carinam devoluta est.
Ipsamque a puppi elevavit longè navem
Supra cautes; ita ut in alto sublimis ferretur.
Euphemus autem omnes ambiens inclamavit socios
Ut remis incumberent totis viribus: illi igitur cum clamore
Scindebant aquam; quantum autem obsecuta est remigibus navis,

583. Κυρτὸν, ἀποτμῆγι] ἀνεφαίνη δὲ καὶ ἐπήρχετο αὐτοῖς ἀπροόπτως προφαίνεσθαι ὑψηλὸν καὶ μέγα κῦμα παραπλήσιον ἀπερρηγμένῃ σκοπιῇ, ἤτοι ὄρει. Schol.

584. Ἤμυσαν] ἔκλιναν λοξὰς τὰς κεφαλὰς, ὡς καλυφθησόμενοι ὑπὸ τοῦ κύματος. Schol.

585. Κατεπάλμενον] ὑπεραναβάν. ἀναφέρεται δὲ πρὸς τὸ μέγα κῦμα. Schol.

586. Ἀλλά μιν ἔφθη] προέλαβε δὲ ὁ Τῖφυς βαρυνομένην τὴν ναῦν τῇ εἰρεσίᾳ, ὑποχαλάσας καὶ ἐνδοὺς αὐτῇ, ἢ καταπαύσας τὴν εἰρεσίαν. ἢ βαρυνομένην αὐτὴν αἰσθανόμενος τῇ εἰρεσίᾳ ἀνεχάλασεν. Schol.

Ibid. Ἀλλά μιν ἔφθη. &c. Ordo βαρύθουσαν ὑπ' εἰρεσίῃ (ut Hesiodus ὑπ' αὐτῆς βάρυθε) ἀγχαλάσας, nimirum gubernaculo. Aristoteles in Mechanicis c. 4. docet ὅτι ἡ κώπη μοχλός ἐστι, et ob id maris ponderi aliud pondus addat. Hunc autem Apollonii locum à Virgilio cogitatum existimem, illis in verbis,

*— tum prora avertit, et undis*
*Dat latus, insequitur cumulo præruptus aquæ mons.*

Hœlzlinus.

588. Ἐκ δ' αὐτὴν] οὕτω, φησὶν, ἐξῆρεν τὸ κῦμα τὴν ναῦν, ὡς καὶ ὑπὲρ τὰς πέτρας αὐτὴν γενέσθαι. Schol.

589. Μεταχρονίη] ὅτι μεταχθονίη γράφεται, αἴρεται. σημαίνει δὲ τὴν μετέωρον. Schol.

592. Ὅσσον δ' ἂν ὑπείκαθε] ὁ νοῦς.

Δὶς

Δὶς τόσον ἂψ ἀπόρουσεν· ἐπεγνάμπτοντο δὲ κῶπαι,
Ἠΰτε καμπύλα τόξα, βιαζομένων ἡρώων.
Ἔνθεν δ' αὐτίκ' ἔπειτα κατηρεφὲς ἔσσυτο κῦμα.
Ἡ δ' ἄφαρ, ὥστε κύλινδρος, ἐπέτρεχε κύματι λάβρῳ
Προπροκαταΐγδην κοίλης ἁλός· ἐν δ' ἄρα μέσσαις
Πληγάσι δινήεις εἶχεν ῥόος· αἱ δ' ἑκάτερθε
Σειόμεναι βρόμεον· πεπέδητο δὲ νήϊα δοῦρα.
Καὶ τότ' Ἀθηναίη στιβαρῆς ἀντέσπασε πέτρης
Σκαιῇ, δεξιτερῇ δὲ διαμπερὲς ὦσε φέρεσθαι.
Ἡ δ' ἰκέλη πτερόεντι μετήορος ἔσσυτ' ὀϊστῷ.
Ἔμπης δ' ἀφλάστοιο παρέθρισαν ἄκρα κόρυμβα,

Alterum tantum retrò absiliit, incurvabanturque remi
Non aliter quàm inflexi arcus, summâ vi contendentium heroum.
Inde autem illicò superobruens irruit fluctus:
Sed ipsa, repentè, tanquam cylindrus, procacem transcurrebat fluctum
Antrorsum cum impetu in profundum mare: ita in mediis
Vorticosus eam tenebat fluxus scopulis, qui utrinque
Quassati reboabant; vincta verò sunt navalia ligna.
Et tunc sane Minerva solidâ eam revulsit à rupe
Lævâ manu; dextrâ verò protrusit in procursum:
Illa igitur alatæ instar sublimis erupit sagittæ.
Attamen aplustris absciderunt summas extremitates

ὅσον δὲ ἄλλη ναῦς τῇ εἰρεσίᾳ πειθομένη ὑπεῖξεν ἄν, δὶς τόσον ἡ Ἀργώ· ἵνα διὰ τούτων τὸ τάχος δηλώσῃ τῆς Ἀργοῦς. ἢ οὕτως. ὅσον ἂν εἶξε καὶ ὑπεχώρησε τοῖς ἐρέταις ἡ Ἀργὼ, δὶς τοσοῦτον τῇ παλιῤῥοίᾳ ὑπέστρεφε. διὸ καὶ ἐπιφέρει, ἐπεγνάμπτοντο δὲ, ἠΰτε καμπύλα τόξα, τὸ βίαιον τῆς εἰρεσίας δηλῶν. Schol.

596. Κύλινδρος] κιονίσκος λίθινος στρογγύλος, ἑκατέρωθεν βάσιν ἔχων ἐπίπεδον. Schol.

597. Προπροκαταΐγδην] εἰς τοὔμπροσθεν ἄνωθεν καταφερομένη. Ἐν δ' ἄρα μέσσαις. ἐν δὲ μέσῳ τῶν Συμπληγάδων κατεῖχεν αὐτὴν ὁ ῥοῦς. Schol.

600. Καὶ τότ' Ἀθηναίη] καὶ τότε ἡ Ἀθηνᾶ τῆς πέτρας ἀντελάβετο καὶ κατεῖχε τῇ λαιᾷ, τῇ δὲ δεξιᾷ αὐτὴν ἐξέωσεν διὰ τοῦ Πόντου. ὅμως δὲ τὰ ἀκροστόλια ἐπέκλασαν συνδραμοῦσαι αἱ πέτραι. Schol.

603. Ἀφλάστοιο κόρυμβα] τὰ ἀκροστόλια λέγει. Παρέθρισαν. ἀντὶ τοῦ παρεθέρισαν, κατὰ συγκοπήν. σημαίνει δὲ τὸ ἀποκόψαι. Schol.

Ibid. Ἔμπης δ' ἀφλάστοιο, &c.

Saxa sed extremis tamen increpuere corymbis
Parsque (nefas) deprensa jugis.
Val. Flacc. IV. 691.

Νωλεμὲς ἐμπλήξασαι ἐναντίαι· αὐτὰρ Ἀθήνη
Οὔλυμπόνδ᾽ ἀνόρουσεν, ὅτ᾽ ἀσκηθεῖς ὑπάλυξαν.
Πέτραι δ᾽ εἰς ἕνα χῶρον ἐπισχεδὸν ἀλλήλῃσι
Νωλεμὲς ἐῤῥίζωθεν· ὃ δὴ καὶ μόρσιμον ἦεν
Ἐκ μακάρων, εὖτ᾽ ἄν τις ἰδὼν διὰ νηῒ περάσῃ.
Οἱ δέ που ὀκρυόεντος ἀνέπνεον ἄρτι φόβοιο,
Ἠέρα παπταίνοντες ὁμοῦ, πέλαγός τε θαλάσσης
Τῆλ᾽ ἀναπεπταμένον· δὴ γὰρ φάσαν ἐξ Ἀΐδαο
Σώεσθαι· Τῖφυς δὲ παροίτατος ἤρχετο μύθων.

Multâ vi confligentes *petræ* inter se adversæ: at Minerva
In Olympum emicuit, quando incolumes evaserant.
Petræ autem in unum locum propè invicem
Fortiter firmatæ erant; quod ita erat fatis decretum
Ex Diis, ubi quis per visas nave penetrâsset.
Illi igitur aliquando ab acerrimo respirârunt pavore,
Simul aerem aspectantes, et altum maris
Latè expansum; dicebant enim se ex Orco
Servari: primus verò Tiphys sermonem adortus est.

604. Νωλεμὲς ἐμπλήξασαι] βιαίως συμπεσοῦσαι τὰ ἀκροστόλια ἀπέκοψαν. Schol.

608. Ἰδὼν. Nemo Cyaneas ante Jasonem interius vidit; et ipsæ lib. IV. Flacci, *nondum ullas videre rates.* Hunc igitur in modum Apollonius de Cyaneis egit. Quæ hic appellantur πληγάδες, πέτραι συμπληγάδες, Κυάνεαι πέτραι. Euripidæ dicuntur Κυάνεαι ἀκταὶ, πόντου δισσαὶ συγχωροῦσαι πέτραι, κυάνεαι, συμπληγάδες, κυάνεαι σύνοδοι θαλάσσης, συνδρομάδες πέτραι, δίδυμοι πόντου πέτραι. Simonidæ συνορμάδες. Plutarcho Πλαγκταὶ, quæ diis est consueta appellatio Ulyss. μ΄. hoc est fictitia. Seneca in Medea — *Cum duo montes, claustra profundi, hinc atque illinc subito impulsu, velut æthereo gemerent sonitu, spargeret astra nubesque ipsas mare depressum.* Hæ rupes judicantur, atque adeo in Geographiâ traduntur esse insulæ aut scopuli adversi, quos interlabitur mare vadosum et naufragii periculis plenum. *Cærulea* dicuntur quia vel sunt subnigræ vel marinæ. Juvenalis, *Illic cæruleos, hic piscem fluminis.* Harum concursus vel est intelligendus de scopulorum fragminibus utrinque decidentibus, et fretum magis adhuc angustantibus, vel de latronibus qui utrinque obsederunt transitum, et quasi occluserunt, donec a Jasone essent sublati. Hinc illa fabulæ portenta quæ oscitanti auditori tanquam crustula dantur à poetis, et vulgi oribus solent propagari. Ac verissimè, a Pausania lib. VIII. dictum, homines τοῖς ἀληθέσιν ἐποικοδομεῖν ἐψευσμένα. Moveri tamen insulas testatur Seneca αὐτόπτης, Naturalium quæstionum libro III. Hœlz.

Ἕλπομαι

Ἔλπομαι αὐτῇ νηῒ τόγ' ἔμπεδον ἐξαλέασθαι
Ἡμέας· οὐδέ τις ἄλλος ἐπαίτιος, ὅσσον Ἀθήνη,
Ἥ οἱ ἐνέπνευσεν θεῖον μένος, εὖτέ μιν Ἄργος
Γόμφοισι συνάρασσε· θέμις δ' οὐκ ἔστιν ἁλῶναι.
Αἰσονίδη, τύνη δὲ τεοῦ βασιλῆος ἐφετμὴν,
Εὖτε δι' ἐκ πέτρας φυγέειν θεὸς ἧμιν ὄπασσεν,
Μηκέτι δείδιθι τοῖον· ἐπεὶ μετόπισθεν ἀέθλους
Εὐπαλέας τελέεσθαι Ἀγηνορίδης φάτο Φινεύς.
Ἦ ῥ' ἅμα, καὶ προτέρωσε παραὶ Βιθυνίδα γαῖαν
Νῆα δι' ἐκ πέλαγος σεῦεν μέσον· αὐτὰρ ὁ τόνγε
Μειλιχίοις ἐπέεσσι παραβλήδην προσέειπεν.
Τῖφυ, τί μοι ταῦτα παρηγορέεις ἀχέοντι;
Ἤμβροτον, ἀασάμην τε κακὴν καὶ ἀμήχανον ἄτην.
Χρῆν γὰρ ἐφιεμένοιο καταντικρὺ Πελίαο

Jam equidem credo nos unà cùm ipsâ navi tutos evasisse:
Nec aliquis alius est hujus *salutis* auctor, quàm Minerva,
Quæ ei vim inflavit divinam, quando ipsam Argus
Clavis compingeret: non verò fas est ut vincatur.
Tu verò, Æsonis fili, regis tui mandatum
Quandoquidem Deus nobis petras effugere concesserit,
Haud amplius reformides; quoniam in posterum certamina
Perfectu facilia Agenoris filius cecinit Phineus.
Hæc cum dixisset, ulterius præter Bithyniam terram
Navem per pelagus direxit medium: sed eum ille
Blandis verbis vicissim allocutus est.
Tiphy, cur hæc mihi loqueris dolenti?
Erravi; contraxi calamitatem malam et irreparabilem.
Oportuit enim me, jubenti obstantem Peliæ,

613. Ἔλπομαι αὐτῇ νηῒ] ἤγουν δι' αὐτὴν τὴν ναῦν. ἢ, διὰ τῆς νεὼς αὐτῆς. ἡ λείπει ἡ σύν· ὁ δὲ νοῦς. ἐλπίζω ἤδη σεσῶσθαι ἡμᾶς σὺν αὐτῇ τῇ νηΐ. ἡ δὲ Ἀθηνᾶ, τῆς σωτηρίας αἰτία. ταῦτα δέ φησι παραθαρσύνων αὐτούς. Schol.

617. Αἰσονίδη, τύνη δὲ] ἐπειδὴ, φησὶν, ἅπαξ ἐφύγομεν τὰς πέτρας, μηκέτι εὐλαβοῦ τὸν θάνατον. Schol.

622. Σεῦεν] ἀντὶ τοῦ ἴθυνεν ἐπὶ τὴν Βιθυνίαν τὴν ναῦν. Schol.

624. Παρηγορέεις] ἀντὶ τοῦ παραμυθητικῶς λέγεις. Schol.

626. Χρῆν γὰρ ἐφιεμένοιο] ἀντὶ τοῦ,

Αὐτίκ' ἀνήνασθαι τόνδε στόλον· εἰ καὶ ἔμελλον
Νηλειῶς μελεϊστὶ κε δαιόμενος θανέεσθαι.
Νῦν δὲ περισσὸν δεῖμα καὶ ἀτλήτους μελεδῶνας
Ἔγκειμαι, στυγέων μὲν ἁλὸς κρυόεντα κέλευθα
Νηῒ διαπλώειν, στυγέων δ' ὅτ' ἐπ' ἠπείροιο
Βαίνωμεν· πάντη γὰρ ἀνάρσιοι ἄνδρες ἔασιν.
Αἰεὶ δὲ στονόεσσαν ἐπ' ἤματι νύκτα φυλάσσω,
Ἐξότε τοπρώτιστον ἐμὴν χάριν ἠγερέθεσθε,
Φραζόμενος τὰ ἕκαστα· σὺ δ' εὐμαρέως ἀγορεύεις,
Οἶον ἑῆς ψυχῆς ἀλέγων ὕπερ· αὐτὰρ ἔγωγε
Εἶο μὲν οὐδ' ἠβαιὸν ἀτύζομαι, ἀμφὶ δὲ τοῖο

Statim hanc recuſâſſe expeditionem, etſi eſſem
Crudeliter et membratim diſſectus, interimendus.
Nunc autem mihi permultus timor, et intolerabiles curæ
Incumbunt, qui formidem horrendas maris vias
Nave metiri, qui formidem etiam quoties in terram
Egrediamur; undiquaque enim iniqui ſunt homines.
Semper autem gemebundam, exacto die, noctem traduco,
Ex quo primùm tempore meâ gratiâ coiiſtis,
In animo verſans ſingula: tibi facile eſt concionari,
Qui tuæ duntaxat animæ curam geris; at ego
De meipſo nec vel minimùm ſolicitus ſum, ſed pro hoc,

ἐπιστάτιον ὄν. τὸ δὲ χρεῶ, ῥῆμά ἐστι. παρ' αὐτὸ γὰρ καὶ ὄνομα πίπτει τὸ χρεία· ὡς παρὰ τὸ δρῶ, δρᾶμα, ἐπίρρημα γὰρ οὐ δύναται εἶναι· ὅτι ἀπὸ ἐπιῤῥήματος οὐ χηματίζεται ὄνομα. Schol.

628. Δαιόμενος] διακοπτόμενος, μεριζόμενος. Schol.

629. Ἀτλήτους μελεδῶνας] ἀνυποστάτους μερίμνας ἔχω, ἀνυπομονήτους καὶ μεγάλας, Schol.

630. Στυγέων] ἀντὶ τοῦ δεδοικώς. καὶ Ὅμηρος. "τά τε στυγέουσι θεοί περ." καὶ αὖθις. "τόν τε στυγέουσι καὶ ἄλλοι." Schol.

Ibid. Ἔγκειμαι δεῖμα, ut Lucianus ἐπίκειμαι ἄχθος. Flor. ἄγχειμαι.

633. Αἰεὶ δὲ στονόεσσαν] ἀεὶ ἀπὸ τῆς ἡμέρας καὶ διὰ νυκτὸς τὰς τύχας ὀδύρομαι. Ὅμηρος. "νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις." Schol.

635. Σὺ δ' εὐμαρέως] εὐχερῶς. ὅθεν καὶ εὐμαρὶς, εἶδος ὑποδήματος, ᾧ εὐχερῶς ἐχρῶντο. Schol.

636. Ἑῆς ψυχῆς] ἀντὶ τοῦ ἑαυτοῦ ζωῆς] Schol.

637. Εἷο] ἀντὶ τοῦ ἐμεῖο. τρίτον πρόσωπον ἀντὶ πρώτου. βούλεται δὲ λέγειν, ὅτι ἐμαυτοῦ οὐδὲ τὴν τυχοῦσαν ποιοῦμαι φροντίδα, περὶ δὲ σοῦ, καὶ τοῦδε καὶ τῶν ἄλλων δέδια. Ἰδίως δὲ ἠβαιὸν, τὸ διὰ σμικρότητα βάσιν μὴ ἔχον, ἄβαιόν τι ὄν. Schol.

Καὶ

Καὶ τοῦ ὁμῶς, καὶ σεῖο, καὶ ἄλλων δείδι' ἑταίρων,
Εἰ μὴ ἐς Ἑλλάδα γαῖαν ἀπήμονας ἄμμε κομίσσω.
Ὣς φάτ', ἀριστήων πειρώμενος· οἱ δ' ὁμάδησαν
Θαρσαλέοις ἐπέεσσιν· ὁ δὲ φρένας ἔνδον ἰάνθη
Κεκλομένων· καί ῥ' αὖτις ἐπιῤῥήδην μετέειπεν.
Ὦ φίλοι, ὑμετέρῃ ἀρετῇ ἔνι θάρσος ἀέξω.
Τοὔνεκα νῦν οὐδ' εἴ κε δι' ἀΐδαο βερέθρων
Στελλοίμην, ἔτι τάρβος ἀνάψομαι, εὖτε πέλεσθε
Ἔμπεδοι ἀργαλέοις ἐνὶ δείμασιν· ἀλλ' ὅτε πέτρας
Πληγάδας ἐξέπλωμεν, ὀΐομαι οὐκ ἔτ' ὀπίσσω
Ἔσσεσθαι τοιόνδ' ἕτερον φόβον· εἰ ἐτεόν γε
Φραδμοσύνῃ Φινῆος ἐπισπόμενοι νεόμεσθα.
Ὣς φάτο· καὶ τοίων μὲν ἐλώφεον αὐτίκα μύθων,
Εἰρεσίῃ δ' ἀλίαστον ἔχον πόνον· αἶψα δὲ τοίγε

Pro illo, pro te, aliisque timeo sociis,
Ne in Græciam terram incolumes vos reportem.
Hæc dixit ille, tentans principes; qui infremuerunt
Animosis verbis: ille autem animo intimo exhilaratus est
Acclamantibus iis, et rursus apertè locutus est.
O amici, in vestrâ virtute fiduciam colloco;
Quapropter hunc, ne si per Orci voragines
Mitterer, amplius pavorem induam, quandoquidem sitis
Firmi in operosis periculis: sed petris
Plegadibus enavigatis, opinor haud amplius in posterum
Fore aliud tale formidolosum periculum, si modò verè
Observato Phinei consilio, tendamus iter.
Sic locutus est; et à talibus statim destiterunt sermonibus,
Remigando verò indesinentem exercuerunt laborem; et ocyus illi

640. Οἱ δ' ὁμάδησαν] ὁμοῦ ἀνεφώνησαν, θαῤῥύνοντες αὐτόν. ὅμαδος δὲ, παρὰ τὸ ὁμοῦ ᾄδειν, ὁμάδος τις ὤν. Schol.
642. Ἐπιῤῥήδην] φανερώτερον, παῤῥησιαστικώτερον. οἱονεὶ ἀναφανδόν. Schol.

645. Τάρβος ἀνάψομαι] τὸ φόβον ἐνδεθήσομαι σημαίνει. Schol.
651 Αἶψα δὲ τοίγε] ταχέως δὲ κατέλαβον τὸν τε Ῥήβαο καὶ τὸν τοῦ Ῥήβα σκόπελον, αἰγιαλώδη ὄντα. Schol.

Ῥήβαν, ὠκυρόην ποταμὸν, σκόπελόν τε Κολώνης,
Ἄκρην δ' οὐ μετὰ δηθὰ πάρεξ ἐνέοντο μέλαιναν.
Τῆδ' ἄρ' ἔπι προχοὰς Φυλληΐδας, ἔνθα πάροιθε
Διψακὸς υἷ' Ἀθάμαντος ἑοῖς ὑπεδέξατο δόμοισιν,
Ὁππόθ' ἅμα κριῷ φεῦγεν πόλιν Ὀρχομενοῖο.
Τίκτε δέ μιν Νύμφη λειμωνιὰς, οὐδέ οἱ ὕβρις
Ἥνδανεν· ἀλλ' ἐθελημὸς ἐφ' ὕδασι πατρὸς ἑοῖο
Μητέρι συνναίεσκεν ἐπάκτια πώεα φέρβων.
Τοῦ μέν θ' ἱερὸν αἶψα καὶ εὐρείας ποταμοῖο
Ἠϊόνας, πεδίον τε, βαθυῤῥείοντά τε Κάλπιν

Rhebam rapidum fluvium, ſcopulumque Colonæ,
Et paulo poſt promontorium præterlegerunt nigrum.
Poſt hoc oſtia Phyllidis, ubi olim
Dipſacus filium Athamantis ſuis recepit in ædibus,
Quando unà cum ariete urbem fugeret Orchomeni.
Hunc ſane peperit Nympha pratenſis, nec illi flagitium
Placebat; quare volens ad patris ſui aquas
Cum matre habitavit, in litore paſcens oves.
Illius quidem citò ſanum, et latas fluvii
Ripas, campumque, nec non profundum Calpim

652. Κολώνης] Κολώνη δὲ, οὕτω ἄκρα καλουμένη περὶ τὸν Λύκον ποταμόν. μέμνηται αὐτῆς Νύμφις ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Ἡρακλείας. Schol.

653. Ἄκρην, &c.

*—— nigrantia quam jam*
*Litora, longinquique exirent flumina Rhebæ.*
Val. Flacc. IV. 697.

ubi Bermannus, "*nigrantia* rectè. Erat enim ibi promontorium *nigrum*, quod ἄκρην μέλαιναν vocat *Apollonius*. *Orpheus* v. 711. μέλαιναν ΑΚΤΗΝ. Unde et forte ΑΚΤΗΝ reſcribi poſſet apud Apollonium. Conjicio verò promontorium *nigrum* a ſylvâ et arboribus dictum, ut *nigri* colles Arcadiæ, Hor. et paſſim ſylvæ *atræ* et *nigræ* dicuntur.

654. Προχοὰς Φυλληΐδας] Φύλλις, ποταμὸς Βιθυνίας. Schol.

655. Διψακὸς] υἱὸς τοῦ Φύλλιδος καὶ Νύμφης τινὸς ἐγχωρίου· ὃς Φρίξον τὸν Ἀθάμαντος ἐξένισεν ἐπὶ τοῦ κριοῦ, ὅτε ἐξέφυγε τὸν θάνατον, μέλλων σφαγιάζεσθαι.

Υἷ' Ἀθάμαντος. τὸν Φρίξον ὑπεδέξατο ὁ Διψακὸς εἰς Κόλχους πορευόμενον. φασὶ δὲ ἐκεῖ σφαγιασθῆναι τὸν κριὸν τῷ λαφυστίῳ Διΐ. καὶ μέχρι τοῦ νῦν νόμος εἶναι τῶν Φρίξου ἀπογόνων εἰσιέναι εἰς τὸ πρυτανεῖον, καὶ θύειν τῷ εἰρημένῳ Διΐ. Schol.

660. Καὶ εὐρείας ποταμοῖο] Διονύσιος, ὁ Ἀλοιανὸς ἱστορεῖ τὰς εὐρείας ἠϊόνας λέγεσθαι Ἀχιλλέως δρόμον. Schol.

Ibid. Ἀλοιανὸς. Puto legendum Ὀλβιανὸς. nam Olbia civitas non procul aberat a Dromo Achillis, ſita ad oſtium Boryſthenis.

L. Holſtenius.

661. Κάλπιν. Strabo Κάλπαν dixit

Δερκόμενοι

Δερκόμενοι παράμειβον· ὁμῶς δ' ἐπὶ ἤματι νύκτα
Νήνεμον ἀκαμάτῃσιν ἐπερρώοντ' ἐλάτῃσιν.
Οἷον δὲ πλαδόωσαν ἐπισχίζοντες ἄρουραν
Ἐργατίναι μογέουσι βόες, πέρι δ' ἄσπετος ἱδρὼς
Εἴβεται ἐκ λαγόνων τε καὶ αὐχένος· ὄμματα δέ σφι
Λοξὰ παραστρωφῶνται ὑπὸ ζυγοῦ· αὐτὰρ ἀϋτμὴ
Αὐαλέη στομάτων ἄμοτον βρέμει· οἱ δ' ἐνὶ γαίῃ
Χηλὰς σκηρίπτοντε πανημέριοι πονέονται·
Τοῖς ἴκελοι ἥρωες ὑπ' ἐξ ἁλὸς εἷλκον ἐρετμά.
Ἦμος δ' οὔτ' ἄρ πω φάος ἄμβροτον, οὔτ' ἔτι λίην
Ὀρφναίη πέλεται, λεπτὸν δ' ἐπιδέδρομε νυκτὶ
Φέγγος, ὅτ' ἀμφιλύκην μιν ἀνεγρόμενοι καλέουσι·
Τῆμος ἐρημαίης νήσου λιμέν' εἰσελάσαντες

Cernentes prætervecti sunt; simulque, exacto die, noctem
Tranquillam irrequietis traduxerunt remis.
Quemadmodum autem uda scindentes arva
Operarii laborant boves; circum verò prælargus sudor
Distillat ex lateribus et cervice, oculique ipsorum
Obliquè distorquentur sub jugo; at anhelitus
Siccus ab oribus indesinenter fremit; illi tamen in terrâ
Ungulas infigentes, toto die exercentur:]
His similes heroes per mare ducebant remos.
Quando autem nondum dies alma, nec amplius crassa
Caligo est, tenuis verò incurrit in noctem
Lux, quam crepusculum vigilantes vocant;
Eo tempore, ad desertæ insulæ stationem appulsi

L. XII. μεταξὺ Χαλκηδόνος καὶ Ἡρακλείας ῥέουσι ποταμοὶ πλείους, ὧν εἰσὶν ὅ τε Ψύλλις (nisi scribendum Φύλλις) καὶ ὁ Κάλπας. Sunt qui Κάλπην dicunt, in quibus Arrianus fuerit. Hoelz.

662. Ὁμῶς δ' ἐπὶ ἤματι] ἡμέραν δὲ καὶ νύκτα ὁμῶς ἐν νηνεμίᾳ διῆγον κωπηλατοῦντες. Schol.

664. Πλαδόωσαν] ἔνυγρον ἔτι οὖσαν. Schol.

669. Χηλὰς σκηρίπτοντε] τὰς ὄνυχας ἐπερείδοντες, ἐμπείροντες, ὅθεν καὶ τὸ σκηπάνιον. Schol.

670. Ὑπ' ἐξ ἁλὸς εἷλκον ἐρετμά] ἐκ τῆς θαλάσσης ἀνέφερον καὶ ἀνῆγον τὰς κώπας. Schol.

673. Ἀμφιλύκην μιν] σκοτεινήν. λύκη γὰρ ἡ σκοτία. καὶ λυγόφως ἐξ αὐτοῦ καὶ λυκόφως. Schol.

Ibid. Ἀμφιλύκην. De hâc voce vide Schol. Hom. ad Il. VII. v. 433.

674. Τῆμος ἐρημαίης] περὶ τῆς Θυ-

Θυνιάδος,

Θυνιάδος, καμάτῳ πολυπήμονι βαῖνον ἔραζε.
Τοῖσι δὲ Λητοῦς υἱὸς ἀνερχόμενος Λυκίηθεν,
Τῆλ' ἐπ' ἀπείρονα δῆμον Ὑπερβορέων ἀνθρώπων
Ἐξεφάνη· χρύσεοι δὲ παρειάων ἑκάτερθε
Πλοχμοὶ βοτρυόεντες ἐπεῤῥώοντο κιόντι·
Λαιῇ δ' ἀργύρεον νώμα βιόν· ἀμφὶ δὲ νώτοις
Ἰοδόκη τετάνυστο κατωμαδόν· ἡ δ' ὑπὸ ποσσὶ
Σείετο νῆσος ὅλη, κλύζεν δ' ἐπὶ κύματα χέρσῳ.
Τοὺς δ' ἕλε θάμβος ἰδόντας ἀμήχανον· οὐδέ τις ἔτλη
Ἀντίον αὐγάσασθαι ἐς ὄμματα καλὰ θεοῖο.
Σταν δὲ κάτω νεύσαντες ἐπὶ χθονός· αὐτὰρ ὁ τηλοῦ

Thynidis, labore fecundo excenſum fecerunt in terram.
Illis verò Latonæ filius revertens e Lyciâ,
Procul ad infinitum populum Hyperboreorum hominum,
Apparuit; aurei autem ab utrâque genâ
Cincinni racemoſi quatiebantur euntis.
Lævâ argenteum verſabat arcum, et circum terga
Pharetra pendebat ab humeris, ipſaque ſub pedibus
Intremiſcebat tota inſula, volvebanturque undæ ad terram.
Illos autem intuentes corripuit terror immenſus; nec aliquis auſus eſt
Contra intueri ſplendidos oculos Dei;
Steterunt verò vultibus in terram demiſſis: ille autem longè

νιάδος νήσου προσωρίσθη), ἧς μέμνηται Νύμφις ὁ Ἡρακλεώτης. φησὶ δὲ αὐτὴν ἑπτὰ σταδίους ἔχειν τὴν περίμετρον. Καλλισθένης δὲ ἐν τῷ περίπλῳ, ὑπὸ μὲν Ἑλλήνων φησὶ προσαγορεύεσθαι τήν τε χώραν καὶ τὴν νῆσον Θυνιάδα, ὑπὸ δὲ τῶν Βαρβάρων Θυνίαν. Schol.

677. Ὑπερβορέων ἀνθρώπων] Ὑπερβορέους μὴ εἶναι τελέως φησὶν Ἡρόδοτος· ἐπεὶ εἰ εἰσὶν Ὑπερβόρειοί τινες, πάντως καὶ ὑπερνότιοι. Ποσειδώνιος δὲ εἶναι φησὶ τοὺς Ὑπερβορείους, κατοικεῖν δὲ περὶ τὰς Ἄλπεις τῆς Ἰταλίας. Μνασέας δέ φησι νῦν τοὺς Ὑπερβορείους Δελφοὺς λέγεσθαι. Ἑκαταῖος δὲ μέχρι τοῦ αὐτοῦ χρόνου εἶναι φησὶ τὸ τῶν Ὑπερβορείων ἔθνος. ἔστι δὲ αὐτῷ βιβλία ἐπιγραφόμενα περὶ τῶν Ὑπερβορείων. τιμᾶσθαι δὲ παρὰ τοῖς Ὑπερβορείοις ὁ Ἀπόλλων. διὸ καὶ ἐκεῖσε χωρῶν ὤφθη. Schol.

679. Πλοχμοὶ, &c. Ad imitationem Homeri, Il. α'. 529.

Ἀμβρόσιαι δ' ἄρα χαῖται ΕΠΕΡΡΩΣΑΝΤΟ ἄνακτος
Κρατὸς ἀπ' ἀθανάτοιο.

681. —— ἡ δ' ὑπὸ ποσσὶ Σείετο νῆσος, &c. Poetis uſitatiſſimum eſt Deum aliquem incedentem deſcribentibus terram depingere tremiſcentem, et a tactu divino ſe, quaſi præ metu abſtrahentem. Sic in Homericis illis à Longino adeo celebratis,

Βῆ ῥ'

Βῆ ῥ' ἴμεναι Πόντονδε δι' ἠέρος· ὀψὲ δὲ τοῖον
Ὀρφεὺς ἔκφατο μῦθον ἀριστήεσσι πιφαύσκων.
Εἰ δ' ἄγε δὴ νῆσον μὲν ἑώου Ἀπόλλωνος
Τήνδ' ἱρὴν κλείωμεν, ἐπεὶ πάντεσσι φαάνθη
Ἠῷος μετιών· τὰ δὲ ῥέξομεν οἷα πάρεστι,
Βωμὸν ἀναστήσαντες ἐπάκτιον· εἰ δ' ἂν ὀπίσσω
Γαῖαν ἐς Αἱμονίην ἀσκηθέα νόστον ὀπάσσῃ,
Δὴ τότε οἱ κεραῶν ἐπὶ μηρία θήσομεν αἰγῶν.
Νῦν δ' αὔτως κνίσῃ λοιβῇσί τε μειλίξασθαι
Κέκλομαι· ἀλλ' ἵληθι, ἄναξ, ἵληθι φαανθείς.
Ὣς ἄρ' ἔφη· καὶ τοὶ μὲν ἄφαρ βωμὸν τετύκοντο
Χερμάσιν· οἱ δ' ἀνὰ νῆσον ἐδίνεον, ἐξερέοντες

Perrexit ire ad Pontum per aërem; ac vix tandem hujusmodi
Orpheus sermonem habuit, rem exponens principibus.
Agedum, insulam Eöo Apollini
Hanc sacram dicemus, quoniam omnibus apparuit
Matutinus transiens; ea autem sacrificabimus quæ adsunt
Erectâ litorali arâ: quòd si in posterum
In Æmoniam terram incolumem reditum præbuerit,
Tunc sane illi cornutarum femora imponemus caprarum.
Nunc quali quali nidore libisque eum placemus
Jubeo: sed propitius sis, ô rex, propitius sis post tui conspectum.
Sic dixit; et aram statim instaurârunt
E lapillis: alii autem per insulam obibant, investigantes

——τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
Ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.

686. Ὀψὲ δὲ τοῖον Ὀρφεὺς] τὸν Ὀρφέα φασὶ καὶ μάντιν εἶναι. ἐν δὲ τῇ Θυνιάδι νήσῳ ἱερόν ἐστιν Ἀπόλλωνος. Ἡρόδωρος οὖν φησὶν Ἑῷον τὸν Ἀπόλλωνα προσαγορεῦσαι, καὶ βωμὸν αὐτοῦ εἶναι ἐν τῇ νήσῳ οὐ καθὸ ὄρθρῳ ἐπεφάνη αὐτοῖς, ἀλλὰ καθὸ οἱ Ἀργοναῦται ὄρθρου εἰς αὐτὴν κατέπλευσαν. Schol.

688. Εἰ δ' ἄγε] τὴν νῆσον, φησὶν, οὕτω καλέσωμεν, Ἑῴου Ἀπόλλωνος. Schol.

693. Θήσομεν. H. Stephanus edidit, θύσομεν. Hœlzlinus notat θήσομεν esse Ὁμηρικώτερον.

697. Χερμάσιν] Χερμάσι. λίθοις μικροῖς. Ἐδίνεον, ἀντὶ τοῦ ἐστρέφοντο. Ἐξερέοντες. ἐξερευνῶντες. Schol.

Εἰ

Εἴ κέ τιν' ἢ κεμάδων ἢ ἀγροτέρων ἐσίδοιεν
Αἰγῶν, οἷά τε πολλὰ βαθείῃ βόσκεται ὕλῃ.
Τοῖσι δὲ Λητοΐδης ἄγρην πόρεν· ἐκ δέ νυ πάντων
Εὐαγέως ἱερῷ ἀνὰ διπλόα μηρία βωμῷ
Καῖον, ἐπικλείοντες ἑώϊον Ἀπόλλωνα.
Ἀμφὶ δὲ δαιομένοις εὐρὺν χορὸν ἐστήσαντο,
Καλὸν Ἰηπαιήον', Ἰηπαιήονα Φοῖβον
Μελπόμενοι· σὺν δέ σφιν ἐῢς πάϊς Οἰάγροιο
Βιστονίῃ φόρμιγγι λιγείης ἦρχεν ἀοιδῆς·
Ὥς ποτ' πετραίῃ ὑπὸ δειράδι Παρνησσοῖο
Δελφύνην τόξοισι πελώριον ἐξενάριξεν

Si vel aliquem hinnulum vel agreſtem viderent
Capram, quales frequenter in profundâ paſcuntur ſylvâ.
Illis autem Latonæ filius capturam præbuit; et ex omnibus
Ritè in ſacram duplicata femora aram
Incenderunt, invocantes Eöum Apollinem:
Circum autem incenſa amplum chorum inſtaurârunt,
Pulchrum Iepæonem, Iepæonem Apollinem
Celebrantes; cumque ipſis bonus Oeagri filius
Teſtudine Biſtoniâ argutum incepit cantum,
Quemadmodum olim ſub petricoſo jugo Parnaſſi,
Delphinem immanem ſagittis confecerit

698. Κεμάδων] Κέμας δέ, ἡ νέα ἔλαφος. Schol.

701. Ἀνὰ διπλόα μηρία] τῶν ἱερείων. Διπλόα δέ, ἢ ὅτι διπλοῦς αὐτοῖς ὑπετίθετο καὶ ἐπετίθετο ἐπίπλοος. Schol.

Ibid. Διπλόα. Quia τοὺς μηροὺς κνίσσῃ, τουτέστι πιμελῇ καλύπτοντες ἔκαιον; et quidem δίπτυχα ποιοῦντες, ἤγουν διπλώσαντες (lego διπλόα) τῇ πρὸς ἀλλήλοις ἐπιθέσει τῶν μηρῶν. Nimirum vel ipſa femora geminabantur, vel omenta illis imponebantur, vel denique duplici femora omento involvebantur, quo meliore conflagrarent omine. Il. 424. Hœlz.

704. Ἰηπαιήον] Ἰηπαιήων ὁ Ἀπόλλων λέγεται, ἤτοι διὰ τὸ πέμπειν τὰ βέλη, ἢ ὅτι ἰάσιμος ὁ θεὸς αὐτός. Schol.

Ibid. Ἰηπαιήονα. De origine hujus acclamationis conſule Spanh. in Call. Apoll. XXI. Upt.

706. Βιστονίῃ] Θρακικῇ. Βίστονες γὰρ ἔθνος Θρακῶν. ὠνομάσθη δὲ ἀπὸ Βίστονος, τοῦ Κίκονος, ὡς Φιλοστέφανος ἱστορεῖ. Βιστονίς, λίμνη Θρακική. Schol.

708. Δελφύνην] τὸ ὄνομα τοῦ δράκοντος οἱ μὲν ἀρσενικῶς, οἱ δὲ θηλυκῶς εἶπον· ὃ καὶ βέλτιον. ἄλλως δέ, καὶ οἱ μὲν ὁ Δελφύνης κλίνουσιν ἀρσενικῶς. οἱ δέ, ἡ Δελφυνὴ θηλυκῶς. ὅτι Δελφυνὴς ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν Δελφοῖς χρηστήριον, Λέανδρος καὶ Καλλίμαχος εἶπεν. δράκαιναν δὲ αὐτὴν φησὶν εἶναι θηλυκῶς καλουμένην Δελφύνην αὐτὸς ὁ Καλλίμαχος. τὴν δὲ ἀναιρεθεῖσαν δράκαιναν Δελφύνην καλεῖσθαι θηλυκῶς φησὶ Λέανδρος καὶ Καλλίμαχος. Schol.

Κοῦρος

Κοῦρος ἐὼν ἔτι γυμνὸς, ἔτι πλοκάμοισι γεγηθώς.
Ἱλήκοις· αἰεί τοι, ἄναξ, ἄτμητοι ἔθειραι,
Αἰὲν ἀδήλητοι· τὼς γὰρ θέμις· οἰόθι δ' αὐτὴ
Λητὼ Κοιογένεια φίλαις ἐν χερσὶν ἀφάσσει.
Πολλὰ δὲ Κωρύκιαι Νύμφαι Πλείστοιο θύγατρες
Θαρσύνεσκον ἔπεσσιν, ἰήϊε κεκληγυῖαι.
Ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο Φοίβῳ.
Αὐτὰρ ἐπειδὴ τόν γε χορείῃ μέλψαν ἀοιδῇ,
Λοιβαῖς εὐαγέεσσιν ἐπώμοσαν, ἦ μὲν ἀρήξειν
Ἀλλήλοις εἰς αἰὲν ὁμοφροσύνῃσι νόοιο,

Puer exiſtens adhuc imberbis, adhuc cincinnis gaviſus.
(Da veniam; ſemper tibi, rex, intonſi crines,
Semper illæſi, prout par eſt; ſola autem ipſa
Latona Cœo genita caris manibus tractat.)
Multa autem Coryciæ nymphæ, Pliſti filiæ,
Hortabantur verbis, iëie clamantes.
Inde verò pulchrum hoc canticum ortum eſt Apollini.
Poſtquam verò illum chorico celebrâſſent cantu,
Inter libas puras conjurârunt, ſe opitulaturos
Sibi invicem in perpetuum, concordiâ animi,

711. Οἰόθι δ' αὐτὴ] μόνη ἐφάπτεται τῶν τριχῶν σου ἡ Λητώ. Schol.

712. Κοιογένεια] ἡ ἀπὸ Κοίου τὸ γένος ἔχουσα. Κοίου γὰρ θυγάτηρ ἡ Λητώ. ἔστι δὲ τὸ Κοιογένεια παθητικὸν, ἡ ὑπὸ τοῦ Κοίου γεννηθεῖσα. Schol.

713. Πολλὰ δὲ Κωρύκιαι] ἄντρον ἐν Παρνασσῷ Κωρύκιον. κέκληται δὲ ἀπὸ Νύμφης Κωρυκίας· ἧς καὶ Ἀπόλλωνος παῖς Λυκωρεύς· ἀφ' οὗ Λυκωρεῖς οἱ Δελφοί. ὠνομάσθη δὲ Παρνασσὸς ἀπὸ Παρνασσοῦ τοῦ ἐγχωρίου ἥρωος, ὡς Ἑλλάνικος. Ἄνδρων δὲ, ἐπεὶ προσωρμίσθη ἡ λάρναξ τοῦ Δευκαλίωνος, καὶ τοπρότερον Λαρνασσὸς ἐκαλεῖτο, ὕστερον δὲ κατὰ φθορὰν τοῦ στοιχείου Παρνασσός. Πλεῖστος δὲ, ποταμὸς Δελφίδος. τινὲς δὲ ἀναγινώσκουσι Πλείστοιο προπαροξυτόνως. ἐπεὶ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται Πλειστὸς, ὡς καλός. ἔστι δὲ ποταμὸς ἐν Δελφοῖς. Πλεῖστος δὲ, ποταμὸς Δελφίδος. Schol.

Ibid. Pro Κωρυκίας in init. hujus Schol. legit Munkerus ad Hygin. Κωρυκείας.

714. Θαρσύνεσκον ἔπεσσιν] ὅτε, φησὶν, ἐτόξευσε τὸν δράκοντα, ἐπιφώνουν αἱ Νύμφαι τοῦ βάλλειν αὐτὸν, ἵη ἵε βέλος. ἐξ οὗ τὸ ἐφύμνιον ἐγένετο Ἰηπαιήων. Schol.

716. Χορείῃ μέλψαν ἀοιδῇ] τῇ μετὰ χοροῦ λεγομένῃ ᾠδῇ. Schol.

717. Λοιβαῖς εὐαγέεσσιν] ὤμοσαν, φησὶν, ὁμονοήσειν ἀλλήλοις. Ὅθεν καὶ Ὁμονοίας θεᾶς ἵδρυται ἱερόν. Schol.

Ἁπτόμενοι θυέων· καί τ' εἰσέτι νῦν γε τέτυκται
Κεῖσ' ὁμονοίης ἱερὸν εὔφρονος, ὅ ῥ' ἐκάμοντο
Αὐτοὶ, κυδίστην τότε δαίμονα πορσαίνοντες.
Ἦμος δὲ τρίτατον φάος ἤλυθε, δὴ τότ' ἔπειτα
Ἀκραεῖ ζεφύρῳ νῆσον λίπον αἰπήεσσαν.
Ἔνθεν δ' ἀντιπέρην ποταμοῦ στόμα Σαγγαρίοιο,
Καὶ Μαριανδυνῶν ἀνδρῶν ἐριθηλέα γαῖαν,
Ἠδὲ Λύκοιο ῥέεθρα καὶ Ἀνθεμοεισίδα λίμνην
Δερκόμενοι παράμειβον· ὑπὸ πνοιῇ δὲ κάλωες
Ὅπλα τε νήια πάντα τινάσσετο νισσομένοισιν.

Attingentes sacra: atque adhuc in hodiernum perstat
Ibi concordiæ templum benevolæ, quod elaborârunt
Illi, gloriosam tunc Deam celebrantes.
Exortâ autem tertiâ Aurorâ, tunc equidem
Vivido Zephyro insulam reliquerunt excelsam.
Deinde ex adverso, fluvii os Sangarii,
Et Mariandynorum hominum valdè virentem terram,
Nec non Lyci fluenta, et Anthemoïsida paludem
Conspicantes præternavigârunt: a flatu autem rudentes
Armaque omnia navalia quatiebantur inter currendum.

719. Ἁπτόμενοι θυέων.

*Tango aras mediosque ignes.*

Æn. XII.

Mos nimirum erat jurantium ut aram resque sacras manu contingerent.

721. Κυδίστην] ἀντὶ τοῦ κρατίστην θεῶν Ὁμόνοιαν τιμῶντες. Πορσαίνοντες γὰρ ἀντὶ τοῦ τιμῶντες. ἀλλαχοῦ δὲ ἀντὶ τοῦ ὑπηρετεῖν. γράφεται καὶ κυδήναντες. Schol.

724. Ποταμοῦ στόμα] Σαγγάριος, ποταμὸς Φρυγίας· ὁ δὲ Μυρλεανὸς Σάγγαρον αὐτὸν λέγεσθαι φησίν. Ἑρμογένης δὲ ἐν τῷ περὶ Φρυγίας φησὶν, Σάγγαν τινὰ ἀσεβήσαντα περὶ τὴν Ῥέαν, μεταβαλεῖν εἰς τοῦτο τὸ ὕδωρ, καὶ ἀπ' αὐτοῦ τὸν ποταμὸν Σαγγάριον ὀνομασθῆναι. πλησίον δὲ αὐτοῦ ὀρείας Δήμητρος ἱερόν ἐστιν, ὥς φησι Ξάνθος. Schol.

Ibid. Σαγγάριος ποταμὸς Φρυγίας. Vide Strabonem. XII. 818. et Dionys. περιηγ. 795. 809. Lege autem pro Σάγγαν τινὰ, Σάγγαρον τινὰ.

725. Καὶ Μαριανδυνῶν] οἱ Μαριανδυνοὶ ὅμοροι τοῖς Παφλαγόσι. ὠνομάσθησαν δὲ ἀπὸ Μαριανδυνοῦ τοῦ Κιμμερίου παιδός. Schol.

726. Λύκοιο ῥέεθρα] Λύκος ποταμὸς ὁμώνυμος τῷ Βασιλεῖ. ῥεῖ δὲ διὰ τῆς τῶν Μαριανδυνῶν χώρας. Ἀνθεμοεισίδα δὲ, ἀπὸ Ἀνθεμοεισίας τῆς Λύκου μὲν θυγατρὸς, γυναικὸς δὲ Δασκύλου τοῦ Ταντάλου υἱοῦ. Schol.

Ἠῶθεν

Ἠῶθεν δ᾽, ἀνέμοιο διὰ κνέφας εὐνηθέντος,
Ἀσπασίως ἄκρης Ἀχερουσίδος ὅρμον ἵκοντο.
Ἡ μέν τε κρημνοῖσιν ἀνίσχεται ἠλιβάτοισιν,
Εἰς ἅλα δερκομένη Βιθυνίδα· τῇ δ᾽ ὑπὸ πέτραι
Λισσάδες ἐῤῥίζωνται ἁλίβροχοι· ἀμφὶ δὲ τῇσι
Κῦμα κυλινδόμενον μεγάλα βρέμει· αὐτὰρ ὕπερθεν
Ἀμφιλαφεῖς πλατάνιστοι ἐπ᾽ ἀκροτάτῃ πεφύασιν.
Ἐκ δ᾽ αὐτῆς εἴσω κατακέκλιται ἠπειρόνδε
Κοίλη ὕπαιθα νάπη, ἵνα τε σπέος ἔστ᾽ Ἀΐδαο
Ὕλῃ καὶ πέτρῃσιν ἐπηρεφές· ἔνθεν ἀϋτμὴ
Πηγυλὶς ὀκρυόεντος ἀναπνείουσα μυχοῖο

Manè verò, vento per noctem sedato,
Lubenter promontorii Acherusidis portum pervenerunt;
Quod in præcipitia attollitur excelsa,
In mare prospectans Bithynicum, sub quo petræ
Leves radices egerunt, mari irriguæ; circumque illas
Fluctus volutus horrendum fremit: at supernè
Ingentes platani in vertice germinant.
Ex ipso autem intus descendit ad continentem
Cavus rectà saltus; ubi antrum est Orci
Sylvâ et saxis opacum; unde vapor
Frigidus horribili exhalatus antro

729. Ἠῶθεν δ᾽, ἀνέμοιο] νυκτὸς δὲ, φησὶ, τοῦ ἀνέμου λήξαντος, περὶ τὸν ὄρθρον, ὡς τὸ πέραν, εἰς ὅρμον κατήχθησαν. Schol.

731. Ἡ μέν τε κρημνοῖσιν] ὅτι ἡ περὶ Ἡράκλειαν Ἀχερουσιὰς καλουμένη πανταχόθεν ἐκ θαλάσσης ἐστὶν ὑψηλή τε καὶ ἀπόκρημνος, καὶ ἀπονεύει εἰς δυσμὰς εἰς τὸ περὶ τὴν Βιθυνίας πέλαγος· καὶ ὅτι περιπίπτον αὐτῇ τὸ κῦμα σφοδροὺς ἀποτελεῖ ἤχους· καὶ περὶ τῶν ἐπ᾽ ἄκρας αὐτῆς πεφυκυιῶν πλατάνων, καὶ τοῦ ἐπ᾽ αὐτῇ πεδίου· καὶ ὅτι δοκεῖ αὐτόθι καταβάσεις εἰς ᾅδου ὑπάρχειν, Νύμφις ἐν τῷ περὶ Ἡρακλείας α φησί. παρ᾽ οὗ Ἀπολλώνιος ἔοικε ταῦτα μεταφέρειν. Schol.

733. Λισσάδες ἐῤῥίζωνται] ὑψηλαὶ καὶ ἀνάντεις ἐν βάθει τεθεμελίωνται. Schol.

735. Ἀμφιλαφεῖς] ἀνθηραὶ, μεγάλαι καὶ περίοπτοι. Schol.

736. Ἐκ δ᾽ αὐτῆς εἴσω] κατὰ τὸ πρὸς ἤπειρον δὲ καὶ μεσημβρίαν μέρος τῆς Ἀχερουσίας ἄκρας τὸ Ἀχερόντειον σπήλαιόν ἐστιν, καὶ τὸ χάσμα τὸ κατὰ γῆς. Schol.

737. Ὕπαιθα] τὸ ἔμπροσθεν καὶ ἐκ πλαγίου σημαίνει. Schol.

738. Ἐπηρεφές] ἀντὶ τοῦ σύσκιον. Φησὶ δὲ ὅτι πνεῦμα καὶ ψυχρά τις αὔρα ἀναφέρεται ἐκ τοῦ στομίου, καὶ διὰ τοῦτο κύκλῳ περιπεπήχαται. Schol.

739. Πηγυλίς] ἡ παγετώδης καὶ ψυχρά. Schol.

Συνεχὲς, ἀργινόεσσαν ἀεὶ περιτέτροφε πάχνην,
Ἥτε μεσημβριόωντος ἰαίνεται ἠελίοιο.
Σιγὴ δ' οὔποτε τήνγε κατὰ βλοσυρὴν ἔχει ἄκρην,
Ἀλλ' ἄμυδις πόντοιό θ' ὑποστένει ἠχήεντος,
Φύλλων τε πνοιῇσι τινασσομένων μυχίῃσι.
Ἔνθα δὲ καὶ προχοαὶ ποταμοῦ Ἀχέροντος ἔασιν,
Ὅστε δι' ἐξ ἄκρης ἀνερεύγεται εἰς ἅλα βάλλων
Ἠοίην· κοίλη δὲ φάραγξ κατάγει μιν ἄνωθεν.
Τὸν μὲν ἐν ὀψιγόνοισι Σοωναύτην ὀνόμηναν
Νεισαῖοι Μεγαρῆες, ὅτε νάσσεσθαι ἔμελλον
Γῆν Μαριανδυνῶν· δὴ γάρ σφέας ἐξεσάωσεν

Indefinenter, albam ſemper circumnutrit pruinam,
Quæ meridiano liqueſcit ſole.
Nunquam autem ſilentium tenet terribilem montem;
Sed ſimul à ponto gemit reſonante,
Foliiſque a vento agitatis cavernoſo.
Ibi etiam ſunt oſtia fluvii Acherontis,
Qui e promontorio eructatur, in mare ſe immittens
Orientale, cava autem vallis defert eum deſuper.
Hunc quidem apud poſteros Soonautem vocârunt
Niſæi Megarenſes, quando habitaturi erant
In terrâ Mariandynorum; tunc enim eos ſervavit

741. Ἰαίνεται] ἐνταῦθα ἀντὶ τοῦ λύεται καὶ τήκεται. Schol.

742. Σιγὴ δ' οὔποτε] φησὶν ὅτι καὶ διὰ τῶν δένδρων καὶ διὰ τῶν κυμάτων ἦχον καὶ ψόφον ἀποτελεῖ, καὶ ἡσυχίαν οὐκ ἔχει. Βλοσυρὰν ἐνταῦθα τὴν λαμπρὰν ἴσως σημαίνει. Schol.

745. Ἔνθα δὲ καὶ προχοαὶ] φησὶν ὅτι καὶ ὁ Ἀχέρων Σοωναύτης λέγεται, καὶ ὅτι ἐκ τῆς Ἀχερουσίας ἄκρας φέρεται διά τινος φάραγγος εἰς τὴν πρὸς ἀνατολὰς θάλασσαν. Schol.

746 Ἀνερεύγεται] οἷον καταῤῥεῖ καὶ ἔξεισι. Schol.

747. Ἠοίην. Steph. edidit. ἠρίην.

748. Σοωναύτην] οἱ εἰς τὴν Ἡράκλειαν κατοικήσαντες Μεγαρεῖς, ὅτε εἰς τὴν ἀποικίαν ἔπλεον, χειμασθέντες εἰς τὸν Ἀχέροντα ποταμὸν κατέφυγον, ὅθεν καὶ διασωθέντες οἱ ναῦται, Σοωναύτην ἐκάλεσαν αὐτόν. οὗτοι δὲ οἱ Ἡρακλεῶται Μεγαρέων εἰσὶν ἄποικοι, καὶ Βοιωτῶν. κατοικοῦσι δὲ ἐν τῇ Μαριανδυνῶν χώρᾳ. Σοωναύτης ποταμὸς περὶ Ἡράκλειαν οὕτως ὀνομασμένος, ἐπειδὴ πάντας τοὺς ναυτιλλομένους διασώζει, ἀπαθεῖς ἔχων καὶ ἠρεμαίους λιμένας. Schol.

749. Νεισαῖοι. Scribit L. Holſtenius Νισαῖοι. Vide Theoc. Idyll. XII. ejuſque Scholiaſten Græcum.

Αὐτῆσιν

Αὐτῇσιν νήεσσι κακῇ χρίμψαντας ἀέλλῃ.
Τῇ ῥ' οἵγ' αὐτίκα νηὶ δι' ἐξ Ἀχερουσίδος ἄκρης
Εἰσωποὶ, ἀνέμοιο νέον λήγοντος, ἔκελσαν.
Οὐδ' ἄρα δηθὰ Λύκον, κείνης πρόμον ἠπείροιο,
Καὶ Μαριανδυνοὺς λάθον ἀνέρας ὁρμηθέντες
Αὐθένται Ἀμύκοιο, κατὰ κλέος ὃ πρὶν ἄκουον,
Ἀλλὰ καὶ ἀρθμὸν ἔθεντο μετὰ σφίσι τοῖο ἕκητι·
Αὐτὸν δ', ὥστε θεὸν Πολυδεύκεα δεξιόωντο
Πάντοθεν ἀγρόμενοι· ἐπεὶ μάλα τοίγ' ἐπιδηρὸν
Ἀντιβίην Βέβρυξιν ὑπερφιάλοις πολέμιζον.

Cum ipsis navibus, periculosâ appulsos procellâ.
Huc illi statim nave per Acherusium promontorium
Ante conspectum habentes, vento nuper sopito, appulerunt.
Nec diu sanè Lycum illius ducem terræ,
Et Mariandynos latuit, advenisse
Interfectores Amyci, ex famâ quam antea audierant:
Sed et amicitiam inierunt cum ipsis ejus causâ;
Ipsumque veluti Deum Pollucem salutabant,
Facto undique concursu; quoniam et ipsi diu admodum
Contra Bebrycas fœdifragos gessissent bellum.

751. Χρίμψαντας] ἐγχριμψαι τὸ ἐμπεσεῖν σημαίνει. Schol.

753. Εἰσωποὶ] ἐναντίοι, ἐσώπεροι γενόμενοι. Schol.

754. Οὐδ' ἄρα δηθὰ] Λύκον φησὶ τότε Μαριανδυνῶν βασιλεύειν, ὃς διὰ τὸ πρὸς τοὺς Βέβρυκας καὶ Ἄμυκον ἔχθος, φιλοξένως τοὺς Ἀργοναύτας ὑπεδέξατο. Φασὶ δὲ αὐτὸν υἱὸν εἶναι Δασκύλου τοῦ Ταντάλου καὶ Ἀνθεμοεισίας τῆς Λύκου τοῦ ποταμοῦ· ὡς μαρτυρεῖ καὶ Νύμφις ἐν τῷ α τῆς Ἡρακλείας, καὶ Ἡρόδωρος παραπλησίως. ὑπεδέξατο δὲ τοὺς ἥρωας, ὥς τινες, διὰ τὸ τὸν Πέλοπα τὸν θεῖον αὐτοῦ τιμηθῆναι παρὰ τῶν Ἑλλήνων. ἅμα δὲ καὶ διὰ τὸν Ἀμύκου καὶ τῶν Βεβρύκων φόνον. ἐχθροὶ γὰρ ἦσαν τοῖς Μαριανδυνοῖς οἱ Βέβρυκες. Schol.

Ibid. Οὐδ' ἄρα δηθὰ Λύκον, &c. Confer Val. Flacc. IV. 733. Upt.

756. Αὐθένται Ἀμύκοιο] συλληπτικῶς εἶπεν φονέας Ἀμύκου τοὺς ἥρωας· καίτοι Πολυδεύκους μόνου τοῦτο δεδρακότος. αὐθέντης δὲ λέγεται ὁ ἐξ ἑαυτοῦ ἐπί τινος φόνον ἐργασάμενος, οἷον αὐτοέντης τις ὤν. Κλέος. ἡ διαδεδομένη φήμη. Schol.

757. Ἀρθμὸν] ἀρθμὸς, ἡ φιλία. Schol.

760. Ἀντιβίην Βέβρυξιν] ἐχθροὶ ἦσαν οἱ Μαριανδυνοὶ τῶν Βεβρύκων. ἡττήθησαν δὲ πολλάκις ὑπ' αὐτῶν. καὶ ὁ ἀδελφὸς δὲ Λύκου Πριόλας συλληφθεὶς ὑπὸ τοῦ Ἀμύκου ἀνῃρέθη. ὕστερον δὲ προσλαβόμενος Ἡρακλέα σύμμαχον πρὸς Ἀμαζόνας στρατευόμενον, ἐξ εὐχερείας περιεγένετο τῶν Βεβρύκων. τινὲς δὲ τὸν Πριόλαον υἱὸν αὐτοῦ καὶ οὐκ ἀδελφὸν ἱστοροῦσιν. Schol.

Καὶ

Καὶ δὴ πασσυδίῃ μεγάρων ἔντοσθε Λύκοιο
Κεῖν' ἦμαρ φιλότητι μετὰ πτολίεθρον ἰόντες,
Δαίτην ἀμφίεπον, τέρποντό τε θυμὸν ἔπεσσιν.
Αἰσονίδης μὲν οἱ γενεὴν καὶ οὔνομ' ἑκάστου
Σφωϊτέρων μυθεῖθ' ἑτάρων, Πελίαό τ' ἐφετμάς·
Ἠδ' ὡς Λημνιάδεσσιν ἐπεξεινοῦντο γυναιξίν·
Ὅσσα τε Κύζικον ἀμφὶ Δολιονίην ἐτέλεσσαν.
Μυσίδα θ' ὡς ἀφίκοντο, Κίον θ', ὅθι κάλλιπον ἥρω
Ἡρακλέην ἀέκοντι νόῳ· Γλαύκοιό τε βάξιν
Πέφραδε, καὶ Βέβρυκας ὅπως Ἄμυκόν τ' ἐδάιξαν.
Καὶ Φινῆος ἔειπε θεοπροπίας τε δύην τε.
Ἠδ' ὡς Κυανέας πέτρας φύγον, ὡς τ' ἀβόλησαν
Λητοΐδῃ κατὰ νῆσον. Ὁ δ', ἑξείης ἐνέποντος,
Θέλγετ' ἀκουῇ θυμόν· ἄχος δ' ἕλεν Ἡρακλῆι
Λειπομένῳ, καὶ τοῖον ἔπος πάντεσσι μετηύδα.

Enimverò catervatim in Lyci ædibus,
Illo die, benevolè in urbem profecti,
Convivium curabant, delectabantque animum colloquio.
Æsonides quidem ei genus et nomina cujusslibet
Suorum narrabat sociorum, et Peliæ mandata;
Et quomodo a Lemniacis hospitio excepti erant fœminis,
Et quæcunque apud Cyzicum Dolioniam perfecerant;
Ac quomodo Mysiam pervenerant, Ciumque, ubi reliquerunt heroa
Herculem invito animo: tum Glauci monita
Dixit, et quomodo Bebrycas Amycumque interemerant:
Et insuper Phinei narravit vaticinia, et calamitatem:
Nec non quomodo Cyaneas petras effugerant, et obviam facti erant
Apollini in insulâ: hic verò, eo ordine singula narrante,
Demulcebatur animum ex auditu; dolor tamen eum invasit ob Herculem
Relictum, taleque verbum inter omnes edidit.

767. Ὅσσα τε Κύζικον] οὐ Κύζικον τὸν βασιλέα τῶν Δολιόνων φησὶν, ἀλλὰ τὴν πόλιν. Schol.

769. Γλαύκοιό τε βάξιν] ὁ Γλαῦκος παρὰ τοῖς Ἴβηρσι τιμᾶται, γέρων καλούμενος. ἔστι δὲ ἄκρα Γλαύκου ἐκεῖ καλουμένη. Schol.

Ὦ φίλοι,

Ὦ φίλοι, οἵου φωτὸς ἀποπλαγχθέντες ἀρωγῆς
Πείρετ' ἐς Αἰήτην τόσσον πλόον· εὖ γὰρ ἐγώ μιν
Δασκύλου ἐν μεγάροισι κατ' αὐτόθι πατρὸς ἐμοῖο
Οἶδ' ἐσιδὼν, ὅτε δεῦρο δι' Ἀσίδος Ἠπείροιο
Πεζὸς ἔβη, ζωστῆρα φιλοπτολέμοιο κομίζων
Ἱππολύτης· ἐμὲ δ' εὗρε νέον χνοάοντα ἰούλους.
Ἔνθα δ' ἐπὶ Πριόλαο κασιγνήτοιο θανόντος
Ἡμετέρου Μυσοῖσιν ὑπ' ἀνδράσιν, ὅντινα λαὸς
Οἰκτίστοις ἐλέγοισιν ὀδύρεται ἐξ ἔτι κείνου,
Ἀθλεύων Τιτίην ἀπεκαίνυτο πυγμαχέοντα

O amici, qualis viri orbati auxilio
Dirigitis ad Æeten tantum iter! bene enim illum
Dascyli in ædibus hìc patris mei
Conspectum novi, quando hùc per Asiam terram
Pedes venit, cingulum bellicosæ ferens
Hippolytæ: me autem invenit primâ lanugine pubescentem.
Atque ibi, circa Priolaum, fratrem nostrum interemptum
A Mysis viris, quem quidem populus
Flebilibus modis luget ab illo tempore usque ad hunc diem,
In *funebri* certamine pugnans, Titiam devicit pugilatu certantem

779. Ὅτε δεῦρο δι' Ἀσίδος] τῆς Λυδίας λέγει. Ἀσία γὰρ τοπρότερον ἐκαλεῖτο ἡ Λυδία. καὶ Ὅμηρος· "Ἀσίῳ ἐν λειμῶνι" καὶ ἡ κιθάρα Ἀσία λέγεται, ἐπεὶ ἐν Λυδίᾳ πρῶτον εὑρέθη. Schol.

780. Πεζὸς ἔβη] ἀκολούθως τῷ μύθῳ, πεζὸν τὸν Ἡρακλέα φησὶν ἐπὶ τὸν ζωστῆρα τῆς Ἱππολύτης· δηλαδὴ διὰ τὸ τὰς Συμπληγάδας πέτρας τότε συντρέχειν. ἄθλος δὲ ἦν οὗτος ἔνατος. πολλοὶ δὲ λόγοι περὶ τοῦ ζωστῆρος εἰσίν. τινὲς γὰρ Ἱππολύτης, ἄλλοι δὲ Δηλύκης· Ἴβυκος δὲ ἰδίως ἱστορῶν, Βριάρεω θυγατρὸς φησίν. Schol.

782. Ἔνθα δ' ἐπὶ Πριόλαο] φησὶν ὅτε ἡνίκα Ἡρακλῆς ἐπὶ τὸν Ἱππολύτης ἐπορεύετο ζωστῆρα, κατέλαβε Μαριανδυνοὺς ὑπὸ Βεβρύκων καταπονουμένους· ἐπιστρατεύσας δὲ μετὰ Μαριανδυνῶν ἐχειρώσατο τοὺς πολεμίους. πεσόντος δὲ ἐν τῇ μάχῃ Πριολάου τοῦ Μαριανδυνῶν προηγουμένου, ἀγὼν ἐπιτάφιος ἐτέθη ἐπ' αὐτῷ, ἐν ᾧ Ἡρακλῆς ἐνίκησε Τιτίαν, ἕνα τῶν Μαριανδυνῶν. Ἔνθα δ' ἐπί. ἰδίως τὸν θρυλλούμενον Πριόλαον φησί· τῶν ἄλλων Βάρμωον λεγόντων τὸν Τιτίαν ἥρων, ὡς Νύμφις καὶ Καλλίστρατος. Πριόλαος δὲ, ἀδελφὸς Λύκου. καὶ Πριόλα πόλις πλησίον Ἡρακλείας. Schol.

784. Ἐλέγοισιν] τοῖς γὰρ ἐλεγείοις ἐπιταφίοις ἐχρῶντο οἱ παλαιοί. Schol.

785. Τιτίην] τὸν δὲ Τιτίαν οἱ μὲν φασὶ Διὸς παῖδα, ἕνα τῶν Ἰδαίων Δακτύλων, οἱ δὲ, τὸν πρεσβύτατον τῶν Μαριανδυνοῦ παίδων. ὁ δὲ Μαριανδυνὸς, Φινέως ἢ Φρίξου ἢ Κιμμερίου λέγεται παῖς εἶναι. ἀπὸ δὲ Τιτίου φασὶ Τίτιον τὴν πόλιν κληθῆναι. Schol.

Καρτερὸν

Καρτερὸν, ὃς πάντεσσι μετέπρεπεν ἠϊθέοισιν
Εἶδός τ' ἠδὲ βίην· χαμάδις δέ οἱ ἤλασ' ὀδόντας.
Αὐτὰρ ὁμοῦ Μυσοῖσιν ἐμῷ ὑπὸ πατρὶ δάμασσεν
Καὶ Φρύγας, οἳ ναίουσιν ὁμώλακας ἧμιν ἀρούρας·
Φῦλά τε Βιθυνῶν αὐτῇ κτεατίσσατο γαίῃ,
Ἔστ' ἐπὶ Ῥηβαίου προχοὰς, σκόπελόν τε Κολώνης.
Παφλαγόνες τ' ἐπὶ τοῖς Πελοπήϊοι εἴκαθον αὔτως,
Ὅσσους Βιλλαίοιο μέλαν περιάγνυται ὕδωρ.
Ἀλλά με νῦν Βέβρυκες ὑπερβασίη τ' Ἀμύκοιο
Τηλόθι ναιετάοντος ἐνόσφισαν Ἡρακλῆος,
Δὴν ἀποτεμνόμενοι γαίης ἅλις, ὄφρ' ἐβάλοντο

Fortem, qui omnibus præſtabat adoleſcentibus
Formâ et viribus; et in terram ei excuſſit dentes.
Cæterùm unà cum Myſis meo ſubjecit patri
Etiam Phrygas, qui incolunt vicina nobis arva:
Gentemque Bithynorum cum ipſâ in poſſeſſionem redegit terrâ
Uſque ad Rhebæum amnem, ſcopulumque Colonæ.
Poſt hos autem Paphlagones a Pelope orti ultro ſe dederunt,
Quoſcunque Billæi atra circumfrangitur unda.
Sed me nunc Bebryces, et iniquitas Amyci
Hercule procul habitante, privârunt
Jamdiu adempto bene multo agro, donec extenderunt.

788. Αὐτὰρ ὁμοῦ] τὸ ἑξῆς, ὁ Ἡρακλῆς τῷ ἐμῷ πατρὶ Λασκύλῳ ὑπέταξεν ὁμοῦ Μυσοὺς, καὶ Φρύγας. Schol.

789. Καὶ Φρύγας] τινὲς γράφουσι Μυγδόνας. ἵνα ᾖ, ὁμοῦ Μυσοὺς καὶ Μυγδόνας ὑπέταξε τῷ πατρί μου. ὅτι δὲ Φρύγας ἐχαρίσατο τοῖς Μαριανδυνοῖς, καὶ Νύμφις ἱστορεῖ. διὸ καὶ οὕτω γραπτέον. εἰ δὲ γράφοιτο Μυγδόνας, ἤτοι τοὺς Βέβρυκας ἀπὸ Μύγδονος βασιλέως αὐτῶν οὕτω κέκληκεν· ἢ ῥητέον ὅτι Μοίρισιν κατηνέχθησαν· οὗτος γὰρ Μυγδόνας ἔφησε καταπολεμῆσαι τὸν Ἡρακλέα. Schol.

791. Ἔστ' ἐπὶ Ῥηβαίου] τὸ μὲν Παφλαγονίας μέχρι τοῦ Βιλλαίου ποταμοῦ κατεστρέψατο πᾶσαν. οὗτος δὲ διὰ τῆς ἐπικειμένης Φρυγίας ῥέων, ἔξεισι παρ' αὐτὴν τὴν Τιτάνων πόλιν· ἐν δὲ τούτῳ, πρὸς δυσμὰς, ἕως τοῦ Ῥήβα καὶ τοῦ ἐπικειμένου σκοπέλου κατὰ τὴν ἐκβολὴν τούτου. ὅτι δὲ τοὺς Παφλαγόνας ὑπέταξεν Ἡρακλῆς τοῖς περὶ Λύκον, ἱστορεῖ Δεινίας ἐν πρώτῳ Ἀργολικῶν, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν δεκάτῳ Βιθυνιακῶν. Schol.

Ibid. Pro Τιτάνων, in med. Schol. legit Holſtenius Τιειῶν.

793. Βιλλαίοιο] Βιλλαῖος περισπωμένως. οὕτω φησὶν Ἡρωδιανὸς ἐν τῷ πέμπτῳ τῆς καθόλου. ἔστι δὲ ποταμὸς Παφλαγονίας. οἱ δὲ, Φρυγίας. Schol.

796. Ὄφρ' ἐβάλοντο] φησὶν ὅτι οἱ Βέβρυκες πολὺ ἀπετέμοντο τῆς Μαριανδυνῶν

Οὔρα

Οὔρεα βαθρυόεντος ὑφ' εἰαμεναῖς Ὑπίοιο.
Ἔμπης δ' ἐξ ὑμέων ἔδοσαν τίσιν· οὐδέ σε φημὶ
Ἤματι τῷδ' ἀέκητι θεῶν ἐπελάσσαι ἄρηα,
Τυνδαρίδη, Βέβρυξιν, ὅτ' ἀνέρα κεῖνον ἔπεφνες.
Τῶν νῦν ἥντιν' ἐγὼ τίσαι χάριν ἄρκιός εἰμι,
Τίσω προφρονέως· ἡ γὰρ θέμις ἠπεδανοῖσιν
Ἀνδράσιν, εὖτ' ἄρξωσιν ἀρείονες ἄλλοι ὀφέλλειν.
Ξυνῇ μὲν πάντεσσιν ὁμόστολον ὔμμιν ἕπεσθαι
Δάσκυλον ὀτρυνέω ἐμὸν υἱέα· τοῖο δ' ἰόντος,
Ἦτ' ἂν εὐξείνοισι δι' ἐξ ἁλὸς ἀντιάοιτε
Ἀνδράσιν, ὄφρ' αὐτοῖο ποτὶ στόμα Θερμώδοντος.
Νόσφι δὲ Τυνδαρίδαις Ἀχερουσίδος ὑψόθεν ἀκτῆς

Terminos, profundi ad paluſtria loca Hypii.
Attamen ex vobis dederunt pœnas: nec te puto
Die illo, invitis Diis, bellum intuliſſe
Bebrycibus, Pollux, quando virum illum interimeres.
Pro quibus quantum nunc gratiæ rependere me penes eſt,
Tantum gaudens rependam: ita enim decet imbelles viros
Quando inceperint præſtantiores alii benefacere.
Ut verò communem vobis omnibus comitem ſe præbeat
Daſcylum incitabo filium meum; quo ſane profecto,
Hoſpitalibus per mare obviam fietis
Hominibus, ipſius uſque ad os Thermodontis.
Seorſim autem Tyndaridis Acheruſio ſuper promontorio

χώρας, ἃ μέχρι τοῦ Ὑπίου ποταμοῦ συνηγάγοντο τοὺς ὅρους. ᾤκισται δὲ παρὰ τῷ ποταμῷ ἐν τῇ Θυνίᾳ καὶ πόλις Ὑπία λεγομένη. Schol.

797. Εἰαμεναῖς] λέγει τοὺς καθύγρους τόπους. Ὁ δὲ Ὕπιος ὠνόμασται ἀπὸ τοῦ καταφέρεσθαι ἀπὸ τῶν Ὑπίων ὀρῶν. Schol.

799. Ἐπιλάσσαι Ἄρηα] ἐπαγαγεῖν. οὐ χωρὶς θεῶν, φησὶν, εὐνοίας, ὦ Πολύδευκες, ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέκτεινας τὸν Ἄμυκον. Schol.

801. Τίσαι] τίειν, τὸ ἀποδιδόναι. Ἄρκιος ἐστὶν ὁ ἱκανὸς καὶ ὁ ἕτοιμος. Schol.

802. Ἠ γάρ. Monet Hœlzlinus ſcribendum ᾗ pro ὡς, ut. II. 842.

803. Ὀφέλλειν] τὸ εὐεργετεῖν. Schol.

806. Ἀντιάοιτε] ἀντιᾶν, τὸ συντυγχάνειν ἐνταῦθα. Schol.

808. Νόσφι δὲ Τυνδαρίδαις] χωρὶς δὲ τούτων τοῖς Τυνδαρίδαις, τοῦτ' ἔστι, τοῖς Διοσκούροις, ἱερὸν ἱδρύσομεν ἐπὶ τῆς Ἀχερουσίας ἄκρας. Schol.

Εἴσομαι ἱερὸν αἰπύ· τὸ μὲν μάλα τηλόθι πάντες
Ναυτίλοι ἀμπέλαγος θηεύμενοι ἱλάξονται.
Καί κέ σφιν μετέπειτα πρὸ ἄστεος, οἷα θεοῖσι
Πίονας εὐαρότοιο γύας πεδίοιο ταμοῦμαι.
Ὣς τότε μὲν δαῖτ' ἀμφὶ πανήμεροι ἑψιόωντο·
Ἠοῖ γε μὴν ἐπὶ νῆα κατήϊσαν ἐγκονέοντες,
Καί δ' αὐτὸς σὺν τοῖσι Λύκος κίε, μυρί' ὀπάσσας
Δῶρα φέρειν· ἅμα δ' υἷα δόμων ἔκπεμπε νέεσθαι.
Ἔνθα δ' Ἀβαντιάδην πεπρωμένη ἤλασε μοῖρα
Ἴδμονα, μαντοσύνῃσι κεκασμένον· ἀλλά μιν ἔτι
Μαντοσύναι ἐσάωσαν, ἐπεὶ χρεὼ ἦγε δαμῆναι.
Κεῖτο γὰρ εἰαμενῇ δονακώδεος ἐν ποταμοῖο

Altum extruam templum, quod quidem de longinquo omnes
Nautæ per mare prospectantes venerabuntur:
Ipsisque deinde ante urbem, veluti Diis,
Pinguia bene arati jugera campi separabo.
Hoc modo circa convivium toto die confabulabantur.
Manè autem ad navem redierunt festinantes;
Cumque ipsis unà Lycus ivit, infinita iis præbens
Munera ad auferendum, simulque filium ex ædibus emisit ut unà iret.
Ibi autem Abantiadem destinatum percussit fatum
Idmona, vaticinio instructum; sed nullo ei
Vaticinia ex usu erant ad salutem, quoniam necessitas occumbendi urgeret.
Jacebat enim in palustri loco arundinosi fluvii,

812. Πίονας εὐαρότοιο] ἀντὶ τοῦ, τέμενος ἀπὸ τῆς πόλεως ἀπομερίσω αὐτοῖς. Schol.

813. Ὣς τότε μὲν] οὕτως τότε δι' ὅλης ἡμέρας περὶ τὴν εὐωχίαν ἐτέρποντο καὶ ἔπαιζον. Schol.

814. Ἐγκονέοντες] ἐνεργοῦντες. ὅθεν καὶ γόνυ, οἷον κόνυ τι ὄν. παρὰ τὸ ἐνεργεῖν δι' αὐτοῦ. Schol.

817. Ἔνθα δ' Ἀβαντιάδην] περὶ τοῦ ἐν Μαριανδυνοῖς γενομένου θανάτου τοῦ Ἴδμονος καὶ Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς περὶ Ἡρακλέους, ὡς Προμηθίδης φησί, καὶ Νύμφις ἐν τῷ περὶ Ἡρακλείας, ὡς Ἴδμων ὑπὸ συὸς ἐπλήγη. Schol.

818. Ἴδμονα. Val. Flacc. L. V. dicit Idmona *lue pestiferâ* fuisse extinctum. Consule Burmannum de Argonautis in voce *Idmon*. Hyginus autem in L. I. fab. 14. ita scribit, "*Idmon, Apollinis filius ibi apud Lycum cum stramentatum exisset, apro percussus, decidit.*" Upt.

819. Χρεὼ] ἡ χρεία, ἡ εἱμαρμένη. Schol.

Ψυχόμενος

Ψυχόμενος λαγόνας τε καὶ ἄσπετον ἰλύϊ νηδὺν
Κάπριος ἀργιόδων, ὀλοὸν τέρας· ὅν ῥα καὶ αὐταὶ
Νύμφαι ἑλειονόμοι ὑπεδείδισαν· οὐδέ τις ἀνδρῶν
Ἤειδε, οἶος δὲ κατὰ πλατὺ βόσκετο τῖφος.
Αὐτὰρ ὅγ᾽ ἰλυόεντος ἀνὰ θρωσμοὺς ποταμοῖο
Νίσσετ᾽ Ἀβαντιάδης· ὁ δ᾽ ἄρ᾽ ἔκ ποθεν ἀφράστοιο
Ὕψι μάλ᾽ ἐκ δονάκων ἀνεπάλμενος ἤλασε μηρὸν
Ἀΐγδην, μέσσας δὲ σὺν ὀστέῳ ἶνας ἔκερσεν.
Ὀξὺ δ᾽ ὅγε κλάγξας οὔδει πέσεν· οἱ δὲ τυπέντος
Ἀθρόοι ἀντιάχησαν· ὀρέξατο δ᾽ αἶψ᾽ ὀλοοῖο
Πηλεὺς αἰγανέην φύγαδ᾽ εἰς ἕλος ὁρμηθέντος
Καπρίου· ἔσσυτο δ᾽ αὖτις ἐναντίος· ἀλλά μιν Ἴδας
Οὔτασε, βεβρυχὼς δὲ θοῷ περικάππεσε δουρί.

Refrigerans latera et vaſtum luto ventrem,
Aper albis dentibus, horrendum monſtrum, quem et ipſæ
Nymphæ paluſtres aliquantulum metuebant; nemo autem hominum
Nôrat, quippe ſolus in vaſtâ paſceretur palude.
Sed dum per limoſi ſalebras fluvii
Iret Abantiades, hic ſtatim de improviſo
Altè admodum ex cannis ſubſiliens, percuſſit femur
Impetuosè, medioſque cum oſſe nervos diſſecuit.
Acutum autem ille vociferatus, humi corruit; ſociique, eo vulnerato,
Frequentes occlamârunt: at ſubitò intendit ſævo
Peleus irritum jaculum in paludem irruenti
Apro, qui iterum prorupit contrarius, Idaſque ei
Vulnus impegit, adeo ut frendens veloci indueretur haſtâ.

821. Ψυχόμενος] τῷ ψυχρῷ βρεχόμενος. Schol.

823. Ἑλειονόμοι] αἱ ἐν τοῖς ἕλεσι διατρίβουσαι. Schol.

824. Τῖφος] ὁ ἰλυώδης τόπος. Schol.

825. Ἀνὰ θρωσμοὺς] ἀντὶ τοῦ, κατὰ τὰς ἀναβολὰς καὶ ἀναβάσεις, καὶ καθόδους. Schol.

826. Ἀφραστοιο] Ἄφραστον, ἀπροσδόκητον. Schol.

830. Ὀρέξατο] τὸ ἔτεινε σημαίνει, Schol.

831. Αἰγανέην] ἢ παρὰ τὸ ἄγαν ἰέναι· ἢ διὰ τὴν ἀγκύλην τὴν ἐξ αἰγείου δέρματος γεγονημένην· ἢ διὰ τὰς αἶγας, παρὰ τὸ ἐπ᾽ αὐτὰς ἱέναι. Schol.

833. Θοῷ] θοὸν τὸ ὀξύ. Schol.

Καὶ τὸν μὲν χαμάδις λίπον αὐτόθι πεπτηῶτα·
Τὸν δ' ἕταροι ἐπὶ νῆα φέρον ψυχορραγέοντα,
Ἀχνύμενοι· χείρεσσι δ' ἑῶν ἐνὶ κάτθαν' ἑταίρων.
Ἐνθάδε ναυτιλίης μὲν ἐρητύοντο μέλεσθαι,
Ἀμφὶ δὲ κηδείῃ νέκυος μίμνον ἀχαλέοντες.
Ἤματα δὲ τρία πάντα γόων· ἑτέρῳ δέ μιν ἤδη
Τάρχυον μεγαλωστί· συνεκτερέϊζε δὲ λαὸς
Αὐτῷ ὁμοῦ βασιλῆϊ Λύκῳ· παρὰ δ' ἄσπετα μῆλα,
Ἣ θέμις οἰχομένοισι, ταφήϊα λαιμοτόμησαν.
Καὶ δή τοι κέχυται τοῦδ' ἀνέρος ἐν χθονὶ κείνῃ
Τύμβος· σῆμα δ' ἔπεστι καὶ ὀψιγόνοισιν ἰδέσθαι,
Νηίου ἐκ κοτίνοιο φάλαγξ· θαλέθει δέ τε φύλλοις
Ἄκρης τυτθὸν ἔνερθ' Ἀχερουσίδος. Εἰ δέ με καὶ τὸ

Et hunc quidem humi liquerunt ibi proſtratum.
Illum verò ſocii ad navem ferebant palpitantem
Mœſti; interque manus ſuorum mortuus eſt ſodalium.
Tunc autem a curâ navigationis prohibiti
Circa ſepulturam mortui verſabantur triſtantes.
Dies quidem tres integros lugebant, at quarto ipſum
Funerârunt magnificè; unáque exequias celebrabat populus
Cum ipſo rege Lyco; juxtaque multa pecora
Prout fas eſt mortuis, funebria jugulârunt.
Et severà extructus eſt illius viri in eâ tellure
Tumulus, monumentumque ineſt vel poſteris viſu,
Nautico ex oleaſtro palanga, foliiſque frondet
Paululum infra promontorium Acheruſium. Quod ſi me hoc etiam

835. Ψυχορραγέοντα] ἀποψυχοῦντα. Schol.

838. Κηδείῃ] Κηδείαν δὲ λέγει τὸ ἐπὶ τῷ νεκρῷ πένθος. Schol.

840. Μεγαλωστὶ] μεγαλοπρεπῶς. Schol.

844. Τύμβος σῆμα δ', &c. Monet Hœlzlinus haud incommodè huc conferri poſſe quæ ſcripta ſunt de Miſeno, Æn. VI. et de Elpenore. Ulyſſ. λ. et μ.

845. Νηίου ἐκ κοτίνοιο] κότινος οὐ μόνον ὁ ἀγριέλαιος, ἀλλὰ καὶ ὁ ἄκαρπος ἐλαία. Φάλαγξ δὲ, τὸ ἐπίμηκες καὶ στρογγύλον ξύλον. πολλὰς δὲ τοιαύτας εἶχον φάλαγγας οἱ ἀρχαῖοι πρὸς τὰς πολκίας, ἀφ' ὧν ἐπὶ τοῦ τοῦ Ἰδμονος τάφου καὶ περιέμενον τοῦ Ὀρφέως μέλος λαβόντες περιέπηξαν, ἥτις βλαστήσασα, ἔτι καὶ νῦν διαμένει. περὶ τούτου δὲ καὶ Ἡρόδωρος εἴρηκεν. Schol.

Χρειὼ

Χρειὼ ἀπηλεγέως Μούσῃσιν ὕπο γηρύσασθαι,
Τόνδε πολισσοῦχον διεπέφραδε Βοιωτοῖσιν
Νισαίοισί τε Φοῖβος ἐπιῤῥήδην ἱλάεσθαι,
Ἀμφὶ δὲ τήν γε φάλαγγα παλαιγενέος κοτίνοιο
Ἄστυ βαλεῖν. Οἱ δ' ἀντὶ θεουδέος Αἰολίδαο
Ἴδμονος εἰσέτι νῦν Ἀγαμήστορα κυδαίνουσιν.
Τίς γὰρ δὴ θάνεν ἄλλος; ἐπεὶ καὶ ἔτ' αὖτις ἔχευαν
Ἥρωες τότε τύμβον ἀποφθιμένου ἑτάροιο.
Δοιὰ γὰρ οὖν κείνων ἔτι σήματα φαίνεται ἀνδρῶν.
Ἀγνιάδην Τῖφυν θανέειν φάτις· οὐδέ οἱ ἦεν
Μοῖρ' ἔτι ναυτίλλεσθαι ἑκαστέρω, ἀλλά νυ καὶ τὸν

Oporteat intrepidè per Mufas canere,
Hunc urbis patronum enunciavit Bœotis
Phœbus Nifæifque nominatim invocandum;
Circaque hanc palangam antiqui oleaftri
Fundandam effe urbem. Illi verò pio pro Æoli nepote
Idmone, in hodiernum Agameftora venerantur.
Quifnam autem alius mortuus eft? nam rurfus extruxerunt
Heroes tunc fepulchrum defuncto focio.
Duo enim illorum adhuc monumenta apparent virorum.
Agniadem Tiphyn interiiffe fama eft, nec erat illi
Fatis decretum ut ulterius navigaret, fed eum quoque

847. Χρειὼ ἀπηλεγέως] εἰ δεῖ με, φησί, καὶ τοῦτο δεῖ ἁπλῶς καὶ κατὰ ἀλήθειαν ἐξειπεῖν, οὗτός ἐστιν ὁ Ἴδμων ὃν ἐχρησμῴδησεν ὁ θεὸς ἐξιλάσκεσθαι Μεγαρεῦσι καὶ Βοιωτοῖς, ὅτε τὴν Ἡράκλειαν ἔμελλον κτίζειν. τοῦτο δὲ ἔφη ὁ Ἀπολλώνιος ὡς μὴ εἰδότων τῶν Ἡρακλεωτῶν τίς εἴη ὁ τεθαμμένος παρ' αὐτοῖς, καὶ χρησμῳδηθεὶς εἶναι πολιοῦχος ὑπὸ τοῦ θεοῦ. λέγει δὲ καὶ Προμαθίδας, ὅτι διὰ τὸ ἀγνοεῖν ὅστις εἴη, ἐπιχώριον ἥρωα καλοῦσιν οἱ Ἡρακλεῶται. ὅτι δὲ Βοιωτοὶ καὶ Μεγαρεῖς ἔκτισαν τὴν ἐν Πόντῳ Ἡράκλειαν, καὶ Ἔφορος ἐν πέμπτῳ, καὶ ἄλλοι ἱστοροῦσιν. Schol.

849. Ἐπιῤῥήδην] ὅτι διαῤῥήδην καὶ φανερῶς ἐπικαλεῖν αὐτὸν πολιοῦχον ὁ θεὸς προσέταξεν. Schol.

850. Ἀμφὶ δὲ τήν γε] περὶ δὲ τὸν ἀγριέλαιον τὸν ἐπιπεφυκότα τῷ Ἴδμονος τάφῳ ἐθέσπισεν ὁ θεὸς τοῖς Μεγαρεῦσι καὶ Βοιωτοῖς τὴν πόλιν κτίσαι. λέγει δὲ τὴν Ἡράκλειαν. ἐν γὰρ τῇ ἀγορᾷ τῶν Ἡρακλεωτῶν ὑπάρχει ὁ τάφος, ὥς φησιν Ἡρόδωρος, ἐφ' οὗ ἐστιν ὁ ἀγριέλαιος. Schol.

851. Οἱ δ' ἀντὶ θεουδέος] ὅτι τὸν τάφον τοῦ Ἀγαμήστορος, λέγουσι τινὸς ἥρωος ἐπιχωρίου. Schol.

856. Ἀγνιάδην Τῖφυν] ὅτι ἐν τῇ Ἡρακλείᾳ τέθνηκεν καὶ ὁ Τῖφυς, ὥς φησι Νύμφις. Ἡρόδωρος δέ φησιν ὅτι οὐκ ἀποπλεόντων εἰς Κόλχους τέθνηκεν ὁ Τῖφυς, ἀλλ' ὑποστρεφόντων. Schol.

Αὐθι

Αὖθι μινυνθαδίη πάτρης ἑκὰς εὔνασε νοῦσος,
Εἰσότ' Ἀβαντιάδαο νέκυν κτερέϊζεν ὅμιλος.
Ἄτλητον δ' ὀλοῷ ἐπὶ πήματι κῆδος ἕλοντο.
Δὴ γὰρ ἐπεὶ καὶ τόνδε παρασχεδὸν ἐκτερέϊξαν
Αὐτοῦ, ἀμηχανίῃσιν ἁλὸς προπάροιθε πεσόντες,
Ἐντυπὰς εὐκήλως εἰλημένοι, οὔτε τι σίτου
Μνώοντ' οὔτε ποτοῖο· κατήμυσαν δ' ἀχέεσσι
Θυμόν· ἐπεὶ μάλα πολλὸν ἀπ' ἐλπίδος ἔπλετο νόστος.
Καί νύ κε τι προτέρω τετιημένοι ἰσχανόωντο,
Εἰ μὴ ἄρ' Ἀγκαίῳ περιώσιον ἔμβαλεν Ἥρη
Θάρσος, ὃν Ἰμβρασίοισι παρ' ὕδασιν Ἀστυπάλαια
Τίκτε Ποσειδάωνι· περιπρὸ γὰρ εὖ ἐκέκαστο
Ἰθύνειν· Πηλῆα δ' ἐπεσσύμενος προσέειπεν.

Ibi breviculus a patriâ longè ſopivit morbus,
Dum Abantis filii cadaver ſepeliret cœtus.
Difficilem verò toleratu gravi ex jacturâ dolorem ceperunt.
Nam poſtquam hunc etiam juxtà funerâſſent,
Ibi, præ deſperatione ante mare prolapſi,
Quietè, ſtrictim obvoluti, neque cibi
Nec potûs recordabantur, ſed macerabant præ dolore
Animum, quoniam reditûs ſpes longius ablata eſſet.
Ac ſane quid ulterius exanimati, detenti fuiſſent,
Niſi Ancæo ſingularem injeciſſet Juno
Audaciam (quem juxta Imbraſi aquas Aſtypalæa
Peperit Neptuno, eximiè enim inſtructus erat peritiâ
Gubernandi) qui Pelea incitatus increpuit.

859. Εἰσότ' Ἀβαντιάδαο] ἐν ὅσῳ ἔθαψαν τὸν Ἴδμονα, ἐν τοσούτῳ καὶ ὁ Τῖφυς νοσήσας ἐτελεύτησεν. Schol.

860. Κῆδος] ἡ λύπη. Schol.

861. Παρασχεδὸν] ἐγγύς. ἢ, ἐν τῷ μεταξύ. Schol.

864. Κατήμυσαν] ἐσύγνασαν ταῖς λύπαις. κατεκλίθησαν. Schol.

865. Ἐπεὶ μάλα] ὅτι ἀπηλπίκεισαν τὴν σωτηρίαν παντάπασιν. Schol.

868. Ἰμβρασίοισι] Ἴμβρασος ποταμὸς Σάμου, πρότερον Παρθένιος λεγόμενος. Καλλίμαχος "ἀντὶ γὰρ ἐκλήθης Ἴμβρασε Παρθενίου." Ἀστυπάλαια, ὅτι Ποσειδῶνος καὶ Ἀστυπαλαίας τῆς Φοίνικος ὁ Σάμιος Ἀγκαῖος ἦν παῖς, ὃς ἐκυβέρνα τὴν ναῦν μετὰ τὴν Τίφυος τελευτήν, καὶ Σιμωνίδης ὁ γενεαλόγος ὁμοίως τῷ Ἀπολλωνίῳ γενεαλογεῖ. Schol.

869. Περιπρὸ γὰρ εὖ] ἀντὶ τοῦ διαφερόντως. Schol.

Αἰακίδη,

Αἰακίδη, πῶς καλὸν ἀφειδήσαντας ἀέθλων
Γαίῃ ἐν ἀλλοδαπῇ δὴν ἔμμεναι; οὐ μὲν Ἄρηος
Ἴδριν ἐόντα με τόσσον ἄγει μετὰ κῶας Ἰήσων
Παρθενίης ἀπάνευθεν, ὅσον τ' ἐπιΐστορα νηῶν.
Τῷ μή τοι τυτθόν γε δέος περὶ νηῒ πελέσθω.
Ὣς δὲ καὶ ἄλλοι δεῦρο δαήμονες ἄνδρες ἔασι,
Τῶν ὅτινα πρύμνης ἐπιβήσομεν, οὔτις ἰάψει
Ναυτιλίην· ἀλλ' ὦκα παραιφάμενος τάδε πάντα,
Θαρσαλέως ὀρόθυνον ἐπιμνήσασθαι ἀέθλου.
Ὣς φάτο· τοῖο δὲ θυμὸς ὀρέξατο γηθοσύνῃσιν.
Αὐτίκα δ' οὐ μετὰ δηρὸν ἐνὶ μέσσοις ἀγόρευσε.
Δαιμόνιοι, τί νυ πένθος ἐτώσιον ἴσχομεν αὔτως;
Οἱ μὲν γάρ ποθι τοῦτον ὃν ἔλλαχον οἶτον ὄλοντο.
Ἡμῖν μὲν γὰρ ἔασι κυβερνητῆρες ὁμίλῳ
Καὶ πλέες· τῷ μή τι διατριβώμεθα πείρης·

Æaci fili, quomodo honestum sit, neglectis certaminibus,
In alienâ terrâ diu manere? non sane Martis
Adeo peritum me ducit ad vellus Jason
E Partheniâ, quàm naves gubernandi scientem.
Non est igitur quod vel tantillum metuas navigio.
Quin et alii hìc periti viri sunt,
Quorum quemcunque puppi præfecerimus, nemo pessum sit daturus
Classem: idcirco celeriter admonens hæc omnia
Audacter incita ut memores sint certaminis.
Sic dixit; illius autem animus gliscebat gaudio,
Nec diu post inter medios concionatus est.
Boni viri, quare nunc dolorem vanum retinemus frustra?
Illi enim aliquando, eo quod sortiti sunt, fato interierunt.
Nobis autem supersunt gubernatores in cœtu,
Et quidem multi: quare nihil differamus profectionem;

874. Παρθενίης ἀπάνευθεν] Παρθενία δὲ ἡ Σάμος. ἐκέχρητο γὰρ πολλοῖς ὀνόμασι. καὶ γὰρ Μελάνθεμος καὶ Παρθενία καὶ Ἀνθεμοῦσα ἐκαλεῖτο. Schol.

877. Ὅτινα] ἀντὶ τοῦ ὅντινα. ὡς γὰρ ὅτου καὶ ὅτῳ λέγομεν, οὕτω καὶ ὅτινα ποιητικῶς. Τὸ δὲ ἰάψει, ἀντὶ τοῦ βλάψει καὶ διαφθερεῖ τὸν πλοῦν. Schol.

880. Ὀρέξατο] ὄρεξιν ἔλαβεν, καὶ οἷον πρόθυμος ἐγένετο. Schol.

Ἀλλ'

Ἀλλ' ἔγρεσθ' εἰς ἔργον, ἀπορρίψαντες ἀνίας.
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἀμηχανέων προσέειπεν.
Αἰακίδη, πῇ δ' οἵδε κυβερνητῆρες ἔασιν;
Οὓς μὲν γὰρ τοπάροιθε δαήμονας εὐχόμεθ' εἶναι,
Οἵδε κατηφήσαντες ἐμεῦ πλέον ἀσχαλόωσι.
Τῷ καὶ ὁμοῦ φθιμένοισι κακὴν προτιόσσομαι ἄτην,
Εἰ δὲ μήτ' ὀλοοῖο μετὰ πτόλιν Αἰήταο
Ἔσσεται, ἠὲ καὶ αὖτις ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
Πετράων ἔκτοσθε· κατ' αὐτόθι δ' ἄμμε καλύψει
Ἀκλειῶς κακὸς οἶτος ἐτώσια γηράσκοντας.
Ὣς ἔφατ'· Ἀγκαῖος δὲ μάλ' ἐσσυμένως ὑπέδεκτο
Νῆα θοὴν ἄξειν· δὴ γὰρ Θεοῦ ἐτράπετ' ὁρμῇ.

Sed incitemini ad opus, diſcuſſâ triſtitiâ.
Huic autem Æſonis filius animi incertior reſpondit.
Æaci nate, ubinam ſunt illi gubernatores?
Quos enim antea peritos gloriabamur eſſe,
Illi deſperantes, plus quàm egomet, triſtantur.
Quare ſimul cum mortuis malum prævideo fatum,
Si nec ad ſævi urbem Æetæ
Concedetur, nec rurſus in terram Græciam venire,
Vitatis ſaxis; ſed nos hoc loco cooperiet
Turpitèr malus interitus inaniter ſeneſcentes.
Sic locutus eſt: Ancæus autem valde celeriter ſubjecit
Se navem celerem gubernaturum; certè enim numinis impellebatur motu.

890. Κατηφήσαντες] κατηφῆσαι ἀντὶ τοῦ δυσανασχετῆσαι. Schol.

891. Τῷ καὶ ὁμοῦ] διὸ καὶ σὺν τοῖς ἀπολλυμένοις καὶ αὐτὸς προορῶμαι τὴν ἀπώλειαν.. Schol.

896. Ἀγκαῖος δὲ, &c. Ancæus ille, artis navigandi peritus, ideoque forſan dictus Neptuni filius, Tiphy mortuo, ad clavum admotus eſt, teſtibus Apollonio, Orpheo, aliiſque. At *Val. Flaccus Erginum* dat Tiphyi ſucceſſorem; idque ſuffragio ipſius navis fatidicæ Argûs, Herodorum forſan (quem hìc citat Scholiaſtes) ſecutus.

Mœſti omnes dubiique ratem fidiſſima cujus
Dextra reget, ſimul Ancæus ſolerſque petebant
Nauplius: *Erginum fato movet ipſa monenti*
*Quercus, et ad tonſas victi rediere magiſtri.* Upt.

897. Ἐτράπετ' ὁρμῇ] Μαντικὸς καὶ μετετράπη εἰς θαλαττουργίαν ὁ Ἀγκαῖος. Ἡρόδωρος Ἐργῖνον φησὶ κυβερνῆσαι τὴν Ἀργὼ μετὰ τὸν θάνατον Τίφυος. Schol.

Τὸν

Τὸν δὲ μετ' Ἐργῖνος καὶ Ναύπλιος Εὔφημός τε
Ὄρνυντ' ἰθύνειν λελιημένοι· ἀλλ' ἄρα τούς γε
Ἔσχεθον· Ἀγκαίῳ δὲ πολέες ᾔνησαν ἑταῖροι.
Ἠῷοι δ' ἤπειτα δυωδεκάτῳ ἐπέβαινον
Ἤματι· δὴ γάρ σφιν ζεφύρου μέγας ἔρρεεν ἄηρ.
Καρπαλίμως δ' Ἀχέροντα διεξεπέρησαν ἐρετμοῖς.
Ἐκ δ' ἔχεαν πίσυνοι ἀνέμῳ λίνα, πουλὺ δ' ἐπιπρὸ
Λαιφέων πεπταμένων τέμνον πλόον εὐδιόωντες.
Ὦκα δὲ Καλλιχόροιο παρὰ προχοὰς ποταμοῖο
Ἤλυθον· ἔνθ' ἐνέπουσι Διὸς Νυσήϊον υἷα,
Ἰνδῶν ἡνίκα φῦλα λιπὼν κατενάσσατο Θήβας,
Ὀργιάσαι, στῆσαί τε χοροὺς ἄντροιο πάροιθεν,

Post illum autem Erginus et Nauplius Euphemusque
Surrexerunt, gubernandi cupidi; sed illis
Cohibitis, Ancæo plures suffragabantur socii.
Manè autem deinceps duodecimo conscenderunt
Die; illis enim zephyri plenus flatus aspirabat.
Statim autem Acheronta præterlegerunt remis,
Expanderuntque confisi vento lintea, ac longe ulterius
Velis passis, secuerunt navigationem, tempestatum immunes.
Statim autem Callichori ad ostia fluvii
Venerunt, ubi ferunt filium Jovis Nysæum,
Quando, relictis Indorum gentibus, se ad Thebas habitandum transtulit,
Orgia celebrâsse, chorosque instituisse ante antrum,

903. Καρπαλίμως] ταχέως διὰ τοῦ Ἀχέροντος ἐξήλασαν ποταμοῦ. ἔτυχον γὰρ μέχρι ϛ' σταδίων ἀναπλεύσαντες, διὰ τοῦ Ἀχέροντος καθορμισάμενοι, ὥς φησι καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις. Schol.

906. Ὦκα δὲ Καλλιχόροιο] ποταμὸς Παφλαγονίας ἱερὸς Διονύσου περὶ Ἡράκλειαν, οὗ μέμνηται καὶ Καλλίμαχος. ἔξεισι δὲ διὰ συμμέτρων διαστῶν: οὕτω δὲ κέκληται ἀπὸ τοῦ τὸν Διόνυσον αὐτόθι στῆσαι χορὸν, ὅτε ἀπὸ Ἰνδῶν ὑπέστρεψε. τοῦτον δὲ πάλιν Ὀξείνοντα ἐκάλει. ὅτι δὲ κατεπολέμησεν Ἰνδοὺς ὁ Διόνυσος, Διονύσιος φησὶ, καὶ Ἀπολλόδωρος ἐν πρώτῳ Θηβαϊκῶν ἐπιγραφομένῳ, καὶ Κλείταρχος ἐν ταῖς περὶ Ἀλεξάνδρου ἱστορίαις προσιστορῶν ὅτι καὶ Νύσα ὄρος ἐστὶν ἐν Ἰνδικῇ καὶ κισσῷ παρεμφερὲς φυτὸν φυτεύεται ἐκεῖ, ὃ προσαγορεύεται σκινδαψός. ὡσαύτως δὲ καὶ Χαμαιλέων ἱστόρησεν ἐν πέμπτῳ περὶ Ἰλιάδος. Schol.

Ibid. Ὦκα δὲ Καλλιχόροιο — Quem locum exprimens Val. Flaccus in quinto ita canit,

Ὧι ἐν ἀμειδήτους ἁγίας ηὐλίζετο νύκτας·
Ἐξ οὗ Καλλίχορον ποταμὸν περιναιετάοντες,
Ἠδὲ καὶ Αὔλιον ἄντρον ἐπωνυμίην καλέουσιν.
Ἔνθεν δὲ Σθενέλου τάφον ἔδρακον Ἀκτορίδαο·
Ὅς ῥά τ' Ἀμαζονίδων πολυθαρσέος ἐκ πολέμοιο
Ἂψ ἀνιὼν (δὴ γὰρ συνανήλυθεν Ἡρακλῆϊ)
Βλήμενος ἰῷ κεῖθεν ἐπ' αἰγιαλοῦ θάνεν ἀκτῆς.
Οὐ μέν θην προτέρω ἀνεμέτρεον· ἧκε γὰρ αὐτὴ
Φερσεφόνη ψυχὴν πολυδάκρυον Ἀκτορίδαο
Λισσομένην, τυτθόν περ ὁμήθεας ἄνδρας ἰδέσθαι.
Τύμβου δὲ στεφάνης ἐπιβὰς σκοπιάζετο νῆα,
Τοῖος ἐὼν οἷος πόλεμόνδ' ἴεν. ἀμφὶ δὲ καλὴ

In quo horrendas, castas dormiebat noctes.
Ex quo Callichorum fluvium circumhabitantes
Antrumque Aulium cognomento vocant.
Inde autem Stheneli sepulchrum conspicati sunt Actore geniti,
Qui ex Amazonum præforti bello
Revertens, (unà enim ierat cum Hercule)
Sagittâ ictus, ibi maritimum ad litus occubuit.
Nec multum ulterius procurrebant; dimisit enim ipsa
Persephone animam flebilem Actoridæ
Orantem, ut paululum modò viros sui ordinis intueretur.
Summo itaque conscenso tumulo, conspicabatur navem,
Talis existens qualis ad bellum ierat, circum autem pulchra

Inde premente pede tristes Acherusidas undas
Præterit, et festâ vulgatum nocte Lyæi.
Callichoron. —— Upt.

910. Ὧι ἐν ἀμειδήτους] ἤτοι φοβερὰς διὰ τὰ μυστήρια τοῦ θεοῦ. ἢ ὅτι φοβεραὶ εἰσὶν αἱ νύκτες. Εὐριπίδης. "νύκτωρ τὰ πολλὰ σεμνότητ' ἔχει σκότος." Schol.

913. Σθενέλου τάφον] ἐν τῇ Παφλαγονίᾳ Σθενέλου τάφος ἐστὶ τοῦ Ἄκτορος· ὃς συστρατεύσας Ἡρακλεῖ ἐπ' Ἀμαζόνας, τραυματίας ἀνῃρέθη· καὶ ἐτάφη κατ' ὁδὸν περὶ τὴν Παφλαγονίαν. τὴν δὲ περὶ Σθενέλου ἱστορίαν εἴληφε παρὰ Προμαθίδα, τὰ δὲ περὶ τῶν ἄλλων αὐτὸς ἔπλασεν. Schol.

Ibid. Ἔνθεν δὲ Σθενέλου —— Confer Val. Flacc. V. 90.

917. Ἀνεμέτρεον] ἀντὶ τοῦ παρέπλεον. Schol.

Ibid. Ἀνεμέτρεον. Ald. et Flor. ἐν' ἐμέτρεον.

920. Στεφάνης] στεφάνην, τὴν ἀκμήν. Schol.

Τετράφαλος

Τετράφαλος φοίνικι λόφῳ ἐπελάμπετο πήληξ.
Καί ῥ' ὁ μὲν αὖτις ἔδυνε μέγαν ζόφον· οἱ δ' ἐσιδόντες
Θάμβησαν· τοὺς δ' ὦρσε θεοπροπέων ἐπικέλσαι
Ἀμπυκίδης Μόψος, λοιβῇσί τε μειλίξασθαι.
Οἱ δ' ἀνὰ μὲν κραιπνῶς λαῖφος σπάσαν, ἐκ δὲ βαλόντες
Πείσματ' ἐν αἰγιαλῷ Σθενέλου τάφον ἀμφεπένοντο,
Χύτλα τέ οἱ χεύοντο, καὶ ἥγνισαν ἔντομα μήλων.
Ἄνδιχα δ' αὖ χύτλων νηοσσόῳ Ἀπόλλωνι
Βωμὸν δειμάμενοι μῆλ' ἔφλεγον· ἂν δὲ καὶ Ὀρφεὺς
Θῆκε λύρην· ἐκ τοῦ δὲ Λύρη πέλει οὔνομα χώρῳ.
Αὐτίκα δ' οἵγ', ἀνέμοιο κατασπέρχοντος, ἔβησαν

Quatuor criſtis, purpureo cono, affulgebat galea.
Et hic rurſus ſubiit vaſtam caliginem: illi autem, eo viſo,
Obſtupuerunt; quos hortabatur vaticinans ut appellerent
Ampyci filius Mopſus, placarentque *ſpectrum* libamentis.
Illi igitur celeriter velum collegerunt, et ejectis
Retinaculis, in litore circa Stheneli tumulum occupabantur.
Libaminaque ei fuderant, ac cremârunt inciſa pecudum.
At ſeorſim a parentatione, Apollini navium tutelæ
Extructâ arâ, pecora uſſerunt; et inſuper Orpheus
Dedicavit lyram, ex quo Lyra loco nomen eſt.
Statim autem illi, vento inurgente, conſcenderant

922. Τετράφαλος. &c. *Quadruplicem* galeam heroi ſuo tribuit Apollonius. Solenne fuit heroibus diſcerni ab aliis galeâ *triplici* cono inſigni. Interpres Eurip. in Oreſte. Ἥρωες τριλόφοις ἐχρῶντο. Virg. Æn. VII. 785.

> Cui *triplici* crinita jubâ galea
> alta Chimæram
> Suſtinet.

928 Ἥγνισαν] ἀντὶ τοῦ ἱερούργησαν καὶ ἔκαυσαν. Schol.

Ibid. Janus Rutgerſius in variis lectionibus putat legendum eſſe ἐνήγισαν, quod mihi quoque arriſerat magis, qui noſſem ἁγνίζειν eſſe *purgare* aut *luſtrare*: ἁγίζειν, ἁγίοις *imponere aris*, θυμιᾶν, et *adolere*. Hœlz.

931. Ἐκ τοῦ δὲ Λύρη] οὕτως μὲν φησὶν ἐπὶ τοῦ τοῦ Ἀπόλλωνος βωμοῦ τὴν λύραν ἀνατεθεῖσθαι ὑπὸ Ὀρφέως· (διὸ καὶ τὴν χώραν ὠνομάσθαι) ὁ δὲ Προμαθίδας ἐπὶ στήλης τινος. Schol.

Ibid. —— ἐκ τοῦ δὲ Λύρη πέλει οὔνομα χώρῳ.

Hinc Val. Flacc. V. 101.

> —— *nomenque reliquit arenis.*

Upt.

Νῆ' ἔπι· κὰδ δ' ἄρα λαῖφος ἐρυσσάμενοι τανύοντο
Ἐς πόδας ἀμφοτέρους· ἡ δ' ἐς πέλαγος πεφόρητο
Ἐντενές· ἠΰτε τίς τε δι' ἠέρος ὑψόθι κίρκος
Ταρσὸν ἐφεὶς πνοιῇ, φέρεται ταχὺς, οὐδὲ τινάσσει
Ῥιπὴν, εὐκήλοισιν ἐνδιόων πτερύγεσσιν.
Καὶ δὴ Παρθενίοιο ῥοὰς ἁλιμυρήεντος
Πρηϋτάτου ποταμοῦ παρεμέτρεον· ᾧ ἔνι κούρη
Λητωὶς ἄγρηθεν ὅτ' οὐρανὸν εἰσαναβαίνει,
Ὃν δέμας ἱμερτοῖσιν ἀναψύχει ὑδάτεσσιν.
Νυκτί τ' ἔπειτ' ἄλληκτον ἐπιπροτέρωσε θέοντες,
Σήσαμον, αἰπεινούς τε παρεξενέοντ' Ἐρυθίνους,

In navem, velumque detractum expanderunt
In pedes utrosque: illa verò per pelagus ferebatur
Vehementèr, tanquam aliquis per aerem in sublimi accipiter
Alis auræ immissis fertur velociter, neque quatit se
Inter projiciendum, quietis immotus existens alis.
Et sane Parthenii fluenta maritimi,
Tranquillissimi fluvii, præternavigârunt, in quo filia
Latonæ, quando a venatu in cœlum ascendit,
Corpus suum amabilibus refrigerat aquis.
Nocte autem deinde indesinenter ulterius procurrentes,
Sesamum, et excelsos præterierunt Erythinos,

934. Ἐς πόδας ἀμφοτέρους. Πῶς, τὸ χαλῶν τὰ ἑκάτερθεν τοῦ ἱστοῦ, Schol. in Eurip. Orestem. Velum igitur in utrumque pedem dimittere, est veli sinus utrinque alligare, adeoque plenis navigare velis. II. 926. Hœl.

935. Ἐντενές] συντόνως. ταρσὸν δὲ τὸ σῶμα φησίν, δηλοῖ δὲ τὰς πτέρυγας. Schol.

938. Καὶ δὴ Παρθενίοιο ῥοὰς] ποταμὸς Παφλαγονίας. ἐνταῦθα δὲ τὰ ῥεύματα περὶ πόλιν Σήσαμον. τὸ δὲ ὕδωρ αὐτοῦ ἐν πᾶσι περιέρχεται. Παρθένιον δέ φησιν αὐτὸν ὀνομασθῆναι Καλλισθένης, διὰ τὸ τὴν Ἄρτεμιν ἐν αὐτῷ λούεσθαι. ἔνιοι δὲ διὰ τὸ ἡσύχιον τοῦ ῥεύματος καὶ ἤρεμον, φασὶν οὕτω προσαγορευθῆναι. Sohol.

943. Σήσαμον] Σήσαμος, πόλις Παφλαγονίας. Ὅμηρος, "καὶ Σήσαμον ἀμφενέμοντο." τὸ δὲ Σήσαμον μετωνομάσθη Δάμαστρις, ἀπὸ Δαρείου ἀδελφοῦ θυγατρός. ἐκλήθη δὲ τὴν ἀρχὴν ἀπὸ τοῦ σήσαμον λαβεῖν παρὰ Καρῶν ἀντὶ τῆς χώρας, βουλόμενοι κτίσαι τὴν πόλιν. Ἐρυθῖνοι δὲ, οὕτω λεγόμενοι λόφοι περὶ Παφλαγονίαν. οὕτω δὲ λέγονται διὰ τὴν ἐρυθρότητα τοῦ χρώματος. εἰσὶ γὰρ τοιοῦτοι. καὶ Ὅμηρος αὐτῶν μέμνηται. "καὶ ὑψηλοὺς Ἐρυθίνους." Schol.

Ibid. Τὸ δὲ Σήσαμον μετωνομάσθη Δάμαστρις. Mendosè pro Ἄμαστρις, [illegible] Strabo lib. II. tradit, Ἄμαστρις δὲ ἦν

Κρωβίαλον,

Κρωβίαλον, Κρῶμνάν τε, καὶ ὑλήεντα Κύτωρον.
Ἔνθάδε αὖτε Κάραμβιν ἅμ' ἠελίοιο βολῇσι
Γνάμψαντες, παρὰ πουλὺν ἔπειτ' ἤλαυνον ἐρετμοῖς
Αἰγιαλὸν, πρόπαν ἦμαρ ὁμῶς, καὶ ἐπ' ἤματι νύκτα.
Αὐτίκα δ' Ἀσσυρίης ἐπέβαν χθονὸς ἔνθα Σινώπην
Θυγατέρ' Ἀσωποῖο καθίσσατο, καί οἱ ὄπασσε

Crobialum item et Cromnan, ſylvoſumque Cytorum.
Inde autem Carambim cum ſolis radiis
Circumvecti, longum prænavigârunt remis
Litus, per diem totum, et exacto die, noctem.
Continuò autem Aſſyriam venerunt in terram, quò Sinopam
Aſopi filiam collocârat, et ei dederat

γυνὴ Διονυσίου τοῦ Ἡρακλείας τυράννου, θυγάτηρ δὲ Ὀξυάθρου τοῦ Δαρείου ἀδελφοῦ, τοῦ κατ' Ἀλέξανδρον. Euſtathius in Il. II. eadem refert, quem petas licebit.

944. Κρωβίαλον] πόλις περὶ Παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν γεωγραφουμένοις· παρ' Ὁμήρῳ δὲ μεταγράφει ἀντὶ τοῦ Κρῶμνάν τ' Αἰγιαλόν τε, Κρῶμναν Κρωβίαλόν τε. Ὑλήεντα δὲ εἶπεν, διὰ τὸν πύξον ἐκεῖ πολλὴν γίνεσθαι. Schol.

Ibid. Κρωβίαλον —— Val. Flacc. 103 — 106.

945. Mavult Stephanus ἐνθάδε δ' αὖτε. In Flor. et Ald. ἐνθα δ' αὖτε, verſu non ſtante.

947. Αἰγιαλὸν] ἔστι γὰρ αἰγιαλὸς σταδίων μυρίων κάμψαντι τὴν Κάραμβιν μέχρι Σινώπης. Schol.

948. Αὐτίκα δ' Ἀσσυρίης] Ἀσσυρίαν εἶπε τὴν Συρίαν τὴν Καππαδοκίαν. ἐκαλεῖτο γὰρ πάλαι Συρία, διὰ τὸ τὸν Ἅλυν ποταμὸν μεταξὺ Σύρων καὶ Παφλαγόνων ῥέοντα, φησὶν, εἰς τὸν Εὔξεινον ἐκδιδόναι πόντον. τινὲς δὲ τὴν ἀρχαίαν Λευκοσυρίαν αὐτὴν ἐκάλουν. Ἔνθα Σινώπην. πόλις τοῦ Πόντου ἡ Σινώπη, ὀνομασθεῖσα ἀπὸ τῆς Ἀσωποῦ θυγατρὸς Σινώπης, ἣν ἁρπάσας ὁ Ἀπόλλων, κατὰ Φιλοστέφανον, ἀπὸ Βοιωτίας ἐκόμισεν εἰς τὸν Πόντον· καὶ μιγεὶς αὐτῇ, ἔσχε Σύρον, ἀφ' οὗ οἱ Σύροι. τὴν δὲ τῶν Ἀσσυρίων χώραν, Λευκόσυρον φησὶ καλεῖσθαι Ἄνδρων ἐν τῷ περὶ Πόντου, κατὰ ἀντίφρασιν τῶν ἐν τῇ Φοινίκῃ Σύρων. ὁ δὲ Τήϊος Ἄνδρων φησὶ μίαν τῶν Ἀμαζόνων φυγοῦσαν εἰς Πόντον γήμασθαι τῷ τῶν τόπων ἐκείνων βασιλεῖ. πίνουσάν τε πλεῖστον οἶνον, ὀνομασθῆναι Σανάπην. ἐπειδὴ μεταφραζόμενον τοῦτο σημαίνει τὴν πολλὰ πίνουσαν. ὅτι δέ τινες τοὺς Ἀσσυρίους Λευκοσύρους λέγουσι, φησὶ καὶ Ἀρτεμίδωρος. ἐν δὲ τοῖς Ὀρφικοῖς, Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται ἡ Σινώπη. κατὰ δέ τινας Ἄρεος καὶ Παρνάσσης· κατ' Εὔμηλον καὶ Ἀριστοτέλην, Ἀσωποῦ. καὶ οὗτος μὲν φησὶν ὅτι Ἅλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα, καὶ Δία, αἰτησαμένη παρ' αὐτῶν πρότερον, ἵν' ἐπιτύχῃ οὗ ἂν ἐθέλοι. ἔπειτα αἰτοῦσα παρθενίας ὁρίσασθαι, ταύτης ἐπέτυχεν, ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν. Φιλοστέφανος δὲ φησὶ τοὐναντίον Ἀπόλλωνι αὐτὴν μιγεῖσαν, ἀποκυῆσαι τὸν προσαγορευθέντα Σύρον· ἐπεὶ δὲ οἱ μέθυσοι Σανάπαι λέγονται παρὰ Θρᾳξὶν (ᾗ διαλέκτῳ χρῶνται καὶ Ἀμαζόνες) κληθῆναι τὴν πόλιν· ὕστερον κατὰ φθορὰν Σινώπη. ἡ δὲ μέθυσος Ἀμαζὼν ἐκ τῆς πόλεως παρήλθετο πρὸς Λυκίαν, ὡς φησὶν Ἑκαταῖος. Schol.

Παρθενίην

Παρθενίην Ζεὺς αὐτὸς ὑποσχεσίῃσι δολωθείς.
Δὴ γὰρ ὁ μὲν φιλότητος ἐέλδετο, νεῦσε δ' ὅγ' αὐτῇ
Δωσέμεναι ὅ κεν ᾗσι μετὰ φρεσὶν ἰθύσειεν.
Ἡ δέ ἑ παρθενίην ᾐτήσατο κερδοσύνῃσιν.
Ὣς δὲ καὶ Ἀπόλλωνα παρήπαφεν, εὐνηθῆναι
Ἱέμενον· ποταμόν τ' ἐπὶ τοῖς Ἅλυν· οὐδὲ μὲν ἀνδρῶν
Τήν γε τις ἱμερτῇσιν ἐν ἀγκοίνῃσι δάμασσεν.
Ἔνθα δὲ Τρικκαίοιο ἀγαυοῦ Δηϊμάχοιο
Υἷες, Δηϊλέων τε καὶ Αὐτόλυκος, Φλογίος τε,
Τῆμος ὅθ' Ἡρακλῆος ἀποπλαγχθέντες ἔναιον.
Οἵ ῥα τόθ' ὡς ἐνόησαν ἀριστήων στόλον ἀνδρῶν,
Σφᾶς αὐτοὺς νημερτὲς ἐπέφραδον ἀντιάσαντες.
Οὐδ' ἔτι μιμνάζειν θέλον ἔμπεδον, ἀλλ' ἐνὶ νηῒ

Virginitatem ipſe Jupiter pollicitis deceptus.
Ille enim amorem petebat, annuebatque ei
Illud ſe daturum, in quod ferretur vehementiore deſiderio.
Hæc autem virginitatem rogavit aſtutiâ ſuâ.
Similiter etiam Apollini fraudem fecit, concumbere
Volenti; fluvioque poſt hos Halyi; nec virorum aliquis
Hanc inter ulnas amatorias fecerat mulierem.
Hìc autem Triccæi illuſtris Deimachi
Filii, Deileon, Autolychus, et Phlogius,
Ab Hercule ſeparati, habitârunt.
Qui quamprimum intellexerunt principum navigationem virorum,
Eos ipſos accuratè rem interrogârunt, obviam facti:
Nec amplius manere voluerunt firmiter, ſed in navem

957. Τρικκαίοιο] ἡνίκα ὁ Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Ἀμαζόνας, σύμμαχοι ὄντες οἱ περὶ τὸν Αὐτόλυκον ἐπλανήθησαν, καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν. ἄλλοι δέ φασιν ἑκουσίως καταλειφθῆναι αὐτούς, ἵνα τοὺς περὶ Σινώπην καταπολεμήσωσι τόπους. Schol.

958. Δηϊλέων τε] οὗτοι καταλειφθέντες ὑπὸ Ἡρακλέους ἐπὶ τὸν τῆς Ἀμαζόνος ζωστῆρα κεχωρηκότος, φήμης διαδοθείσης ὡς ἀπόλωλεν Ἡρακλῆς, τὴν Σιναπαίαν λεγόμενον, παραπλεόντων τῶν Ἀργοναυτῶν, παρεκάλεσαν ἀναλαβεῖν αὐτοὺς τῇ νηΐ. τινὲς δέ φασιν ὅτι ἐπλανήθησαν ἀπὸ Ἡρακλέους, καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν. Schol.

Ἀργέσταο

Ἀργέσταο παρ' ἄωτον ἐπιπνείοντος, ἔβησαν.
Τοῖσι δ' ὁμοῦ μετέπειτα θοῇ πεφορημένοι αὔρῃ
Λεῖπον Ἅλυν ποταμόν, λεῖπον δ' ἀγχίρροον Ἶριν,
Ἠδὲ καὶ Ἀσυρίης πρόχυσιν χθονός· ἤματι δ' αὐτῷ
Γνάμψαν Ἀμαζονίδων ἔκαθεν λιμενήοχον ἄκρην·

Zephyro magis magisque insusurrante, conscenderunt.
Cum his autem simul veloci provecti aurâ,
Reliquerunt Halyn fluvium, et vicinè fluentem Irim;
Nec non Assyriæ alluvionem terræ: ac eodem die
Obierunt remotè Amazonum promontorium portuosum;

963. Ἀργέσταο] τοῦ Ζεφύρου οὕτω λεγομένου. ἄρχεται δὲ πνεῖν ἀπὸ θερινῆς δύσεως. Παραπιπνείειν, τὸ ἐπ' ὀλίγον πνεῖν σημαίνει. ἄωτον, σημαίνει τὸ τὰς νέας ἐγγὺς ἤδη πνέειν. Schol.

Ibid. Ἀργέστα. *Zephyro.* Eustath. ad Ulyss. λ. Distinctius Aristoteles II. Meteorol. ὁ ἀπὸ τοῦ ι, ὃν καλοῦσιν οἱ μὲν Ἀργέστην, οἱ δὲ Ὀλυμπίαν, οἱ δὲ Σκίρωνα. Et Zephyrus quidem spirat ἀπὸ δυσμῆς ἰσημερινῆς, Ἀργέστης δὲ ἀπὸ δυσμῆς θερινῆς, sive ἀπὸ θερινῆς δύσεως. De mundo. C. 6. Quæ verba possunt norma esse Scholiorum. Hœl.

965. Ἅλυν] Ἅλυς καὶ Ἶρις ποταμοὶ τῆς Λευκοσυρίας. Schol.

966. Ἠδὲ καὶ Ἀσυρίης] πρόχυσιν ἔφη τῆς Ἀσυρίας, τουτέστι, τῆς Λευκοσυρίας, τὴν ἐγκειμένην χώραν αὐτῆς εἰς θάλασσαν· ὡς καὶ ἐν τοῖς ἐπάνω. "λεῖπον Ἅλυν ποταμόν, λεῖπον δ' ἁλιμυρέα χῶρον, Ἀσυρίης ἀνέχουσαν ἀπὸ χθονός." τοῦτο δὲ εἶπεν ὡς ποταμοχώστου τῆς γῆς οὔσης, διὰ τὸ μεγάλους εἰς αὐτὴν καταφέρεσθαι ποταμοὺς Ἅλυν καὶ Ἶριν. καὶ οὕτως ἔχει ταῖς ἀληθείαις, καὶ πρὸς ταῖς Ἀρμενίοις ἡ χώρα ἔγκειται. διὸ ποταμόχωστον λέγει εἶναι Ἀπολλωνίδης. τοὺς γὰρ προειρημένους ποταμοὺς ἀμφοτέρους, μάλιστα τὸν Ἶριν, καὶ διάφορα μέρη τῆς χώρας ῥέοντα, ἄλλοτε κατ' ἄλλους τόπους ἐκδιδόναι, καὶ ὥσπερ μακροῖς αὐτὴν προχώμασιν εἰς μέσον ἐπεκτείνειν τὸ πέλαγος. διὸ δὴ σύμπασαν εἶναι ποταμόχωστον τὴν γῆν. βίαιοι γὰρ καὶ πολλοὶ αὐτοί, ἀπὸ τῆς Ἀρμενίας διὰ χειμερίου καὶ μακρᾶς φερόμενοι παρασύρειν τὴν γῆν. τοῦ δὲ κύματος παλίσσυτον ἐλαύνοντος ἐπὶ τὴν γῆν τὴν ἰλύν, συμβαίνει τὴν χώραν ἐπιπολὺ παραύξεσθαι, καὶ τὴν θάλασσαν γίνεσθαι τεναγώδη. Schol.

967. Γνάμψαν Ἀμαζονίδων] ἀκρότας εἶπεν, ἐπειδὴ ἀπὸ Σινώπης μέχρι Τραπεζοῦντος τῆς Χαλκηδῆς ἀπὸ τριῶν σταδίων λιμὴν ἄλλος οὐχ ὑπόκειται πλὴν τούτου, καὶ τοῦ Ἡρακλείου τόπου. τῆς δὲ Θεμισκύρας ἄκρας καὶ ἄνω μέμνηται. Ἔφορος δὲ ἐν ἐνάτῳ φησὶ τὰς Ἀμαζόνας ὑβριζομένας ὑπὸ τῶν ἀνδρῶν, ἐξελθόντων αὐτῶν ἐπί τινα πόλεμον, τοὺς μὲν καταλειφθέντας ἀναιρεῖν, τοὺς δὲ ἀπὸ τῆς ξένης προσιόντας μὴ δέχεσθαι. Διονύσιος δὲ ἐν δευτέρῳ τῶν Λιβυκῶν αὐτὰς ᾠκηκέναι φησί. ῥώμῃ δὲ διενεγκούσας καὶ τρεψαμένας τοὺς ὁμόρους ἐλθεῖν καὶ ἐπὶ τὴν Εὐρώπην, καὶ πολλὰς αὐτόθι πόλεις κτίσαι· ὑποτάξαι τε αὐταῖς τὸ Ἀτλαντικὸν ἔθνος, ὃ ἦν δυνατώτατον τῶν τῆς Λιβύης. Ζηνόθεμις δὲ αὐτὰς φησὶν ᾠκηκέναι ἐν Αἰθιοπίᾳ, καὶ διερχομένας ἐπὶ τὸ ἀντιπέραν, συγγίνεσθαι τοῖς αὐτόθι ἀνδράσιν· καὶ ἂν μὲν θῆλυ ἀποκυήσωσι, προσεθίζειν τῇ ἀγωγῇ· εἰ δὲ ἄρρεν, τοῖς ἀνδράσι διδόναι. Λιμενήοχον ἄκρην, ἐὰν μὲν τὴν συνεχομένην, προπαροξυτόνως,

Ἔνθα

Ἔνθα ποτὲ προμολοῦσαν Ἀρητιάδα Μελανίππην
Ἥρως Ἡρακλέης ἐλοχήσατο· καί οἱ ἄποινα
Ἱππολύτη ζωστῆρα παναίολον ἐγγυάλιξεν
Ἀμφὶ κασιγνήτης· ὁ δ' ἀπήμονα πέμψεν ὀπίσσω.
Τῆς οἵγ' ἐν κόλπῳ προχοαῖς ἔπι Θερμώδοντος
Κέλσαν· ἐπεὶ καὶ πόντος ὀρίνετο νισσομένοισιν.
Τῷ δ' οὔτις ποταμῶν ἐναλίγκιος· οὐδὲ ῥέεθρα
Τόσσ' ἐπὶ γαῖαν ἵησι παρὲξ ἕθεν ἄνδιχα βάλλων.

Quò olim profectam de Martis genere Melanippam
Hercules heros insidiis excepit; atque ei redemptionis præmium
Hippolyta cingulum artificiosè variegatum dedit
Pro sorore: ille autem incolumem dimisit postea.
Hujus illi in sinu, ad ostia Termodontis
Appulerunt, quoniam et pontus turbaretur venientibus.
Huic autem nullus fluvius est similis, neque fluenta
Tot in terram fundit ex se separatim mittens.

ἀλλ' δὲ τὴν συνέχουσαν τ̃ λιμένα, παροξυντόνως. Ἄκραν. τ̃ δὲ περὶ Θεμισκύρειον ἄκρας κ̀ ἐπάνω μέμνηται, εἰπὼν περὶ τ̃ Θερμώδοντος, "Θεμισκύρειον ἐπ' ἄκραν μύρεται." κτ̃ ζ τὴν Θεμισκύρειον ἄκραν καὶ ἡ καλουμένη Ἡράκλειος ἄκρα ἐστὶ, ἧς ἄλλοι τε κ̀ Ἀρτεμίδωρος μεμνηνται· ἐφ' ἧς τὸ τ̃ Ἡρακλέους ἱερὸν ἵδρυται. Schol.

Ibid. Ἀπὸ τριῶν σταδίων, paulo post init. Schol. Nihili hæc lectio et manifestè corrupta. Puto olim sic numeros stadiorum fuisse conceptos, α, ω γ'. Nam Arrianus ex portu Heraclio Trapezuntem numerat stadia cIↃIↃccc VIII. Medio autem spatio duas ponit stationes, Zephyrion et Cordylen, quæ fortassis parvi momenti, aut malefidæ ab Apollonio aliisque neglectæ. Sed puto scriptum fuisse rotundo et absoluto numero γ. quem editores mutarunt, in γ'. et pro τετρακισχιλίων substituendum τριῶν. Nam Arrianus ex Sinopa Trapezuntem numerat stadia 3348. Itaque posteriorem hanc emendationem priori præfero. L. Holstenius.

972. Τῆς οἵγ' ἐν κόλπῳ] τῆς προειρημένης ἄκρας ἐν τῷ κόλπῳ ὡρμήσαντο· Schol.

974. Τῷ δ' οὔτις ποταμῶν] ὅτι ὁ Θερμώδων ἐν τῇ Λευκοσυρίᾳ ἐστὶν, οὗ πρότερον Ἀμαζόνες ᾤκουν, οὐκ ἀγνοεῖται. φησὶ δὲ αὐτὸν Ἀπολλώνιος ἑκατὸν τεσσάρων δεούσας καταχεῖν ἀποῤῥύσεις εἰς ἄλλα κ̀ ἄλλα μέρη, ῥεούσας ἀπὸ μιᾶς πηγῆς. ἄλλοι δὲ φασι πόρους ἑτέρους δέχεσθαι εἰς αὐτόν. ὁ αὐτὸς ζ οὗτος Ἀράξης ἐκαλεῖτο τοπρότερον, ὁμωνύμως τῷ ἐκ τ̃ Ἀρμενίας ῥέοντι. Schol.

975. Παρὲξ ἕθεν] παρέλκουσά ἐστιν ἡ παρά. ἔστι γδ', ἐξ αὐτῶ χωρὶς βάλλων τοσαῦτα ῥεύματα ἀπὸ μιᾶς πηγῆς ἄλλος οὐκ ἔστι ποταμός. Schol.

Τετράκις εἰς ἑκατὸν δεύοιτό κεν, εἴ τις ἕκαστα
Πεμπάζοι· μία δ' οἴη ἐτήτυμος ἔπλετο πηγή.
Ἡ μέν τ' ἐξ ὀρέων κατανείσεται ἠπειρόνδε
Ὑψηλῶν, ἅ τε φασὶν Ἀμαζόνια κλείεσθαι.
Ἔνθεν δ' αἰπυτέρην ἐπικίδναται ἔνδοθι γαῖαν
Ἀντικρύ· τῷ καί οἱ ἐπίστροφοί εἰσι κέλευθοι.
Αἰεὶ δ' ἄλλυδις ἄλλη, ὅπη κύρσειε μάλιστα
Ἠπείρου χθαμαλῆς εἱλίσσεται· ἡ μὲν, ἄπωθεν,
Ἡ δὲ, πέλας· πολέες δὲ πόροι νώνυμνοι ἔασιν,
Ὅππη ὑπεξαφύονται· ὁ δ' ἄμφαδον ἄμμιγα παύροις
Πόντον ἐς Ἄξεινον κυρτὴν ἀπερεύγεται ἄκρην.
Καί νύ κε δηθύνοντες Ἀμαζονίδεσσιν ἔμιξαν

Quatuor ad *complendum* centum opus haberet, si quis singula
Numeraret; unus autem solùm verus erat fons;
Qui quidem ex montibus demanat in terram
Excelsis, quos dicunt Amazonios appellari.
Inde autem altiorem intus diffinditur in terram
Ex adverso: quare ei retro versi sunt meatus.
Semper verò aliò alius, ubi maximè adeptus fuerit
Terram humilem, defertur, hìc quidem procul,
Ille autem prope; multi autem incompertum est
Ubi meatus effunduntur: ipse manifestè permistim cum paucis
Pontum in Euxinum sub curvum emittitur litus.
Et nunc sane morati cum Amazonibus conseruissent

977. Πεμπάζοι] Πεμπάζειν τὸ ψηφίζειν ἢ μετρεῖν σημαίνει. Schol.

978. Ἡ μέν τ' ἐξ ὀρέων, &c. Consule Strabonem L. XII. qui eadem tradit de hoc fluvio.

980. Ἔνθεν δ' αἰπυτέρην] ἐκ τῆς ἀνωτάτω φησὶ πηγῆς κατωφερῆ φερόμενον τὸν Θερμώδοντα ὑψηλὴ ὑποδέχεται γῆ· ὅθεν πολλὰς ἔχει ἀποῤῥύσεις καὶ ἐπιστροφὰς, διὰ τὸ ὕδωρ ἐκτρέπεσθαι. Schol.

982. Αἰεὶ δ' ἄλλυδις ἄλλη] ἀεὶ δὲ ταπεινῆς οὔσης τῆς χώρας, τοὺς μὲν τῶν πόρων εἰς μακρὰν ἔχει πεμπομένους, τοὺς δὲ ἐγγύς. Schol.

983. Χθαμαλῆς] ἀντὶ τοῦ ταπεινῆς. Schol.

Ibid. Εἱλίσσεται. Flor. ἑλίσσεται.

985. Ὁ δ' ἀμφαδὸν] ὁ δὲ ὑπὸ τὴν κυρτὴν ἄκραν συμμεμιγμένος τοῖς ἄλλοις, εἰς τὸν Εὔξεινον πόντον ῥεῖ. Schol.

986. Κυρτὴν] κυρτὴν τὴν ἄκραν φησὶν εἶναι, διὰ τὸ ἐπικαμπῆ εἶναι. Schol.

Ὑσμίνην, καί δ' οὐ κεν ἀναιμωτί γ' ἐρίδηναν,
(Οὐ γὰρ Ἀμαζονίδες μάλ' ἐπητέες, οὐδὲ θέμιστας
Τίουσαι πεδίον Δοιάντιον ἀμφενέμοντο·
Ἀλλ' ὕβρις στονόεσσα καὶ Ἄρεος ἔργα μέμηλε.
Δὴ γὰρ καὶ γενεὴν ἔσαν Ἄρεος Ἁρμονίης τε
Νύμφης, ἥτ' Ἄρηϊ φιλοπτολέμους τέκε κούρας
Ἄλσεος Ἀκμονίοιο κατὰ πτύχας εὐνηθεῖσα)
Εἰ μὴ ἄρ' ἐκ Διόθεν πνοιαὶ πάλιν ἀργέσταο
Ἤλυθον, οἱ δ' ἀνέμῳ περιηγέα κάλλιπον ἄκρην,
Ἔνθα Θεμισκύρειαι Ἀμαζόνες ὡπλίζοντο.
Οὐ γὰρ ὁμηγερέες μίαν ἀμ πόλιν, ἀλλ' ἀνὰ γαῖαν
Κεκριμέναι κατὰ φῦλα διάτριχα ναιετάασκον.
Νόσφι μὲν αἵδ' αὐταί, τῇσιν τότε κοιρανέεσκεν

Prælium, nec ſine ſanguine concertâſſent,
(Non enim Amazones valde tractabiles, nec juris
Cum reſpectu campum Dœantium circumhabitabant;
Sed injuria luctuoſa et Martis opera iis curæ erant;
Etenim ex genere erant Martis et Harmoniæ
Nymphæ, quæ Marti belli cupidas peperit filias,
Saltus in Acmonii receſſibus cum eo in concubitu miſta)
Niſi ex Jove iterum flatus Zephyri
Orti fuiſſent, illique vento curvum reliquiſſent litus,
Ubi Themiſcyreæ Amazones armabantur.
Non enim ſimul collectæ in unâ urbe, ſed per regionem
Diſcretæ in tribus tripliciter habitabant.
Seorſim quidem illæ ipſæ quibus tunc præerat

989. Ἐπητέες] λόγιαι. παρὰ τὸ ἔπος. ἢ, οὐ συγγνώμονες καὶ προμηθεῖς, ἀλλὰ θρασεῖαι καὶ ἀπερίσκεπτοι. Schol.

990. Δοιάντιον] πεδίον Θερμώδοντος, ἀπὸ Δοίαντος οὕτω κληθέν. Schol.

992. Γενεὴν ἔσαν Ἄρεος] Ἁρμονίας, Νύμφη Ναΐς· ἣν καὶ Ἄρεος Ἀμαζόνας εἶναι φησὶ Φερεκύδης, ᾧ ἕπεται Ἀπολλώνιος. Schol.

994. Ἄλσεος Ἀκμονίοιο] οὐδὲ πέρι ἄλσος Ἀκμόνιον ἐδήλωσεν Εἰρηναῖος. ἔστι δὲ περὶ τὸν Θερμώδοντα. μέμνηται αὐτοῦ Φερεκύδης ἐν β'. Schol.

997. Ἔνθα Θεμισκύρειαι] αἱ ἐκ τῆς Θεμισκύρας, φησὶν, Ἀμαζόνες ἐπὶ τὴν ἄκραν, ἔνθα κατέπλευσαν, ὡπλίζοντο. ἔφθασαν δὲ ἀναχθέντες οἱ ἥρωες. Schol.

Ibid. Legendum Θεμισκύρειαι.

Ἱππολύτη,

Ἱππολύτη, νόσφιν δὲ Λυκάστιαι ἀμφινέμοντο,
Νόσφι δ' ἀκοντοβόλοι Χαλήσιαι. Ἤματι δ' ἄλλῳ
Νυκτί τ' ἐπιπλομένῃ Χαλύβων παρὰ γαῖαν ἵκοντο.
Τοῖσι μὲν οὔτε βοῶν ἄροτος μέλει, οὔτε τις ἄλλη
Φυταλιὴ καρποῖο μελίφρονος· οὐδὲ μὲν οἵγε
Ποίμνας ἑρσήεντι νομῷ ἔνι ποιμαίνουσιν·
Ἀλλὰ σιδηροφόρον στυφελὴν χθόνα γατομέοντες,
Ὦνον ἀμείβονται βιοτήσιον· οὐδέ ποτέ σφιν
Ἠὼς ἀντέλλει καμάτων ἄτερ, ἀλλὰ κελαινῇ
Λιγνύϊ καὶ καπνῷ κάματον βαρὺν ὀτλεύουσι.

Hippolyta, seorsim item Lycastiæ habitabant;
Seorsim item longè jaculantes Chalcsiæ. Die autem proximâ
Et nocte insequente, ad Chalybum terram venerunt.
His quidem neque boum aratio curæ est, neque alia quædam
Plantatio fructûs dulcis; nec sane illi
Greges roscidis in pascuis alunt;
Sed ferri feracem asperam terram scindentes
Pretium permutant cibarium; nec iis unquam
Aurora exoritur sine laboribus, sed in atrâ
Fuligine et fumo laborem gravem perferunt.

1001. Λυκάστιαι] χωρίον τῆς Λευκοσυρίας, ἀφ' οὗ Λυκαστίας εἶπε τὰς Ἀμαζόνας. Schol.

1002. Χαλήσιαι] Χαδησίας δὲ αὐτὰς εἶπεν Ἑκαταῖος ἀπὸ τοῦ χαδῆσαι. χωρὶς οὖν τὰς ἐν Θεμισκύρᾳ φησὶ, καὶ χωρὶς τὰς ἐν Λυκαστίᾳ ὁπλίζεσθαι κατὰ τῶν ἡρώων, διὰ τὸ κεχωρισμένας οἰκεῖν· ἔφθασαν δὲ ὅμως ἀποσυναχθέντες οἱ ἥρωες. Schol.

Ibid. Recepit Steph. in textum Χαδήσιαι, et rectè.

1007. Στυφελὴν] Τραχεῖαν καὶ σκληράν. οὕτως Κλειτόριοι λέγουσιν, ὡς φησι Ζηνόδοτος ἐν γλώσσαις· Κυρηναῖοι δὲ, τὴν χέρσον. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ χαλεποῦ. ὡς τὸ, ἀπὸ στυφελοῦ Ἀφροδίτης. Schol.

1008. Ὦνον] Ὦνός ἐστι τὸ τῆς τροφῆς τίμημα. οἱ δὲ Χάλυβες μεταλλεύοντες σίδηρον, πωλοῦσι, καὶ οὕτω τὰ ἐπιτήδεια πορίζονται, τραχεῖαν ἔχοντες καὶ ἄκαρπον τὴν γῆν. προείρηται δὲ ἤδη περὶ αὐτῶν. Schol.

1009. Κελαινῇ] μελαίνῃ λιγνὺν τὴν αἰθάλην φησί. Schol.

1010. Ὀτλεύουσι] ὑπομένουσι. διὰ τὸ χαλκεύειν αὐτοὺς τὸν σίδηρον, περὶ τοῦ καπνοῦ ταλαιπωρεῖν φησι. Schol.

Ibid. —— κάματον βαρὺν ὀτλεύουσι. Quære annon consultò hic poeta in quinto pede spondæum posuerit, ut ipse versus, tardiori gressu incedens, graves gentis illius labores quodammodo exprimat. Sic. lib. I. 272.

Τὺς δὲ μέτ' αὐτίκ' ἔπειτα Γενηταίου Διὸς ἄκρην
Γνάμψαντες, σώοντο πάρεξ Τιβαρηνίδα γαῖαν.
Ἔνθ' ἐπεὶ ἄρ κε τέκωνται ὑπ' ἀνδράσι τέκνα γυναῖκες,
Αὐτοὶ μὲν στενάχουσιν ἐνὶ λεχέεσσι πεσόντες,
Κράατα δησάμενοι· ταὶ δ' εὖ κομέουσιν ἐδωδῇ
Ἀνέρας, ἠδὲ λοετρὰ λεχώια τοῖσι πένονται.
Ἱερὸν αὖτ' ἐπὶ τοῖσιν ὄρος καὶ γαῖαν ἄμειβον,
Ἧ ἔνι Μοσσύνοικοι ἀν' οὔρεα ναιετάουσι
Μόσσυνας· ἐκ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
Ἀλλοίη δὲ δίκη καὶ θέσμια τοῖσι τέτυκται.
Ὅσσα μὲν ἀμφαδίην ῥέζειν θέμις, ἢ ἐνὶ δήμῳ,

Post hos autem deinde Genetæi Jovis promontorium
Circumvecti, ferebantur præter Tibarenorum terram.
Ibi, postquam pepererint viris liberos mulieres,
Illi quidem gemitus edunt, in lectum prolapsi,
Capitibus circumvinctis; hæ verò benè curant cibo
Viros, et balnea ipsis puerperio idonea administrant.
Sacrum post hos montem et terram transierunt,
Ubi Mossynœci per montes inhabitant
Ligneas turres, et ipsi inde sunt cognomines.
His jus legesque diversa sunt;
Quæ enim in propatulo fas est facere, vel apud populum,

1012. Τιβαρηνίδα γαῖαν] Τιβαρηνοί, ἔθνος Σκυθίας. οὗτοι δικαιότατοι λέγονται. καὶ οὐδέ ποτε μάχην τινὶ συνίστανται, εἰ μὴ πρότερον καταγγείλαιεν καὶ ἡμέραν καὶ τόπον καὶ ὥραν τῆς μάχης. ἐν δὲ τῇ τῶν Τιβαρηνῶν γῇ αἱ γυναῖκες, ὅταν τέκωσι, τημελοῦσι τοὺς ἄνδρας, ὥσπερ λεχούς· ὡς ἱστορεῖ Νυμφόδωρος ἐν τοῖς νομίμοις. Schol.

1017. Ἱερὸν δ' αὖτ'] ὄρος οὕτω καλούμενον τὸ καθῆκον εἰς τὸν Εὔξεινον πόντον. Ἄλλως. τοῦτο καθῆκόν ἐστιν εἰς τὸν Εὔξεινον πόντον. μέμνηται αὐτοῦ καὶ Κτησίας ἐν τῷ περὶ περιόδων· καὶ Σκύλαξ ἐν β. περὶ τοὺς λεγομένους Μάκρωνας. ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῷ τοῦ Πόντου περίπλῳ· ὅς καὶ ρ' ἀπέχειν σταδίους αὐτὸ φησὶ τῆς Τραπεζοῦντος. ὁ δὲ Εἰρηναῖος Μνησίμαχον φησὶ περὶ αὐτοῦ ἱστορεῖν ἐν α περὶ Σκυθῶν, ἀγνοῶν. ὁ γὰρ Μνησίμαχος ἐν τῇ Εὐρώπῃ μέμνηται κειμένης τῆς Σκυθικῆς· ὁ δὲ Ἀπολλώνιος καὶ οἱ προειρημένοι περὶ τῆς Ἀσίας διαλέγονται. ἔστι καὶ ἄλλο ἱερὸν ὄρος Θρᾴκης. Schol.

1019. —— καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασι.
Ita Strabo lib. XII. Μοσσυνοίκους ἐκάλουν οἱ παλαιοί, τῶν πύργων Μοσσύνων καλουμένων.

1020. Ἀλλοίη. *Varium.* At hoc erat illis perpetuum. Supple igitur cum Hœlzlino, *varium à cæterarum nationum jure.*

Ἢ ἀγορῇ

Ἠ ἀγορῇ, τάδε πάντα δόμοις ἔνι μηχανόωνται·
Ὅσσα δ' ἐνὶ μεγάροις πεπονήμεθα, κεῖνα θύραζε
Ἀψεγέως μέσσῃσιν ἐνὶ ῥέζουσιν ἀγυιαῖς.
Οὐδ' εὐνῆς αἰδὼς ἐπιδήμιος, ἀλλὰ σύες ὣς
Φορβάδες, οὐδ' ἠβαιὸν ἀτυζόμενοι παρεόντας,
Μίσγονται χαμάδις ξυνῇ φιλότητι γυναικῶν.
Αὐτὰρ ἐν ὑψίστῳ βασιλεὺς μόσσυνι θαάσσων
Ἰθείας πολέεσσι δίκας λαοῖσι δικάζει,
Σχέτλιος· ἢν γάρ πού τι θεμιστεύων ἀλίτηται,
Λιμῷ μιν κεῖν' ἦμαρ ἐνικλείσαντες ἔχουσιν.
Τοὺς παραμειβόμενοι καὶ δὴ σχεδὸν ἀντιπέρηθεν
Νήσου Ἀρητιάδος, τέμνον πλόον εἰρεσίῃσιν

Vel in foro, hæc omnia illi in domibus patrant;
Quæ autem nos in ædibus perficimus, ea foris
Irreprehensi mediis agunt in plateis.
Nec pudori illis est concubitus publicus, sed porcorum more
Armentalium, ne minimè quidem reveriti præsentes,
Miscentur humi communi amore cum uxoribus.
At in altissimâ rex salâ sedens
Incorrupta frequentibus jura populis dat,
Miser: si enim aliquid leges dando deliraverit,
Fame ipsum eodem die occlusum conficiunt.
Hos prætergressi, valde prope ex adverso
Insulæ Aretiadis secuerunt navigationem remis,

1025. Οὐδ' εὐνῆς αἰδὼς —— Hoc a Xenophonte etiam firmatum legimus, Anab. lib. V. p. 392. ed. Hutch. ἐζήτουν δὲ καὶ ταῖς ἑταίραις ἃς ἦγον οἱ Ἕλληνες ἐμφανῶς συγγίνεσθαι· νόμος γὰρ ἦν σφίσιν οὗτος. Et iterum. Ἔν τε γὰρ ὄχλῳ ὄντες ἐποίουν ἅπερ ἄνθρωποι ἐν τῇ ἐρημίᾳ ποιήσειαν, μόνοι δὲ ὄντες ὅμοια ἔπραττον, ἅπερ ἂν μετ' ἄλλων ὄντες.

1027. Ξυνῇ φιλότητι] οὐχ ὡς αὐτῶν συνερχομένων ταῖς ἀλλήλων γυναιξὶ, τοῦτο λέγει, ἀλλὰ ἕκαστος τῇ ἑαυτοῦ φανερῶς. Schol.

1031. Λιμῷ μιν κεῖν' ἦμαρ] ἱστορεῖ Ἔφορος καὶ Νυμφόδωρος περὶ τούτων, ὅτι τὸν βασιλέα αὐτῶν ἄδικόν τι κρίναντα, ἐγκλείουσι καὶ λιμαγχονοῦσι. Schol.

1033. Νήσου Ἀρητιάδος] τὴν Ἀρητιάδα νῆσον φασὶν ὑπὸ Ὀτρήρης τῆς Ἄρεος κατοικισθῆναι. περὶ δὲ τῶν ἐν αὐτῇ ὀρνέων μέμνηται Τιμάγητος. εἰσὶ δὲ σιδηρόπτεροι, αἳ λέγονται Στυμφαλίδες. Schol.

Ἠμάτιοι· λιαρὴ γὰρ ὑπὸ κνέφας ἔλλιπεν αὔρη.
Ἤδη καί τιν' ὕπερθεν Ἀρήϊον ἀΐσσοντα
Ἐνναέτην νήσοιο δι' ἠέρος ὄρνιν ἴδοντο·
Ὅς ῥα τιναξάμενος πτέρυγας κατὰ νῆα θέουσαν,
Ἧκ' ἐπί οἱ πτερὸν ὀξύ· τὸ δ' ἐν λαιῷ πέσεν ὤμῳ
Δίου Ὀϊλῆος· μεθέηκε δὲ χερσὶν ἐρετμὸν
Βλήμενος· οἱ δὲ τάφον, πτερόεν βέλος εἰσορόωντες.
Καὶ τὸ μὲν ἐξείρυσε παρεδριόων Ἐριβώτης,
Ἕλκος δὲ ξυνέδησεν, ἀπὸ σφετέρου κολεοῖο
Λυσάμενος τελαμῶνα κατήορον· ἐκ δὲ φαάνθη
Ἄλλος ἐπὶ προτέρῳ πεποτημένος· ἀλλά μιν ἥρως
Εὐρυτίδης Κλύτιος· πρὸ γὰρ ἀγκύλα τείνατο τόξα,
Ἧκε δ' ἐπ' οἰωνὸν ταχινὸν βέλος· αὐτὰρ ἔπειτα
Πλῆξεν· δινηθεὶς δὲ θοῆς πέσεν ἀγχόθι νηός.
Τοῖσιν δ' Ἀμφιδάμας μυθήσατο παῖς Ἀλεοῖο.
Νῆσος μὲν πέλας ἥμιν Ἀρητιάς· ἴστε καὶ αὐτοὶ,

Diurni; secunda enim sub crepusculum defecerat aura.
Jamque aliquem superne Areïum irruentem
Insulæ habitatorem per aërem alitem conspexerunt,
Qui concussis alis in currentem navem,
Jaculabatur in eam pennam acutam, quæ lævo incidit humero
Illustris Oilei; demisit verò è manibus remum
Percussus; obstupuerunt autem illi, alato conspecto jaculo.
Et illud quidem extraxit, qui prope sedebat, Erybotes,
Vulnusque ligavit, postquam è vaginâ suâ
Solvisset dependentem fasciam: at verò apparuit
Alter priori advolans; ipsum tamen heros
Clytius Euryti filius (antea enim curvum tetenderat arcum
Immisit igitur velocem volucri sagittam) denique
Percussit, vertigine autem circumrotatus celerem prope navem decidit.
Eos autem Amphidamas allocutus est, Alei filius.
Insula quidem prope nos est Aretias; nôstis et ipsi

1045. Πρὸ γὰρ, &c. Notat Hœlzlinus esse hic ἀποσιώπησιν, aut saltem, ἔλλειψιν, ut Eclog. VIII. *Tu mihi, seu magni,* &c.

Τέσδ'

Τούσδ' ὄρνιθας ἰδόντες· ἐγὼ δ' οὐκ ἔλπομαι ἰοὺς
Τόσσον ἐπαρκέσσειν εἰς ἔκβασιν· ἀλλά τιν' ἄλλην
Μῆτιν πορσύνωμεν ἐπίρροθον, εἰ κ' ἐπικέλσαι
Μέλλετε, Φινῆος μεμνημένοι ὡς ἐπέτελλεν.
Οὐδὲ γὰρ Ἡρακλέης ὁπότ' ἤλυθεν Ἀρκαδίηνδε,
Πλωΐδας ὄρνιθας Στυμφαλίδας ἔσθενε λίμνης
Ὤσασθαι τόξοισι (τὸ μέν τ' ἐγὼ αὐτὸς ὄπωπα).
Ἀλλ' ὅγε χαλκείην πλαταγὴν ἐνὶ χερσὶ τινάσσων
Δούπει ἐπὶ σκοπιῆς περιμήκεος· αἱ δ' ἐφέβοντο

Alites hos conſpicati: ego autem opinor ſpicula
Non ſuffectura ad excenſionem; ſed aliud quodvis
Conſilium paremus utile, ſi appellere
Curæ ſit vobis, in animo habitis Phinei mandatis.
Neque enim Hercules, quando in Arcadiam venit,
Ploïdas aves de Stymphalio potuit lacu
Abigere ſagittis (quod et ego ipſe vidi)
Verùm ille, æreo crepitaculo in manibus concuſſo,
Sonitum edebat præcelſâ in ſpeculâ; iſtæ verò aufugerunt

1054. Οὐδὲ γὰρ Ἡρακλέης] τὰς Στυμφαλίδας ὄρνιθας, φησὶν, οὐκ ἠδύνατο ἀποσοβῆσαι, εἰ μὴ κρόταλον χαλκοῦν καὶ ψόφον ποιῶν ἐξεφόβησεν. Schol.

1055. Πλωΐδας] Πλωΐδες δὲ ὄρνιθες καλοῦνται, διὰ τὸ ἐν τῇ λίμνῃ αὐτὰς νήχεσθαι τῆς Ἀρκαδίας, ἃς Ἡρακλῆς ἀπεδίωξεν.

Στυμφαλίδας. Στύμφηλος δὲ, πόλις Ἀρκαδίας· καὶ Στυμφαλὶς δὲ λίμνη. καὶ Ὅμηρος. "Στύμφηλόν τ' εἶχον." Στυμφαλίδες δὲ λέγονται περὶ αὐτὴν ὄρνιθες, ἃς Πλωΐδας εἶπεν Ἀπολλώνιος. οὕτω δὲ αὐτὰς ὀνομάζει καὶ Σέλευκος ἐν συμμίκτοις, καὶ Χάρων αὐτὸς τοῦ Ἀπολλωνίου γνώριμος, ἐν τῷ περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου. ἰδίως δὲ Μνασέας φησὶ Στυμφάλου τινὸς ἥρωος καὶ Ὄρνιθος γυναικὸς γενέσθαι Στυμφαλίδας θυγατέρας· ἃς ἀνελεῖν τὸν Ἡρακλέα, ὅτι οὐ προσεδέξαντο αὐτὸν, καὶ ἐξένισαν τοὺς Μολίονας. Φερεκύδης δέ φησιν οὐ γυναῖκας ἀλλ' ὄρνιθας εἶναι, καὶ ἀναιρεθῆναι πρὸς Ἡρακλέους, πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς· ὁμοίως καὶ Ἑλλάνικος φησίν. τὴν δὲ Στυμφαλίδα λίμνην φασὶ διὰ βερέθρων ἐκδοθεῖσαν ξηρανθῆναι. Schol.

Ibid. Στυμφαλίδας. Niſi viderem et apud Scholiaſtem lectionem quam habemus, Apollonium Στυμφαλίδος ſcripſiſſe crederem. Steph.

Στυμφαλίδος quocunque meo periculo legatur, aut magis Στυμφαλίδος. Hæ enim aves non ſunt Stymphalides, ut arbitror ego, ſed, poeticæ illarum ſorores, aut pullicies. Illæ namque Πλωΐδες fuerunt, hæ volucres meræ. Hœlz.

1057. Πλαταγὴν. ὀξυτόνως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου. σημαίνει δὲ τὸ κρόταλον. φασὶ δὲ αὐτὴν ἡφαιστότευκτον οὖσαν, Ἡρακλεῖ παρὰ τῆς Ἀθηνᾶς δοθῆναι. ὁ δὲ Ἑλλάνικος φησὶν αὐτὸν κατασκευάσαι. Schol.

Τηλοῦ

Τηλȣ̃ ἀτυζηλῷ ὑπὸ δείματι κεκληγυῖαι.
Τῷ καὶ νῦν τοίην τιν' ἐπιφραζώμεθα μῆτιν.
Αὐτὸς δ' ἂν τοπάροιθεν ἐπιφρασθεὶς ἐνέποιμι.
Ἀνθέμενοι κεφαλῇσιν ἀερσιλόφους τρυφαλείας,
Ἡμίσεες μὲν ἐρέσσετ' ἀμοιβαδὶς, ἡμίσεες δὲ
Δούρασί τε ξυστοῖσι καὶ ἀσπίσιν ἄρσετε νῆα.
Αὐτὰρ πανσυδίῃ περιώσιον ὄρνυτ' ἀϋτὴν
Ἀθρόοι, ὄφρα κολῳὸν ἀηθείῃ φοβέωνται,
Νεύοντάς τε λόφους καὶ ἐπήορα δούραθ' ὕπερθεν.
Εἰ δέ κεν αὐτὴν νῆσον ἱκώμεθα, δὴ τότ' ἔπειτα
Σὺν κελάδῳ σακέεσσι πελώριον ὄρσατε δοῦπον.
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἐπίρροθος ἥνδανε μῆτις.
Ἀμφὶ δὲ χαλκείας κόρυθας κεφαλῇσιν ἔθεντο,
Δεινὸν λαμπομένας· ἐπὶ δὲ λόφοι ἐσσείοντο
Φοινίκεοι· καὶ τοὶ μὲν ἀμοιβήδην ἐλάασκον,

Longè, terribili præ metu, ſublato clamore.
Quare nunc etiam tale aliquod excogitemus conſilium.
Ipſe verò quod antea commentus ſum , id juberem.
Poſtquam impoſueritis capitibus galeas triplici criſtâ altâque inſignitas,
Partim quidem veſtrûm remigate viciſſim ; partim verò
Haſtis politis clypeiſque inſtruite navem.
Deinde totis viribus ingentem tollite clamorem
Omnes ſimul, ut ſtrepitum ob inſolentiam pertimeſcant,
Criſtaſque nutantes, et ſublatas haſtas in altum.
Quòd ſi ad ipſam inſulam venerimus, tunc deinde
Cum clamore ſcutis immanem excitate ſonitum.
Sic locutus eſt : omnibus autem utile placebat conſilium.
Circumpoſuerunt igitur æreas galeas capitibus,
Terribiliter fulgentes ; ſuper verò criſtæ quatiebantur
Purpureæ ; et hi quidem viciſſim remigabant,

1059. Ἀτυζηλῷ] ἐκπληκτικῷ· προπερισπᾶται δὲ τὸ ἀτυζηλῷ. ἔστι γὰρ ἀπὸ ὀξυτόνου τοῦ ἀτυζηλὸς, ὡς Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου. Schol.

1062. Ἀερσιλόφους τρυφαλείας] ὧν οἱ λόφοι ἐπηρμένοι εἰσὶ καὶ μετέωροι. Schol.

1063. Ἀμοιβαδὶς] ἀντὶ τοῦ ἀμοιβαίως. Schol.

1070. Ἐπίρροθος] ὁ ὠφέλιμος. Schol.

Τοὶ

Τοὶ δ' αὖτ' ἐγχείῃσι καὶ ἀσπίσι νῆ' ἐκάλυψαν.
Ὡς δ' ὅτε τις κεράμῳ κατερέψεται ἑρκίον ἀνήρ,
Δώματος ἀγλαΐην τε καὶ ὑετοῦ ἔμμεναι ἄλκαρ,
Ἄλλῳ δ' ἔμπεδον ἄλλος ὁμῶς ἐπαμοιβὸς ἄρηρεν·
Ὡς οἵγ' ἀσπίσι νῆα συναρτύναντες ἔρεψαν.
Οἵη δὲ κλαγγὴ δηΐου πέλει ἐξ ὁμάδοιο
Ἀνδρῶν κινυμένων, ὁπότε ξυνίωσι φάλαγγες,
Τοίη ἄρ' ὑψόθι νηὸς ἐς ἠέρα κίδνατ' ἀϋτή.
Οὐδέ τιν' οἰωνῶν ἔτ' ἐσέδρακον, ἀλλ' ὅτε νήσῳ
Χρίμψαντες σακέεσσιν ἐπέκτυπον, αὐτίκ' ἄρ' οἵγε
Μυρίοι ἔνθα καὶ ἔνθα πεφυζότες ἠερέθοντο.
Ὡς δ' ὁπότε Κρονίδης πυκινὴν ἐφέηκε χάλαζαν
Ἐκ νεφέων ἀνά τ' ἄστυ καὶ οἰκία, τοὶ δ' ὑπὸ τοῖσιν

Illi verò haſtis clypeiſque navem muniverunt.
Sicut autem, quando aliquis tegulâ parietes coopertur us eſt,
Ut domui ſit decori, et contrà pluviam præſidio,
Alii firmitèr alia viciſſim adaptatur;
Hoc modo illi ſcutis navem inſtructam cooperuerunt.
Qualis autem fit clangor ex bellico tumultu,
Militum commotorum, quando concurrunt acies,
Talis in alto navis per aërem ſpargebatur clamor.
Nec avium aliquam amplius conſpexerunt, ſed quando inſulæ
Appropinquantes ſcutis ſonitum ciebant, illæ ſtatim
Innumeræ hùc, illuc, in fugam ſublatæ ſunt.
Sicut autem quando Saturnius denſam demiſit grandinem
Ex nubibus, per urbem et domos, at ſub illis

1075. Ὡς δ' ὅτε τὶς κεράμῳ] τοῖς κεραμίοις κατασκευάζει. Schol.

1077. Ἄλλῳ δ' ἔμπεδον] ἄλλος δὲ ἄλλῳ, φησὶ, κέραμος ἀνθίσταται ἀσφαλῶς καὶ συνήρμοσται. ἐπαμοιβὸς, ἐπαμοιβοὶ γὰρ οὐχ οἱ ἀμείβοντες, ἀλλ' ἐπαλλαγμένοι τὴν σύνθεσιν. Schol.

1079. Οἵη δὲ κλαγγὴ] ὁποία δὲ βοὴ γίνεται ἐν πολέμῳ, ὁπόταν ἀλαλάξαντες ξυνέχωνται. Schol.

1084. Μυρίοι ἔνθα, &c. Aliter rem narrat Apollodorus Lib. II. p. 94. Aveſque haſce *partim fugatas, partim interfectas* tradit.

1087. Ἐνναίεται] κατ' ἐξαίρεσιν τοῦ ι, ἵν' ᾖ, ἐνναίεται. Κλεινίας δή φησι καὶ τὸν ναὸν ποτὲ οὕτως εἰρῆσθαι ἔνναιον, διὰ τὸ ἐνναίειν ἐν αὐτῷ τοὺς θεούς. Schol.

Ἐνναέ[τ'] κόναβον τεγέων ὕπερ εἰσαΐοντες
Ἥνται ἀκήν· ἐπεὶ οὔ σφι κατέλλαβε χείματος ὥρη
Ἀπροφάτως, ἀλλὰ πρὶν ἐκαρτύναντο μέλαθρον·
Ὣς πυκινὰ πτερὰ τοῖσιν ἐφίεσαν ἀΐσσοντες
Ὕψι μάλ' ἀμπέλαγος περάτης εἰς ἄκρα γαίης.
Τίς γὰρ δὴ Φινῆος ἔην νόος, ἐνθάδε κέλσαι
Ἀνδρῶν ἡρώων θεῖον στόλον; ἢ καὶ ἔπειτα
Ποῖον ὄνειαρ ἔμελλεν ἐελδομένοισιν ἱκέσθαι;
Υἱῆες Φρίξοιο μετὰ πτόλιν Ὀρχομενοῖο

Incolæ, crepitu ſuper tecta audito,
Sedent quietè (quoniam non eos deprehendit tempeſtas
Improvisò, ſed antea communiverant ædes)
Eodem modo denſas pennas in illos jaculabantur, cum impetu ſublatæ
Altè admodum trans mare, ad extremæ montes terræ.
Quænam verò Phinei erat ſententia, ut huc appelleret
Heroum divina claſſis? quidve deinceps
Aut quale commodum erat deſiderantibus acceſſurum?
Phryxo nati ad urbem Orchomeni

1088. Ἥνται ἀκήν] καθέζονται ἐν εἰρήνῃ, ἐπιφερομένου τοῦ χειμῶνος ἢ τῆς χαλάζης, διὰ τὸ ἐξηρτημένους αὐτοὺς εἶναι. Schol.

1089. Μέλαθρον] τὴν ὀροφήν. Κρατῆς δὲ τὴν δοκὸν ἐδέξατο, ὡς καὶ παρὰ τῷ ποιητῇ. "αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον." Schol.

Ibid. ——— ἐπεὶ οὔ σφι κατέλλαβε χείματος ὥρη
ΑΠΡΟΦΑΤΩΣ
——— nunquam *imprudentibus* imber
Obfuit. Virg. G. I. 373. Hœlzlinus annotat hìc eſſe *ἀδιαφορίαν γλώσσης*, *σφὶ* pro *σφί*. Contra Thucydides *σὲ* pro *σοὶ*, de quo Scholiaſtes adeundus, L. I.

1090. Ὣς πυκινὰ πτερὰ] χαλάζης πυκνότερα ἐφίεσαν αὐτοῖς πτερὰ, φεύγοντες διὰ τὴν θαλάσσης. πιθανῶς δὲ ὁ Πίσανδρος τοὺς ὄρνιθας φησὶν εἰς Σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεισαν. Schol.

1092. Τίς γὰρ δὴ Φινῆος] τοῦτο ἐρώτησις, ὡς ἀπὸ ποιητοῦ πρὸς τὰς Μούσας. τί φρονῶν, φησὶν, ὁ Φινεὺς ἐκέλευσεν αὐτοῖς προσορμισθῆναι τῇ τοῦ Ἄρεος νήσῳ; καὶ τίνα ὠφέλειαν αὐτοῖς προσορμισθεῖσι, τοῦτο προσέταξεν. ὅτι, ὥσπερ ἐμφανισθεὶς, ἐπιφέρει, υἷες Φρίξοιο. κατὰ δὲ τὴν Ἀρητιάδα νῆσον οἱ τοῦ Φρίξου υἱοὶ συναντήσουσιν, ἔνθα ἦν καὶ τὰ σιδηρόπτερα ὄρνεα. Schol.

1095. Υἱῆες Φρίξοιο] οἱ παῖδες Φρίξου ἔπλεον εἰς Ὀρχομενὸν ἐκ Κόλχων, ἵνα τὰ πατρῷα κληρονομήσωσιν· ναυαγήσαντες δὲ ἐξεβράσθησαν πρὸς τὴν Ἀρητιάδα νῆσον· ὅθεν ἀναλαβόντες αὐτοὺς οἱ Ἀργοναῦται ἦγον κεχηνημένους, καὶ πάλιν αὐτοὺς ἀπήγαγον εἰς Ὀρχομενόν. Schol.

Ἐξ

Ἐξ Αἴης ἐνίοντο παρ' Αἰήταο Κυταίου,
Κολχίδα νῆ' ἐπιβάντες, ἵν' ἄσπετον ὄλβον ἄρωνται
Πατρός· ὁ γὰρ θνήσκων ἐπετείλατο τήνδε κέλευθον·
Καὶ δὴ ἔσαν νήσοιο μάλα σχεδὸν ἤματι κείνῳ.
Ζεὺς δ' ἀνέμου Βορέαο μένος κίνησεν ἀῆναι,
Ὕδατι σημαίνων διερὴν ὁδὸν Ἀρκτούροιο.
Αὐτὰρ ὅγ' ἠμάτιος μὲν ἐν οὔρεσι φύλλ' ἐτίνασσεν
Τυτθὸν ἐπ' ἀκροτάτοισιν ἀήσυρος ἀκρεμόνεσσιν·
Νυκτὶ δ' ἔβη πόντονδε πελώριος, ὦρσε δὲ κῦμα
Κεκληγὼς πνοιῇσι· κελαινὴ δ' οὐρανὸν ἀχλὺς
Ἄμπεχεν, οὐδέ πῃ ἄστρα διαυγέα φαίνετ' ἰδέσθαι
Ἐκ νεφέων, σκοτόεις δὲ περὶ ζόφος ἠρήρειστο.
Οἱ δ' ἄρα μυδαλέοι στυγερὸν τρομέοντες ὄλεθρον,

Ex Æâ proficiſcebantur, ab Æetâ Cytæo,
Inſcenſâ nave Colchicâ, ut immenſas divitias acciperent
Patris: ille enim moriens juſſerat hoc iter,
Et ſane propè erant ad inſulam in eo die.
Jupiter autem Boreæ vim excitavit ad ſpirandum,
Imbribus ſignificans humidam viam Arcturi.
Ille quidem interdiu in montibus folia concuſſit
Paululum in ſummis leniter ſpirans ramis;
Nocte verò pontum invaſit vehemens, excitavitque fluctus
Reboans flatibus, nigra autem cœlum caligo
Involvit, nec ſtellæ alicubi tranſlucentes apparebant viſu
E nubibus, tenebroſa autem undique caligo inhæſerat.
Ipſi autem madidi, triſtem pertimeſcentes interitum

1100. Ζεὺς δ' ἀνέμου Βορέαο] δεικνὺς τὴν ἑῴαν ἐπιτολὴν τοῦ Ἀρκτούρου, Βορέαν ἐποίησε πνεῖν, ὅπως ῥᾳδίως ὄμβρος καὶ χειμὼν γένηται. Εἴωθε δὲ καὶ ὁ Βορέας ὄμβρους καταῤῥήσσειν. τοῦτο δέ φησιν, ἐπεὶ κατὰ τὴν ἐπιτολὴν τοῦ Ἀρκτούρου σφοδροὶ καταχέονται ὄμβροι, ὥς φησι Δημόκριτος ἐν τῷ περὶ ἀστρονομίας. καὶ Ἄρατος. "Φράζεο δ' αἰνοῦ μεμνημένος Ἀρκτούροιο." Schol.

1101. Ἀρκτούροιο] ἔστι δὲ ὁ Ἀρκτοῦρος, ἀστὴρ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος. Schol.

1102. Ἠμάτιος] ὁ ἡμερινός. κατὰ τὴν ἡμέραν μὲν, φησὶν, ὁ Βορέας ἐτίνασσε τὰ φύλλα. Schol.

1103. Ἀήσυρος] ὁ ἐλαφρῶς πνέων. δηλοῖ τὸ ἄω τὸ πνέω. Schol.

1108. Μυδαλέοι] οἱ κάθυγροι. Schol.

Υἷες Φρίξοιο φέρονθ' ὑπὸ κύμασιν αὔτως.
Ἱστία δ' ἐξήρπαξ' ἀνέμου μένος, ἠδὲ καὶ αὐτὴν
Νῆα διάνδιχ' ἔαξε τιναασσομένην ῥοθίοισιν.
Ἔνθα δ' ὑπαινεσίῃσι θεῶν, πίσυρές περ ἐόντες,
Δούρατος ὠρέξαντο πελωρίου· οἷά τε πολλὰ
Ῥαισθείσης κεκέδαστο, θοοῖς συναρηρότα γόμφοις.
Καὶ τοὺς μὲν νῆσόνδε παρὲξ ὀλίγον θανάτοιο
Κύματα καὶ ῥιπαὶ ἀνέμου φέρον ἀσχαλόωντας.
Αὐτίκα δ' ἐρράγη ὄμβρος ἀθέσφατος, ὗε δὲ πόντον
Καὶ νῆσον, καὶ πᾶσαν ὅσην κατεναντία νήσου
Νῆσόν τ' ἤπειρόν τε περαίης ἀγχόθι νήσου
Χώρην Μοσσύνοικοι ὑπέρβιοι ἀμφενέμοντο.
Τοὺς δ' ἄμυδις κρατερῷ σὺν δούρατι κύματος ὁρμὴ
Υἷας Φρίξοιο μετ' ἠιόνας βάλε νήσου

Phryxo nati, jactabantur passim fluctibus.
Vela insuper dirupit venti impetus, navemque ipsam
In duas partes diffregit, quassatam fluctibus.
Inde autem consilio deorum, quatuor licèt existentes,
Trabem corripuerunt ingentem, quales multæ
Diffractâ navi, dispersæ erant, validis compactæ clavis.
Eosque ad insulam, vel minimo à morte intervallo,
Fluctus ventique flatus ferebant malè affectos.
Illicò autem rupit se nimbus immensus, compluitque in pontum
Et insulam, et quamcunque obversam insulæ
Vel insulam, vel continentem ulteriorem prope insulam,
Regionem Mossynœci violenti circumhabitabant.
Ipsos autem valido simul cum ligno procellæ impetus
Filios Phrixi ad litora devolvit insulæ,

1111. Ῥοθίοισι] ῥοθίοις, τοῖς κύμασι. Schol.

1113. Ὠρέξαντο] ἀντὶ τοῦ ἐλάβοντο. Οἷά τε πολλά. οἷα πολλὰ ἦν πρότερον μὲν συνηρμοσμένα τοῖς γόμφοις. νῦν δὲ, διαφθαρείσης τῆς νεὼς, διεσκορπίσθη τὰ ξύλα. Schol.

1114. Ῥαισθείσης] ῥαισθείσης, διαφθαρείσης. Κεκέδαστο, ἀντὶ τοῦ διεσκόρπιστο. Schol.

1115. Παρὲξ ὀλίγον] παρ' ὀλίγον ἐκ τοῦ θανάτου. Schol.

Νύχθ'

Νύχθ' ὑπὸ λυγαίην· τὸ δὲ μυρίον ἐκ Διὸς ὕδωρ
Λῆξεν ἅμ' ἠελίῳ· τάχα δ' ἐγγύθεν ἀντεβόλησαν
Ἀλλήλοις, Ἄργος δὲ παροίτατος ἔκφατο μῦθον.
Ἀντόμεθα πρὸς Ζηνὸς Ἐποψίου, οἵτινές ἐστε
Ἀνδρῶν, εὐμενέειν τε καὶ ἀρκέσσαι χατέουσι.
Πόντῳ γὰρ τρηχεῖαι ἐπιβρίσασαι ἄελλαι
Νηὸς ἀεικελίης διὰ δούρατα πάντ' ἐκέδασσαν,
Ἧι ἔνι τειρόμενοι ἅμ' ἐπὶ χρέος ἐμβεβαῶτες.
Τοὔνεκα νῦν ὑμέας γουναζόμεθ', αἴκε πίθησθε,
Δοῦναι ὅσσονθ' εἴλυμα περὶ χροὸς, ἠδὲ κομίσσαι

Nocte sub obscurâ: immensa autem ex Jove aqua
Cessavit unà cum sole: statim prope obviam facti sunt
Invicem, primusque Argus sermonem adortus est.
Supplicamus vobis per Jovem Spectatorem, quicunque estis
Viri, faveatis et opem feratis indigentibus.
Quæ enim asperrimè incubuerunt mari procellæ
Navis vilis ligna omnia diffregerunt,
In quam simul afflicti ex necessitate ingressi sumus.
Quapropter nunc vobis supplicamus, si forte obtemperetis,
Ut detis aliquantulum vestitûs circa corpus, et sustineatis,

1123. Νύχθ' ὑπὸ λυγαίην] τὴν σκοτεινὴν ἀπὸ τῆς λύγου τοῦ φυτοῦ. καὶ γὰρ ἐκεῖνο μέλαν. καὶ τὸν ἐνιαυτὸν λυκάβαντα οἱονεὶ λυγάβαντα. ἐπεὶ μετὰ λύγης βαίνει. Σοφοκλῆς Πολυξένη. "ἀπ' αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους." Schol.

1125. Ἄργος δὲ παροίτατος] εἷς τῶν Φρίξου παίδων οὗτος. τούτους δὲ Ἡρόδωρος φησὶν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός· Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς μεγάλαις ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου. καὶ οὗτος μὲν φησὶν αὐτοὺς τέσσαρας, Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσωρον· Ἐπιμενίδης καὶ πέμπτον προστίθησι Πρέσβωνα. Schol.

1126. Ἐποψίου] ἐπόψιος, ἐπόπτης. Schol.

Ibid. Ζηνὸς ἐποψίου. *Jovis universa spectantis et intuentis*. Quamvis verò ab Apollonio Jupiter speciatim dicatur ἐπόψιος, cave tamen credas epithetum esse Jovi soli conveniens. Dii enim in genere dicti a Sophocle aliisque ΕΠΟΨΙΟΙ, *ceu inspectores*. In scholiis veio ad hunc versum pro ἐπόπτος scribe ἐπόπτης. Upt.

1130. Ἐμβεβαῶτες] μετοχὴ ἀντὶ ῥήματος κεῖται τοῦ ἐμβεβήκαμεν. Schol.

1132. Δοῦναι ὅσσονθ'] εὐτελὲς καὶ βραχύτατον περίβλημα. Schol.

Ibid. Ειλυμα. Reprehenderetur hoc ab Aristophane, qui et Euripidem sugillavit, quòd Τήλεφον δυστυχήσαντα πεποίηκε πήραν ἔχοντα καὶ προσαιτοῦντα. Sed heroas quoque casibus

Ἀνέρας

Ἀνέρας οἰκτείραντας ὁμήλικας ἐν κακότητι.
Ἀλλ' ἱκέτας ξείνους Διὸς εἵνεκεν αἰδέσσασθε
Ξεινίου ἱκεσίου τε· Διὸς δ' ἄμφω ἱκέται τε
Καὶ ξεῖνοι· ὁ δέ που καὶ ἐπόψιος ἄμμι τέτυκται.
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως ἐρέεινε,
Μαντοσύνας Φινῆος ὀϊσσάμενος τελέεσθαι.
Ταῦτα μὲν αὐτίκα πάντα παρέξομεν εὐμενέοντες.
Ἀλλ' ἄγε μοι κατάλεξον ἐτήτυμον, ὡς πόθι γαίης
Ναίετε, καὶ χρέος οἷον ὑπεὶρ ἅλα νεῖσθαι ἀνώγει·
Αὐτῶν θ' ὑμείων ὄνομα κλυτὸν, ἠδὲ γενέθλην.
Τὸν δ' Ἄργος προσέειπεν ἀμηχανέων κακότητι.
Αἰολίδην Φρίξον τιν' ἀφ' Ἑλλάδος Αἶαν ἱκέσθαι
Ἀτρεκέως, δοκέω, που ἀκούετε καὶ πάρος αὐτοὶ,
Φρίξον, ὅ τις πτολίεθρον ἀνήλυθεν Αἰήταο,
Κριοῦ ἐπεμβεβαώς· τόν ῥα χρύσειον ἔθηκεν,

Misericordiâ usi in viros æquales, malo conflictantes.
Quin hospites supplices Jovis causâ revereamini,
Hospitalis, et supplicum antistitoris; Jovis enim utrique, et supplices
Et hospites, qui nuper nobis inspectorem se præbuit.
Ab hoc autem Æsonis filius diligenter percontabatur,
Vaticinia Phinei ratus absoluta esse.
Hæc quidem statim omnia suppeditabimus benevoli.
Sed age, dic mihi verè quò terrarum
Habitetis, et quæ necessitas trans mare navigare impulerit,
Ipsorumque vestrûm nomen inclytum, et genus.
Hunc autem Argus allocutus est perplexus rebus adversis.
Phrixum quendam Æoli natum a Cræciâ in Æam venisse
Haud dubiè, opinor, alicubi audivistis et antea ipsi.
Eum nempe Phrixum, qui in oppidum Æetæ ingressus est,
Ariete vectus, quem aureum fecit

humanis fuisse objectos nemo est quin sciat, et luculenta Euripidæ extat defensio in poet. Aristotelis C. 13, quâ etiam noster hic frui potest. Est hic locus ex Ulyss. ζ. ubi etiam legitur ἄλυμα, productâ mediâ. In Gallicano ἄλημα. Hœlz.

1147. Κριοῦ ἐπεμβεβαώς] Διονύσιος

Ἑρμείας

Ἑρμείας· κῶας δὲ καὶ εἰσέτι νῦν κεν ἴδοισθε,
Πεπταμένον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσι.
Τὸν μὲν ἔπειτ' ἔρρεξεν ἑῆς ὑποθημοσύνῃσι
Φυξίῳ ἐκ πάντων Κρονίδῃ Διΐ· καί μιν ἔδεκτο
Αἰήτης μεγάρῳ, κούρην τέ οἱ ἐγγυάλιξε
Χαλκιόπην ἀνάεδνον, ἐϋφροσύνῃσι νόοιο.
Τῶν ἐξ ἀμφοτέρων εἰμὲν γένος· ἀλλ' ὁ μὲν ἤδη
Γηραιὸς θάνε Φρίξος ἐν Αἰήταο δόμοισιν·
Ἡμεῖς δ' αὐτίκα πατρὸς ἐφετμάων ἀλέγοντες,
Νεύμεθ' ἐς Ὀρχομενὸν κτεάνων Ἀθάμαντος ἕκητι.
Εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις δεδαῆσθαι,

Mercurius: et vellus etiam nunc videatis
Suſpenſum in folioſis quercûs ramis.
Illum poſtea immolavit, ipſius mandato,
Fugæ faventi ante omnes Saturnio Jovi; ac ipſum recepit
Regiâ Æeta, filiamque ei nuptum dedit
Chalciopam indotatam, benevolentiâ animi.
Ex his utriſque genus nobis eſt: at ipſe jam
Senex mortuus eſt Phrixus in Æetæ ædibus.
Nos verò ſtatim patris præceptorum curam habentes,
Navigamus ad Orchomenum Athamantis cauſâ poſſeſſionum.
Si verò et nomen fortè cupias cognoſcere,

ἐν τοῖς Ἀργοναύταις φησὶ κριὸν γεγονέναι τροφέα Φρίξου. ὃν αἰσθόμενον τῆς ἐπιβουλῆς Ἰνοῦς, ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν ποιήσασθαι· ὅθεν καὶ μεμυθεῦσθαι ὡς ὑπὸ κριοῦ διαπεραιωθείη. Ἡρόδωρος δέ φησιν ἐξ Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας, Σχοινέα, Ἐρύθριον, Λεύκωνα, Πτώον· Νεφέλης δέ, Φρίξον καὶ Ἕλλην· οὓς διὰ τὴν Ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι. τελευτῆσαι δὲ τὴν Ἕλλην κατὰ Πακτύην φασίν, ὡς καὶ Ἑλλάνικος μαρτυρεῖ. Ἰνοῦς δὲ καὶ Ἀθάμαντος, Λέαρχος καὶ Μελικέρτης.

Τὸν ῥα χρύσειον. λέγεται γὰρ τῇ τοῦ Ἑρμοῦ ἐπαφῇ τὸ δέρος τοῦ κριοῦ γενέσθαι χρυσοῦν. Schol.

1150. Ἑῆς ὑποθημοσύνῃσι] τὸν κριόν, φησίν, ἔθυσε ταῖς ἑαυτοῦ ὑποθήκαις. τοῦτ' ἐστι, κατὰ συμβουλὴν αὐτοῦ τοῦ κριοῦ. αὐτὸς γὰρ ὁ κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ, τοῦτο ποιεῖν προσέταξε. Schol.

1151. Φυξίῳ ἐκ πάντων] Φύξιος Ζεὺς παρὰ Θεσσαλοῖς, ἤτοι ἐπειδὴ τὸν ἐπὶ Δευκαλίωνος κατέφυγον κατακλυσμόν, ἢ διὰ τὸ καταφυγεῖν τὸν Φρίξον εἰς αὐτόν. Schol.

1153. Χαλκιόπην] Φερεκύδης ἐν ἕκτῃ Εὐωνίαν αὐτήν φησι καλεῖσθαι. ἐπώνυμοι δὲ αὐτῇ Χαλκιόπη καὶ Ὀφιοῦσα. Schol.

Τῶνδε

Τῷδε Κυτίσωρος πέλει οὔνομα· τῷ δέ τε, Φρόντις·
Τῷ δὲ, Μέλας· ἐμὲ δ' αὐτὸν ἐπικλείοιτέ κεν Ἄργον.
Ὣς φάτ'· ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο,
Καί σφέας ἀμφίεπον περιθαμβέες· αὐτὰρ Ἰήσων
Ἐξαῦτις κατὰ μοῖραν ἀμείβετο τοῖσδ' ἐπέεσσιν.
Ἦ ἄρα δὴ γνωτοὶ πατρώϊοι ἄμμιν ἐόντες
Λίσσεσθ' εὐμενέοντας ἐπαρκέσσαι κακότητα.
Κρηθεὺς γάρ ῥ' Ἀθάμας τε κασίγνητοι γεγάασι,
Κρηθῆος δ' υἱωνὸς ἐγώ· σὺν τοῖσι δ' ἑταίροις
Ἑλλάδος ἐξ αὐτῆς νέομ' ἐς πόλιν Αἰήταο.
Ἀλλὰ τὰ μὲν καὶ ἐσαῦτις ἐνίψομεν ἀλλήλοισι·
Νῦν δ' ἕσσασθε πάροιθεν· ὑπ' ἐννεσίῃσι δ' ὀΐω

Huic nomen eſt Cytiſorus, huic autem Phrontis,
Huic Melas, ipſum verò me Argum vocaveritis.
Sic locutus eſt: optimates autem ob congreſſum gaviſi ſunt,
Ipſoſque amplexabantur, miro ſtupore perculſi: at Jaſon
Deinceps, prout fas erat, reſpondit his verbis.
Certè equidem cognati paterni nobis exiſtentes,
Oratis, ut benevoli ſublevemus miſeriam.
Cretheus enim et Athamas fratres fuerunt;
Crethei autem nepos ego ſum: cum his verò ſociis
Ex ipſâ Græciâ proficiſcor ad urbem Æetæ.
Verùm de his poſtea conferemus ſermones mutuos.
Jam autem prius induamini; conſilio equidem opinor

1161. Συνηβολίῃ] Συνηβολίη τὸ σύμβολον, ἢ ἡ συμβολή. Schol.

Ibid. Ἀμφίεπον. Hoc expreſſum dedit Virgilius, lib. VIII. ubi Evander Æneæ,

—— os oculoſque loquentis
Jamdudum, et totum luſtrabat lumine corpus,

Et. 10. de Pallade,

Miratus ſtupet in Turno, corpuſque per ingens
Lumina volvit, obitque (ἀμφιέπει) truci procul omnia viſu.
Hœlz.

1163. Κατὰ μοῖραν] κατὰ τὸ πρέπον.

1164. Γνωτοὶ] οἱ συγγενεῖς. Schol.

1166. Κρηθεὺς] Κρηθεὺς καὶ Ἀθάμας ἀδελφοί. Κρηθέως, Αἴσων· Ἰάσων· Ἀθάμαντος δὲ Φρίξος, Φρίξου Ἄργος. Schol.

Ibid. Κρηθεὺς, &c. Vid. Hygin. fab. XII.

Ἀθανάτων

Ἀθανάτων ἐς χεῖρας ἐμὰς χατέοντας ἱκέσθαι.
Ἦ ῥα, καὶ ἐκ νηὸς δῶκε σφίσιν εἵματα δῦναι.
Πασσυδίῃ δ᾽ ἤπειτα κίον μετὰ νηὸν Ἄρηος
Μῆλ᾽ ἱερευσόμενοι· περὶ δ᾽ ἐσχάρῃ ἐστήσαντο
Ἐσσυμένως, ἥτ᾽ ἐκτὸς ἀνηρεφέος πέλε νηοῦ
Στιάων· εἴσω δὲ μέλας λίθος ἠρήρειστο
Ἱερὸς, ᾧ ποτε πᾶσαι Ἀμαζόνες εὐχετόωντο.
Οὐδέ σφιν θέμις ἦεν, ὅτ᾽ ἀντιπέρηθεν ἵκοιτο,
Μήλων τ᾽ ἠδὲ βοῶν τῇδ᾽ ἐσχάρῃ ἱερὰ καίειν,
Ἀλλ᾽ ἵππους δαίτρευον, ἐπηετανὸν κομέουσαι.
Αὐτὰρ ἐπεὶ ῥέξαντες ἐπαρτέα δαῖτα πάσαντο,
Δὴ τότ᾽ ἄρ Αἰσονίδης μετεφώνεεν, ἦρχέ τε μύθων.
Ζεὺς αὐτὸς τὰ ἕκαστ᾽ ἐπιδέρκεται· οὐδέ μιν ἄνδρες

Immortalium, in manus meas vos egentes incidiſſe.
Dixit, et è navi veſtes dedit, ut induerent.
Simulque unà omnes poſtea ibant ad templum Martis
Pecora immolaturi; circa autem aram ſteterunt
Certatim, quæ extra excelſum erat templum,
E lapillis; intus autem niger lapis defixus erat,
Sacer, ad quem omnes Amazones vota obtulerunt.
Nec iis fas erat, quando ex adverſo venirent,
Ovium boumque ſacra in arâ illâ comburere,
Sed equos fruſtatim ſecabant, quos largiter ſaginaverant.
Poſtquam autem, peractis ſacris, paratas epulas deguſtâſſent,
Tunc ſane Æſonides interpellavit, ſermonemque adortus eſt,
Jupiter ipſe ſingula inſpicit, nec ipſum homines

1176. Στιάων] σῖαι αἱ ψῆφοι παρὰ Σικυωνίοις καλοῦνται, ἡ ἐσχάρα οὖν καὶ ὁ βωμὸς ἐκ ψήφων κατεσκεύαστο. Καλλίμαχος. "πολλάκι τε μίτωπον." Schol.
1180. Ἐπηετανὸν κομέουσαι] ἀντὶ τοῦ ἐπιμελῶς καὶ ἐκ πολλοῦ τρέφουσαι. Schol.
1181. Ἐπαρτέα] ἑτοίμην. Schol.

1183. Ζεὺς αὐτὸς] τὸν Δία φησὶν ἐπιδέρκεσθαι ἕκαστα ὁ Ἰάσων, καὶ τὰ ἑξῆς. ἅμα μὲν παραμυθούμενος τὸν Ἄργον (πρὸς αὐτὸν γὰρ ὁ λόγος) ἅμα δὲ καὶ λεληθότως βοήθειαν αἰτῶν παρ᾽ αὐτοῦ, ὡς ἂν συνεργήσῃ αὐτοῖς ἀνακομίσαι τὸ δέρας εἰς τὴν Ἑλλάδα. Schol.

Λήθομεν ἔμπεδον, οἵ τε θεουδέες, ἠδὲ δίκαιοι.
Ὡς μὲν γὰρ πατέρ' ὑμὸν ὑπεξείρυτο φόνοιο
Μητρυιῆς, καὶ νόσφιν ἀπειρέσιον πόρεν ὄλβον·
Ὡς δὲ καὶ ὑμέας αὖτις ἀπήμονας ἐξεσάωσε
Χείματος οὐλομένοιο· πάρεστι δὲ τῇδ' ἐπὶ νηὸς
Ἔνθα καὶ ἔνθα νέεσθαι, ὅπῃ φίλον, εἴτε μετ' Αἶαν,
Εἴτε μετὰ Φθίην, θείου πόλιν Ὀρχομενοῖο.
Τὴν γὰρ Ἀθηναίη τεχνήσατο, καὶ τάμε χαλκῷ
Δούρατα Πηλιάδος κορυφῆς πέρι· σὺν δέ οἱ Ἄργος
Τεῦξεν· ἀτὰρ κείνην γε κακὸν διὰ κῦμ' ἐκέδασσε,
Πρὶν καὶ πετράων σχεδὸν ἐλθέμεν, αἵ τ' ἐνὶ πόντῳ
Στεινωπῷ συνίασι πανήμεροι ἀλλήλῃσιν.
Ἀλλ' ἄγεθ' ὧδε καὶ αὐτοὶ ἐς Ἑλλάδα μαιομένοισι
Κῶας ἄγειν χρύσειον ἐπίρροθοι ἄμμι πέλεσθε,

Latemus prorsus, qui pii atque justi.
Ut enim patrem vestrum eripuit à cæde
Novercali, et separatim immensas dedit divitias,
Sic et vos rursus integros servavit
A tempestate perniciosâ: licet autem hâc in navi
Huc, illuc ire, ubicunque lubet, sive ad Æam,
Sive ad Phthiam, inclyti urbem Orchomeni.
Hanc enim Minerva fabricavit, et secuit ferro
Ligna in cacumine Peliaco; cumque ipsâ Argus
Paravit: istam autem violenta unda disjecisset,
Vel priusquam ad rupes prope venissemus, quæ in ponto
Angusto concurrunt toto die inter se mutuè.
Verum agite similiter et vos nobis in Græciam aventibus
Vellus aureum reportare, adjutores estote,

1184. Pro ἠδὲ probat H. Stephanus ἠδ'. In Flor. est ὁ δὲ, ut δὲ serviat μαιομένοις. Hoelzlinus legendum censet οἵ τε δίκαιοι, pro ἀδικοί τε.

1190. Μετὰ Φθίην] οἱ μὲν τὴν Φθίαν Ὀρχομενοῦ πόλιν φασὶν εἰρῆσθαι. Φθίην πόλιν Ὀρχομενοῖο· παρόσον οἱ Ὀρχομένιοι ἄποικοί εἰσι Θεσσαλῶν. δύναται δὲ καὶ Ὀρχομενοῦ μνημονεύειν τῆς μεθορίου Μινυάδος καὶ Θεσσαλίας. ἔστι γὰρ Ὀρχομενὸς, καὶ ὄρος καὶ πόλις Θεσσαλίας, καὶ Βοιωτίας, καὶ Ἀρκαδίας, καὶ Πόντου. Schol.

1197. Ἐπίρροθοι] ἐπιρροθεῖν, κυρίως τὸ τοῖς κυσὶ κελεύειν, καὶ ὀρθίζειν, καὶ τὸ

Καὶ

Καὶ πλόου ἡγεμονῆες· ἐπεὶ Φρίξοιο θυηλὰς
Στέλλομαι ἀμπλήσων, Ζηνὸς χόλον Αἰολίδῃσιν.
Ἴσκε παρηγορέων· οἱ δ' ἔστυγον εἰσαΐοντες.
Οὐ γὰρ ἔφαν τεύξεσθαι ἐνηέος Αἰήταο
Κῶας ἄγειν κριοῖο μεμαότας. ὧδε δ' ἔειπεν
Ἄργος, ἀτεμβόμενος τοῖον στόλον ἀμφιπένεσθαι.
Ὦ φίλοι, ἡμέτερον μὲν ὅσον σθένος, οὔποτ' ἀρωγῆς
Σχήσεται οὐδ' ἠβαιὸν, ὅτε χρειώ τις ἵκηται.
Ἀλλ' αἰνῶς ὀλοῇσιν ἀπηνείῃσιν ἄρηρεν
Αἰήτης· τῷ καὶ πέρι δείδια ναυτίλλεσθαι.
Στεῦται δ' ἠελίου γόνος ἔμμεναι· ἀμφὶ δὲ Κόλχων
Ἔθνεα ναιετάουσιν ἀπείρονα· καὶ δέ κεν Ἄρει

Et cursûs duces: quandoquidem Phrixo sacra
Proficiscor perfecturus, ob Jovis iram in Æoli nepotes.
Conticuit cum hoc hortatu: illi verò extimescebant audientes:
Non enim opinabantur fore ut in mitem inciderent Æetam,
Vellus auferre arietis cupientes: et in hunc modum dixit
Argus, ægrè ferens tali eos navigatione occupari.
O amici, quantum nobis inest virium, nequaquam auxiliis
Recusabitur vel tantillum, quando necessitas aliqua inciderit:
Sed mirum in modum horribili sævitiâ præditus est
Æeta, ita ut pertimescam navigare.
Perhibetur autem eum à sole natum fuisse; circa verò Colchorum
Innumeræ habitant gentes; et sane Marti

τῇ τοῦ συνεργεῖν, παρὰ τὸ ῥέθιον, ὅ ἐ[illegible] τὸ κῦμα. ἐνταῦθα δὲ ἐπίρροθον ἁπλῶς τὸ βοηθὸν λέγει. Schol.

1199. Ζηνὸς χόλον] διὰ τὸ μηνῖσαι τὸ δαιμόνιον τοῖς ἀπὸ τοῦ Αἰόλου, Φρίξου κινδυνεύσαντος. νοεῖται δὲ ἐν τῷ χόλον ἡ διὰ, ἤγουν διὰ τὸν χόλον τοῦ Διός· ὡς τὸ, σὴν χάριν, ἀντὶ τοῦ διὰ τὴν σὴν χάριν. τοιαύτῃ γὰρ προφάσει ὑπὸ Πελίου ἐξεπέμφθη. Schol.

1200. Ἔστυγον] ἐστύγνασαν. ἐφοβήθησαν. Schol.

1201. Τεύξεσθαι ἐνηέος] οὐ γὰρ ὑπελάμβανον ἡδέως καὶ προσηνῶς προσδεχθήσεσθαι αὐτοὺς ὑπὸ τοῦ Αἰήτου, δόντα τὸ κῶας τῷ Ἰάσονι. Ἐνηέος, προσηνέος, ἀγαθοῦ. Schol.

1203. Ἀτεμβόμενος] ὡς Ὁμηρικῶς, ἀντὶ τοῦ στενοχούμενος. κεῖται γὰρ καὶ ἐπὶ τοῦ δυσχεραίνειν καὶ μεμφόμενος ἐπὶ τοιοῦτον αὐτοὺς στόλον στέλλεσθαι. Schol.

1208. Στεῦται] διαβεβαιοῦται. Schol.

Σμερδαλέην ἐνοπὴν, μέγα τε σθένος ἰσοφαρίζοι.
Οὐ μὰν οὐδ' ἀπάνευθεν ἑλεῖν δέρος Αἰήταο
Ῥηΐδιον· τοῖος μιν ὄφις περί τ' ἀμφί τ' ἔρυται
Ἀθάνατος καὶ ἄϋπνος, ὃν αὐτὴ γαῖ' ἀνέφυσεν
Καυκάσου ἐν κνημοῖσι, Τυφαονίη ὅτι πέτρη·
Ἔνθα Τυφάονα φασὶ Διὸς Κρονίδαο κεραυνῷ
Βλήμενον, ὁππότε οἱ στιβαρὰς ἐπορέξατο χεῖρας,
Θερμὸν ἀπὸ κρατὸς στάξαι φόνον· ἵκετο δ' αὔτως
Οὔρεα καὶ πεδίον Νυσήιον, ἔνθ' ἔτι νῦν περ
Κεῖται ὑποβρύχιος Σερβωνίδος ὕδασι λίμνης.
Ὣς ἄρ' ἔφη· πολέεσσι δ' ἐπὶ χλόος εἷλε παρειὰς
Αὐτίκα, τοῖον ἄεθλον ὅτ' ἔκλυον· αἶψα δὲ Πηλεὺς

Terribili voce et immenso robore se parem exhibeat.
Haud equidem pellem auferre ab Æetâ
Facile erit: talis eam serpens circum undique custodit
Immortalis, et somni expers, quem ipsa terra protulit
Caucasi in saltibus, ubi Typhaonia petra,
Quò Typhaona perhibent, Jovis Saturnii fulmine
Percussum, quando ipsi validas intentaret manus,
Calidam a capite destillâsse saniem. Is verò uti erat, venit
Ad montes et campum Nyseium, ubi etiamnum
Jacet, mersus Serbonidis sub aquâ paludis.
Sic dixit; at plerisque pallor perfudit genas
Simul atque tale certamen audiverant: statim autem Peleus

1212. Ὄφις. De dracone pellem auream custodiente consule Hygini interpretes, ad fab. I.

1214. Καυκάσου ἐν κνημοῖσι] περὶ τὸν Καύκασον, φασὶν, ἐν τῇ Τυφαονίᾳ πέτρᾳ κεραυνωθεὶς ὁ Τυφὼν, ἰχῶρας τινὰς ἀφῆκεν, ἐξ ὧν ἐγένετο ὁ δέρος φυλάσσων ὄφις. ὅτι δὲ ἐπὶ τὸν Καύκασον κατέφυγεν ὁ Τυφὼν διωκόμενος, καὶ ὅτι καιομένου τοῦ ὄρους ἔφυγεν ἐκεῖθεν εἰς Ἰταλίαν, ὅπου τὴν Πιθηκοῦσσαν αὐτῷ περιρριφῆναι νῆσον, Φερεκύδης ἐν τῇ Θεογονίᾳ ἱστορεῖ· οὐ μέντοι ὅτι καὶ εἰς τοὺς περὶ Συρίαν τόπους ἠλάθη, ὥς φησιν Ἀπολλώνιος. Schol.

1215. Τυφάονα] οὗτος, φησὶ, πληγεὶς ὑπὸ Διὸς, ὡς ἔχει εἰς τοὺς περὶ Συρίαν τόπους Πηλούσιον παραγενόμενος, διωκόμενος ὑπὸ Διός· ὅπου βυθισθεὶς κεῖται ἐν τῇ Σερβωνίδι λίμνῃ. διήκει δὲ αὕτη ἀπὸ Συρίας μέχρι Πηλουσίου. τὰ δ' αὐτὰ περὶ τοῦ Τυφῶνος καὶ Ἡρόδωρος φησίν. ἔνθα καὶ περὶ τῆς Νύσης ἱστορεῖ, λέγων. "ἔστι δέ τις Νύση, ὕπατον κέρας, ἀνθέον ὕλῃ, Τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων." ὁ δὲ Καύκασος διήκει ἀπὸ τῆς Ἀρμενίας χώρας ἕως Κόλχων. ἡ δὲ Σερβωνὶς λίμνη διάκειται περὶ τὸ Πηλούσιον τῆς Αἰγύπτου. Schol.

Θαρσαλέως

Θαρσαλέως ἐπέεσσιν ἀμείψατο, φώνησέν τε.
Μηδ' οὕτως, ἠθεῖε, λίην δειδίσσεο θυμῷ.
Οὔτε γὰρ ὧδ' ἀλκὴν ἐπιδευόμεθ', ὥστε χερείους
Ἔμμεναι Αἰήταο σὺν ἔντεσι πειρηθῆναι.
Ἀλλὰ καὶ ἡμέας οἴομ' ἐπισταμένους πολέμοιο
Κεῖσε μολεῖν, μακάρων σχεδὸν αἵματος ἐκγεγαῶτας.
Τῷ εἰ μὴ φιλότητι δέρος χρύσειον ὀπάσσῃ,
Οὔ οἱ χραισμήσειν ἐπιέλπομαι ἔθνεα Κόλχων.
Ὣς οἵγ' ἀλλήλοισιν ἀμοιβαδὸν ἠγορόωντο,
Μέσφ' αὖτις δόρποιο κορεσσάμενοι κατέδαρθεν.
Ἦρι δ' ἀνεγρομένοισιν ἐΰκραὴς ἄεν οὖρος·
Ἱστία δ' ἤειραν, τὰ δ' ὑπαὶ ῥιπῆς ἀνέμοιο
Τείνετο· ῥίμφα δὲ νῆσον ἀποπροέλειπον Ἄρηος.
Νυκτὶ δ' ἐπιπλομένῃ Φιλυρηίδα νῆσον ἄμειβον,

Audacter verbis respondit, dixitque.
Ne tam, bone vir, pertimescas animo.
Non enim adeo virium egentes sumus, ut deteriores
Simus armis cum Æetâ decertare.
Sed nos etiam existimo peritos belli
Illuc proficisci, qui fermè ex Deorum sanguine sati sumus.
Quapropter, nisi benevolè vellus aureum concesserit,
Nulli ei commodo futuras opinor gentes Colchorum.
Ita illi inter se vicissim confabulabantur,
Usque dum cibo satiati dormitum irent.
Manè autem experrectis temperata spirabat aura:
Sustulerunt igitur lintea, quæ flatu venti
Extendebantur; ac celeriter insulam liquerunt Martis;
Nocte verò insequenti, Philyræam præterlegerunt insulam;

1223. Μηδ' οὕτως, ἠθεῖε] οὕτως τὸ, τοῦ καὶ περιδεδιέναι ταπτίθεσθαι, ἀπελώτησιν ὁ Πηλεύς, κελεύων μὴ δεδιέναι. διὸ θυμῷ χωριστέον. γράφεται δὲ καὶ μύθῳ. ἵνα ᾖ, μὴ ἐκφόβει ἡμᾶς τῷ περὶ Αἰήτου λόγῳ. οὐ φέρεται δὲ οὕτως. ἀλλ' ἐν πᾶσι, δειδίσσεο θυμῷ. κατ' οὐδὲν γὰρ, φησὶ, τοῦ Αἰήτου ἐσμὲν χείρους. τὸ δὲ ἠθεῖε, οἶμαι κατ' ἐπένθεσιν τοῦ η γεγονέναι, ὥσπερ καὶ τὸ βαιὸς, ἠβαιός· μύω, ἠμύω. σημαίνει δὲ καὶ τὸ προσχειρον τὸ θεῖε, συγγενές. ἢ τὸ θαυμάσιε (μηδαμῶς ὦ θαυμάσιε) ἢ τὸ καλέ. Schol.

1224. Ἀλκήν. Hœlzlinus mavult legere ἀλκῆς.

1235. Φιλυρηίδα νῆσον] τὴν τῆς Φι-

Ἔνθα

Ἔνθα μὲν Οὐρανίδης Φιλύρῃ Κρόνος, εὖτ' ἐν Ὀλύμπῳ
Τιτήνων ἤνασσεν, ὁ δὲ Κρηταῖον ὑπ' ἄντρον
Ζεὺς ἔτι Κουρήτεσσι μετετρέφετ' Ἰδαίοισιν,
Ῥείην ἐξαπαφὼν, παρελέξατο· τοὺς δ' ἐνὶ λέκτροις
Τέτμε θεὰ μεσσηγύς· ὁ δ' ἐξ εὐνῆς ἀνορούσας
Ἔσσυτο χαιτήεντι φυὴν ἐναλίγκιος ἵππῳ.
Ἡ δ' αἰδοῖ χῶρόν τε καὶ ἤθεα κεῖνα λιποῦσα
Ὠκεανὶς Φιλύρη, εἰς οὔρεα μακρὰ Πελασγῶν
Ἦλθ', ἵνα δὴ Χείρωνα πελώριον, ἄλλα μὲν ἵππῳ,
Ἄλλα θεῷ ἀτάλαντον, ἀμοιβαίῃ τέκεν εὐνῇ.
Κεῖθεν δ' αὖ Μάκρωνας, ἀπειρεσίην τε Βεχείρων
Γαῖαν, ὑπερφιάλους τε παρὲξ ἐνέοντο Σάπειρας,
Βύζηράς τ' ἐπὶ τοῖσιν· ἐπιπρὸ γὰρ αἰὲν ἔτεμνον

Ubi Cœli filius Saturnus cum Philyrâ, quando in Olympo
Titanibus imperaret, et ipſe ſub antro Cretenſi
Jupiter adhuc inter Curetes educaretur Idæos,
Deceptâ Rheâ, concubuit; eoſque in amoribus
Deprehendit Dea mediis; ille verò è lecto proſiliens,
Proruit, juboſo formâ ſimilis equo.
At præ pudore, loco illo et ſedibus relictis,
Oceani filia Philyra, in arduos montes Pelaſgorum
Ivit, ubi Chironem monſtroſum, partim quidem equo
Partim deo ſimilem, e mutuo peperit concubitu.
Illinc porro Macronas, et immenſam Bechirorum
Terram, ac violentos præternavigârunt Sapiras,
Et poſt hos Byzeras: ulterius enim uſque progrediebantur

λύραν φησὶν, ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ, κατοικούσης περὶ τοὺς τόπους τούτους. Κρόνου δὲ μιγνυμένου αὐτῇ, ὅτε ἐβασίλευε Τιτάνων, τὴν Ῥέαν αὐτοὺς ἐπαυτοφώρῳ καταλαβοῦσαν. ὅθεν τὸν μὲν Κρόνον αἰσθηθέντα εἰς ἵππον μεταβληθῆναι, τὴν δὲ φυγεῖν εἰς Θεσσαλίαν. Φερεκύδης φησὶν ὅτι Κρόνος ἀπεικασθεὶς ἵππῳ ἐμίγη τῇ Φιλύρᾳ τῇ Ὠκεανοῦ· καὶ διὰ τοῦτο διφυὴς ὁ Χείρων. Σουΐδας δὲ ἐν α Θεσσαλικῶν τὸν Χείρωνα Ἰξίονος εἶναι παῖδα φησὶν, ἀδελφὸν δὲ Πειρίθου. Schol.

1237. Κρηταῖον ὄρος] τὸ Κρητικὸν, γίγονε δὲ καθ' ὁμοιότητα τοῦ Σιναΐου. Schol.

1239. Ῥείην. Conſule Span. ad Call. in Jov. 36.

1241. Χαιτήεντι] χαιτήεις, χαίτην ἔχων· ἀπὸ τῆς χαίτης. ὥσπερ ἀπὸ τοῦ ἱμερόεις ἱμερόεις· ἢ τιμὴ, τιμήεις. Schol.

1246. Μάκρωνας] περὶ Μακρώνων καὶ Βεχείρων καὶ Σαπείρων προείρηται. Schol.

Ἐσσυμένως.

Ἐσσυμένως, λιαροῖο φορεύμενοι ἐξ ἀνέμοιο.
Καὶ δὴ νισσομένοισι μυχὸς διεφαίνετο Πόντου·
Καὶ δὴ Καυκασίων ὀρέων ἀνέτελλον ἐρίπναι
Ἠλίβατοι, τόθι γυῖα περὶ στυφελοῖσι πάγοισιν
Ἰλλόμενος χαλκέῃσιν ἀλυκτοπέδῃσι Προμηθεὺς
Αἰετὸν ἥπατι φέρβε παλιμπετὲς ἀΐσσοντα.

Festinanter, secundo impulsi vento:
Et tunc sanè pergentibus sinus apparuit Ponti;
Quin imo Caucasiorum montium incipiebant apparere vertices
Excelsi, ubi membra ad asperas rupes
Circumligatus æreis pedicis Prometheus
Aquilam jecore suo pascebat, retrorsùm volantem.

1250. Μυχὸς] ἀντὶ δὲ, μυχὸς διεφαίνετο Πόντου, ἔδειξεν ὅτι ἐν τῷ μυχῷ τοῦ Πόντου ἡ Κολχική. Schol.

1251. Καὶ δὴ Καυκασίων] τὰ περιστρεφόμενα Καυκάσια Ἐρατοσθένης πλησίον εἶναι φησὶ τῆς περιστρεφομένης Κασπιανῆς θαλάσσης. Ἐρίπναι. τῶν Καυκασίων ὀρῶν αἱ ἀπορρῶγες καὶ ἐξοχαί. τινὲς δὲ ἐρίπνας, τὰς τραχείας καὶ εἰς ὕψος ἀνεχούσας πέτρας φασί Schol.

1252. Τόθι γυῖα] ὁ Προμηθεὺς ἐδέδετο ἐν τῷ Καυκάσῳ, καὶ ὁ αἰετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. Ἀγροίτας δὲ ἐν τρισκαιδεκάτῃ τῶν Σκυθικῶν, δαπανᾶσθαι φησὶ τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ τοῦ αἰετοῦ, διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Αἰετὸν φθείρειν. ἧπαρ δὲ παρὰ πολλοῖς, ὥσπερ καὶ οὖθαρ, τὴν εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ἐξοχετεύσαντος διορύξει τὸν ποταμὸν, τόν τε αἰετὸν δόξαι ὑπ' αὐτοῦ κεχειρῶσθαι, καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν. Θεόφραστος δὲ τὸν Προμηθέα φησὶ, σοφὸν γενόμενον, μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας. ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον ὡς ἄρα πυρὸς μεταδοίη. καὶ Ἡρόδωρος ξένως περὶ τῶν δεσμῶν τοῦ Προμηθέως ταῦτα. εἶναι γὰρ αὐτὸν Σκυθῶν βασιλέα φησί· καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια, διὰ τὸ τὸν καλούμενον Αἰετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν Σκυθῶν. ἐπιφανέντα δὲ Ἡρακλέα, τὸν μὲν ποταμὸν ἀποτρέψαι εἰς τὴν θάλασσαν (καὶ διὰ τοῦτο μεμυθεῦσθαι ἀνῃρηκέναι τὸν αἰετὸν Ἡρακλέα) τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν. Φερεκύδης δὲ ἐν δευτέρῳ, Τυφῶνος καὶ Ἐχίδνης τὸν Φόρκυνος φησὶ τὸν αἰετὸν τὸν ἐπιπεμφθέντα Προμηθεῖ. καὶ ὅτι δὲ ὁ αἰετὸς ἤσθιεν τῆς ἡμέρας τοῦ ἥπατος, τὸ δὲ λειπόμενον ηὔξετο τῆς νυκτὸς, καὶ ἐγένετο ἴσον. Schol.

1853. Ἰλλόμενος χαλκέῃσιν. δεθῆναι τὸν Προμηθέα φησὶν Ἡσίοδος, καὶ τὸν αἰετὸν ἐπιπεμφθῆναι αὐτῷ διὰ τὴν τοῦ πυρὸς κλοπήν. Δοῦρις δέ φησι, διὰ τὸ τῆς Ἀθηνᾶς ἐρασθῆναι. ὅθεν τοὺς περὶ τὸν Καύκασον οἰκοῦντας μόνῳ Διὶ καὶ Ἀθηνᾷ μὴ θύειν, διὰ τὸ κολάσεως αἰτίους Προμηθεῖ γενέσθαι. καθ' ὑπερβολὴν δὲ σέβειν Ἡρακλέα, τῆς τοῦ αἰετοῦ τοξείας χάριν. εἰκότως οὖν ὁ Ἀπολλώνιος περὶ Καύκασον γενόμενος, καὶ τούτων ἐμνήσθη. Schol.

1254. Αἰετὸν, &c. Haud ludet operam qui de hâcce fabulâ Scholiastem Hesiodi, optimè eam exponentem, consuluerit. Θεογ. 523.

Τὸν

Τὸν μὲν ἐπ' ἀκροτάτης ἴδον ἕσπερον ὀξέϊ ῥοίζῳ
Νηὸς ὑπερπτάμενον νεφέων σχεδόν· ἀλλὰ καὶ ἔμπης
Λαίφεα πάντ' ἐτίναξε παραιθύξας πτερύγεσσιν.
Οὐ γὰρ ὅγ' αἰθερίοιο φυὴν ἔχεν οἰωνοῖο,
Ἶσα δ' εὐξέστοις ὠκύπτερα πάλλεν ἐρετμοῖς.
Δηρὸν δ' οὐ μετέπειτα πολύστονον ἄϊον αὐδὴν
Ἧπαρ ἀνελκομένοιο Προμηθέος· ἔκτυπε δ' αἰθὴρ
Οἰμωγῇ· μέσφ' αὖτις ἀπ' οὔρεος ἀΐσσοντα
Αἰετὸν ὠμηστὴν αὐτὴν ὁδὸν εἰσενόησαν.
Ἐννύχιοι δ' Ἄργοιο ἀλημοσύνῃσιν ἵκοντο
Φᾶσίν τ' εὐρυρέοντα, καὶ ἔσχατα πείρατα Πόντου.
Αὐτίκα δ' ἱστία μὲν καὶ ἐπίκριον ἔνδοθι κοίλης
Ἱστοδόκης στείλαντες ἐκόσμεον· ἐν δὲ καὶ αὐτὸν
Ἱστὸν ἄφαρ χαλάσαντο παρακλιδόν· ὦκα δ' ἐρετμοῖς

Eam quidem viderunt vespertinam ſtridore acuto
Super ſummam volantem navem, propè nubes; ſed tamen
Vela omnia concuſſit laceſſita alarum motu.
Non enim illa volucris altivolæ formam exhibebat,
Sed veloces quatiebat alas, politis æquales remis.
Nec diu poſtea gemibundam audiebant vocem
Jecur retrahentis Promethei; inſonuit autem æther
Ejulatu, donec iterum è monte deruentem
Aquilam crudivoram, eâdem viâ, conſpexerunt.
Nocturni verò, Argi peritiâ, devenerunt
Ad Phaſin latè fluentem, et extremos fines Ponti.
Statim autem vela et antennam in cavum
Receptaculum detracta repoſuerunt; tum ipſum
Malum ſtatim ſubmiſerunt inclinatum, ac celeriter remis

1255. Τὸν μὲν ἐπ' ἀκροτάτης] παρὰ τὴν ἑσπέραν, φησὶν, εἶδον οἱ ἀριστεῖς τὸν ἀετὸν ἐπὶ τὸν Προμηθέα. Schol.

1257. Παραιθύξας] παραπνεύσας. τοῦτ' ἔστι, πολὺν ποιήσας, τῇ βίᾳ τῶν πτερύγων ἐτίναξε τὰ ἱστία. Schol.

1258. Αἰθερίοιο] ἀντὶ τοῦ ἀεροπόρου. Schol.

1259. Ἶσα δ' εὐξέστοις] τὰ ἐν ταῖς πτέρυξι πτερὰ ἴσα εἶχεν ἐρετμοῖς, ἅ ἐστι κώπαις. τοῦτο δέ φησι δεικνὺς τὸ μέγεθος τοῦ ὀρνέου. Schol.

1260. Δηρὸν] δηρὸν οὐ μετέπειτα, ἀντιστρόφως ἀναστρεπτέον, ἔστι δὲ οὐ μετὰ δηρόν. Schol.

1264. Ἄργοιο] Ἄργοιο τοῦ Φρίξου υἱοῦ. Ἀλημοσύνῃσι, τῇ ἐμπειρίᾳ τῶν τόπων. Schol.

Εἰσέλασαν

Εἰσέλασαν ποταμοῖο μέγαν ῥόον· αὐτὰρ ὁ πάντη
Καγχλάζων ὑπόεικεν· ἔχον δ' ἐπ' ἀριστερὰ χειρῶν
Καύκασον αἰπήεντα, Κυταιΐδα τε πτόλιν Αἴης·
Ἔνθεν δ' αὖ πεδίον τὸ Ἀρήϊον, ἱερά τ' ἄλση
Τοῖο Θεοῦ· τόθι κῶας ὄφις εἴρυτο δοκεύων
Πεπτάμενον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσιν.
Αὐτὸς δ' Αἰσονίδης χρυσέῳ ποταμόνδε κυπέλλῳ
Οἴνου ἀκηρασίοιο μελισταγέας χέε λοιβὰς
Γαίῃ τ', ἐνναέταις τε Θεοῖς, ψυχαῖς τε καμόντων
Ἡρώων· γουνοῦτο δ' ἀπήμονας εἶναι ἀρωγοὺς
Εὐμενέως, καὶ νηὸς ἐναίσιμα πείσματα δέχθαι.
Αὐτίκα δ' Ἀγκαῖος τοῖον μετὰ μῦθον ἔειπεν.
Κολχίδα μὲν δὴ γαῖαν ἱκάνομεν, ἠδὲ ῥέεθρα
Φάσιδος· ὥρη δ' ἡμῖν ἐνὶ σφίσι μητιάασθαι,
Εἴτ' οὖν μειλιχίῃ πειρησόμεθ' Αἰήταο,

Ingreffi funt fluvii alveam ingentem, qui quoquoverfus
Stridens recedebat: erat verò illis è finiftrâ
Caucafus excelfus, ac Colchica urbs Æetæ:
Ex alterâ autem parte, campus Martius, facraque nemora
Illius Dei, ubi vellus ferpens tuebatur obfervans
Sufpenfum in foliofis quercûs ramis.
Ipfe autem Jafon aureo in flumen poculo
Vini meri dulcia fundebat libamina
Telluri, et incolis Diis, animifque mortuorum
Heroum; fupplexque orabat, ut innoxii effent patroni,
Benevolè; et navis bono cum omine funes reciperent.
Statim autem Ancæus talem fermonem fubjecit.
Jam fane in Colchicam terram pervenimus, et fluenta
Phafidis; tempus igitur adeft, quo inter nos confultemus,
Sive comiter tentabimus Æetam,

1274. Πεπτάμενον] Ἡρωδιανὸς παροξύνει. Schol.
1276. Μελισταγέας] γλυκέας. Schol.
1277. Ἐνναέταις τε Θεοῖς] τοῖς ἐγχωρίοις θεοῖς. τοὺς γὰρ ἐπιδημοῦντας ἔθος ἦν ἐν τῇ ἀλλοδαπῇ θύειν θεοῖς ἐπιχωρίοις καὶ ἥρωσι. τοῦτο φασὶ καὶ Ἀλέξανδρον ποιῆσαι τὸν Μακεδόνα ἐν Ἰλίῳ. Schol.
1279. Καὶ νηὸς ἐναίσιμα] τὰ καθήκοντα. οἷον ἐπ' ἀγαθοῖς καὶ εὐπροσδέκτοις. Schol
1283. Εἴτ' οὖν μειλιχίῃ] ἤτοι πρᾴως

Εἴτε καὶ ἀλλοίη τις ἐπήβολος ἔσσετ' ὁρμή.
Ὣς ἔφατ'· Ἄργου δ' αὖτε παρηγορίῃσιν Ἰήσων
Ὑψόθι νῆ' ἐκέλευσεν ἐπ' εὐναίῃσιν ἐρύσαι,
Δάσκιον εἰσελάσαντας ἕλος· τὸ δ' ἐπισχεδὸν ἦεν
Νισσομένων, ἔνθ' οἵγε διὰ κνέφας ηὐλίζοντο.
Ἠὼς δ' οὐ μετὰ δηρὸν ἐελδομένοισι φαάνθη.

An alia aliqua tuta erit aggrediendi via.
Sic dixit: Argi autem hortatu Jason
Altè navem juſſit anchoris ſtabilirent,
Umbroſæ inactam paludi (ea autem erat proximè
Navigantes) ubi illi per noctem dormiebant.
Aurora autem paulo poſt deſiderantibus apparuit.

προσφερόμενοι τῷ Αἰήτῃ, δυνησόμεθα ἡμεῖν αὐτοῦ, εἴτε ἄλλως πως. Schol.

1284. Ἐπήβολος] ἀσφαλής· οὕτω καὶ Ἀμερίας ἀποδίδωσιν ἐν ταῖς γλώσσαις. Schol.

1285. Παρηγορίῃσιν] παρηγορία, ἡ προτροπὴ καὶ ἡ συμβουλή. Schol.

1286. Ὑψόθι νῆ' ἐκέλευσεν] ἐν τῷ βάθει τοῦ ποταμοῦ. μὴ προσορμισθέντες τῇ γῇ. Ὅμηρος. "ὕψι δ' ἐπ' εὐνάων ὁρμίσομεν." Ἐπ' εὐναίῃσιν. ἐπὶ τῶν ἀγκυρῶν ἑλκύσαι, ταῖς ἀγκύραις ὁρμίσαι. Schol,

1287. Δάσκιον] τὸ δασύσκιον, κατὰ συγκοπήν. Schol.

# ΑΠΟΛΛΩΝΙΟΥ

## ΤΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ

### ΤΡΙΤΟΝ.

Εἰ δ' ἄγε νῦν, Ἐρατώ, παρ' ἔμ' ἵστασο, καί μοι ἔνισπε
Ἔνθεν ὅπως ἐς Ἰωλκὸν ἀνήγαγε κῶας Ἰήσων
Μηδείης ὑπ' ἔρωτι· σὺ γὰρ καὶ Κύπριδος αἶσαν

AGE nunc, adfis mihi, O Erato, et enarra
Quomodo inde in Iolcum reportaverit vellus Jason
Medeæ amore: tu enim et Veneris officium

1. Εἰ δ' ἄγε νῦν, Ἐρατὼ] τοῦ τρίτου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια, ἐστὶ τάδε. Ἥρα καὶ Ἀθηνᾶ βουλευσάμεναι, πείθουσι τὴν Ἀφροδίτην τῇ Μηδείᾳ ἐπιπέμψαι τὸν Ἔρωτα. Ἰάσων δὲ μετὰ τῶν Φρίξου υἱῶν παραγενόμενος πρὸς τὸν Αἰήτην, ἀξιοῖ λαβεῖν τὸ δέρος. ἀγανακτήσας δὲ ὁ Αἰήτης, ἄθλους αὐτῷ προστάττει μεγάλους· ὥστε τοὺς πυρίπνους ταύρους ζεῦξαι, καὶ σπεῖραι τοὺς τοῦ δράκοντος ὀδόντας, ὑφ' ὧν ἀνεδίδοντο γίγαντες. οὐ μόνον δὲ σπεῖραι, ἀλλὰ καὶ τῶν γηγενῶν στάχυν θερίσαι. Μήδεια δὲ, διὰ τὸν ἐπὶ τοῦ Ἰάσονα ἔρωτα, ὑπάγεται ὑπὸ τῇ Χαλκιόπῃ τοῖς υἱοῖς αὐτῆς βοηθῆσαι: καὶ δὴ συντεθειμένη καὶ συντυχοῦσα τῷ Ἰάσονι κατὰ τὸ τῆς Ἑκάτης ἱερὸν, δίδωσί τε τὰ φάρμακα, καὶ ὑποτίθεται ὃν τρόπον δεῖ πρὸς τὸ θέρος τῶν γιγάντων ἁρμόσασθαι. τοῖς δὲ φαρμάκοις χρησάμενος ὁ Ἰάσων ἤνυσε παρὰ πᾶσαν ἐλπίδα τοῦ Αἰήτου τοὺς προτεθέντας ἄθλους. Ἐρατὼ. ἀντὶ τοῦ Ἐρατοῖ, Ἀττικῶς. τὴν Ἐρατὼ φασὶν ὄρχησιν εὑρηκέναι. Εἰ δ' ἄγε νῦν. λέγεται, τῶν Μουσῶν ἡ μὲν Κλειὼ εὑρηκέναι τὴν ἱστορίαν· Θάλεια δὲ, γεωργίαν, καὶ τὴν περὶ τὰ φυτὰ πραγματείαν: Εὐτέρπη δὲ μαθήματα· Τερψιχόρη, παιδείαν· Ἐρατὼ, ὄρχησιν· Πολύμνια, λύραν· Μελπομένη ᾠδήν· Οὐρανία, ἀστρολογίαν· Καλλιόπη, ποίησιν. Παρά τε. τὸ ἑξῆς, παρίστασο καὶ εἰπέ. ἀπορεῖται δὲ πρῶτον μὲν διὰ τί οὐκ ἀρχόμενος τῆς ποιήσεως ἐπεκαλέσατο τὰς Μούσας, νῦν δ' αὐτὸ ποιεῖ. δεύτερον, διὰ τί τὴν Ἐρατὼ, καὶ οὐ τὰς ἄλλας ἐπικαλεῖται. ῥητέον οὖν πρὸς μὲν τὸ πρῶτον, ὅτι ἀρχόμενος μὲν, εἰκότως Ἀπόλλωνα τὸν τῶν Μουσῶν ἀρχηγέτην ἐπεκαλέσατο· ἐνταῦθα δὲ, ἐπειδή περ περὶ γάμου καὶ θαλίας διαλέγεσθαι μέλλει, θαλιῶν δὲ προστάτιδες αἱ Μοῦσαι, διὰ τοῦτο νῦν τὰς Μούσας ἐπικαλεῖται. ὅτι δὲ θαλιῶν εἰσὶ προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται. "οὐδέ τι λήγονται Μουσῶν βροτοί. αἱ γὰρ ἔασι Κοίρανοι, αἷσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί." πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐπειδὴ ἐν τοῖς Ὀρφικοῖς εὑρέτις ὀρχήσεως ἡ Ἐρατὼ παραδίδοται, μέλλει δὲ ὁ Ἀπολλώνιος τὸν τῆς Μηδείας καὶ Ἰάσονος γά-

Ἔμμορες, ἀδμῆτας δὲ τεοῖς μελεδήμασι θέλγεις
Παρθενικάς· τῷ καί οἱ ἐπήρατον οὔνομ' ἀνῆπται.
Ὣς οἱ μὲν πυκινοῖσιν ἀνωΐστως δονάκεσσι
Μίμνον ἀριστῆες λελοχημένοι· αἱ δ' ἐνόησαν,
Ἥρη Ἀθηναίη τε, Διὸς δ' αὐτοῖο καὶ ἄλλων
Ἀθανάτων ἀπονόσφι θεῶν θαλαμόνδε κιοῦσαι
Βούλευον· πείραζε δ' Ἀθηναίην πάρος Ἥρη.
Αὐτὴ νῦν προτέρη, θύγατερ Διός, ἄρχεο βουλῆς,
Τί χρέος, ἠὲ δόλον τινὰ μήσεαι, ᾧ κεν ἑλόντες
Χρύσεον Αἰήταο μεθ' Ἑλλάδα κῶας ἄγοιντο·
Ἢ καὶ τόνγ' ἐπέεσσι παραιφάμενοι πεπίθοιεν
Μειλιχίοις· ἢ μὲν γὰρ ὑπερφίαλος πέλει αἰνῶς·

Sortita es, innuptasque curis tuis mulces
Virgines, unde tibi nomen amabile est inditum.
Sic inter densas, nemine observante, arundines
Manserunt proceres in insidiis locati: at verò intellexerunt
Juno et Minerva, et ab ipso Jove aliisque
Immortalibus seorsim Diis thalamum ingressæ,
Consultabant; tentabat autem Minervam primùm Juno.
Ipsa nunc prior, filia Jovis, aggredere consilium,
Quid rei, quidve doli confingas, quo captum
Aureum Æetæ vellus in Græciam auferant;
Aut ipsi, verbis decepto, persuadeant
Blandis; vehementèr enim est arrogans.

μου διηγεῖσθαι, διὰ τοῦτο τὴν εὕρεσιν τῆς ἐπονομαζούσης τὸν γάμον ὀρχήσεως ἐπικαλεῖται Μοῦσαν. διὸ καὶ μετ' ὀλίγα ἐπήνεγκε μεμοιρᾶσθαι τῶν τῆς Ἀφροδίτης ὀργίων. τῷ γὰρ γάμῳ καὶ ὄρχησις ἕπεται. Ῥιανὸς δέ φησι μηδὲν διαφέρειν ἢ πάσας ἐπικαλεῖσθαι τὰς Μούσας, λέγων οὕτως. "πᾶσαι δ' εἰσαΐουσι, μιᾶς ὅτε τοὔνομα λέξεις." ἴσως δὲ καὶ ἐπειδὴ περὶ ἔρωτος μέλλει λέγειν, ἡ Ἐρατὼ δὲ παρὰ τὸ ἐρᾶν παράγεται, διὰ τοῦτο ταύτης μνημονεύει, τὸ κοινὸν εὐεργέτημα αὐτῇ ἀναθεὶς διὰ τὸ ὄνομα. Schol.

Ibid. Εἰ δ' ἄγε νῦν, Ἐρατώ. Nunc age qui reges, Erato, Virg.

3. Σὺ γὰρ] Εὐλόγως δὲ ὁ Ἀπολλώνιος μεμοιρᾶσθαι τὴν Ἐρατώ φησι τῶν τῆς Ἀφροδίτης ὀργίων, λέγω δὲ τῶν γαμικῶν· γάμοις δὲ ἔρως καὶ ὄρχησις ἕπεται. ἐν δὲ τοῖς εἰς Μουσαῖον ἀναφερομένοις δύο ἱστορεῖται γενέσεις Μουσῶν· πρεσβυτέρων μέν, κατὰ τὸν Κρόνον γενομένων· νεωτέρων δέ, τῶν ἐκ Διὸς καὶ Μνημοσύνης. Schol.

5. Οἱ. Gall. τοι. Mihi Aldinum arridebat; quia τοί sic est in lib. I. in Apotreptico Hypsipylæ. Hœlz.

6. Ἀνωΐστως] ἀνυπονοήτως. Schol.

13. Μεθ' Ἑλλάδα] ἀντὶ τοῦ εἰς Ἑλλάδα. Schol.

Ἔμπης

Ἔμπης δ' οὔτινα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν.
Ὣς φάτο· τὴν δὲ παρ' ἄσσον Ἀθηναίη προσέειπε.
Καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετὰ φρεσὶν ὁρμαίνουσαν
Ἥρη ἀπηλεγέως ἐξείρεαι· ἀλλά τοι οὔπω
Φράσσασθαι νοέω τοῦτον δόλον ὅστις ὀνήσει
Θυμὸν ἀριστήων· πολέας δ' ἐπεδοίασα βουλάς.
Ἦ, καὶ ἐπ' οὔδεος αἵγε ποδῶν πάρος ὄμματ' ἔπηξαν,
Ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν· αὐτίκα δ' Ἥρη
Τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον.
Δεῦρ' ἴομεν μετὰ Κύπριν· ἐπιπλόμεναι δέ μιν ἄμφω
Παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν, αἴ κε πίθηται,
Κούρην Αἰήτεω πολυφάρμακον οἷσι βέλεσσι

Nullum tamen tentamen omittere oportet.
Sic dixit; hanc autem illico Minerva allocuta eſt.
Me etiam talia in animo verſantem
Juno, apertè rogas; ſed nondum
Excogitâſſe videor illum dolum, qui uſui erit
Animo procerum; multa tamen perlibravi conſilia.
Dixit; et in ſolo ante pedes oculos fixos tenebant
Bifariam inter ſe animo fluctuantes; at ſtatim Juno
Talem deliberans prior habuit ſermonem.
Abeamus hinc ad Venerem, quam conventam ambæ
Ut filio ſuo edicat hortemur, ſi modò paruerit,
Natam Æetæ venerorum peritam telis ſuis

16. Ἀποτρωπᾶσθαι] ἀποτρίπεσθαι. ὁ δὲ νοῦς, ὅμως οὐδεμίαν πεῖραν παρεῖναι δεῖ. Schol.

17. Τὴν δὲ παρ' ἄσσον] παραχρῆμα, εὐθέως. ἢ λείπει τὸ προθυμίαν. Schol.

19. Ἀπηλεγέως] σημαίνει μὲν καὶ τὸ ἀληθῶς καὶ ἁπλῶς, ἔτι δὲ καὶ τὸ σαφῶς· νῦν δὲ ἀντὶ τοῦ ἀποτόμως. ἐπιφέρει γάρ, ἀλλά τοι οὔπω φράσσασθαι νοέω. Schol.

23. Ἄνδιχα πορφύρουσαι] διηρημένως μεριμνῶσαι. Schol.

25. Μετὰ Κύπριν] πρὸς τὴν Κύπριν. Ἐπιπλόμεναι. παραγενόμεναι καὶ ἐπελθοῦσαι.

26. Παιδὶ ἑῷ] Ἀπολλώνιος μὲν Ἀφροδίτης τὸν Ἔρωτα γενεαλογεῖ· Σαπφὼ δὲ γῆς καὶ Οὐρανοῦ· Σιμωνίδης δὲ, Ἀφροδίτης καὶ Ἄρεος. „σχέτλιε παῖ δολομήδες Ἀφροδίτας, τὸν Ἄρει δολομηχάνῳ τέκεν.” Ἴβυκος καὶ Ἡσίοδος ἐκ Χάους λέγει τὸν Ἔρωτα. ἐν δὲ τοῖς εἰς Ὀρφέα, Κρόνου γενεαλογεῖται. „αὐτὰρ Ἔρωτα Κρόνος καὶ πνεύματα πάντα ἐγείνατο.” Schol.

27. Αἰήταο. Gall. Αἰήτεω. A ſe mutatum monet Hœlzlinus, quòd Αἰήτεω ſæpe in ſequentibus.

Θέλξαι

Θέλξαι ὀϊστεύσασαν ἐπ' Ἰήσονι· τὸν δ' ἂν ὀΐω
Κείνης αἰνεσίῃσιν ἐς Ἑλλάδα κῶας ἀνάξειν.
Ὣς ἄρ' ἔφη· πυκινὴ δὲ συνεύαδε μῆτις Ἀθήνῃ·
Καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν.
Ἥρη, νήϊδα μέν με πατὴρ τέκε τοῖο βολάων,
Οὐδέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
Εἰ δέ σοι αὐτῇ μῦθος ἐφανδάνει, ἦτ' ἂν ἔγωγε
Ἑσποίμην, σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα.
Ἦ, καὶ ἀναΐξασαι ἐπὶ μέγα δῶμα νέοντο
Κύπριδος, ὅρρα τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις,
Ὁππότε μιν ταπρῶτα παραὶ Διὸς ἦγεν ἄκοιτιν.
Ἕρκεα δ' εἰσελθοῦσαι ὑπ' αἰθούσῃ θαλάμοιο

Percuffam, allicere defiderio Jafonis; quem opinor
Illius affenfu vellus in Græciam allaturum.
Sic allocuta eft; vafrum autem placuit confilium Minervæ:
Et illi viciffim refponfum dedit verbis blandis.
Juno, infciam me pater genuit hujus ictuum,
Nec rem aliquam novi quæ vim habeat alliciendi amorem.
Si autem tibi ipfi hæc fententia arridet, certè ego
Affenfum præbitura fum; tu verò compellandi vicem geres ubi conveneris.
Dixit; et profilientes ad magnas ædes contenderunt
Veneris, quas ipfi extruxerat maritus utroque pede claudus,
Quando eam primùm a Jove duceret uxorem.
Mœnia autem ingreffæ, fub porticu thalami

28. Θέλξαι ὀϊστεύσασαν] νῦν ἀντὶ τοῦ ἀπατῆσαι, τὸ μὴ κρατῆσαι ἑαυτῆς διὰ τὸν ἔρωτα. Schol.

29. Κείνης αἰνεσίῃσι. Call. hymn. in Dian. Ἥρης αἰνεσίῃσιν, *Junonis confiliis*. Rarior hæc vox, ἐννεσίῃσι paffim. Confule autem interpretes ad Call. Vide omnino infra v. 817.

30. Πυκινὴ] ἀντὶ τοῦ ἄρθρου κυκλῶς. ἀντὶ τοῦ πυκινὴ καὶ συνετὴ ἤρεσεν αὐτῇ εἶναι ἡ βουλή. Schol.

37. Ὅρρα τέ οἱ δεῖμεν] ὅρρα τέ. οἱ Ἀρισταρχειοι δι' ἑνὸς ρ τὰ τοιαῦτα γράφουσιν· Ἡρακλέων δὲ ἐν δυσίν. ὡς καὶ παρὰ τῷ ποιητῇ. "τόρρα τότ' ἐκ χηλοῖο λαβών." Schol.

Ibid. Δεῖμεν πόσις. Ἔθος ἦν τοῖς γήμασι θάλαμον οἰκοδομεῖσθαι. Schol. ad Il. β'. ubi de Protefilao. Hœlz.

39. Αἰθούσῃ] αἴθουσαν λέγει τὴν παστάδα. Schol.

Ἔσταν,

Ἔσταν, ἵν᾽ ἐντύνεσκε θεὰ λέχος Ἡφαίστοιο.
Ἀλλ᾽ ὁ μὲν ἐς χαλκεῶνα καὶ ἄκμονας ἦρι βεβήκει,
Νήσοιο πλαγκτῆς εὐρὺν μυχόν· ᾧ ἔνι πάντα
Δαίδαλα χάλκευεν ῥιπῇ πυρός· ἡ δ᾽ ἄρα μούνη
Ἧστο δόμῳ δινωτὸν ἀνὰ θρόνον, ἄντα θυράων.
Λευκοῖσιν δ᾽ ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις,

Steterunt, ubi adornabat Dea lectum Vulcani.
Verùm ille quidem ad officinam et incudes mane iverat
In erraticæ insulæ latum recessum, quo omnia
Artificiosa opera ex ære ducebat ignis jactu: hæc igitur sola
Domi sedebat, versatili super solio, ex adverso forium.
Eburneis autem utrinque immissas humeris comas

41. Ἀλλ᾽ ὁ μὲν ἐς χαλκεῶνα] τῶν ἐν Αἰόλου νήσων Ἱερὰ καλουμένη, ἐν ᾗ φασὶ τὸν Ἥφαιστον χαλκεύειν. Καλλίας δὲ οὐ τὴν Ἱερὰν φησὶν ἀνακεῖσθαι Ἡφαίστῳ, ἀλλὰ τὴν Λιπάραν. "νήσῳ ἐνὶ Λιπάρῃ." εἰσὶ δὲ αἱ τοῦ Αἰόλου νῆσοι ἑπτὰ αὗται, Στρογγύλη, Εὐώνυμος, Ἱερά, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης, περὶ Σικελίαν. Ἀλλ᾽ ὁ μέν. τῶν Αἰόλου νήσων ἐστὶν ἡ Ἱερὰ καλουμένη, ἐν ᾗ φασὶ τὸν Ἥφαιστον χαλκεύειν. ἱστορεῖ Καλλίας ἐν δεκάτῳ τῶν περὶ Ἀγαθοκλέα· λέγων εἶναι καὶ ὄροφον ὑψηλόν, ἐφ᾽ οὗ κρατῆρές εἰσι δύο· ὧν ὁ ἕτερος ἐστὶ τὴν περίμετρον τριστάδιος, ἐξ οὗ πολὺ φέρεται φέγγος, ὥστε ἐπὶ πολὺν τόπον διήκειν τὸν φωτισμόν. ἔπειτα ἐκ τοῦ χάσματος ἀναφέρονται διάπυροι λίθοι ἀπλετομεγέθεις. καὶ τηλικοῦτος βρόμος γίνεται, καθ᾽ ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν Ἥφαιστον, ὥστε ἐπὶ πεντακόσια στάδια ἀκούεσθαι τὸν ἦχον. οἱ δὲ ἐκ τοῦ ἐκφυσήματος ἀναῤῥιπτούμενοι μύδροι, διὰ τὴν ἐκπύρωσιν πάντοτε ἰώδεις εἰσὶ καὶ διακεκαυμένοι τὴν ὄψιν, καὶ τὴν δύναμιν καθ᾽ ἥλιον ἴσχουσιν. νύκτωρ μὲν οὖν πάντα τὰ περὶ τὴν ἐργασίαν τοῦ θεοῦ γινόμενα καλῶς δηλοῦται· μεθ᾽ ἡμέραν δὲ, ἐκ τῆς κορυφῆς ὅθεν ἡ φλὸξ ἀνίησιν, ὥσπερ νέφος ὑπερκείμενον ὁρᾶται. Ἦρι, ἕωθεν. Schol.

Pro Καλλίας in init. Schol. lege Καλλίμαχος. Quod enim ibi citat Scholiastes legitur in Call. Hymn. in Dian. v. 47.

42. Πλαγκτῆς] Πλαγκτὴν δὲ αὐτὴν εἴρηκεν, ἀκολουθήσας τοῖς περὶ Ἰταλίαν καὶ Σικελίαν μυθολογοῦσι τὴν Ὀδυσσέως πλάνην. ἢ ὅτι τὸ παλαιὸν αἱ νῆσοι πᾶσαι ἐπλανῶντο, καὶ βάσεις οὐκ εἶχον. Schol.

Ibid. Πλαγκτῆς, *erraticæ*. Malim hoc haberi ὀνομαστικῶς dictum. Ulyss. μ΄. Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι. Quod est præcidere ansam iis qui quærere curiosius possent quo tandem sub sole jacerent Planctæ. Et est hic μυθόπλαστος ἐκτοπισμός, de quo hunc in modum ἀστεΐζεται Eustathius. Πλαγκτὰς πέτρας ὁ ποιητὴς ὡς διά τινος πετροβόλου τερατείας μηχανῆς ἐκ τοῦ κατὰ Θράκην πορθμοῦ εἰς τὸν Σικελικὸν ἐξετίναξεν ὑπὸ ἀρχιτέκτονι τῷ μύθῳ. Quâ Homeri solertiâ etiam noster fruitur. Hœlz.

43. Δαίδαλα] διὰ δὲ τοῦ λέγειν, δαίδαλα χάλκευεν ῥιπῇ πυρὸς, ἐμφαίνει περὶ τῆς λεγομένης ὑπὸ τοῦ Καλλίου ἀναφυσήσεως τοῦ πυρὸς ἐκ τοῦ χάσματος. Schol.

Κόσμει

Κόσμει χρυσείῃ διὰ κερκίδι· μέλλε δὲ μακροὺς
Πλέξασθαι πλοκάμους· τὰς δὲ προπάροιθεν ἰδοῦσα
Ἔσχεθεν, εἴσω τέ σφ' ἐκάλει, καὶ ἀπὸ θρόνου ὦρτο,
Εἶσέ τ' ἐνὶ κλισμοῖσιν· ἀτὰρ μετέπειτα καὶ αὐτὴ
Ἵζανεν, ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
Τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν.]
Ἠθεῖαι, τίς δεῦρο νόος χρειώ τε κομίζει
Δηναιὰς αὔτως; τί δ' ἱκάνετον, οὔτι πάρος γε
Λίην φοιτίζουσαι; ἐπεὶ πέρι εἶστε θεάων.
Τὴν δ' Ἥρη τοίοισιν ἀμειβομένη προσέειπεν.
Κερτομέεις, νῶιν δὲ κέαρ συνορίνεται ἄτῃ.
Ἤδη γὰρ ποταμῷ ἐνὶ Φάσιδι νῆα κατίσχει
Αἰσονίδης, ἠδ' ἄλλοι ὅσοι μετὰ κῶας ἕπονται).

Componebat aureo pectine; ac longos
Plicatura erat cincinnos; eas verò coram conſpicata,
Deſtitit, introque vocabat, et è ſolio proſiliens
Locavit in ſellas; tum ipſa deinde
Reſedit, impexaſque manibus colligavit comas;
Et talia ſubridens affata eſt verbis blandis.
Venerandæ, quænam mens, quidve negotium vos hûc adducit
Longum adeò poſt tempus *jam conſpectas?* quare verò veniſtis, haud ſane antea
Admodum frequentèr commeantes, quippe eminetis inter Deas.
Illam autem Juno talibus reſpondens allocuta eſt.
Cavillaris tu quidem; nobis autem cor commovetur calamitate.
Jam enim in fluvio Phaſide navem detinet
Jaſon, et alii quotquot, pellis ſtudio, ſequuntur.

48. Ἔσχεθεν] ἐπαύσατο κτενίζεσθαι. Schol.

50. Ἀψήκτους] ἀκτενίστους. Schol.

52. Ἠθεῖαι] προσφώνησις παρ' Ὁμήρῳ νεωτέρων πρὸς πρεσβυτέρους. Ἀπολλώνιος δὲ συλληπτικῇ τῇ φράσει κέχρηται. τὸ γὰρ τῇ Ἥρᾳ πρέπον, καὶ κατὰ τῆς Ἀθηνᾶς ἔταξεν. ταύτῃ δὲ ἁρμόσει λέγεσθαι κατὰ τὴν Ὁμήρου ποίησιν. κατὰ δὲ τοὺς νεωτέρους, οὐ μόνον Ἀθηνᾶς καὶ Ἥρας, ἀλλὰ καὶ Διὸς ἐστὶ πρεσβυτέρα ἡ Ἀφροδίτη. Ἡσίοδος γὰρ αὐτὴν ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ φησὶ γεννηθῆναι. Schol.

53. Δηναιὰς] πολλοῦ χρόνου ὀφθείσας. Οὔτι πάρος γε. παραγράφει τὸ Ὁμηρικὸν, "πάρος γε μὲν οὔτι θαμίζεις." Schol.

56. Κερτομέεις] εἰρωνεύῃ. Συνορίνεται. ταράσσεται, θορυβεῖται. Schol.

Τῶν

Τῶν ἤτοι πάντων μὲν ἐπεὶ πέλας ἔργον ὄρωρεν,
Δείδιμεν ἐκπάγλως, περὶ δ' Αἰσονίδαο μάλιστα·
Τὸν μὲν ἐγὼν, εἰ καί περ ἐς Ἀΐδα ναυτίλληται,
Λυσόμενος χαλκέων Ἰξίονα νειόθι δεσμῶν,
Ῥύσομαι, ὅσσον ἐμοῖσιν ἐνὶ σθένος ἔπλετο γυίοις,
Ὄφρα μὴ ἐγγελάσῃ Πελίης κακὸν οἶτον ἀλύξας,
Ὅς μ' ὑπερηνορέῃ θυέων ἀγέραστον ἔθηκεν.
Καὶ δ' ἄλλως ἔτι καὶ πρὶν ἐμοὶ μέγα φίλατ' Ἰήσων,
Ἐξ ὅτ' ἐπὶ προχοῇσιν ἄλις πλήθοντος Ἀναύρου,
Ἀνδρῶν εὐνομίης πειρωμένῃ ἀντεβόλησεν,
Θήρης ἐξανιών· νιφετῷ δ' ἐπαλύνετο πάντα

Quibus ſane omnibus, quoniam propè certamen ingruat,
Vehementer timemus ; Jaſoni autem maximè.
Eum ego, ſi vel in Orcum navigaret,
Soluturus infra ferreis Ixiona de catenis,
Salvum præſtarem, quantum meis virium ineſſet membris,
Ut non rideat Pelias, vitato malo fato,
Qui, ob ſuperbiam, honoris ſacrorum me expertem fecit.
Aliam verò ob cauſam, jam olim mihi valde amatus eſt Jaſon,
Ex quo ad oſtia bene pleni Anauri
Humanæ æquitatis periculum mihi facienti obviam factus eſt,
Venatu reverſus : nive autem inalbebant omnes

62. Λυσόμενος χαλκέων] τὸν Ἰξίονα παρείληφεν, ὅτι δοκεῖ ἐπικεχειρηκέναι τῇ Ἥρᾳ. Φλεγύου δὲ υἱὸς Ἰξίων, ὡς καὶ Εὐριπίδης. "Φλεγύου γε δέσποτ' Ἰξίων." Φερεκύδης δὲ, Αἴτωνος. φησὶ δὲ ὡς γαμήσας Δῖαν τὴν Ἠϊονέως θυγατέρα, πολλὰ ὑπέσχετο δώσειν δῶρα. ἐλθόντος δὲ ἐπὶ ταῦτα τοῦ Ἠϊονέως, βέρεθρον ποιήσας καὶ πυρακτώσας, σκεπάζει αὐτὸ λεπτοῖς ξύλοις καὶ κόνει λεπτῇ. ἐμπεσὼν δὲ ὁ Ἠϊονεὺς ἀπόλλυται. λύσσα δὲ τῷ Ἰξίονι ἐνέπεσε διὰ τοῦτο, καὶ οὐδεὶς αὐτὸν ἤθελεν ἁγνίσαι οὔτε θεῶν οὔτε ἀνθρώπων. πρῶτος γὰρ ἐμφύλιον ἄνδρα ἀπέκτεινεν. ἐλεήσας δὲ αὐτὸν ὁ Ζεὺς ἁγνίζει, καὶ ἁγνισθεὶς ἠράσθη τῆς Ἥρας. ὁ δὲ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ, παρακοιμίζει αὐτῷ. καὶ ὕστερον ποιήσας τετράκνημον τροχὸν, καὶ δεσμεύσας αὐτὸν, τιμωρεῖται. Schol.

Ibid. Conſule Hygin. fab. LXII. atque ibi interpretes. Vide editionem an. 1742. in addendis p. 947, ubi pro Αἴτωνος legendum putat clariſſ. editor Ἀντίωνος. Vide Diodor. Siculum. L. IV. p. 272. Upt.

68. Εὐνομίης] Εὐνομία, δικαιοσύνη καὶ ἡ καλοπραγία. Schol.

69. Νιφετῷ δ' ἐπαλύνετο] τῇ χιόνι ἐσκέπαστο. Schol.

Οὔρεα καὶ σκοπιαὶ περιμήκεες· οἱ δὲ κατ' αὐτῶν
Χείμαῤῥοι καναχηδὰ κυλινδόμενοι φορέοντο.
Γρηῒ δέ μ' εἰσαμένην ὀλοφύρατο, καί μ' ἀναείρας
Αὐτὸς ἑοῖς ὤμοισι διεκπροαλὲς φέρεν ὕδωρ.
Τῷ νύ μοι ἄλληκτον περιτίεται· οὐδέ κε λώβην
Τίσειεν Πελίης, εἰ μὴ σύ γε νόστον ὀπάσσῃς.
Ὣς ηὔδα· Κύπριν δὲ νεοστασίη λάβε μύθων.
Ἅζετο δ' ἀντομένην Ἥρην ἔθεν εἰσορόωσα·
Καί μιν ἔπειτ' ἀγανοῖσι προσέννεπεν ἥγ' ἐπέεσσι.
Πότνα Θεά, μή τοι τι κακώτερον ἄλλο πέλοιτο
Κύπριδος, εἰ δὴ σεῖο λιλαιομένης ἀθερίζω
Ἢ ἔπος, ἠέ τι ἔργον, ὅ κεν χέρες αἵγε κάμοιεν

Montes, et speculæ celsissimæ, et ex ipsis
Torrentes cum strepitu devoluti ferebantur.
Anui autem me similem factam miseratus est, et sublatam
In humeros suos per impetuosam ipse transportavit aquam.
Quare mihi in perpetuum eximiè honoratur; nec pœnam
Luat Pelias, nisi tu reditum concesseris.
Sic locuta est: movit autem Venerem insolentia verborum,
Et Junonem sibi supplicantem non sine veneratione intuita est.
Ipsam igitur deinde verbis allocuta est blandis.
Venerabilis Dea, nihil deterius aliud esset
Cypride, si te orantem negligerem
Vel verbo, vel facto, quod hæ perficere possent manus

72. Ὀλοφύρατο] ὅτι τὸ ὀλοφύρατο ἔλαπται ἐπὶ τοῦ ἠλέησεν. ὀλοφυρόμενος. συμπαθῶν, πάσχων. Schol.

73. Διεκπροαλὲς] κατάφορον, κατωφερές, καὶ ἐπὶ τὴν ἅλα προθέον, ῥοῶδες. Schol.

74. Τῷ νύ μοι ἄλληκτον περιτίεται. Orpheus de Junone,

Ἔξοχα γὰρ μακάρων ἠγάζετο καὶ φιλέεσκε
Ἀθανάτην ἥρωα περικλυτὸν Αἴσονος ἦα.

76. Κύπριν] λείπει τὸ ἀκούσασαν, Νεοστασίη. αὕτη τοῦ ἐν ἐπιστάσει ἐγένετο νέων μύθων. ἢ μύθων ἐπίστασις ἔλαβεν αὐτήν, ἢ νεωστὶ περιπεπτωκότος λόγου σύννοια. ὁ δὲ νοῦς. ἐσίγησε δὲ τιμωμένην ὑπὸ τῆς Ἥρας ἑαυτὴν βλέπουσα. Schol.

77. Ἀντομένην] ἱκετεύουσαν, λισσομένην. Schol.

81. Χέρες. Gallic. Χεῖρες. Perperam. Cur enim fit χερὸς, χέρι, et in Hymno εἰς Πᾶνα, χέρα, nec dicere liceat χέρες; Hœl.

Ἠπεδαναί· καὶ μή τις ἀμοιβαίη χάρις ἔστω.
Ὣς ἔφαθ'· Ἥρη δ' αὖτις ἐπιφραδέως ἀγόρευσεν.
Οὔτι βίης χατέουσαι ἱκάνομεν, οὐδέ τι χειρῶν.
Ἀλλ' αὔτως ἀκέουσα τεῷ ἐπικέκλεο παιδὶ
Παρθένον Αἰήτεω θέλξαι πόθῳ Αἰσονίδαο.
Εἰ γάρ οἱ κείνη συμφράσσεται εὐμενέουσα,
Ῥηϊδίως μιν ἑλόντα δέρος χρύσειον ὀΐω
Νοστήσειν ἐς Ἰωλκόν· ἐπεὶ δολόεσσα τέτυκται.
Ὣς ἄρ' ἔφη· Κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν.
Ἥρη, Ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα
Ἢ ἐμοί· ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι
Τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν· αὐτὰρ ἐμεῖο
Οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.
Καὶ δή οἱ μενέηνα, περισχομένη κακότητι,

Imbelles; nec aliqua mutua gratia sit.
Sic dixit; Juno autem iterum consultè locuta est.
Nihil virium indigæ advenimus, nihil manuum;
Sed tantùm quieta tuo impera nato,
Ut Æetæ filiam alliciat desiderio Jasonis.
Si enim illa cum eo conspiret benevolè,
Facilè ipsum, arrepto aureo vellere, existimo
Reversurum esse in Iolcum, quoniam valdè astuta est.
Sic inquit: ambas verò allocuta est Venus.
Juno, et Minerva, paruerit ille vobis multo citius
Quàm mihi; vestrûm enim, uteunque impudenti
Aliqua erit ei reverentia in oculis; me verò
Non curat, sed potius semper contendens spernit.
Quin imo irata in animo habui, obsessa malo,

85. Ἀκέουσα, &c. Huic loco eum similem esse fatetur Julius Scaliger, qui est Æn. I. de Junone et Æolo: at eundem ego hinc imitatione expressum aio: et respondent fere illa nostris. Hœl.

86. Παρθένον Αἰήτεω] ἀντὶ τοῦ θυγατέρα ἁπλῶς. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι, τῶν Αἰήτου θυγατρῶν τὴν οὖσαν παρθένον. Schol.

89. Δολόεσσα] ἀντὶ τοῦ φρονίμη. ἔστι γάρ ποτε ὁ δόλος καὶ ἐπὶ τῆς φρονήσεως. Schol.

95. Μενέηνα] ὠργίσθην, ὀπερχύλισα. Schol.

Αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀϊστοὺς
Ἀμφαδίην· τοῖον γὰρ ἐπηπείλησε χαλεφθεὶς,
Εἰ μὴ τηλόθι χεῖρας, ἕως ἔτι θυμὸν ἐρύκει,
Ἕξω ἐμὰς, μετέπειτά γ' ἀτεμβοίμην ἑοῖ αὐτῇ.
Ὣς φάτο· μείδησαν δὲ θεαὶ, καὶ ἐσέδρακον ἄντην
Ἀλλήλαις· ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν.
Ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει· οὐδέ τί με χρὴ
Μυθεῖσθαι πάντεσσιν· ἅλις εἰδυῖα καὶ αὐτή.
Νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσι,
Πειρήσω, καί μιν μειλίξομαι· οὐδ' ἀπιθήσει.
Ὣς φάτο· τὴν δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρός·
Ἦκα δὲ μειδιόωσα παραβλήδην προσέειπεν.

Cum ipſo arcu ingratè ſonantes ei frangere ſagittas
Palam: ita verò minabatur offenſus,
Niſi procul manus, dum adhuc ſtomacho imperaret,
Abſtinerem meas, fore ut deinceps me ipſam incuſarem.
Sic dixit; ſubriſerunt Deæ, et intuebantur è contra,
Inter ſe: ea verò iterum triſtata reſpondit.
Aliis quidem dolores mei deriſui ſunt; nec ſane neceſſe eſt
Me omnibus narrare, cum et ipſa ſatis noverim.
Nunc verò, quandoquidem vobis hoc cordi ſit utriſque,
Periculum faciam, et ipſi abblandiar, nec abnuet.
Hunc in modum locuta eſt: illam verò Juno gracili apprehendit manu,
Ac leniter arridens viciſſim reſpondit.

97. Χαλεφθεὶς] ὁ υἱὸς. χαλεπῶς γάρ μοι χαλεπαίνων, ἠπείλησεν, εἰ μὴ ἀποσχοίμην τὰς χεῖρας, ἕως ἔτι τοῦ θυμοῦ κρατεῖ, ὡς μεμφοίμην ἐμαυτῇ. Ἑοῖ δὲ οὐκ εὖ κεῖται. ἀντὶ τοῦ ἐμοὶ γὰρ λαμβάνεται. Schol.

Ibid. Γὰρ hìc omnino pro δὲ, quemadmodum ſæpiſſime utitur Homerus.

106. Ῥαδινῆς] τρυφερῆς. Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν. "Ῥαδινοὺς πώλους." Ἴβυκος δὲ ἐπὶ τοῦ τῶν οὐρανὸν βασταζόντων κιόνων, ῥαδινοὺς ἀντὶ τοῦ εὐμεγέθεις λέγει. Στησίχορος ἐπὶ τοῦ εὐτόνου. "ῥαδινοὺς δ' ἐπίπεμπον ἄκοντας." Schol.

Ibid. —— ῥαδινῆς ἐπεμάσσατο χειρός. Vide Heſych. in voce ῥαδινόν. Sic autem Theocritus Idyll. XVII. 37.

Κόλπον ἐς εὐώδη ΡΑΔΙΝΑΣ ΕΠΕΜΑΞΑΤΟ ΧΕΙΡΑΣ. Upt.

107. Παραβλήδην] ἀντὶ τοῦ παραβάλλουσα τοῖς εἰρημένοις. οὐ γὰρ ἀκουστέον ἐπὶ τοῦ

Οὕτω

Οὕτω νῦν, Κυθέρεια, τόδε χρέος, ὡς ἀγορεύεις,
Ἔρξον ἄφαρ· καὶ μή τι χαλέπτεο, μηδ' ἐρίδηνε
Χωομένη σῷ παιδί· μεταλλήξει γὰρ ὀπίσσω.
Ἦ ῥα, καὶ ἔλλιπε θῶκον· ἐφωμάρτησε δ' Ἀθήνη.
Ἐκ δ' ἴσαν ἄμφω ταίγε παλίσσυτοι· ἡ δὲ καὶ αὐτὴ
Βῆ ῥ' ἴμεν Οὐλύμποιο κατὰ πτύχας, εἴ μιν ἐφεύροι.
Εὗρε δὲ τόνγ' ἀπάνευθε Διὸς θαλερῇ ἐν ἀλωῇ,
Οὐκ οἷον· μετὰ καὶ Γανυμήδεα, τόν ῥά ποτε Ζεὺς
Οὐρανῷ ἐγκατένασσεν ἐφέστιον ἀθανάτοισιν,
Κάλλεος ἱμερθείς· ἀμφ' ἀστραγάλοισι δὲ τώγε
Χρυσείοις, ἅτε κοῦροι ὁμήθεες, ἑψιόωντο.
Καί ῥ' ὁ μὲν ἤδη πάμπαν ἐνίπλεον ᾧ ὑπὸ μαζῷ

Ita nunc, Cytherea, negotium illud, ut dicis,
Perfice celeriter; et ne quid irata fis, neque contendas
Offenfa puero tuo; cedet enim *non nifi* poft longum tempus.
Cum hæc dixiffet, liquit fedem, fimulque fecuta eft Minerva.
Iverunt autem ambæ hæ reverfivæ: ipfa etiam Venus
Perrexit ire per plicaturas cœli, fi quà iftum inveniret.
Invenit autem ipfum feorfim Jovis florenti in campo,
Non folum, fed unà etiam Ganymedem, (quem olim Jupiter
In cœlum tranftulerat, contubernalem Deorum,
Pulchritudinis defiderio perculfus) cum talis autem illi
Aureis, utpote pueri familiares, ludebant.
Ac abunde jam eorum fub mamillâ fuâ

ἀπατᾶν. Παλαμήδης δὲ ἐξ ἀντιβολῆς, ἢ παραλογιστικῶς. νῦν δὲ ἐξ ἀπορρίσεως. Schol.

112. Παλίσσυτοι] ὀπισθόρμητοι. Schol.

114. Ἀπάνευθε Διὸς] ἀμφίβολος ἡ φράσις. τὸ μὲν γὰρ δηλοῖ ἀπάνευθε Διὸς, χωρὶς τοῦ Διός· ὃ καὶ μᾶλλον. ἢ λείπει τὸ ἄλλων, ἵν' ᾖ, χωρὶς τῶν ἄλλων ἐν τῇ Διὸς ἀλωῇ. Schol.

115. Γανυμήδεα] τὸν δὲ Γανυμήδην Ὅμηρος οὐχ ὑπὸ Διὸς ἡρπάσθαι, ἀλλ' ὑπὸ θεῶν, φησίν· οὐδὲ δι' ἔρωτα καὶ πόθον, ἀλλ' ὥστε Διὶ οἰνοχοεύειν. "τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν." Schol.

117. Κάλλεος ἱμερθεὶς. Cretenfis eft hæc fabula, ut Plato fenfit I. Legum: itaque πάντες αὐτὸν κατηγοροῦμεν, hoc eft de mendacio et impudentiâ poftulamus. Ejus tamen allegoria feu alieniloquium evolvitur in fcholiis ad Il. δ'. Hœl.

118. Ἑψιόωντο] ἀντὶ τοῦ ἔπαιζον. συμπαίζει γὰρ ὁ Γανυμήδης τῷ ἔρωτι. Φίλων δὲ, ἀντὶ τοῦ ὁμιλεῖν παρὰ τὸ ἔπος. Schol.

Μάργος

Μάργος Ἔρως λαιῆς ὑποΐσχανε χειρὸς ἀγοστῷ,
Ὀρθὸς ἐφεςηώς· γλυκερὸν δέ οἱ ἀμφὶ παρειὰς
Χροιῇ θάλλεν ἔρευθος. Ὁ δ' ἐγγύθεν ὀκλαδὸν ἧστο
Σῖγα κατηφιόων, δοιὼ δ' ἔχεν, ἄλλον ἔθ' αὔτως
Ἄλλῳ ἐπιπροϊείς· κεχόλωτο δὲ καγχαλόωντι.
Καὶ μὴν τούς γε παρᾶσσον ἐπὶ προτέροισιν ὀλέσσας
Βῆ κενεαῖς σὺν χερσὶν ἀμήχανος, οὐδ' ἐνόησε
Κύπριν ἐπιπλομένην· ἡ δ' ἀντίη ἵστατο παιδὸς,
Καί μιν ἄφαρ γναθμοῖο κατασχομένη προσέειπε.
Τίπτ' ἐπιμειδιάας, ἄφατον κακόν; ἦέ μιν αὔτως
Ἤπαφες, οὐδὲ δίκῃ περιέπλεο νῆιν ἐόντα;
Εἰ δ' ἄγε μοι πρόφρων τέλεσον χρέος ὅ, ττι κεν εἴπω·

Protervus Amor lævæ tenebat manûs volâ,
Rectus ftans; amabilis autem circà genas
Efflorebat rubor; alter verò inflexis ftetit genibus,
Tacitè mœrens, ac duos tantùm habebat *talos*, alio temerè
Super alium miffo; valdè etiam fuccenfebat cachinnanti.
Verùm illis quoque citò fuper priores amiffis,
Difceffit vacuis cum manibus, nullum reliquum habens commentum, nec animadvertit
Venerem fupervenientem; quæ coram adftitit filio,
Eumque ftatim, compreffis genis, allocuta eft.
Quid rides, malum infandum? an eum alìquo modo
Circumvenifti, nec legitimè vicifti infcium exiftentem?
Age verò promptè mihi perfice negotium, quod dictura fum;

120. Μάργος Ἔρως] κατὰ μετωνυμίαν, ὁ μαργαίνειν ποιῶν. ὡς καὶ, μαινομένου Διονύσου. καὶ Ἀνακρέων, "τακερὸς δ' ἐστὶν ἔρως." καὶ Ὅμηρος. "χλωρὸν δέος."
Ἡ δὲ λαιὰ ἐσχημάτισται ἀπὸ τοῦ λάω, ὅ ἐστι βελτίονος. ὅθεν καὶ εὐώνυμος. Schol.

122. Ὀκλαδὸν] ἀντὶ τοῦ ὀκλάσας. Schol.

123. Δοιὼ] Λείπει τὸ ἀστραγάλους. Schol.

125. Ἐπὶ προτέροισιν ὀλέσσας] καὶ τούτους ἐπαπολέσας τοῖς προτέροις, κεναῖς χερσὶν ἀμηχανῶν, ἤτοι ἐν ἀπορίᾳ γενόμενος, μὴ δυνηθεὶς νικῆσαι τὸν ἔρωτα, ἀπῆλθε. Schol.

127. Ἐπιπλομένην] ἀντὶ τοῦ ἐπελθοῦσαν. ἢ παραγενομένην ἐνταῦθα. Schol.

129. Τίπτ' ἐπιμειδιάας] τί γελᾷς, κακὸν μέγα καὶ ἄρρητον; ἢ αὐτὸν ματαίως ἐξηπάτησας καὶ παρελογίσω, οὐδὲ δικαίως αὐτοῦ περιεγένου, ἀλλὰ παρελογίσω ἄπειρον αὐτὸν ὄντα; Schol.

Καὶ

Καί κέν τοι ὀπάσαιμι Διὸς περικαλλὲς ἄθυρμα,
Κεῖνο τό οἱ ποίησε φίλη τροφὸς Ἀδρήστεια
Ἄντρῳ ἐν Ἰδαίῳ ἔτι νήπια κουρίζοντι,
Σφαῖραν ἐΰτροχάλον, τῆς οὐ σύ γε μείλιον ἄλλο
Χειρῶν Ἡφαίστοιο κατακτεατίσσῃ ἄρειον.
Χρύσεα μέν οἱ κύκλα τετεύχαται, ἀμφὶ δ' ἑκάστῳ
Διπλόαι ἁψῖδες περιηγέες εἱλίσσονται.
Κρυπταὶ δὲ ῥαφαί εἰσιν· ἕλιξ δ' ἐπιδέδρομε πάσαις
Κυανέη· ἀτὰρ εἴ μιν ἑαῖς ἐνὶ χερσὶ βάλοιο,
Ἀστὴρ ὥς, φλεγέθοντα δι' ἠέρος ὁλκὸν ἵησιν.
Τήν τοι ἐγὼν ὀπάσω· σὺ δὲ παρθένον Αἰήταο

Et profecto te donabo Jovis perpulchro ludicro,
Eo quod ipsi fecit cara nutrix Adrastea
Cum adhuc in antro Idæo puerilia saperet,
Globo volubili, quo tu nullum aliud oblectamentum
Bellius Vulcani acciperes manu.
Aurei quidem ei circuli fabrefacti sunt; et circa singulos
Duplices curvaturæ orbiculares ducuntur.
Occultæ autem suturæ sunt, et currit per omnes hedera
Cærulea; sed si hoc manibus tuis jeceris,
Stellæ instar, flagrantem per aërem, sulcum trahet.
Hoc ego te donabo; tu modò virginem Æetæ

133. Ἀδρήστεια] αὕτη τροφὸς Διός. Καλλίμαχος. "σὲ δὲ κοίμισεν Ἀδρήστεια." ἀδελφὴ Κουρήτων. Schol.

Ibid. Ἀδρήστεια. Ἀδρήστη, Ul. δ'. quod plenum, ἀδράστη νέμεσις. In schol. pro κοίμησεν rescripsi κοιμίσεν. Quod præterea a Latino Callimachi interprete acceptum est malè, quasi esset *circum gestavit*, cum sit, *sopivit*; in hym. Jov. Et quod hìc additur, ἀδελφὴ Κουρήτων, id verò est scholion Callimachicum. Hœl.

134. Ἄντρῳ ἐν Ἰδαίῳ] ἢ τῷ τῆς Κρήτης, ἢ τῷ τῆς Τροίας. ἀντιποιοῦνται γὰρ καὶ Τρῶες τῆς τοῦ Διὸς γενέσεως, καθά φησι Δημήτριος ὁ Σκήψιος. Schol.

135. Σφαῖραν, &c. Confer Platonem, in Phædone, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, &c. Upt.

137. Κύκλα] κύκλα λέγει τοὺς ῥόμβους, κυκλώματα. Ἰωνικῶς δὲ τὰ κύκλα ἀντὶ τοὺς κύκλους· ὡς λύχνα καὶ δίφρα. Schol.

Ἰωνικῶς δὲ, &c. Consule Span. ad Callimachi Dian. v. 133, et Pall. v. 70. Upt.

138. Ἁψῖδες] αἱ συναφαί. Περιηγέες δὲ, περιφερεῖς, περίδρομοι. Schol.

140. Ἑαῖς] ἰδίαις ταῖς αὐτῶν. Schol.

141. Ὁλκὸν] νῦν τὴν διαδρομὴν τοῦ ἀστέρος λέγει. Schol.

Θέλξον

Θέλξον ὀϊστεύσας ἐπ' Ἰήσονι· μηδέ τις ἔστω
Ἀμβολίη· δὴ γάρ κεν ἀφαυροτέρη χάρις εἴη.
Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι.
Μείλια δ' ἔκβαλε πάντα, καὶ ἀμφοτέρῃσι χιτῶνος
Νωλεμὲς ἔνθα καὶ ἔνθα θεᾶς ἔχεν ἀμφιμεμαρπώς.
Λίσσετο δ' αἶψα πορεῖν αὐτοσχεδόν· ἡ δ' ἀγανοῖσιν
Ἀντομένη μύθοισιν, ἐπειρύσασα παρειάς,
Κύσσε ποτισχομένη, καὶ ἀμείβετο μειδιόωσα.
Ἴστω νῦν τόδε σεῖο φίλον κάρη, ἠδ' ἐμὸν αὐτῆς,
Ἦ μέν τοι δῶρόν γε παρέξομαι, οὐδ' ἀπατήσω,
Εἴ κεν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο.
Φῆ· ὁ δ' ἄρ' ἀστραγάλους συναμήσατο, κὰδ δὲ φαεινῷ
Μητρὸς ἑῆς εὖ πάντας ἀριθμήσας βάλε κόλπῳ.
Αὐτίκα δ' ἰοδόκην χρυσῇ περικάτθετο μίτρῃ,

Jaculo percuſſam in Jaſonis amorem ſolve; nec ulla ſit
Mora; alioqui jejunior erit gratia.
Sic locuta eſt: illi autem gratus ſermo erat audienti:
Omnes igitur abjecit delicias, et ambabus manibus veſtem
Fortiter utrinque Deæ tenebat comprehenſam,
Orabatque ut ſtatim daret abſque morâ: illa verò blandis
Aggreſſa verbis, attractis genis,
Oſculabatur eum complexa, reſponditque ſubridens.
Teſtor tuum nunc carum caput, et meum ipſius,
Certiſſimè me tibi donum præbituram, nec decepturam,
Si modò infixeris ſagittam filiæ Æetæ.
Dixit: verùm ille talos collegit, et ſplendido
Matris ſuæ diligenter omnes numeratos injecit ſinui.
Ac ſtatim pharetram aureo circumpoſuit cingulo,

143. Θέλξον] ἀντὶ τοῦ λῦσον τὴν ψυχήν. Schol.

144. Ἀμβολίη] Ἀμβολίαν λέγει τὴν βραδυτῆτα. Ἀφαυροτέρη, ἐλάσσων. Schol.

146. Μείλια] τὰ παίγνια δι' ὧν οἱ παῖδες μειλίσσονται. Ὅμηρος ἐπὶ τοῦ ξενίων. "ἐγὼ δ' ἐπὶ μείλια δώσω Πολλὰ μάλ'." Schol.

148. Ἀγανοῖσιν] οὕτω τὸ ἑξῆς. ἡ δὲ ἐπειρύσασα παρειὰς κῦσε. Schol.

150. Ποτισχομένη] περιλαβοῦσα καὶ ἀντομένη, ἀγανοῖς μύθοις ἀμείβετο μειδιόωσα. Schol.

153. Ἐνισκίμψῃς] ἐνεργήσῃς, ἐπιβάλοις. Schol.

Πρέμνῳ

Πρέμνῳ κεκλιμένην· ἀνὰ δ' ἀγκύλον εἵλετο τόξον·
Βῆ δὲ δι' ἐκ μεγάροιο Διὸς πάγκαρπον ἀλωήν.
Αὐτὰρ ἔπειτα πύλας ἐξήλυθεν Οὐλύμποιο
Αἰθερίας· ἔνθεν δὲ καταιβάτις ἐστὶ κέλευθος
Οὐρανίη· δοιὼ δὲ πόλοι ἀνέχουσι κάρηνα
Οὐρέων ἠλιβάτων, κορυφαὶ χθονός· ἧχί τ' ἀερθεὶς
Ἠέλιος πρώτῃσιν ἐρεύγεται ἀκτίνεσσι.
Νειόθι δ' ἄλλοθι γαῖα φερέσβιος, ἄστεά τ' ἀνδρῶν
Φαίνετο, καὶ ποταμῶν ἱεροὶ ῥόοι· ἄλλοτε δ' αὖτε
Ἄκριες, ἀμφὶ δὲ πόντος ἐν αἰθέρι πολλὸν ἰόντι.
Ἥρωες δ' ἀπάνευθεν ἑῆς ἐπὶ σέλμασι νηὸς

Arboris trunco reclinatam; curvumque prehendit arcum:
Ivit verò ex ædibus per Jovis omniparentem campum:
Et postquam portis exierat Olympi
Ætheriis, hinc declivis via est
Cœlestis, et duo poli erigunt vertices
Montium celsissimorum, cacumina terræ, quò sublatus
Sol primis emittitur radiis.
Infrà autem alibi terra frugifera, et urbes hominum
Apparebant; et fluviorum sacri fluxus; alibi iterum
Cacumina montium; circáque pontus per æthera assiduissimè currentem.
Heroes autem seorsim suæ super transtris navis

158. Βῆ δὲ δι' ἐκ μεγάροιο] Διὰ τούτων τῶν στίχων παραγράφει τὰ εἰρημένα ὑπὸ Ἰβύκου, ἐν οἷς περὶ τῆς Γανυμήδους ἁρπαγῆς εἶπεν, ἐπὶ τῇ εἰς Γοργίαν ᾠδῇ. καὶ ἐπιφέρει περὶ τῆς Ἠοῦς, ὡς ἥρπασε Τιθωνόν. Schol.

163. Ἐρεύγεται. Ut ibi constituatur fons luminis. Pythion. I. πηγαὶ ἐρεύγονται. Quemadmodum cor est scaturigo verborum, Psal. XLV. רחש לבי דבר. Hœl.

Hen. Steph, legit ἐρεύθεται, *sol primis rubescit radiis.* Et rectè legere videtur.

166. Ἐν αἰθέρι] ἀντὶ τοῦ ἀν' αἰθέρα. Schol.

167. Ἑῆς] ἔδει εἰπεῖν σφῆς, ἵν' ᾖ, τῶν ἑαυτῶν. τὸ μὲν γὰρ σφῆς, τῆς ἑαυτῶν· τὸ δὲ ἑῆς, τοῦ ἑαυτοῦ. Schol.

Ibid. Ἑῆς. Scholiastes hanc vocem rapit in vitium quasi ἑῆς sit τῆς ἑαυτοῦ; non item τῶν ἑαυτῶν. Sed ipse Apollonius etiam sic loquitur, III. 170. I. 805. I. 1113, ut et Latini utuntur τῷ suus, quod ab illo esse constat. Hœlz.

Ἐν ποταμῷ καθ᾽ ἕλος λελοχημένοι ἠγορόωντο
Αὐτὸς δ᾽ Αἰσονίδης μετεφώνεεν, οἱ δ᾽ ὑπάκουον,
Ἠρέμα ᾗ ἐνὶ χώρῃ ἐπισχερὼ ἑδριόωντες.
Ὦ φίλοι, ἤτοι ἐγὼ μὲν ὅ μοι ἐπιανδάνει αὐτῷ,
Ἐξερέω, τοῦ δ᾽ ὔμμι τέλος κρηῆναι ἔοικεν.
Ξυνὴ γὰρ χρειὼ, ξυνοὶ δέ τε μῦθοι ἔασι
Πᾶσιν ὁμῶς· ὁ δὲ σῖγα νόον βουλήν τ᾽ ἀπερύκων,
Ἴσω καὶ νόστου τόνδε στόλον οἶος ἀπούρας.
Ὧλλοι μὲν κατὰ νῆα σὺν ἔντεσι μίμνεθ᾽ ἕκηλοι.
Αὐτὰρ ἐγὼν ἐς δώματ᾽ ἐλεύσομαι Αἰήταο
Υἷας ἑλὼν Φρίξοιο, δύω δ᾽ ἐπὶ τοῖσιν ἑταίρους.
Πειρήσω δ᾽ ἐπέεσσι παροίτερον ἀντιβολήσας,
Εἴ κ᾽ ἐθέλοι φιλότητι δέρος χρύσειον ὀπάσσαι,
Ἠὲ καὶ οὔ· πίσυνος δὲ βίῃ μετιόντας ἀτίσσει.
Ὧδε γὰρ ἐξ αὐτοῖο πάρος κακότητα δαέντες,
Φρασσόμεθ᾽ εἴτ᾽ Ἄρηϊ συνοισόμεθ᾽, εἴτε τις ἄλλη

In fluvio, intra arundines in insidiis locati, consultabant.
Ac ipse Jason concionabatur; illi verò auscultabant,
Quietè suo quisque in loco ex ordine sedentes.
O amici, ego quidem quod mihi ipsi placuerit
Narrabo; hujus verò vos finem implere oportet.
Commune enim negotium, communes etiam sermones sunt
Omnibus æquè: qui verò silentio mentem ac consilium celaverit,
Sciat ille, se solum reditu classem hanc privare.
Cæteri quidem in navi cum armis quieti manete;
Ego verò ad ædes proficiscar Æetæ
Assumptis filiis Phrixi, et duobus ad hos sociis:
Tentaboque, verbis illum prius precatus,
An velit benevolè pellem auream concedere,
Nec ne; an fisus viribus advenientes spernat.
Sic enim ex ipso prius malum edocti,
Consultabimus, utrùm armis confligamus, an alia quæpiam

173. Ξυνὴ γὰρ χρειὼ] κοινὴ γὰρ ἡ χρεία καὶ οἱ λόγοι, Schol.

174. Ὁ δὲ σῖγα νόον] ὁ δὲ κατὰ σιγὴν πράττων, καὶ ἐν ἑαυτῷ κρύπτων τὸ συμφέρον, οὗτος τὴν σωτηρίαν ἡμῶν παραιρεῖται. Schol.

Μῆτις

Μῆτις ἐπίῤῥοθος ἔσται ἐεργομένοισιν ἀϋτῆς.
Μηδ' αὔτως ἀλκῇ πρὶν ἔπεσσί γε πειρηθῆναι,
Τόνδ' ἀπαμείρωμεν σφέτερον κτέρας· ἀλλὰ πάροιθε
Λώϊτερον μύθῳ μιν ἀρέσσασθαι μετιόντας.
Πολλάκι τοι ῥέα μῦθος ὅ κεν μόγις ἐξανύσειεν
Ἠνορέη, τόδ' ἔρεξε κατὰ χρέος, ᾗπερ ἐῴκει
Πρηΰνας. Ὁ δὲ καὶ ποτ' ἀμύμονα Φρίξον ἔδεκτο
Μητρυιῆς φεύγοντα δόλον, πατρός τε θυηλάς.

Ratio utilis superſit, cohibitis nobis à prælio.
Neque temerè ipſum vi, priuſquam verbis tentaverimus,
Suâ privemus poſſeſſione; ſed antea
Satius eſt ut verbis eum demulceamus conventum.
Sæpe et facilè oratio, quod ægrè perficeret
Robur, id plenè perfecit, prout convenerit,
Deleniendo. Ille etiam inſontem Phrixum recepit olim
Matris fugientem inſidias et patris ſacrificia.

186. Σφέτερον κτέρας] οὐκ ὀρθῶς τὸ σφέτερον. ἔστι γὰρ τρίτον προσώπου πληθυντικόν. καὶ ἁμαρτάνει. ἔδει γὰρ ἑνικόν, ἢ ὡς πληθυντικόν· ἀποχωρίσαι ἑὸν κτέρας. Schol.

Ibid. Σφέτερον. I. 167. II. 1042. III. 302. et alibi. Hoc corrigit Scholiaſtes in ἑὸν: non ſine inſcitiâ et injuriâ: nam σφετέρου etiam de unius poſſeſſione dicitur. Heſiodus in Scut.

Ὃς προλιπὼν ΣΦΕΤΕΡΟΝ τε δόμον ΣΦΕΤΕΡΟΥΣ τε τοκῆας.

Ὤχετο, &c. Ariſtoteles πολιτικῶν IV. 10. ἡ τυραννὶς ἄρχει πρὸς τὸ ΣΦΕΤΕΡΟΝ αὐτῆς συμφέρον. Æſchylus in Perſis de Dario, ὀκρέτωνε ΣΦΕΤΕΡΑΙΣ φρεσί. Callimach. in Dian.

——σοὶ δ' Ἀγαμέμνων
Πηδάλιον νηὸς ΣΦΕΤΕΡΗΣ ἐνεκάτθετο νηῷ.

Orpheus de Æneæo ſolo, ΣΦΕΤΕΡΗΣΙ δαημοσύνῃσι κεκάσθαι. Ac plurima his ſimilia ex Appiano adducam et Polybio loca, ſi res poſtulet.
Hœl.

187. Λώϊτερον] ἀντὶ τοῦ λῷον, συγκριτικόν. τὸ δὲ λωΐτερον πλεονάζει διὰ τὸ μέτρον. Schol.

190. Ὁ δὲ καὶ ποτ'] ἀπὸ ὀξείας τὴν ἀρχὴν συλλαβήν. καὶ ἀναφορικὸν γὰρ λέγεται ἐπὶ τοῦ Αἰήτου. τὸ δὲ ἑξῆς, ὅδε καὶ ποτὲ Φρίξον ἔδεκτο πατρὸς φεύγοντα θυηλάς. Schol.

191. Πατρός τε θυηλάς. De hâc fabulâ tractatur in Scholiis ad Il. η'. Ἰνὼ ἐπεβούλευσε τοῖς τῆς Νεφέλης παισίν. εὑροῦσα δέ τινα μηχανήν, ἔφρυξε τὰ σπέρματα. Καὶ δὴ πολλῆς οὔσης ἀκαρπίας ἐν τῇ χώρᾳ ἔπεμψεν ὁ Ἀθάμας εἰς Πυθὼ θεοπρόπους· ἡ δὲ Ἰνὼ συνέπεισε τούτους, τεχνησαμένη τινὰ χρησμὸν κατὰ τοῦ Φρίξου, ὡς θῦμα τοῦ αὐτοῦ γονῆς προσενεγκὼν ἀπαλλαγήσεται τοῦ δεινοῦ, καὶ τὰ ἑξῆς. Hinc Virgilius ſuum illud de Sinone commentum accepit. Hœl.

Πάντες ἐπεὶ πάντῃ, καὶ ὅτις μάλα κύντατος ἀνδρῶν
Ξεινίου αἰδεῖται Ζηνὸς θέμιν, ἠδ' ἀλεγίζει.
Ὣς φάτ'· ἐπήνησαν δὲ νέοι ἔπος Αἰσονίδαο
Πασσυδίῃ, οὐδ' ἔσκε παρὲξ ὅ τις ἄλλο κελεύοι.
Καὶ τότ' ἄρ' υἱῆας Φρίξου, Τελαμῶνά θ' ἕπεσθαι
Ὦρσε, καὶ Αὐγείην· αὐτὸς δ' ἕλεν Ἑρμείαο
Σκῆπτρον· ἄφαρ δ' ἀνὰ νηὸς ὑπὲρ δόνακάς τε καὶ ὕδωρ
Χέρσονδ' ἐξαπέβησαν ἐπὶ θρωσμοῦ πεδίοιο.
Κιρκαῖον τόδε που κικλήσκεται· ἔνθα δὲ πολλαὶ

Omnes omnino, vel impudentissimus hominum
Hospitalis reveretur Jovis jus atque observat.
Sic dixit: comprobârunt autem juvenes sententiam Æsonis filii
Unanimiter, nec erat qui seorsim aliud juberet.
Et tunc sane filios Phrixi et Telamonem, ut sequerentur
Excitavit, et Augeam: ipse verò corripuit Mercurii
Sceptrum; statimque è navi per cannas et aquam
In litus egressi sunt, in editiorem locum campi,
Qui Circæus appellatur; ubi plurimæ

199. Ἐπὶ θρωσμοῦ πεδίοιο] τοῦ ὑπερκειμένου τοῦ ποταμοῦ τόπου, ὅπου ἐστὶ θορεῖν καὶ πηδῆσαι ἀπὸ τῆς νεώς. Schol.

200. Κιρκαῖον] Κιρκαῖον πεδίον, ἀπὸ Κίρκης. τὴν δὲ Κίρκην τινὲς μὲν Αἰήτου ἀδελφὴν, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. ταύτην Διονύσιος ὁ Μιλήσιος ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν, θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Περσέως, ἀδελφὴν δὲ Μηδείας λέγει. Ἡλίῳ γάρ φησιν υἱοὺς γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις, οἷς ὀνόματα ἦν, Περσεὺς καὶ Αἰήτης. τούτους δὲ κατασχεῖν τὴν χώραν· καὶ Αἰήτην μὲν Κόλχους καὶ Μαιώτας, Περσέα δὲ τῆς Ταυρικῆς βασιλεῦσαι· καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινὰ, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ᾗ ὄνομα Ἑκάτη. οἱ δὲ ἐκ Νύμφης τινὸς ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτῷ γενέσθαι, ἀνδρικὴν περὶ τὰ κυνηγετικὰ, καὶ πρώτην θανασίμους ῥίζας εὑρεῖν, καὶ ἐμπειροτάτην γεγονέναι τῶν τε δηλητηρίων καὶ τῶν ἰᾶσθαι δυναμένων, καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. ταύτην γήμασθαι πεμφθεῖσαν εἰς Κόλχους Αἰήτῃ τῷ πατραδέλφῳ, ἀφ' ἧς γενέσθαι Κίρκην καὶ Μήδειαν. τὴν δὲ Κίρκην, πρεσβυτέραν οὖσαν, ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα· τὰ μὲν διαχύσασαν παρ' αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυῖαν, πολλὰ καὶ δεινά. Μήδειαν δὲ, νεωτέραν μὲν Κίρκης, οὐχ ἡττωμένην δὲ αὐτῆς. ταῦτα μὲν οὗτοι. Ἡσίοδος δέ φησι τὴν Κίρκην τοῦ ἡλίου θυγατέρα εἶναι ἐν τοῖσδε τοῖς ἔπεσι. "Κίρκη δ' ἠελίου θυγάτηρ Ὑπεριονίδαο Τίκτεν Ὀδυσσῆϊ ταλασίφρονι ἐν φιλότητι Ἄγριον, ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε." Schol.

Ἑξείης

Ἑξείης πρόμαλοί τε καὶ ἰτέαι ἐκπεφύασιν.
Τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται
Δέσμιοι· εἰσέτι νῦν γὰρ ἄγος Κόλχοισιν ὄρωρεν
Ἀνέρας οἰχομένους πυρὶ καιέμεν· οὐδ' ἐνὶ γαίῃ
Ἔστι θέμις στείλαντας ὕπερθ' ἐπὶ σῆμα χέεσθαι·
Ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις,
Δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος· ἠέρι δ' ἴσην
Καὶ χθὼν ἔμμορεν αἶσαν· ἐπεὶ χθονὶ ταρχύουσι
Θηλυτέρας· ἡ γάρ κε δίκη θεσμοῖο τέτυκται.
Τοῖσι δὲ νεισομένοις Ἥρη φίλα μητιόωσα
Ἠέρα πουλὺν ἐφῆκε δι' ἄστεος, ὄφρα λάθοιεν

Ex ordine salices vitesque enatæ erant;
Quarum è fastigiis cadavera vinculis pendebant,
Ligata: nam in hodiernum usque piaculo est Colchis
Mares defunctos igne cremare; nec in terrâ
Fas est eos, monimento superimposito, sepelire;
Sed in crudis taurinis involutos pellibus,
Ex arboribus suspendere procul ab urbe: aëri autem æquale
Et terra sortita est munus: in terrâ sepeliunt
Fœminas: hic enim mos legis est.
Illis verò progredientibus Juno benè consulens
Multum caliginis aëriæ immisit per urbem, ut laterent

201. Πρόμαλοι. Non dubitant Steph. et Hœlz. quin legendum sit ἀθόμαλοι, quod εἶδος ἀγρίας δρυός.

202. Τῶν καὶ ἐπ' ἀκροτάτων] τὰ τῶν ἀρσένων σώματα οὐ θέμις Κόλχοις οὔτε καίειν οὔτε θάπτειν· βύρσαις δὲ νεαραῖς εἰλοῦντες ἐκρέμων τῶν δένδρων τὰ σώματα, τὰ δὲ θήλεα τῇ γῇ ἐδίδοσαν, ὥς φησι Νυμφόδωρος, ᾧ ἠκολούθησε. σέβονται δὲ μάλιστα οὐρανὸν καὶ γῆν. Schol.

205. Στείλαντας. Ὑπακουστέον τοὺς Κόλχους, funeri nempe operam dantes: additur enim κατειλύσαντε, quæ haud infrequens est numeri ἀδιαφορίας, ἄνδρε ἔχοντας, Il. ι'. Sic enim componuntur mortui, et arctantur, maximéque combusti, ut est in Sophoclis Electra, σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει. I. 355. Hœl.

209 Ἡ γάρ κε δίκη] ἀντὶ τοῦ, οὗτος γὰρ ὁ τρόπος τοῦ νόμου. Schol.

210. Τοῖσι δὲ νεισομένοις, &c. Respexisse videtur Apollonius ad hos versus Odyss. IV.

Καὶ τότ' Ὀδυσσεὺς ὦρτο πόλιν δ' ἴμεν, ἀμφὶ δ' Ἀθήνη
Πολλὴν ἠέρα χεῦε, φίλα φρονέουσ', &c.

At Venus *obscuro* gradientes *aëre* sepsit,
Et *multo nebulæ* circum Dea *fudit amictu*. Æn. I.

Κόλχων

Κόλχων μυρίον ἔθνος ἐς Αἰήταο κιόντες.
Ὦκα δ' ὅτ' ἐκ πεδίοιο πόλιν καὶ δώμαθ' ἵκοντο
Αἰήτεω, τότε δ' αὖτις ἀπεσκέδασεν νέφος Ἥρη.
Ἔσταν δ' ἐν προμολῇσι τεθηπότες ἕρκε' ἄνακτος,
Εὐρείας τε πύλας, καὶ κίονας οἳ περὶ τοίχους
Ἑξείης ἄνεχον· θριγκὸς δ' ἐφύπερθε δόμοιο
Λαΐνεος χαλκέαισιν ἐπὶ γλυφίδεσσιν ἀρήρει.
Εὔκηλοι δ' ὑπὲρ οὐδὸν ἔπειτ' ἔβαν· ἄγχι δὲ τοῖο
Ἡμερίδες χλοεροῖσι καταστεφέες πετάλοισιν
Ὑψοῦ ἀειρόμεναι μέγ' ἐθήλεον· αἱ δ' ὑπὸ τῇσιν
Ἀέναοι κρῆναι πίσυρες ῥέον, ἃς ἐλάχηνεν
Ἥφαιστος· καί ῥ' ἡ μὲν ἀναβλύεσκε γάλακτι,
Ἡ δ' οἴνῳ· τριτάτη δὲ θυώδεϊ νᾶεν ἀλοιφῇ·

Colchorum numerosam gentem ad Æetæ *regiam* contendentes.
Quamprimùm autem è campo ad urbem et ædes venissent
Æetæ, tunc iterum dispulit nubem Juno.
Steterunt autem illi in vestibulo, cum stupore admirantes munimina regis,
Amplasque portas, et columnas quæ circa parietes
Ordine eminebant: super domum autem lorica
Lapidea æreis erat capitellis adaptata.
Taciti dein transcenderunt limen, quod juxta
Vites virentibus amictæ foliis,
In altum sublatæ valde floruerunt; et sub illis
Perennes fontes quatuor manabant, quos effoderat
Vulcanus; et hic quidem scatebat lacte,
Ille verò vino; tertius suaviter olenti fluebat oleo,

215. Τεθηπότες ἕρκε' ἄνακτος] τὴν ὀχύρωσιν τῆς οἰκήσεως, ἢ οἰκοδομημάτων τὴν ἀσφάλειαν. Schol.

218. Χαλκέαισιν ἐπὶ γλυφίδεσσιν] ἐπὶ χαλκοῖς τορεύμασιν, ἢ χαλκοῖς κιονοκράνοις. Schol.

Ibid. Χαλκείαις. Affirmat Hœlzlinus scripsisse Apollonium Χαλκείῃσιν. ut. II. 1253.

222. Ἐλάχηνεν] ὤρυξεν. ἔσκαψεν. κατασκάψαι δὲ ὡς τὸ κατασκευάσαι. Schol.

Ibid. Ἀέναοι κρῆναι. Ad-hos fontes confer quod dictum Ulyss. ε'. v. 68. et seq.

224. Θυώδεϊ νᾶεν] ἀρώμασι μεμιγμένον ὕδωρ ἔρρει, ἢ εὐῶδες ἔλαιον. Schol.

Ἡ δ'

Ἡ δ' ἄρ' ὕδωρ προρέεσκε, τὸ μέν ποθι δυομένῃσιν
Θέρμετο Πληϊάδεσσιν· ἀμοιβηδὶς δ' ἀνιούσαις
Κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης.
Τοῖ' ἄρ' ἐνὶ μεγάροισι Κυταιέος Αἰήταο
Τεχνήεις Ἥφαιστος ἐμήσατο θέσκελα ἔργα.
Καί οἱ χαλκόποδας ταύρους κάμε· χάλκεα δέ σφέων
Ἦν στόματ', ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκον.
Πρὸς δὲ καὶ αὐτόγυον στιβαροῦ ἀδάμαντος ἄροτρον

Et quartus aquam effundebat, quæ quidem occidentibus
Calebat Pleiadibus, et orientibus viciſſim,
Glaciei in morem è cavâ proſiliebat rupe.
Talia in ædibus Colchici Æetæ
Artificioſus Vulcanus elaborârat admirabilia opera.
Quin etiam ei æripides tauros extuderat: æreaque ipſorum
Erant ora; et ignis horrendam flammam efflabant.
Inſuper adnatum dentali ſolido de ferro aratrum

225. Ἡ δ' ἄρ' ὕδωρ προρέεσκε] ὁ Ἀπολλώνιος κατὰ τὴν Πλειάδων δύσιν λέγων τὴν κρήνην θερμὸν ῥεῖν, κατὰ δὲ τὴν ἐπιτολὴν ψυχρὸν, οὐ παρίστησιν εἰλικρινῶς τὸν καιρόν. δύο γάρ εἰσιν ἐπιτολαὶ τῶν ἀπλανῶν ἄστρων, καὶ δύο δύσεις. ἑῴα μὲν ἐστιν ἐπιτολὴ, ὅταν ἔξω τῶν αὐγῶν τοῦ ἡλίου πρῶτον ἱστᾶταί τι ἄστρον, καὶ πρὸ αὐτοῦ ἀνατέλλον ὀφθῇ. ἑῴα δὲ δύσις, ὅταν ἡλίου περὶ τὴν ἀνατολὴν ὄντος, ὁραθῇ τι ἄστρον περὶ τὰς δύσεις ὕστατον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα δύνει. ἑσπερία δὲ ἐπιτολὴ, ὅταν δυόντος ἡλίου, ὁραθῇ τι ἄστρον ἐπὶ τῆς ἀνατολῆς πρῶτον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα ἀνίσχει. ἑσπερία δὲ δύσις λέγεται, ὅταν ἡλίου δυόντος, ἄστρον ὁραθῇ τι πρὸ τῶν ἄλλων ἐγκαταδῦνον αὐτῷ, ὡς ἂν ὑπὸ ταῖς αὐγαῖς τοῦ ἡλίου γένηται. ὁ δὲ ὑπὸ ταῖς αὐγαῖς χρόνος πᾶς κρύψις ὀνομάζεται. Schol.

Ibid. Δυομένῃσι, &c. Reprehenditur hoc a Scholiaſte, quoniam non exprimitur quo occaſus ortuſve genere res iſtæ evenerint. At quis veterum ſcriptorum ſic erit a culpâ liber? hæc ſane τεχνικὰ vocabula ab omnibus ſtudio occuluntur, ne quid ſcrupuloſioris promineat diligentiæ, aut ὕψος deprimatur. Sed et χρονογραφεῖν hiſtorici magis eſt, quam fabulatoris poëtæ. Hœl.

226. Πληϊάδεσσιν] αἱ δὲ Πληϊάδες, Πληϊόνης τῆς Ὠκεανοῦ καὶ Ἄτλαντος, ὡς μέν τινες, ἀπὸ τῆς μητρὸς ἔσχον τὴν ἐπωνυμίαν· ἢ μᾶλλον παρὰ τὸν πλειῶνα, ὅ ἐστιν ἐνιαυτός. σημαντικαὶ γὰρ αὗται καὶ χειμῶνος καὶ θέρους. αὗται δὲ τὴν ἐναντίαν ἀεὶ πορείαν ποιοῦνται τῷ Ὠρίωνι. συναντῆσαι γάρ ποτε λέγεται τῇ Πληϊόνῃ μετὰ τῶν θυγατέρων κατὰ τὴν Βοιωτίαν· καὶ εἰς ἔρωτα ταύτης ἐμπεσὼν, ἐδίωκεν, ἡ δὲ ἔφυγεν. γενέσθαι δὲ τὸν δρόμον αὐτῶν φασὶν ἀδιάλειπτον, καὶ οὕτω καταστερισθῆναι τὰς Πληϊάδας τὸν Ὠρίωνα φευγούσας. Schol.

230. Χαλκόποδας] ὅτι δὲ χαλκόποδες οἱ ταῦροι, καὶ πῦρ πνέοντες, καὶ Φερεκύδης φησί. Schol.

232. Πρὸς δὲ καὶ αὐτόγυον] δύο ἀρότρων εἰσὶν εἴδη. τὸ μὲν, πηκτόν· τὸ δὲ, αὐ-

Ἤλασεν,

Ἤλασεν, ἠελίῳ τίνων χάριν, ὅς ῥά μιν ἵπποις
Δέξατο Φλεγραίῃ κεκμηκότα δηϊοτῆτι.
Ἔνθα δὲ καὶ μέσαυλος ἐλήλατο· τῇ δ' ἐπὶ πολλαὶ
Δικλίδες εὐπηγέες θάλαμοί τ' ἔσαν ἔνθα καὶ ἔνθα.
Δαιδαλέη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο.
Λέχρις δ' αἰπύτεροι δόμοι ἕστασαν ἀμφοτέρωθεν.
Τῶν ἤτοι ἄλλον μὲν, ὅ τις καὶ ὑπείροχος ἦεν,
Κρείων Αἰήτης σὺν ἑῇ ναίεσκε δάμαρτι·
Ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάϊς Αἰήταο,
Τὸν μὲν Καυκασίη Νύμφη τέκεν Ἀστερόδεια,

Fabricârat, ſoli referens gratiam, qui ipſum equis
Excepit, Phlegræo laſſatum in prælio.
Hinc et media aula fabricata erat, inque eâ multæ
Valvæ bene compactæ, thalamique erant, hinc, illinc.
Variata inſuper porticus ab utrâque parte erat conſtructa.
Ex obliquò autem domus editiores ſtabant utrinque:
In quârum alterâ, quæ et eminentior erat,
Rex Æeta ſuâ habitabat cum conjuge:
In aliâ verò Abſyrtus habitabat filius Æetæ,
Quem Caucaſia Nympha peperit Aſterodæa,

τόγυον. πηκτὸν μὲν, τὸ ἐκ συμβολῆς ἔχον τὸ ἔλυμα. ἔστι δὲ ἔλυμα ἐν ᾧ ὁ ὕνις ἐντίθεται. τὸ δὲ ξύλον τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας, γύης καλεῖται· τὸ δὲ ἀπὸ τοῦ γύου, ἱστοβοεύς. τοῦ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιτιθέμενα, οἱ μὲν, ζεύγλας, οἱ δὲ, μεσάβοα λέγουσι. τοιοῦτον μὲν τὸ πηκτόν. αὐτόγυον δέ ἐστιν, οὗ τινος τὸ ἔλυμα οὐκ ἔστιν ἐκ συμβολῆς. τὴν δὲ κατασκευὴν τῶν ἀρότρων, Ἐρατοσθένης ἐν τῷ ἀρχιτεκτονικῷ καταγράφει. Schol.

233. Ἤλασεν, ἠελίῳ] πέπλασται ὁ μῦθος διὰ τὴν τῶν ποδῶν χωλότητα. οὐ μέντοι πιθανῶς. μείζονα γὰρ εἶχεν δύναμιν τῶν γιγάντων, δι' ἧς αὐτοὺς ἐτρέψατο ἄν. ὁ μέντοι Ἀπολλώνιος αἰτίαν ἀποδέδωκε, δι' ἧς ὁ Ἥφαιστος κατεσκεύασε τῷ Αἰήτῃ τούς τε χαλκόνυχας ταύρους καὶ τὸ ἄροτρον. ὅτι δὲ δυνατὸς ἦν Ἥφαιστος, Ὅμηρος ἔδειξεν, ἐπὶ Ξάνθου τοῦ ποταμοῦ. Schol.

234. Φλεγραίῃ] Φλέγρα πεδίον Θρᾴκης, περὶ Παλλήνην, ἔνθα οἱ θεοὶ τοὺς γίγαντας ἐπολέμησαν. Schol.

235. Μέσαυλος] τὸ μέσον τῆς αὐλῆς, ὅπου τῶν βοῶν αἱ στάσεις. μέσαυλον δὲ οἱ Ἀττικοὶ τὴν φέρουσαν εἴς τε τὴν ἀνδρωνῖτιν καὶ γυναικωνῖτιν. Schol.

237. Δαιδαλέη δ' αἴθουσα] στοὰ δὲ ποικίλη ἦν ἑκατέρωθεν τῆς οἰκίας. Schol.

238. Λέχρις] ἐκ πλαγίου δὲ τῆς αἰθούσης, ὑψηλότεραι ἦσαν οἰκοδομαί, ὅ ἐστι πύργοι. Schol.

242. Τὸν μὲν Καυκασίη] ὁ τὰ Ναυ-

Πρὶν

Πρίν περ κουριδίην θέσθαι Ἰδυῖαν ἄκοιτιν,
Τηθύος Ὠκεανοῦ τε πανοπλοτάτην γεγαυῖαν.
Καί μιν Κόλχων υἷες ἐπωνυμίην Φαέθοντα
Ἔκλεον, οὕνεκα πᾶσι μετέπρεπεν ἠϊθέοισι.
Τοὺς δ᾽ ἔχον ἀμφίπολοί τε καὶ Αἰήταο θύγατρες
Ἄμφω, Χαλκιόπη Μήδειά τε· ἡ μὲν ἄρ᾽ ἤει
Ἐκ θαλάμου θαλαμόνδε κασιγνήτην μετιοῦσα,
(Ἥρη γάρ μιν ἔρυκε δόμῳ, πρὶν δ᾽ οὔτι θάμιζεν
Ἐν μεγάροις, Ἑκάτης δὲ πανήμερος ἀμφεπονεῖτο
Νηόν, ἐπεί ῥα θεῆς αὐτὴ πέλεν ἀρήτειρα)
Καί σφεας ὡς ἴδεν ἆσσον, ἀνίαχεν· ὀξὺ δ᾽ ἄκουσε
Χαλκιόπη· δμωαὶ δὲ ποδῶν προπάροιθε βαλοῦσαι
Νήματα καὶ κλωστῆρας, ἀολλέες ἔκτοθι πᾶσαι

Priusquam puellarem duxisset Idyam conjugem,
Tethyos et Oceani minimam natu filiam.
Ac ipsum Colchorum filii cognomine Phaëthonta
Vocârunt, quoniam omnibus præstaret adolescentibus.
Cæteras autem occupabant famulæ, et filiæ Æetæ
Ambæ, Calciope et Medea: et hæc quidem ibat
Ex thalamo in thalamum, sororem conventum,
(Juno enim eam domi detinuit, quæ quidem antea infrequens erat
In ædibus, totos dies occupata in Hecatæ
Fano, nam Deæ ipsa erat sacerdos)
Ut verò illos aspexit, exclamavit; celeriter autem audivit
Calciope; ac ancillæ, projectis ante pedes
Staminibus fusisque, confertim extra omnes

ποιητικῶς πεποιηκὼς Εὐρυλύτην αὐτὴν λέγει. Διονύσιος δὲ ὁ Μιλήσιος, Ἑκάτην μητέρα Μηδείας καὶ Κίρκης, ὡς προείρηται. Σοφοκλῆς Νεαίραν, μίαν τῶν Νηρηΐδων· Ἡσίοδος δὲ Ἰδυῖαν. "Αἰήτης δ᾽ υἱὸς φαεσιμβρότου ἠελίοιο Γῆμε θεῶν βουλῇσιν Ἰδυῖαν καλλιπάρῃον." Ἐπιμενίδης δέ φησι Κορίνθιον τὸ γένος τὸν Αἰήτην, μητέρα δὲ αὐτοῦ, Ἐφύραν φησί. Διοφάντης δὲ ἐν τῇ α´ τῶν Ποντικῶν ἱστοριῶν, Ἀντιόπην φησὶν Αἰήτου μητέρα. προσφορώτερον δέ φασι τὸν Ἄψυρτον Μηδείας γενέσθαι Αἰήτῃ ἐξ Ἀστεροδείας τῆς Ὠκεανοῦ καὶ Τηθύος θυγατρός. Schol.

254. Δμωαὶ δὲ. Mirum est priores editiones, ipsamque Stephanicam, aliis longè præcellentem, fecisse ut claudicaret versus, omittendo ποδῶν, quod inseruit Hœlzlinus, ex II. 52.

255. Ἔκτοθι πᾶσαι] ἀντὶ τοῦ ἔξω, ἵνα τὸ εἰς τόπον σημαίνῃ. Schol.

Ἔδραμον· ἡ δ᾽ ἅμα τοῖσιν ἑοὺς υἷας ἰδοῦσα,
Ὑψοῦ χάρματι χεῖρας ἀνέσχεθεν· ὣς δὲ καὶ αὐτοὶ
Μητέρα δεξιόωντο καὶ ἀμφαγάπαζον ἰδόντες,
Γηθόσυνοι· τοῖον δὲ κινυρομένη φάτο μῦθον.
Ἔμπης οὐκ ἄρ᾽ ἐμέλλετ᾽ ἀκηδείῃ με λιπόντες
Τηλόθι πλάγξασθαι· μετὰ δ᾽ ὑμέας ἔτραπεν αἶσα.
Δειλὴ ἐγώ, οἷον πόθον Ἑλλάδος ἔκ ποθεν ἄτης
Λευγαλέης Φρίξοιο ἐφημοσύνῃσι νέεσθαι
Πατρός· ὁ μὲν θνήσκων στυγερὰς ἐπετείλατ᾽ ἀνίας
Ἡμετέρῃ κραδίῃ· τί δέ κεν πόλιν Ὀρχομενοῖο,
Ὅστις ὅδ᾽ Ὀρχομενός, κτεάνων Ἀθάμαντος ἕκητι,
Μητέρ᾽ ἐὴν ἀχέουσαν ἀποπρολιπόντες ἵκοισθε;
Ὣς ἔφατ᾽· Αἰήτης δὲ πανύστατος ὦρτο θύραζε,

Procurrebant : verùm ea, ſuis inter eos conſpectis filiis,
Altè manus ſuſtulit præ gaudio : ſimiliter etiam ipſi
Matrem ſalutabant et amplexabantur viſam,
Læti : ea queribunda talem protulit ſermonem.
Nequaquam igitur, me negligenter relictâ,
Longius eſtis navigaturi ; vos verò retruſit fatum.
Miſeram me ! quanto Græciæ deſiderio, ex aliquâ noxâ
Triſti, Phrixi præceptis abibatis
Patris ! ille ſane moriens præcepit quod gravi eſſet dolori
Cordi noſtro : quare verò ad urbem Orchomeni,
Quicunque ille Orchomenus, poſſeſſionum Athamantis cauſâ
Matre veſtrâ in luctu relictâ, iretis ?
Sic locuta eſt : Æeta autem poſtremus veniebat foràs,

257. Ὑψοῦ χάρματι] ἤδη ὑψόσε. τὸ γὰρ ὑψοῦ, τοῦ ἐν τόπῳ δηλωτικόν ἐστι· τὸ δὲ ὑψόσε, τοῦ εἰς τόπον. Ὅμηρος. "ὑψοῦ ἐπὶ ψαμάθοιο." Schol.

260. Ἔμπης οὐκ ἄρ᾽ ἐμέλλετ᾽] Ἀφροντίστως με καταλιπόντες, ὅμως οὐκ ἐμέλλετε μακρὰν πορεύεσθαι. ὑποστρέψαι γὰρ ὑμᾶς ἡ μοῖρα πεποίηκε.

261. Τηλόθι] πάντοθεν ἀντὶ τοῦ τηλόσε. Schol.

262. Ἔκ ποθεν ἄτης] ἀντὶ τοῦ, ἔκ τινος βλάβης. Schol.

263. Νέεσθαι. In Flor. νέεσθε.

265. Ὀρχομενοῖο] καὶ Ἑλλάνικός φησι τὸν Ἀθάμαντα Ὀρχομενὸν οἰκῆσαι. Schol.

267. Μητέρ᾽ ἐὴν] ἐὴν μητέρα, ἀντὶ τοῦ ὑμετέραν. Schol.

Ἐκ

Ἐκ δ' αὐτὴ Ἰδυῖα δάμαρ κίεν Αἰήταο,
Χαλκιόπης ἀΐουσα· τὸ δ' αὐτίκα πᾶν ὁμάδοιο
Ἕρκος ἐπεπλήθει· τοὶ μὲν μέγαν ἀμφεπένοντο
Ταῦρον ἅλις δμῶες· τοὶ δὲ ξύλα κάγκανα χαλκῷ
Κόπτον· τοὶ δὲ λοετρὰ πυρὶ ζέον· οὐδέ τις ἦεν
Ὃς καμάτου μεθίεσκεν ὑποδρήσσων βασιλῆϊ.
Τόφρα δ' Ἔρως πολιοῖο δι' ἠέρος ἷξεν ἄφαντος,
Τετρηχὼς οἷόν τε νέαις ἐπὶ φορβάσιν οἶστρος
Τέλλεται, ὅν τε μύωπα βοῶν κλείουσι νομῆες.
Ὦκα δ' ὑπὸ φλοιῇ προδόμῳ ἔνι τόξα τανύσσας
Ἰοδόκης ἀβλῆτα πολύστονον ἐξέλετ' ἰόν.
Ἐκ δ' ὅγε καρπαλίμοισι λαθὼν ποσὶν οὐδὸν ἄμειψεν,
Ὀξέα δενδίλλων· αὐτῷ δ' ὑπὸ βαιὸς ἐλυσθεὶς

Ipſaque Idya conjux prodiit Æetæ
Auditâ Calciope: ſtatim autem univerſa ſtrepitu
Aula repleta erat: alii quidem circa vaſtum occupabantur
Taurum unà ſervi; alii ligna arida ſcindebant
Ferro; nonnulli aquam balneariam igne calefaciebant; nec aliquis erat
Qui à labore ceſſaret, ſubſerviens regi.
Interim Amor liquidum per aëra venit inviſus,
Exaſperati ad inſtar œſtri, qui junioribus armentis
Immittitur, et quem tabanum boum vocant paſtores.
Statim autem poſt poſtem in veſtibulo arcum intendens
E pharetrâ recentem valdè luctuoſam deprompſit ſagittam:
Levibuſque pedibus occultè limen tranſgreſſus eſt
Acutè circumjiciens oculos; ac poſt ipſum, in minutiem contractus

275. Πολιοῖο] πολιὸν, τὸ διαφανές. Schol.

276. Τετρηχὼς] ὁ δεδαμασμένος. Οἶστρος. διαφέρει οἶστρος μύωπος. ὁ μὲν γὰρ μύωψ ἀποβόσκεται τῶν ξύλων· ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων. Schol.

Ibid. ὁ δεδαμασμένος. Melior longe et veriſimilior Hœlzlini lectio, qui mutandum conjecit in οὐ δεδαμασμένος. Virgilius de œſtro. G. III. 149. *Aſper* (τετρηχὼς) acerba ſonans, &c.

277. Τέλλεται] κατὰ ἀφαίρεσίν ἐστι τοῦ σ, ἀντὶ τοῦ στέλλεται. Schol.

279. Ἰοδόκης ἀβλῆτα, &c. Ex Homero Il. δ'. 117.

—— ἐκ δ' ἕλετ' ἰὸν
Ἀβλῆτα, πτερόεντα, μελαινάων ἕρμ' ὀδυνάων. Upt.

281. Ὀξέα δενδίλλων] ἀντὶ τοῦ, στρ-

Αἰσονίδῃ γλυφίδας μέσσῃ ἐνικάτθετο νευρῇ.
Ἰθὺς δ' ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν
Ἧκ' ἐπὶ Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν.
Αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
Καγχαλόων ἤϊξε· βέλος δ' ἐνεδαίετο κούρῃ
Νέρθεν ὑπὸ κραδίῃ, πυρὶ εἴκελον· ἀντία δ' αἰεὶ
Βάλλεν ὑπ' Αἰσονίδην ἀμαρύγματα· καί οἱ ἄηντο
Στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες, οὐδέ τιν' ἄλλην
Μνῆστιν ἔχεν· γλυκερὴ δὲ κατείβετο θυμὸν ἀνίῃ.
Ὡς δὲ γυνὴ μαλερῷ πυρὶ κάρφεα χεύατο δαλῷ·

Æſonis filium, crenas medio impoſuit nervo;
Eoque ſtatim ambabus manibus diſtento, *telum*
Immiſit Medeæ: illius ſtupor corripuit animum.
Ipſe verò ſublimi retrò è regiâ
Cachinnans diſceſſit: interea ſagitta ardebat in virgine
Infrà ſub pectore, igni ſimilis; contrariaque ſemper
Jecit in Jaſonem oculorum fulgura, et anhelabant ei
E pectoribus crebrò ob laſſitudinem præcordia, nec aliam aliquam
Memoriam habebat; dulci autem animus diſtabeſcebat dolore.
Sicut verò mulier igne candenti ramenta ſuperinfudit torri

στρέψας ἑαυτὸν καὶ ἀποκαλύψας, ὀξέως περιεπιστρεφόμενος· καὶ εἰς αὐτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος δὲ ἐπὶ τοῦ στρέφειν τέθεικε τὴν λέξιν, τὸ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεκκλίνονται τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ Ἀπολλόδωρος. Σοφοκλῆς δὲ ἐπὶ τοῦ προλείπειν τέθεικε τὴν λέξιν. Schol.

288. Ἀμαρύγματα] τὰς λαμπάδας τῶν ὀφθαλμῶν λέγει. Καί οἱ ἄηντο. πολὺ ἔπεμπον, ἢ μετεωρίζοντο. Schol.

Ibid. Βάλλεν ὑπ'. Malim ἐπ'. Quod autem in hoc verſu habeamus ἄηντο, videtur diverſum ab eo quod legitur in hoc ipſo libro, v. 688.

Χαλκιόπη περί μοι παίδων σέο θυμὸς
ἄηται.

In cujus verſus expoſitione malè apud ſchol. legitur, ὑπὸ τῶν ἡῶν pro ὑπέρ. Cui contra ſimile eſt hoc libri quarti,

Ζεῦ πάτερ, ἦ μέγα δή μοι ἐνὶ φρεσὶ
θάμβος ἄηται.

Sed cum his verbis

—— καί οἱ ἄηντο
Στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες ——

convenire videntur illa, Ἐκ δ' ἄρα οἱ κραδίη στηθέων πέσεν. Itidemque κάματον dixerat in præcedente verſu.

Steph.

290. Mavult H. Steph. legere γλυκερῇ et ἀνίῃ in dandi caſu.

291. Ὡς δὲ γυνὴ] καὶ Ὅμηρος. "ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ." Schol.

Ibid. Ὡς δὲ γυνὴ, &c. In animo

Χερνῆτις

Χερνῆτις, τῇπερ ταλασήϊα ἔργα μέμηλεν,
Ὥς κεν ὑπωρόφιον νύκτωρ σέλας ἐντύναιτο,
Ἄγχι μάλ' ἐγρομένη· τὸ δ' ἀθέσφατον ἐξ ὀλίγοιο
Δαλοῦ ἀνεγρόμενον σὺν κάρφεα πάντ' ἀμαθύνει,
Τοῖος ὑπὸ κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ
Οὖλος ἔρως· ἁπαλὰς δὲ μετετρωπᾶτο παρειὰς
Ἐς χλόον, ἄλλοτ' ἔρευθος, ἀκηδείῃσι νόοιο.
Δμῶες δ' ὁππότε δή σφιν ἐπαρτέα θῆκαν ἐδωδὴν,
Αὐτοί τε λιαροῖσιν ἐφαιδρύνοντο λοετροῖς,
Ἀσπασίως δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσσαν.
Ἐκ δὲ τοῦ Αἰήτης σφετέρης ἐρέεινε θυγατρὸς
Υἷας, τοίοισι παρηγορέων ἐπέεσσι.

Operaria, cui lanaria res curæ eſt,
Ut ſub tecto ignem noctu parare poſſit,
Admodum brevi reſurrectura; ille verò plurimus ex parvo
Torre renatus materiam omnem in cinerem redigit;
In hunc modum ſub pectore occultus ardebat latenter
Perniciosus Amor, teneraſque tranſmutabat genas
Interdum in pallorem, interdum in ruborem, mœrore animi.
Poſtquam autem ipſis ſervi paratas appoſuiſſent epulas,
Et ipſi a tepidis niteſcerent balneis,
Hilariter cibo potuque refecerunt animum.
At dehinc Æeta ſuæ rogavit natæ
Filios, talibus conſolans verbis.

habuiſſe videtur Apollonius hunc locum Ulyſſeæ ι', 488.

Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ
Σπέρμα πυρὸς σώζων, &c.

E noſtro apertè Maro, Æn. VIII. 408.

—— cum fœmina primum
Cui tolerare colo vitam tenuique Minervâ
Impoſitum cinerem, &c.

294. Ἄγχι μάλ' ἐγρομένη] ἀντὶ τοῦ ἐγγύς. τίθεται δὲ καὶ ἐπὶ χρόνου. Μίνανδρος, ἔγημεν ἔναγχος, ἀντὶ τοῦ νέον, ἢ ἀντὶ τοῦ ταχέως.

296. Εἰλυμένος] κεκαλυμμένος, οἷον κεκρυμμένος. εἰς γὰρ τοῦτο κατέστρεψε. Schol.

Ibid. Τοῖος ὑπὸ κραδίῃ εἰλυμένος
ΑΙΘΕΤΟ ΛΑΘΡΗ
Οὖλος ἔρως,
— *tacitum vivit* ſub pectore vulnus. Æn. IV. 67.

298. Ἀκηδείῃσι] ταῖς πολυκηδείαις. τοῦτ' ἔστι ταῖς λύπαις. Schol.

302. Σφετέρης] ἀντὶ τοῦ ἰδίας. Schol.

Παιδὸς

Λήθομεν ἔμπεδον, οἵ τε θεουδέες, ἠδὲ δίκαιοι.
Ὡς μὲν γὰρ πατέρ' ὑμὸν ὑπεξείρυσε φόνοιο
Μητρυιῆς, καὶ νόσφιν ἀπειρέσιον πόρεν ὄλβον·
Ὣς δὲ καὶ ὑμέας αὖτις ἀπήμονας ἐξεσάωσε
Χείματος οὐλομένοιο· πάρεστι δὲ τῆσδ' ἐπὶ νηὸς
Ἔνθα καὶ ἔνθα νέεσθαι, ὅπη φίλον, εἴτε μετ' Αἶαν,
Εἴτε μετὰ Φθίην, θείου πόλιν Ὀρχομενοῖο.
Τὴν γὰρ Ἀθηναίη τεχνήσατο, καὶ τάμε χαλκῷ
Δούρατα Πηλιάδος κορυφῆς πέρι· σὺν δέ οἱ Ἄργος
Τεῦξεν· ἀτὰρ κείνην γε κακὸν διὰ κῦμ' ἐκέδασσε
Πρὶν καὶ πετράων σχεδὸν ἐλθεῖν, αἵ τ' ἐνὶ πόντῳ
Στεινωπῷ συνίασι πανήμεραι ἀλλήλῃσιν.
Ἀλλ' ἄγεθ' ὧδε καὶ αὐτοὶ ἐς Ἑλλάδα μαιομένοισι
Κῶας ἄγειν χρύσειον ἐπίρροθοι ἄμμι πέλεσθε,

Latemus prorſus, qui pii atque juſti.
Ut enim patrem veſtrum eripuit à cæde
Novercali, et ſeparatim immenſas dedit divitias,
Sic et vos rurſus integros ſervavit
A tempeſtate pernicioſâ: licet autem hâc in navi
Huc, illuc ire, ubicunque lubet, ſive ad Æam,
Sive ad Phthiam, inclyti urbem Orchomeni.
Hanc enim Minerva fabricavit, et ſecuit ferro
Ligna in cacumine Peliaco; cumque ipſâ Argus
Paravit: iſtam autem violenta unda diffregiſſet,
Vel priuſquam ad rupes prope veniſſemus, quæ in ponto
Anguſto concurrunt toto die inter ſe mutuò.
Verum agite ſimiliter et vos nobis in Græciam aventibus
Vellus aureum reportare, adjutores eſtote,

1184. Pro ἠδὲ probat H. Stephanus ἰδὲ. In Flor. eſt ὁ δὲ, ut δὲ ſerviat μέτρῳ. Hoelzlinus legendum cenſet οἵ τε δίκαιοι, pro ἀδικοί τε.

1190. Μετὰ Φθίην] οἱ μὲν τὴν Φθίαν Ὀρχομενοῦ πόλιν φασὶν εἰρῆσθαι. Φθίην πόλιν Ὀρχομενοῖο· παρόσον οἱ Ὀρχομένιοι ἄποικοί εἰσι Θεσσαλῶν. διαιρεῖται δὲ καὶ Ὀρχομενοῦ μνημονεύειν τὸ μέθορον Μακεδονίας καὶ Θεσσαλίας. ἔστι γὰρ Ὀρχομενὸς, καὶ ὄρος καὶ πόλις Θεσσαλίας, καὶ Βοιωτίας, καὶ Ἀρκαδίας, καὶ Πόντου. Schol.

1197. Ἐπίρροθοι] ἐπιρροθεῖν, κυρίως τὸ τοῖς κυσὶν κελεύειν, καὶ ὀρθίζειν, καὶ τὸ

Καὶ

Καὶ πλόου ἡγεμονῆες· ἐπεὶ Φρίξοιο θυηλὰς
Στέλλομαι ἀμπλήσων, Ζηνὸς χόλον Αἰολίδῃσι.
Ἴσκε παρηγορέων· οἱ δ' ἔστυγον εἰσαΐοντες.
Οὐ γὰρ ἔφαν τεύξεσθαι ἐνηέος Αἰήταο
Κῶας ἄγειν κριοῖο μεμαότας. ὧδε δ' ἔειπεν
Ἄργος, ἀτεμβόμενος τοῖον στόλον ἀμφιπένεσθαι.
Ὦ φίλοι, ἡμέτερον μὲν ὅσον σθένος, οὔποτ' ἀρωγῆς
Σχήσεται οὐδ' ἠβαιόν, ὅτε χρειώ τις ἵκηται.
Ἀλλ' αἰνῶς ὀλοῇσιν ἀπηνείῃσιν ἄρηρεν
Αἰήτης· τῷ καὶ περὶ δείδια ναυτίλλεσθαι.
Στεῦται δ' Ἠελίου γόνος ἔμμεναι· ἀμφὶ δὲ Κόλχων
Ἔθνεα ναιετάουσιν ἀπείρονα· καὶ δέ κεν Ἄρει

Et cursûs duces: quandoquidem Phrixo sacra
Proficiscor perfecturus, ob Jovis iram in Æoli nepotes.
Conticuit cum hoc hortatu: illi verò extimescebant audientes:
Non enim opinabantur fore ut in mitem inciderent Æetam,
Vellus auferre arietis cupientes: et in hunc modum dixit
Argus, ægrè ferens tali eos navigatione occupari.
O amici, quantum nobis inest virium, nequaquam auxiliis
Recusabitur vel tantillum, quando necessitas aliqua inciderit:
Sed mirum in modum horribili sævitiâ præditus est
Æeta, ita ut pertimescam navigare.
Perhibetur autem eum à sole natum fuisse; circa verò Colchorum
Innumeræ habitant gentes; et sane Marti

τῇ τοῦ συνεργῶν, παρὰ τὸ ῥόθιον, ὃ ἐστι τὸ κῦμα. ἐνταῦθα δὲ ἐπίῤῥοθον ἁπλῶς τὸν βοηθὸν λέγει. Schol.

1199. Ζηνὸς χόλον] διὰ τὸ μηνῖσαι τὸ δαιμόνιον τοῖς ἀπὸ τοῦ Αἰόλου, Φρίξου κινδυνεύσαντος. νοεῖται δὲ ἐν τῷ χόλον ἡ διά, ἤγουν διὰ τὸν χόλον τοῦ Διός· ὡς τὸ, σὴν χάριν, ἀντὶ τοῦ διὰ τὴν σὴν χάριν. τοιαύτῃ γὰρ προφάσει ὑπὸ Πελίου ἐξεπέμφθη. Schol.

1200. Ἔστυγον] ἐστύγνασαν. ἐφοβήθησαν. Schol.

1201. Ἐνηέος] οὐ γὰρ ὑπελάμβανον ἡσύχως καὶ προσηνῶς προσδέξεσθαι αὐτοὺς ὑπὸ τοῦ Αἰήτου, διότι συνῆλθον τῷ Ἰάσονι. Ἐνηέος, προσηνέος, ἀγαθοῦ. Schol.

1203. Ἀτεμβόμενος] ἐκ Ὁμηρικοῦ, ἀντὶ τοῦ στενοχωρούμενος. κεῖται γὰρ καὶ ἐπὶ τοῦ δυσχεραίνειν καὶ μεμφόμενος ἐπὶ τοιοῦτον αὐτοὺς στόλον στέλλεσθαι. Schol.

1208. Στεῦται] διαβεβαιοῦται. Schol.

Σμερδαλέην ἐνοπὴν μέγα τε σθένος ἰσοφαρίζει.
Οὐ μὰν οὐδ' ἀπάνευθεν ἑλεῖν δέρος Αἰήταο
Ῥηΐδιον· τοῖός μιν ὄφις περί τ' ἀμφί τ' ἔρυται
Ἀθάνατος καὶ ἄυπνος, ὃν αὐτὴ γαῖ' ἀνέφυσεν
Καυκάσου ἐν κνημοῖσι, Τυφαονίη ὅτι πέτρη·
Ἔνθα Τυφάονα φασὶ Διὸς Κρονίδαο κεραυνῷ
Βλήμενον, ὁππότε οἱ στιβαρὰς ἐπορέξατο χεῖρας,
Θερμὸν ἀπὸ κρατὸς στάξαι φόνον· ἵκετο δ' αὔτως
Οὔρεα καὶ πεδίον Νυσήιον, ἔνθ' ἔτι νῦν περ
Κεῖται ὑποβρύχιος Σερβωνίδος ὕδασι λίμνης.
Ὣς ἄρ' ἔφη· πολέεσσι δ' ἐπὶ χλόος εἷλε παρειὰς
Αὐτίκα, τοῖον ἄεθλον ὅτ' ἔκλυον· αἶψα δὲ Πηλεὺς

Terribili voce et immenſo robore ſe parem exhibeat.
Haud equidem pellem auferre ab Æetâ
Facile erit: talis eam ſerpens circum undique cuſtodit
Immortalis, et ſomni expers, quem ipſa terra protulit
Caucaſi in ſaltibus, ubi Typhaonia petra,
Quò Typhaona perhibent, Jovis Saturnii fulmine
Percuſſum, quando ipſi validas intentaret manus,
Calidam a capite deſtillâſſe saniem. Is verò uti erat, venit
Ad montes et campum Nyſeium, ubi etiamnum
Jacet, merſus Serbonidis ſub aquâ paludis.
Sic dixit; at pleroſque pallor perfudit genas
Simul atque tale certamen audiverant: ſtatim autem Peleus

1212. Ὄφις. De dracone pellem auream cuſtodiente conſule Hygini interpretes, ad fab. I.

1214. Καυκάσου ἐν κνημοῖσι] περὶ τὸν Καύκασον, φασὶν, ἐν τῇ Τυφαονίᾳ πέτρᾳ κεραυνωθεὶς ὁ Τυφὼς, ἰχῶρας τινὰς ἀφῆκεν, ἐξ ὧν ἐγένετο ὁ δέρος φυλάσσων ὄφις. ὅτι δὲ ἐπὶ τὸν Καύκασον κατέφυγεν ὁ Τυφὼς διωκόμενος, καὶ ὅτι καιομένου τοῦ ὄρους ἔφυγεν ἐκεῖθεν εἰς Ἰταλίαν, ὅπου τὴν Πιθηκοῦσσαν αὐτῷ περιρριφῆναι νῆσον, Φερεκύδης ἐν τῇ Θεογονίᾳ ἱστορεῖ· οὐ μέντοι ὅτι καὶ εἰς τοὺς περὶ Συρίαν τόπους ἠλάθη, ὥς φησιν Ἀπολλώνιος. Schol.

1215. Τυφάονα] οὗτος, φησὶ, πληγεὶς ὑπὸ Διὸς, ὡς ἄχρι εἰς τοὺς περὶ Συρίαν τόπους Πηλούσιον παρεγένετο, διωκόμενος ὑπὸ Διός· ὅπου βυθισθεὶς κεῖται ἐν τῇ Σερβωνίδι λίμνῃ. διήκει δὲ αὕτη ἀπὸ Συρίας μέχρι Πηλουσίου. τὰ δ' αὐτὰ περὶ τοῦ Τυφῶνος καὶ Ἡρόδωρος φησίν. ἔνθα καὶ περὶ τῆς Νύσης ἱστορεῖ, λέγων. "ἔστι δέ τις Νύση, ὕπατον κέρας, ἀνθέον ὕλῃ, Τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων." ὁ δὲ Καύκασος διήκει ἀπὸ τῆς Ἀραβίας χώρας ἕως Κόλχων. ἡ δὲ Σερβωνὶς λίμνη διάκειται περὶ τὸ Πηλούσιον τῆς Αἰγύπτου. Schol.

Θαρσαλέως

Θαρσαλέως ἐπέεσσιν ἀμείψατο, φώνησέν τε.
Μηδ' οὕτως, ἠθεῖε, λίην δειδίσσεο θυμῷ.
Οὔτε γὰρ ὧδ' ἀλκὴν ἐπιδευόμεθ', ὥστε χερείους
Ἔμμεναι Αἰήταο σὺν ἔντεσι πειρηθῆναι.
Ἀλλὰ καὶ ἡμέας οἴομ' ἐπισταμένους πολέμοιο
Κεῖσε μολεῖν, μακάρων σχεδὸν αἵματος ἐκγεγαῶτας.
Τῷ εἰ μὴ φιλότητι δέρος χρύσειον ὀπάσσει,
Οὔ οἱ χραισμήσειν ἐπιέλπομαι ἔθνεα Κόλχων.
Ὣς οἵγ' ἀλλήλοισιν ἀμοιβαδὸν ἠγορόωντο,
Μέσφ' αὖτις δόρποιο κορεσσάμενοι κατέδαρθεν.
Ἦρι δ' ἀνεγρομένοισιν ἐϋκραὴς ἄεν οὖρος·
Ἱστία δ' ἤειραν, τὰ δ' ὑπαὶ ῥιπῆς ἀνέμοιο
Τείνετο· ῥίμφα δὲ νῆσον ἀποπροέλειπον Ἄρηος.
Νυκτὶ δ' ἐπιπλομένῃ Φιλυρηίδα νῆσον ἄμειβον,

Audacter verbis respondit, dixitque.
Ne tam, bone vir, pertimescas animo.
Non enim adeo virium egentes sumus, ut deteriores
Simus armis cum Æetâ decertare.
Sed nos etiam existimo peritos belli
Illuc proficisci, qui fermè ex Deorum sanguine sati sumus.
Quapropter, nisi benevolè vellus aureum concesserit,
Nulli ei commodo futuras opinor gentes Colchorum.
Ita illi inter se vicissim confabulabantur,
Usque dum cibo satiati dormitum irent.
Manè autem experrectis temperata spirabat aura:
Sustulerunt igitur lintea, quæ flatu venti
Extendebantur; ac celeriter insulam liquerunt Martis;
Nocte verò insequenti, Philyræam præterlegerunt insulam;

1223. Μηδ' οὕτως, ἠθεῖε] ἀντὶ τοῦ, τῷ καὶ περιδείδια ναυτίλλεσθαι, ἀπλώτησιν ὁ Πηλεύς, κελεύων μὴ δεδιέναι. διὸ θυμῷ χαρίεν. γράφεται δὲ καὶ μύθῳ. ἵνα ᾖ, μὴ ἐκφόβει ἡμᾶς τῷ περὶ Αἰήτου λόγῳ. οὐ φέρεται δὲ οὕτως. ἀλλ' ἐν πᾶσι, δειδίσσεο θυμῷ. κατ' οὐδὲν γάρ, φησί, τοῦ Αἰήτου ἐσμὲν χείρους. τὸ δὲ ἠθεῖε, οἶμαι κατ' ἐπίθεσιν τοῦ η γεγονέναι, ὥσπερ καὶ τὸ βαιὸς, ἠβαιός· μύαι, ἠμύαι. σημαίνει δὲ κατὰ τὸ πρόχειρον τὸ θεῖε, συγγενές. ἢ τὸ θαυμάσιε (μηδαμῶς ὦ θαυμάσιε) ἢ τὸ καλέ. Schol.

1224. Ἀλκήν. Hœlzlinus mavult legere ἀλκῆς.

1235. Φιλυρηίδα νῆσον] τὴν τῆς Φι-

Ἔνθα

Ἔνθα μὲν Οὐρανίδης Φιλύρῃ Κρόνος, εὖτ' ἐν Ὀλύμπῳ
Τιτήνων ἤνασσεν, ὁ δὲ Κρηταῖον ὑπ' ἄντρον
Ζεὺς ἔτι Κουρήτεσσι μετετρέφετ' Ἰδαίοισιν,
Ῥείην ἐξαπαφὼν, παρελέξατο· τοὺς δ' ἐνὶ λέκτροις
Τέτμε θεὰ μεσσηγύς· ὁ δ' ἐξ εὐνῆς ἀνορούσας
Ἔσσυτο χαιτήεντι φυὴν ἐναλίγκιος ἵππῳ.
Ἡ δ' αἰδοῖ χῶρόν τε καὶ ἤθεα κεῖνα λιποῦσα
Ὠκεανὶς Φιλύρη, εἰς οὔρεα μακρὰ Πελασγῶν
Ἦλθ', ἵνα δὴ Χείρωνα πελώριον, ἄλλα μὲν ἵππῳ,
Ἄλλα θεῷ ἀτάλαντον, ἀμοιβαίῃ τέκεν εὐνῇ.
Κεῖθεν δ' αὖ Μάκρωνας, ἀπειρεσίην τε Βεχείρων
Γαῖαν, ὑπερφιάλους τε παρὲξ ἐνέοντο Σάπειρας,
Βύζηράς τ' ἐπὶ τοῖσιν· ἐπιπρὸ γὰρ αἰὲν ἔτεμνον

Ubi Cœli filius Saturnus cum Philyrâ, quando in Olympo
Titanibus imperaret, et ipse sub antro Cretensi
Jupiter adhuc inter Curetes educaretur Idæos,
Deceptâ Rheâ, concubuit; eosque in amoribus
Deprehendit Dea mediis; ille verò è lecto prosiliens,
Proruit, juboso formâ similis equo.
At præ pudore, loco illo et sedibus relictis,
Oceani filia Philyra, in arduos montes Pelasgorum
Ivit, ubi Chironem monstrosum, partim quidem equo
Partim deo similem, e mutuo peperit concubitu.
Illinc porro Macronas, et immensam Bechirorum
Terram, ac violentos præternavigârunt Sapiras,
Et post hos Byzeras: ulterius enim usque progrediebantur

λόγων φησὶν, ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ, κατοικούσης περὶ τοὺς τόπους τούτους. Κρόνος δὲ μιγνύμενος αὐτῇ, ὅτε ἐβασίλευε Τιτάνων, τὴν Ῥέαν αὐτοῦ ἐπαυτοφώρῳ καταλαβούσης. ὅθεν τὸν μὲν Κρόνον αἰδεσθέντα ὡς ἵππον μεταβληθῆναι, τὴν δὲ φυγεῖν εἰς Θεσσαλίαν. Φερεκύδης φησὶν ὅτι Κρόνος ἀπεικασθεὶς ἵππῳ ἐμίγη τῇ Φιλύρᾳ τῇ Ὠκεανοῦ· καὶ διὰ τοῦτο διφυὴς ὁ Χείρων. Σουίδας δὲ ἐν α Θεσσαλικῶν τὸν Χείρωνα Ἰξίονος εἶναι παῖδα φησὶν, ἀδελφὸν δὲ Πειρίθου. Schol.

1237. Κρηταῖον ὄρος] τὸ Κρητικὸν, γίγνεται δὲ καθ' ὁμοιότητα τοῦ Σιναίου. Schol.

1239. Ῥείην. Consule Span. ad Call. in Jov. 36.

1241. Χαιτήεντι] χαιτήεις, χαίτην ἔχων· ἀπὸ τῆς χαίτης. ὥσπερ ἀπὸ τοῦ ἔρως, ἐρόεις· ὡς τιμή, τιμήεις. Schol.

1246. Μάκρωνας] περὶ Μακρώνων καὶ Βεχείρων καὶ Σαπείρων προείρηται. Schol.

Ἐσσυμένως.

Ἐσσυμένως, λιαροῖο φορεύμενοι ἐξ ἀνέμοιο.
Καὶ δὴ νισσομένοισι μυχὸς διεφαίνετο Πόντου:
Καὶ δὴ Καυκασίων ὀρέων ἀνέτελλον ἐρίπναι
Ἠλίβατοι, τόθι γυῖα περὶ στυφελοῖσι πάγοισιν
Ἰλλόμενος χαλκέῃσιν ἀλυκτοπέδῃσι Προμηθεὺς
Αἰετὸν ἥπατι φέρβε παλιμπετὲς ἀΐσσοντα.

Festinanter, ſecundo impulſi vento :
Et tunc ſanè pergentibus ſinus apparuit Ponti ;
Quin imo Caucaſiorum montium incipiebant apparere vertices
Excelſi, ubi membra ad aſperas rupes
Circumligatus æreis pedicis Prometheus
Aquilam jecore ſuo paſcebat, retrorſum volantem.

1250. Μυχὸς] εἰπὼν δέ, μυχὸς διεφαίνετο Πόντου, ἔδειξεν ὅτι ἐν τῷ μυχῷ τοῦ Πόντου ἡ Κολχική. Schol.

1251. Καὶ δὴ Καυκασίων] τὰ προσαγορευόμενα Καυκάσια Ἐρατοσθένης πλησίον εἶναί φησι τῆς προσαγορευομένης Κασπιανῆς θαλάσσης. Ἐρίπναι. τῶν Καυκασίων ὀρῶν αἱ ἀποῤῥῶγες καὶ ἐξοχαί. τινὲς δὲ ἐρίπνας, τὰς τραχείας καὶ εἰς ὕψος ἀνεχούσας πέτρας φασί. Schol.

1252. Τόθι γυῖα] ὁ Προμηθεὺς ἐδέδετο ἐν τῷ Καυκάσῳ, καὶ ὁ αἰετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. Ἀγροίτας δὲ ἐν τρισκαιδεκάτῃ τῶν Σκυθικῶν, ἀδύνατόν φησι τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ τοῦ αἰετοῦ, διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Αἰετὸν φθείρειν. ἧπαρ δὲ παρὰ πολλοῖς, ὥσπερ καὶ οὖθαρ, τὴν εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ἐξοχετεύσαντος διώρυξι τὸν ποταμόν, τόν τε αἰετὸν δόξαι ὑπ' αὐτοῦ κεχειρῶσθαι, καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν. Θεόφραστος δὲ τὸν Προμηθέα φησί, σοφὸν γενόμενον, μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας. ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον ὡς ἄρα πυρὸς μεταδοίη. καὶ Ἡρόδωρος ξένως περὶ τῶν δεσμῶν τοῦ Προμηθέως ταῦτα. εἶναι γὰρ αὐτὸν Σκυθῶν βασιλέα φησί· καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια, διὰ τὸ τὸν καλούμενον Αἰετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν Σκυθῶν. ἐπιφανέντα δὲ Ἡρακλέα, τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασσαν (καὶ διὰ τοῦτο μεμυθεῦσθαι ἀνῃρηκέναι τὸν αἰετὸν Ἡρακλέα) τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν. Φερεκύδης δὲ ἐν δευτέρῳ, Τυφῶνος καὶ Ἐχίδνης τὸν Φόρκυνος φησὶ τὸν αἰετὸν τὸν ἐπιπεμφθέντα Προμηθεῖ. καὶ ὅτι δὲ ὁ αἰετὸς ἤσθιεν τῆς ἡμέρας τοῦ ἥπατος, τὸ δὲ λειπόμενον ηὔξετο τῆς νυκτός, καὶ ἐγένετο ἴσον. Schol.

1253. Ἰλλόμενος χαλκέῃσιν. δεθῆναι τὸν Προμηθέα φησὶν Ἡσίοδος, καὶ τὸν αἰετὸν ἐπιπεμφθῆναι αὐτῷ διὰ τὴν τοῦ πυρὸς κλοπήν. Δοῦρις δέ φησι, διὰ τὸ τῆς Ἀθηνᾶς ἐρασθῆναι. ὅθεν τοὺς περὶ τὸ Καυκάσιον οἰκοῦντας μόνῳ Διῒ καὶ Ἀθηνᾷ μὴ θύειν, διὰ τὸ κολάσεως αἰτίους Προμηθεῖ γενέσθαι. καθ' ὑπερβολὴν δὲ σέβειν Ἡρακλέα, τῆς τοῦ αἰετοῦ τοξείας χάριν. εἰκότως οὖν ὁ Ἀπολλώνιος περὶ Καύκασον γενόμενος, καὶ τούτων ἐμνήσθη. Schol.

1254. Αἰετὸν, &c. Haud ludet operam qui de hâcce fabulâ Scholiaſtem Heſiodi, optimè eam exponentem, conſuluerit. Θεογ. 523.

Τὸν

Τὸν μὲν ἐπ' ἀκροτάτης ἴδον ἕσπερον ὀξέϊ ῥοίζῳ
Νηὸς ὑπερπτάμενον νεφέων σχεδόν· ἀλλὰ καὶ ἔμπης
Λαίφεα πάντ' ἐτίναξε παραιθύξας πτερύγεσσιν.
Οὐ γὰρ ὅγ' αἰθερίοιο φυὴν ἔχεν οἰωνοῖο,
Ἴσα δ' ἐυξέστοις ὠκύπτερα πάλλεν ἐρετμοῖς.
Δηρὸν δ' οὐ μετέπειτα πολύστονον ἄϊον αὐδὴν
Ἧπαρ ἀνελκομένοιο Προμηθέος· ἔκτυπε δ' αἰθὴρ
Οἰμωγῇ· μέσφ' αὖτις ἀπ' οὔρεος ἀΐσσοντα
Αἰετὸν ὠμηστὴν αὐτὴν ὁδὸν εἰσενόησαν.
Ἐννύχιοι δ' Ἄργοιο ἀλημοσύνῃσιν ἵκοντο
Φᾶσίν τ' εὐρυρέοντα, καὶ ἔσχατα πείρατα Πόντου.
Αὐτίκα δ' ἱστία μὲν καὶ ἐπίκριον ἔνδοθι κοίλης
Ἱστοδόκης στείλαντες ἐκόσμεον· ἐν δὲ καὶ αὐτὸν
Ἱστὸν ἄφαρ χαλάσαντο παρακλιδόν· ὦκα δ' ἐρετμοῖς

Eam quidem viderunt vefpertinam ftridore acuto
Super fummam volantem navem, propè nubes; fed tamen
Vela omnia concuffit laceffita alarum motu.
Non enim illa volucris altivolæ formam exhibebat,
Sed veloces quatiebat alas, politis æquales remis.
Nec diu poftea gemibundam audiebant vocem
Jecur retrahentis Promethei; infonuit autem æther
Ejulatu, donec iterum è monte deruentem
Aquilam crudivoram, eâdem viâ, confpexerunt.
Nocturni verò, Argi peritiâ, devenerunt
Ad Phafin latè fluentem, et extremos fines Ponti.
Statim autem vela et antennam in cavum
Receptaculum detracta repofuerunt; tum ipfum
Malum ftatim fubmiferunt inclinatum, ac celeriter remis

1255. Τὸν μὲν ἐπ' ἀκροτάτης] παρὰ τὴν ἑσπέραν, φησὶν, εἶδον οἱ ἀριστεῖς τὸν ἀετὸν ἐπὶ τὸν Προμηθέα. Schol.

1257. Παραιθύξας] παραπνεύσας. οὕτ' ἔστι, πνοὴν ποιήσας, τῇ βίᾳ τῶν πτερύγων ἐτίναξε τὰ ἱστία. Schol.

1258. Αἰθερίοιο] ἀντὶ τοῦ ἀεροπόρου. Schol.

1259. Ἴσα δ' ἐυξέστοις] τὰ ἐν ταῖς πτέρυξι πτερὰ ἴσα εἶχεν ἐρετμοῖς, ἅ ἐστι κώπαις. τοῦτο δέ φησι δεικνὺς τὸ μέγεθος τοῦ ὀρνέου. Schol.

1260. Δηρὸν] δηρὸν οὐ μετέπειτα, ἀναστρεπτέον, ἔπειτα δὲ οὐ μετὰ δηρόν. Schol.

1264. Ἄργοιο] Ἄργοιο τοῦ Φρίξου υἱοῦ. Ἀλημοσύνῃ, τῇ ἐμπειρίᾳ τῶν τόπων. Schol.

Εἰσέλασσαν

Εἰσέλασαν ποταμοῖο μέγαν ῥόον· αὐτὰρ ὁ πάντη
Καγχλάζων ὑπόεικεν· ἔχον δ᾽ ἐπ᾽ ἀριστερὰ χειρῶν
Καύκασον αἰπήεντα, Κυταιΐδα τε πτόλιν Αἴης·
Ἔνθεν δ᾽ αὖ πεδίον τὸ Ἀρήϊον, ἱερά τ᾽ ἄλση
Τοῖο Θεοῦ· τόθι κῶας ὄφις εἴρυτο δοκεύων
Πεπταμένον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσιν.
Αὐτὸς δ᾽ Αἰσονίδης χρυσέῳ ποταμόνδε κυπέλλῳ
Οἴνου ἀκηρασίοιο μελισταγέας χέε λοιβὰς
Γαίῃ τ᾽, ἐνναέταις τε Θεοῖς, ψυχαῖς τε καμόντων
Ἡρώων· γουνοῦτο δ᾽ ἀπήμονας εἶναι ἀρωγοὺς
Εὐμενέως, καὶ νηὸς ἐναίσιμα πείσματα δέχθαι.
Αὐτίκα δ᾽ Ἀγκαῖος τοῖον μετὰ μῦθον ἔειπεν.
Κολχίδα μὲν δὴ γαῖαν ἱκάνομεν, ἠδὲ ῥέεθρα
Φάσιδος· ὥρη δ᾽ ἧμιν ἐνὶ σφίσι μητιάασθαι,
Εἴτ᾽ οὖν μειλιχίῃ πειρησόμεθ᾽ Αἰήταο,

Ingreſſi ſunt fluvii alveam ingentem, qui quoquoverſus
Stridens recedebat: erat verò illis è ſiniſtrâ
Caucaſus excelſus, ac Colchica urbs Æetæ:
Ex alterâ autem parte, campus Martius, ſacraque nemora
Illius Dei, ubi vellus ſerpens tuebatur obſervans
Suſpenſum in folioſis quercûs ramis.
Ipſe autem Jaſon aureo in flumen poculo
Vini meri dulcia fundebat libamina
Telluri, et incolis Diis, animiſque mortuorum
Heroum; ſupplexque orabat, ut innoxii eſſent patroni,
Benevolè; et navis bono cum omine funes reciperent.
Statim autem Ancæus talem ſermonem ſubjecit.
Jam ſane in Colchicam terram pervenimus, et fluenta
Phaſidis; tempus igitur adeſt, quo inter nos conſultemus,
Sive comiter tentabimus Æetam,

1274. Πεπτάμενον] Ἡρωδιανὸς παροξύνει. Schol.

1276. Μελισταγέας] γλυκέας. Schol.

1277. Ἐνναέταις τε Θεοῖς] τοῖς ἐγχωρίοις θεοῖς. τοὺς γὰρ ἐπιδημοῦντας ἔθος ἦν ἐν τῇ ἀλλοδαπῇ θύειν θεοῖς ἐπιχωρίοις καὶ ἥρωσι. τοῦτο φασὶ καὶ Ἀλέξανδρον ποιῆσαι τὸν Μακεδόνα ἐν Ἰλίῳ. Schol.

1279. Καὶ νηὸς ἐναίσιμα] τὰ καθήκοντα. οἷον ἐπ᾽ ἀγαθοῖς καὶ εὐπροσδέκτοις. Schol

1283. Εἴτ᾽ οὖν μειλιχίῃ] ἄτε πρᾴως

Εἴτε καὶ ἀλλοίη τις ἐπίβολος ἔσσετ' ὁρμή.
Ὣς ἔφατ'· Ἄργου δ' αὖτε παρηγορίῃσιν Ἰήσων
Ὑψόθι νῆ' ἐκέλευσεν ἐπ' εὐναίῃσιν ἐρύσσαι,
Δάσκιον εἰσελάσαντας ἕλος· τὸ δ' ἐπισχεδὸν ἦεν
Νισσομένων, ἔνθ' οἵγε διὰ κνέφας ηὐλίζοντο.
Ἠὼς δ' οὐ μετὰ δηρὸν ἐελδομένοισι φαάνθη.

An alia aliqua tuta erit aggrediendi via.
Sic dixit: Argi autem hortatu Jaſon
Altè navem juſſit anchoris ſtabilirent,
Umbroſæ inactam paludi (ea autem erat proximè
Navigantes) ubi illi per noctem dormiebant.
Aurora autem paulo poſt deſiderantibus apparuit.

προσφερόμενοι τῷ Αἰήτῃ, ἀποπειραθείημεν αὐτοῦ, εἴτε ἄλλως πως. Schol.

1284. Ἐπίβολος] ἀσφαλής· οὕτω καὶ Ἀμερίας ἀποδίδωσιν ἐν ταῖς γλώσσαις. Schol.

1285. Παρηγορίῃσιν] παρηγορίαις, ἡ προτροπὴ καὶ ἡ συμβουλή. Schol.

1286. Ὑψόθι νῆ' ἐκέλευσεν] ἐν τῷ βάθει τοῦ ποταμοῦ. μὴ προσορμισθέντες τῇ γῇ. Ὅμηρος. "ὕψι δ' ἐπ' εὐνάων ὁρμίσομεν." Ἐπ' εὐναίῃσιν. ἐπὶ τῶν ἀγκυρῶν ἑλκύσαι, ταῖς ἀγκύραις ὁρμίσαι. Schol,

1287. Δάσκιον] τὸ δασύσκιον, κατὰ συγκοπήν. Schol.

# ΑΠΟΛΛΩΝΙΟΥ

## ΤΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ

### ΤΡΙΤΟΝ.

Εἰ δ' ἄγε νῦν, Ἐρατώ, παρά θ' ἵστασο, καί μοι ἔνισπε
Ἔνθεν ὅπως ἐς Ἰωλκὸν ἀνήγαγε κῶας Ἰήσων
Μηδείης ὑπ' ἔρωτι· σὺ γὰρ καὶ Κύπριδος αἶσαν

AGE nunc, adſis mihi, O Erato, et enarra
Quomodo inde in Iolcum reportaverit vellus Jaſon
Medeæ amore: tu enim et Veneris officium

1. Εἰ δ' ἄγε νῦν, Ἐρατὼ] τοῦ τρίτου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια, ἐστὶ τάδε. Ἥρα καὶ Ἀθηνᾶ βουλευσάμεναι, πείθουσι τὴν Ἀφροδίτην τῇ Μηδείᾳ ἐπιπέμψαι τὸν Ἔρωτα. Ἰάσων δὲ μετὰ τῶν Φρίξου υἱῶν παραγενόμενος πρὸς τὸν Αἰήτην, ἀξιοῖ λαβεῖν τὸ δέρος. ἀγανακτήσας δὲ ὁ Αἰήτης, ἄθλους αὐτῷ προτείνει μεγάλους· ὥστε τοὺς πυρίπνους ταύρους ζεῦξαι, καὶ σπεῖραι τοὺς τοῦ δράκοντος ὀδόντας, ἀφ' ὧν ἀνεδίδοντο γίγαντες. οὐ μόνον δὲ σπεῖραι, ἀλλὰ καὶ τῶν γηγενῶν στάχυν θερίσαι. Μήδεια δὲ, διὰ τὸν ἐπὶ τῷ Ἰάσονι ἔρωτα, ὑπάγεται ὑπὸ τῆς Χαλκιόπης τοῖς υἱοῖς αὐτῆς βοηθῆσαι: καὶ δὴ συνθεμένη καὶ συντυχοῦσα τῷ Ἰάσονι κατὰ τὸ τῆς Ἑκάτης ἱερὸν, δίδωσί τε τὰ φάρμακα, καὶ ὑποτίθεται ὃν τρόπον δεῖ πρὸς τὸ θέρος τῶν γιγάντων ἀμήσασθαι. τοῖς δὲ φαρμάκοις χρησάμενος ὁ Ἰάσων ἤνυσε παρὰ πᾶσαν ἐλπίδα τοῦ Αἰήτου τοὺς προταθέντας ἄθλους. Ἐρατὼ. ἀντὶ τοῦ Ἐρατοῖ, Ἀττικῶς. τὴν Ἐρατὼ φασὶν ὄρχησιν εὑρηκέναι. Εἰ δ' ἄγε νῦν. λέγεται, τῶν Μουσῶν ἡ μὲν Κλειὼ εὑρηκέναι τὴν ἱστορίαν· Θάλεια δὲ, γεωργίαν, καὶ τὴν περὶ τὰ φυτὰ πραγματείαν: Εὐτέρπη δὲ μαθήματα· Τερψιχόρη, παιδείαν· Ἐρατὼ, ὄρχησιν· Πολύμνια, λύραν· Μελπομένη ᾠδήν· Οὐρανία, ἀστρολογίαν· Καλλιόπη, ποίησιν. Παρά τε. τὸ ἑξῆς, παρίστασο καὶ εἰπέ. ἀπορεῖται δὲ πρῶτον μὲν διὰ τί ἐν ἀρχόμενος τῆς ποιήσεως ἐπικαλέσατο τὰς Μούσας, νῦν δ' αὐτὸ ποιεῖ. δεύτερον, διὰ τί τὴν Ἐρατὼ, καὶ οὐ τὰς ἄλλας ἐπικαλεῖται. ῥητέον οὖν πρὸς μὲν τὸ πρῶτον, ὅτι ἀρχόμενος μὲν, εἰκότως Ἀπόλλωνα τὸν τῶν Μουσῶν ἀρχηγέτην ἐπεκαλέσατο· ἐνταῦθα δὲ, ἐπειδή περ περὶ γάμων καὶ θαλίας διαλέξεσθαι μέλλει, θαλιῶν δὲ προστάτιδες αἱ Μοῦσαι, διὰ τοῦτο νῦν τὰς Μούσας ἐπικαλεῖται. ὅτι δὲ θαλιῶν εἰσὶ προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται. "οὐδέ τι λήθονται Μουσῶν βροτοί. αἱ γὰρ ἴασι Κοίρανοι, αἷσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί." πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐπειδὴ ἐν τοῖς Ὀρφικοῖς εὑρέτις ὀρχήσεως ἡ Ἐρατὼ παραδίδοται, μέλλει δὲ ὁ Ἀπολλώνιος τὰ τῆς Μηδείας καὶ Ἰάσονος γά-

Ἔμμορες, ἀδμῆτας δὲ τεοῖς μελεδήμασι θέλγεις
Παρθενικάς· τῷ καί οἱ ἐπήρατον οὔνομ' ἀνῆπται.
Ὣς οἱ μὲν πυκινοῖσιν ἀνωΐστως δονάκεσσι
Μίμνον ἀριστῆες λελοχημένοι· αἱ δ' ἐνόησαν
Ἥρη Ἀθηναίη τε, Διὸς δ' αὐτοῖο καὶ ἄλλων
Ἀθανάτων ἀπονόσφι θεῶν θάλαμόνδε κιοῦσαι
Βούλευον· πείραζε δ' Ἀθηναίην πάρος Ἥρη.
Αὐτὴ νῦν προτέρη, θύγατερ Διὸς, ἄρχεο βουλῆς.
Τί χρέος, ἠὲ δόλον τινὰ μήσεαι, ᾧ κεν ἑλόντες
Χρύσεον Αἰήταο μεθ' Ἑλλάδα κῶας ἄγοιντο·
Ἢ καὶ τόνγ' ἐπέεσσι παραιφάμενοι πεπίθοιεν
Μειλιχίοις· ἦ μὲν γὰρ ὑπερφίαλος πέλει αἰνῶς·

Sortita es, innuptasque curis tuis mulces
Virgines, unde tibi nomen amabile est inditum.
Sic inter densas, nemine observante, arundines
Manserunt proceres in insidiis locati: at verò intellexerunt
Juno et Minerva, et ab ipso Jove aliisque
Immortalibus seorsim Diis thalamum ingressæ,
Consultabant; tentabat autem Minervam primùm Juno.
Ipsa nunc prior, filia Jovis, aggredere consilium,
Quid rei, quidve doli confingas, quo captum
Aureum Æetæ vellus in Græciam auferant;
Aut ipsi, verbis decepto, persuadeant
Blandis; vehementèr enim est arrogans.

μον διηγεῖται, διὰ τοῦτο τὴν εὑρέτιν τῆς ἐπιθαλαμίου τῶν γάμων ὀρχήσεως ἐπικαλεῖται Μοῦσαν. διὸ καὶ μετ' ὀλίγα ἐπήνεγκε μεμοιρᾶσθαι τῶν τῆς Ἀφροδίτης ὀργίων. τῷ γὰρ γάμῳ καὶ ὄρχησις ἕπεται. Ῥιανὸς δέ φησι μηδὲν διαφέρειν ἢ πάσας ἐπικαλεῖσθαι τὰς Μούσας, λέγων οὕτως. "πᾶσαι δ' εἰσαΐουσι, μιᾶς ὅτε τοὔνομα λέξεις." ἴσως δὲ καὶ ἐπειδὴ περὶ ἔρωτος μέλλει λέγειν, ἡ Ἐρατὼ δὲ παρὰ τὸ ἐρᾶν παρήγεται), διὰ τοῦτο ταύτης μνημονεύει, τὸ κοινὸν εὑρέτημα αὐτῇ ἀναθεὶς διὰ τὸ ὄνομα. Schol.

Ibid. Εἰ δ' ἄγε νῦν, Ἐρατώ. Nunc age qui reges, Erato, Virg.

3. Σὺ γὰρ] Εὐλόγως δὲ ὁ Ἀπολλώνιος μεμοιρᾶσθαι τὴν Ἐρατώ φησι τῶν τῆς Ἀφροδίτης ὀργίων, λέγω δὲ τῶν γαμικῶν· γάμοις δὲ ἔρως καὶ ὄρχησις ἕπεται. ἐν δὲ τοῖς εἰς Μουσαῖον ἀναφερομένοις δύο ἱστοροῦνται γενέσεις Μουσῶν. πρεσβυτέρων μὲν, κατὰ Κρόνον γενομένων· νεωτέρων δὲ, τῶν ἐκ Διὸς καὶ Μνημοσύνης. Schol.

5. Οι. Gall. τοι. Mihi Aldinum arridebat; quia τοι sic est in lib. I. in Apotreptico Hypsipylæ. Hœlz.

6. Ἀνωΐστως] ἀνυπονοήτως. Schol.

13. Μεθ' Ἑλλάδα] ἀντὶ τοῦ εἰς Ἑλλάδα. Schol.

Ἔμπης

Ἔμπης δ' ἔπιπα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν.
Ὣς φάτο· τὴν δὲ παρ' ἄσσον Ἀθηναίη προσέειπε.
Καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετὰ φρεσὶν ὁρμαίνουσαν
Ἥρη ἀπηλεγέως ἐξείρεαι· ἀλλά τοι οὔπω
Φράσσασθαι νοέω τοῦτον δόλον ὅστις ὀνήσει
Θυμὸν ἀριστήων· πολέας δ' ἐπεδοίασα βουλάς.
Ἦ, καὶ ἐπ' οὔδεος αἵγε ποδῶν πάρος ὄμματ' ἔπηξαν,
Ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν· αὐτίκα δ' Ἥρη
Τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον.
Δεῦρ' ἴομεν μετὰ Κύπριν· ἐπιπλόμεναι δέ μιν ἄμφω
Παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν, αἴ κε πίθηται,
Κούρην Αἰήτεω πολυφάρμακον οἷσι βέλεσσι

Nullum tamen tentamen omittere oportet.
Sic dixit; hanc autem illico Minerva allocuta eſt.
Me etiam talia in animo verſantem
Juno, apertè rogas; ſed nondum
Excogitâſſe videor illum dolum, qui uſui erit
Animo procerum; multa tamen perlibravi conſilia.
Dixit; et in ſolo ante pedes oculos fixos tenebant
Bifariam inter ſe animo fluctuantes; at ſtatim Juno
Talem deliberans prior habuit ſermonem.
Abeamus hinc ad Venerem, quam conventam ambæ
Ut filio ſuo edicat hortemur, ſi modò paruerit,
Natam Æetæ venerorum peritam telis ſuis

16. Ἀποτρωπᾶσθαι] ἀποτρέπεσθαι. ὁ δὲ νοῦς, ὅμως οὐδεμίαν πεῖραν παραλείπειν δεῖ. Schol.

17. Τὴν δὲ παρ' ἄσσον] παραχρῆμα, εὐθέως. ἢ λείπει τὸ καθημένην. Schol.

19. Ἀπηλεγέως] σημαίνει μὲν καὶ τὸ ἀληθῶς καὶ ἁπλῶς, ἔτι δὲ καὶ τὸ σαφῶς· νῦν δὲ ἀντὶ τοῦ ἀποτόμως. ἐπιφέρει γάρ, ἀλλά τοι οὔπω φράσσασθαι νοέω. Schol.

23. Ἄνδιχα πορφύρουσαι] διηρημένως μεριμνῶσαι. Schol.

25. Μετὰ Κύπριν] πρὸς τὴν Κύπριν. Ἐπιπλόμεναι. παραγινόμεναι καὶ ἐπελθοῦσαι.

26. Παιδὶ ἑῷ] Ἀπολλώνιος μὲν Ἀφροδίτης τὸν Ἔρωτα γενεαλογεῖ· Σαπφὼ δὲ γῆς καὶ Οὐρανοῦ· Σιμωνίδης δὲ, Ἀφροδίτης καὶ Ἄρεος. "σχέτλιε παῖ δολομήδεος Ἀφροδίτας, τὸν Ἄρει δολομηχάνῳ τέκεν." Ἴβυκος καὶ Ἡσίοδος ἐκ Χάους λέγει τὸν Ἔρωτα. ἐν δὲ τοῖς εἰς Ὀρφέα, Κρόνου γενεαλογεῖται. "αὐτὰρ Ἔρωτα Κρόνος καὶ πνεύματα πάντα ἐτίκνωσε." Schol.

27. Αἰήτεω. Gall. Αἰήτου. A ſe mutatum monet Hœlzlinus, quòd Αἰήτεω ſæpe in ſequentibus.

Θέλξαι

Θέλξαι οἰστεύσας ἐπ' Ἰήσονι· τοῦ δ' ἂν ὀΐω
Κείνης αἰνεσίῃσιν ἐς Ἑλλάδα κῶας ἀνάξειν.
Ὣς ἄρ' ἔφη· πυκινὴ δὲ συνεύαδε μῆτις Ἀθήνῃ·
Καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν.
Ἥρη, νήϊδα μέν με πατὴρ τέκε τοῖο βολάων,
Οὐδέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
Εἰ δέ σοι αὐτῇ μῦθος ἐφανδάνει, ἦτ' ἂν ἔγωγε
Ἑσποίμην, σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα.
Ἦ, καὶ ἀναΐξασαι ἐπὶ μέγα δῶμα νέοντο
Κύπριδος, ὄῤῥα τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις,
Ὁππότε μιν τὰ πρῶτα παραὶ Διὸς ἦγεν ἄκοιτιν.
Ἕρκεα δ' εἰσελθοῦσαι ὑπ' αἰθούσῃ θαλάμοιο

Percuſſam, allicere deſiderio Jaſonis; quem opinor
Illius aſſenſu vellus in Græciam allaturum.
Sic allocuta eſt; vafrum autem placuit conſilium Minervæ:
Et illi viciſſim reſponſum dedit verbis blandis.
Juno, inſciam me pater genuit hujus ictuum,
Nec rem aliquam novi quæ vim habeat alliciendi amorem.
Si autem tibi ipſi hæc ſententia arridet, certè ego
Aſſenſum præbitura ſum; tu verò compellandi vicem geres ubi conveneris.
Dixit; et proſilientes ad magnas ædes contenderunt
Veneris, quas ipſi extruxerat maritus utroque pede claudus,
Quando eam primùm a Jove duceret uxorem.
Mœnia autem ingreſſæ, ſub porticu thalami

28. Θέλξαι οἰστεύσας] νῦν ἀντὶ τοῦ ἀπατῆσαι, τὸ μὴ κρατῆσαι ἑαυτῆς διὰ τὸν ἔρωτα. Schol.

29. Κείνης αἰνεσίῃσι. Call. hymn. in Dian. Ἥρης αἰνεσίῃσιν, *Junonis conſiliis*. Rarior hæc vox, ἐννεσίῃσι paſſim. Conſule autem interpretes ad Call. Vide omnino infra v. 817.

30. Πυκινὴ] ἀντὶ τοῦ ἄρθρου καλῶς. ἀντὶ δὲ τοῦ πυκνὴ καὶ συνετὴ ἤρεσεν αὐτῇ εἶναι ἡ βουλή. Schol.

37. Ὄῤῥα τέ οἱ δεῖμεν] ὄῤῥα τέ. οἱ Ἀριστάρχειοι δι' ἑνὸς ρ τὰ τοιαῦτα γράφουσιν· Ἡρακλέων δὲ ἐν δυσίν. ὡς καὶ παρὰ τῷ ποιητῇ. "τόῤῥα τότ' ἐκ χαλοῖο λαβών." Schol.

Ibid. Δεῖμεν πόσις. Ἔθος ἦν τοῖς γήμασι θάλαμον οἰκοδομεῖσθαι. Schol. ad Il. β'. ubi de Proteſilao. Hœlz.

39. Αἰθούσῃ] αἴθουσαν λέγει τὴν παστάδα. Schol.

Ἕσταν,

Ἔσταν, ἵν' ἐντύνεσκε θεὰ λέχος Ἡφαίστοιο.
Ἀλλ' ὁ μὲν ἐς χαλκεῶνα καὶ ἄκμονας ἦρι βεβήκει,
Νήσοιο πλαγκτῆς εὐρὺν μυχόν· ᾧ ἔνι πάντα
Δαίδαλα χάλκευεν ῥιπῇ πυρός· ἡ δ' ἄρα μούνη
Ἧστο δόμῳ δινωτὸν ἀνὰ θρόνον, ἄντα θυράων.
Λευκοῖσιν δ' ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις,

Steterunt, ubi adornabat Dea lectum Vulcani.
Verùm ille quidem ad officinam et incudes mane iverat
In erraticæ insulæ latum recessum, quo omnia
Artificiosa opera ex ære ducebat ignis jactu: hæc igitur sola
Domi sedebat, versatili super solio, ex adverso forium.
Eburneis autem utrinque immissas humeris comas

41. Ἀλλ' ὁ μὲν ἐς χαλκεῶνα] τῶν ἐν Αἰόλου νήσων Ἱερὰ καλουμένη, ἐν ᾗ φασὶ τὸν Ἥφαιστον χαλκεύειν. Καλλίας δὲ οὐ τὴν Ἱερὰν φησὶν ἀνακεῖσθαι Ἡφαίστῳ, ἀλλὰ τὴν Λιπάραν. "νήσῳ ἐνὶ Λιπάρῃ." εἰσὶ δὲ αἱ τοῦ Αἰόλου νῆσοι ἑπτὰ αὗται, Στρογγύλη, Εὐώνυμος, Ἱερὰ, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης, περὶ Σικελίαν. Ἀλλ' ὁ μέν. τῶν Αἰόλου νήσων ἐστὶν ἡ Ἱερὰ καλουμένη, ἐν ᾗ φασὶ τὸν Ἥφαιστον χαλκεύειν. ἱστορεῖ Καλλίας ἐν δεκάτῳ τῶν περὶ Ἀγαθοκλέα· λέγων εἶναι καὶ ὄροφον ὑψηλὸν, ἐφ' οὗ κρατῆρες εἰσὶ δύο· ὧν ὁ ἕτερος ἐπὶ τὴν περίμετρον τρισταδιός, ἐξ οὗ πολὺ φέρεται φέγγος, ὥστε ἐπὶ πολὺν τόπον διήκειν τὸν φωτισμόν. ἔπειτα ἐκ τοῦ χάσματος ἀναφέρονται διάπυροι λίθοι ἀπλετομεγέθεις. καὶ τηλικοῦτος βρόμος γίνεται, καθ' ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν Ἥφαιστον, ὥστε ἐπὶ πεντακόσια στάδια ἀκούεσθαι τὸν ἦχον. οἱ δὲ ἐκ τοῦ ἐκφυσήματος ἀναῤῥιπτούμενοι μύδροι, διὰ τὴν ἐκπύρωσιν πάντοτε ἰώδεις εἰσὶ καὶ διακεκαυμένοι τὴν ὄψιν, καὶ τὴν δύναμιν καθ' ἥλιον ἔχουσι. νύκτωρ μὲν οὖν πάντα τὰ περὶ τὴν ἐργασίαν τοῦ θεοῦ γινόμενα καλῶς δηλοῦται· μεθ' ἡμέραν δὲ, ἐκ τῆς κορυφῆς ὅθεν ἡ φλὸξ ἀνίησιν, ὥσπερ νέφος ὑπεραιρόμενον ὁρᾶται. Ἦρι, ἕωθεν. Schol.

Pro Καλλίας in init. Schol. lege Καλλίμαχος. Quod enim ibi citat Scholiastes legitur in Call. Hymn. in Dian. v. 47.

42. Πλαγκτῆς] Πλωτὴν δὲ αὐτὴν εἴρηκεν, ἀκολουθήσας τοῖς περὶ Ἰταλίαν καὶ Σικελίαν μυθολογοῦσι τὴν Ὀδυσσέως πλάνην. ἢ ὅτι τὸ παλαιὸν αἱ νῆσοι πᾶσαι ἐπλανῶντο, καὶ βάσεις οὐκ εἶχον. Schol.

Ibid. Πλαγκτῆς, *erraticæ*. Malim hoc haberi ὀνομαστικῶς dictum. Ulyss. μ'. Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι. Quod est præcidere ansam iis qui quærere curiosius possent quo tandem sub sole jacerent Planctæ. Et est hic μυθόπλαστος ἐκτοπισμὸς, de quo hunc in modum ἀστεΐζεται Eustathius. Πλαγκτὰς πέτρας ὁ ποιητὴς ὡς διά τινος πετροβόλου τερατείας μηχανῆς ἐκ τοῦ κατὰ Θρᾴκην πορθμοῦ εἰς τὸν Σικελικὸν ἐξετίναξεν ὑπὸ ἀρχιτέκτονι τῷ μύθῳ. Quâ Homeri solertiâ etiam noster fruitur. Hœlz.

43. Δαίδαλα] διὰ δὲ τοῦ λέγειν, δαίδαλα χάλκευεν ῥιπῇ πυρὸς, ἐμφαίνει περὶ τῆς λεγομένης ὑπὸ τοῦ Καλλίου ἀναφυσήσεως τοῦ πυρὸς ἐκ τοῦ χάσματος. Schol.

Κόσμει

Κόσμει χρυσείῃ διὰ κερκίδι· μέλλε δὲ μακροὺς
Πλέξασθαι πλοκάμους· τὰς δὲ προπάροιθεν ἰδοῦσα
Ἔσχεθεν, εἴσω τέ σφ' ἐκάλει, καὶ ἀπὸ θρόνου ὦρτο,
Εἷσε τ' ἐνὶ κλισμοῖσιν· ἀτὰρ μετέπειτα καὶ αὐτὴ
Ἵζανεν, ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
Τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν.]
Ἠθεῖαι, τίς δεῦρο νόος χρειώ τε κομίζει
Δηναιὰς αὔτως; τί δ' ἱκάνετον, οὔ τι πάρος γε
Λίην φοιτίζουσαι; ἐπεὶ περίεστε θεάων.
Τὴν δ' Ἥρη τοίοισιν ἀμειβομένη προσέειπεν.
Κερτομέεις, νῶϊν δὲ κέαρ συνορίνεται ἄτῃ.
Ἤδη γὰρ ποταμῷ ἐνὶ Φάσιδι νῆα κατίσχει
Αἰσονίδης, ἠδ' ἄλλοι ὅσοι μετὰ κῶας ἕποντο).

Componebat aureo pectine; ac longos
Plicatura erat cincinnos; eas verò coram conspicata,
Destitit, introque vocabat, et è solio prosiliens
Locavit in sellas; tum ipsa deinde
Resedit, impexasque manibus colligavit comas;
Et talia subridens affata est verbis blandis.
Venerandæ, quænam mens, quidve negotium vos huc adducit
Longum adeò post tempus *jam conspectas?* quare verò venistis, haud sane antea
Admodum frequentèr commeantes, quippe eminetis inter Deas.
Illam autem Juno talibus respondens allocuta est.
Cavillaris tu quidem; nobis autem cor commovetur calamitate.
Jam enim in fluvio Phaside navem detinet
Jason, et alii quotquot, pellis studio, sequuntur.

48. Ἔσχεθεν] ἐπαύσατο κτενίζεσθαι. Schol.

50. Ἀψήκτους] ἀκτενίστους. Schol.

52. Ἠθεῖαι] προσφώνησις παρ' Ὁμήρῳ νεωτέρων πρὸς πρεσβυτέρους. Ἀπολλώνιος δὲ συλληπτικῇ τῇ φράσει κέχρηται. τὸ γὰρ τῇ Ἥρᾳ πρόσφορον, καὶ κατὰ τῆς Ἀθηνᾶς ἔταξεν. ταῦτα δὲ ἁρμόσει λέγεσθαι κατὰ τὴν Ὁμήρου ποίησιν. κατὰ δὲ τοὺς νεωτέρους, οὐ μόνον Ἀθηνᾶς καὶ Ἥρας, ἀλλὰ καὶ Διὸς ἐστὶ πρεσβυτέρα ἡ Ἀφροδίτη. Ἡσίοδος γὰρ αὐτὴν ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ φησὶ γενέσθαι. Schol.

53. Δηναιὰς] πολλοῦ χρόνου ὀφθείσας. Οὔτι πάρος γε. παραγράφει τὸ Ὁμηρικὸν, "πάρος γε μὲν οὔτι θαμίζεις." Schol.

56. Κερτομέεις] εἰρωνεύῃ. Συνορίνεται. ταράσσεται, θορυβεῖται. Schol.

Τῶν ἤτοι πάντων μὲν ἐπεὶ πέλας ἔργον ὄρωρεν,
Δείδιμεν ἐκπάγλως, περὶ δ' Αἰσονίδαο μάλιστα·
Τὸν μὲν ἐγὼν, εἰ καί περ ἐς Ἄϊδα ναυτίλληται,
Λυσόμενος χαλκέων Ἰξίονα νειόθι δεσμῶν,
Ῥύσομαι, ὅσον ἐμοῖσιν ἐνὶ σθένος ἔπλετο γυίοις,
Ὄφρα μὴ ἐγγελάσῃ Πελίης κακὸν οἶτον ἀλύξας,
Ὅς μ' ὑπερωορέῃ θυέων ἀγέραστον ἔθηκεν.
Καὶ δ' ἄλλως ἔτι καὶ πρὶν ἐμοὶ μέγα φίλατ' Ἰήσων,
Ἐξ ὅτ' ἐπὶ προχοῇσιν ἅλις πλήθοντος Ἀναύρου,
Ἀνδρῶν εὐνομίης πειρωμένῃ ἀντεβόλησεν,
Θήρης ἐξανιών· νιφετῷ δ' ἐπαλύνετο πάντα

Quibus ſane omnibus, quoniam propè certamen ingruat,
Vehementer timemus; Jaſoni autem maximè.
Eum ego, ſi vel in Orcum navigaret,
Soluturus infra ferreis Ixiona de catenis,
Salvum præſtarem, quantum meis virium ineſſet membris,
Ut non rideat Pelias, vitato malo fato,
Qui, ob ſuperbiam, honoris ſacrorum me expertem fecit.
Aliam verò ob cauſam, jam olim mihi valde amatus eſt Jaſon,
Ex quo ad oſtia bene pleni Anauri
Humanæ æquitatis periculum mihi facienti obviam factus eſt,
Venatu reverſus: nive autem inalbebant omnes

62. Λυσόμενος χαλκέων] τὸν Ἰξίονα παρείληφεν, ὅτι δοκεῖ ἐπικεχειρηκέναι τῇ Ἥρᾳ. Φλεγύου δὲ υἱὸς Ἰξίων, ὡς καὶ Εὐριπίδης. "Φλεγύου υἱὲ δέσποτ' Ἰξίων." Φερεκύδης δὲ, Αἴτωνος. φησὶ δὲ ὡς γαμήσας Δῖαν τὴν Ἠϊονέως θυγατέρα, πολλὰ ὑπέσχετο δώσειν δῶρα. ἐλθόντος δὲ ἐπὶ ταῦτα τοῦ Ἠϊονέως, βέρεθρον ποιήσας καὶ πυρακτώσας, σκεπάζει αὐτὸ λεπτοῖς ξύλοις καὶ κόνει λεπτῇ. ἐμπεσὼν δὲ ὁ Ἠϊονεὺς ἀπώλετο. λύσσα δὲ τῷ Ἰξίονι ἐνέπεσε διὰ τοῦτο, καὶ οὐδεὶς αὐτὸν ἤθελεν ἁγνίσαι οὔτε θεῶν οὔτε ἀνθρώπων. πρῶτος γὰρ ἐμφύλιον ἄνδρα ἀπέκτεινεν. ἐλεήσας δὲ αὐτὸν ὁ Ζεὺς ἁγνίζει, καὶ ἁγνισθεὶς ἠράσθη τῆς Ἥρας. ὁ δὲ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ, παρακοιμίζει αὐτῷ. καὶ ὕστερον ποιήσας τετράκνημον τροχὸν, καὶ δεσμεύσας αὐτὸν, τιμωρεῖται. Schol.

Ibid. Conſule Hygin. fab. LXII. atque ibi interpretes. Vide editionem an. 1742. in addendis p. 947, ubi pro Αἴτωνος legendum putat clariſſ. editor Ἀντίωνος. Vide Diodor. Siculum. L. IV. p. 272. Upt.

68. Εὐνομίης] Εὐνομία, δικαιοσύνη καὶ ἡ καλοπραγία. Schol.

69. Νιφετῷ δ' ἐπαλύνετο] τῇ χιόνι ἐσκέπαστο. Schol.

Οὔρεα καὶ σκοπιαὶ περιμήκεες· οἱ δὲ κατ' αὐτῶν
Χείμαῤῥοι καναχηδὰ κυλινδόμενοι φορέοντο.
Γρηῒ δέ μ' εἰσαμένην ὀλοφύρατο, καί μ' ἀναείρας
Αὐτὸς ἑοῖς ὤμοισι διεκπροαλὲς φέρεν ὕδωρ.
Τῷ νύ μοι ἄλληκτον περιτίεται· οὐδέ κε λώβην
Τίσειεν Πελίης, εἰ μὴ σύ γε νόστον ὀπάσσῃς.
Ὣς ηὔδα· Κύπριν δὲ νεοστασίη λάβε μύθων.
Ἅζετο δ' ἀντομένην Ἥρην ἕθεν εἰσορόωσα·
Καί μιν ἔπειτ' ἀγανοῖσι προσέννεπεν ἥγ' ἐπέεσσι.
Πότνα Θεά, μήτοι τὶ κακώτερον ἄλλο πέλοιτο
Κύπριδος, εἰ δὴ σεῖο λιλαιομένης ἀθερίζω
Ἢ ἔπος, ἠέ τι ἔργον, ὅ κεν χέρες αἵγε κάμοιεν

Montes, et ſpeculæ celſiſſimæ, et ex ipſis
Torrentes cum ſtrepitu devoluti ferebantur.
Anui autem me ſimilem factam miſeratus eſt, et ſublatam
In humeros ſuos per impetuoſam ipſe tranſportavit aquam.
Quare mihi in perpetuum eximiè honoratur; nec pœnam
Luat Pelias, niſi tu reditum conceſſeris.
Sic locuta eſt: movit autem Venerem inſolentia verborum,
Et Junonem ſibi ſupplicantem non ſine veneratione intuita eſt.
Ipſam igitur deinde verbis allocuta eſt blandis.
Venerabilis Dea, nihil deterius aliud eſſet
Cypride, ſi te orantem negligerem
Vel verbo, vel facto, quod hæ perficere poſſent manus

72. Ὀλοφύρατο] ὅτι τὸ ὀλοφύρατο εἴληπται ἐπὶ τοῦ ἠλέησεν. ὀλοφυρόμενος. συμπαθῶν, πάσχων. Schol.

73. Διεκπροαλὲς] κατάφορον, κατωφερὲς, καὶ ἐπὶ τὴν ἅλα προϊὸν, ῥοῶδες. Schol.

74. Τῷ νύ μοι ἄλληκτον περιτίεται. Orpheus de Junone,

Ἔξοχα γὰρ μακάρων ἠγάζετο καὶ φιλέεσκε
Δαναοῖσιν ἥρωα περικλυτὸν Αἴσονος υἷα.

76. Κύπριν] λείπει τὸ ἀκούσασαν. Νεοστασίη. ἀντὶ τοῦ ἐν ἐπιστάσει ἐγένετο νέων μύθων. ἡ μύθων ἐπίστασις ἔλαβεν αὐτὴν, ἢ καινὴ περιεστηκότος λόγου σύννοια. ὁ δὲ νοῦς. ἐσέβετο δὲ τιμωμένην ὑπὸ τῆς Ἥρας ἑαυτὴν βλέπουσα. Schol.

77. Ἀντομένην] ἱκετεύουσαν, λισσομένην. Schol.

81. Χέρες. Gallic. Χεῖρες. Perperam. Cur enim ſit χερὸς, χέρι, et in Hymno εἰς Πᾶνα, χέρα, nec dicere liceat χέρες; Hœl.

Ἠπεδαναί

Ἠπεδαναί· καὶ μή τις ἀμοιβαίη χάρις ἔστω.
Ὣς ἔφαθ'. Ἥρη δ' αὖτις ἐπιφραδέως ἀγόρευσεν.
Οὔτι βίης χατέουσαι ἱκάνομεν, οὐδέ τι χειρῶν.
Ἀλλ' αὔτως ἀκέουσα τεῷ ἐπικέκλεο παιδὶ
Παρθένον Αἰήτεω θέλξαι πόθῳ Αἰσονίδαο.
Εἰ γάρ οἱ κείνη συμφράσσεται εὐμενέουσα,
Ῥηϊδίως μιν ἑλόντα δέρος χρύσειον ὀΐω
Νοστήσειν ἐς Ἰωλκόν· ἐπεὶ δολόεσσα τέτυκται.
Ὣς ἄρ' ἔφη· Κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν.
Ἥρη, Ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα
Ἢ ἐμοί· ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι
Τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν· αὐτὰρ ἐμεῖο
Οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.
Καὶ δή οἱ μενέηνα, περισχομένη κακότητι,

Imbelles; nec aliqua mutua gratia sit.
Sic dixit; Juno autem iterum consultè locuta est.
Nihil virium indigæ advenimus, nihil manuum;
Sed tantùm quieta tuo impera nato,
Ut Æetæ filiam alliciat desiderio Jasonis.
Si enim illa cum eo conspiret benevolè,
Facilè ipsum, arrepto aureo vellere, existimo
Reversurum esse in Iolcum, quoniam valdè astuta est.
Sic inquit: ambas verò allocuta est Venus.
Juno, et Minerva, paruerit ille vobis multo citius
Quàm mihi; vestrûm enim, utcunque impudenti
Aliqua erit ei reverentia in oculis; me verò
Non curat; sed potiùs semper contendens spernit.
Quin imo irata in animo habui, obsessa malo,

85. Ἀκέουσα, &c. Huic loco eum similem esse fatetur Julius Scaliger, qui est Æn. I. de Junone et Æolo: at eundem ego hinc imitatione expressum aio: et respondent fere illa nostris. Hoel.

86. Παρθένον Αἰήτεω] ἀντὶ τοῦ θυγατέρα ἁπλῶς. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι, τῶν Αἰήτου θυγατέρων τὴν ἔτι οὖσαν παρθένον. Schol.

89. Δολόεσσα] ἀντὶ τοῦ φρονίμη. ἔστι γάρ ποτε ὁ δόλος καὶ ἐπὶ τῆς φρονήσεως. Schol.

95. Μενέηνα] ὠργίσθην, ὑπερήλγησα. Schol.

Αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀϊστοὺς
Ἀμφαδίην· τοῖον γὰρ ἐπηπείλησε χαλεφθείς,
Εἰ μὴ τηλόθι χεῖρας, ἕως ἔτι θυμὸν ἐρύκει,
Ἕξω ἐμὰς, μετέπειτά γ' ἀτεμβοίμην ἑοῖ αὐτῇ.
Ὣς φάτο· μείδησαν δὲ θεαὶ, καὶ ἐσέδρακον ἄντην
Ἀλλήλαις· ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν.
Ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει· οὐδέ τί με χρὴ
Μυθεῖσθαι πάντεσσιν· ἅλις εἰδυῖα καὶ αὐτή.
Νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσι,
Πειρήσω, καί μιν μειλίξομαι· οὐδ' ἀπιθήσει.
Ὣς φάτο· τὴν δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρός·
Ἦκα δὲ μειδιόωσα παραβλήδην προσέειπεν.

Cum ipſo arcu ingratè ſonantes ei frangere ſagittas
Palam: ita verò minabatur offenſus,
Niſi procul manus, dum adhuc ſtomacho imperaret,
Abſtinerem meas, fore ut deinceps me ipſam incuſarem.
Sic dixit; ſubriſerunt Deæ, et intuebantur è contra,
Inter ſe: ea verò iterum triſtata reſpondit.
Aliis quidem dolores mei deriſui ſunt; nec ſane neceſſe eſt
Me omnibus narrare, cum et ipſa ſatis noverim.
Nunc verò, quandoquidem vobis hoc cordi ſit utriſque,
Periculum faciam, et ipſi abblandiar, nec abnuet.
Hunc in modum locuta eſt: illam verò Juno gracili apprehendit manu,
Ac leniter arridens viciſſim reſpondit.

97. Χαλεφθεὶς] ὁ νοῦς. χαλεπῶς γάρ μοι χαλεπαίνων, ἠπείλησεν, εἰ μὴ ἀπόσχοίμην τὰς χεῖρας, ἕως ἔτι τοῦ θυμοῦ κρατεῖ, ὡς μεμφοίμην ἐμαυτῇ. Ἑοῖ δὲ οὐκ εὖ κεῖται. ἀντὶ τοῦ ἐμοὶ γὰρ λαμβάνεται. Schol.

Ibid. Γὰρ hìc omnino pro δὲ, quemadmodum ſæpiſſime utitur Homerus.

106. Ῥαδινῆς] τρυφερῆς. Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν. "Ῥαδινοὺς πώλους." Ἴβυκος δὲ ἐπὶ τοῦ τὸν οὐρανὸν βασταζόντων κιόνων, ῥαδινοὺς ἀντὶ τοῦ εὐμεγέθεις λέγει. Στησίχορος ἐπὶ τοῦ εὐτόνου. "ῥαδινοὺς δ' ἐπέπεμπον ἄκοντας." Schol.

Ibid. —— ῥαδινῆς ἐπεμάσσατο χειρός. Vide Heſych. in voce ῥαδινόν. Sic autem Theocritus Idyll. XVII. 37.

Κόλπον ἐς εὐώδη ΡΑΔΙΝΑΣ ΕΠΕΜΑΣΑΤΟ ΧΕΙΡΑΣ. Upt.

107. Παραβλήδην] ἀντὶ τοῦ παραβάλλουσα τοῖς εἰρημένοις. οὐ γὰρ ἀκουστέον ἐπὶ τοῦ

Οὕτω

Οὕτω νῦν, Κυθέρεια, τόδε χρέος, ὡς ἀγορεύεις,
Ἔρξον ἄφαρ· καὶ μή τι χαλέπτεο, μηδ' ἐρίδαινε
Χωομένη σῷ παιδί· μεταλλήξει γὰρ ὀπίσσω.
Ἦ ῥα, καὶ ἔλλιπε θῶκον· ἐφωμάρτησε δ' Ἀθήνη.
Ἐκ δ' ἴσαν ἄμφω ταίγε παλίσσυτοι· ἡ δὲ καὶ αὐτὴ
Βῆ ῥ' ἴμεν Οὐλύμποιο κατὰ πτύχας, εἴ μιν ἐφεύροι.
Εὗρε δὲ τόνγ' ἀπάνευθε Διὸς θαλερῇ ἐν ἀλωῇ,
Οὐκ οἶον· μετὰ καὶ Γανυμήδεα, τόν ῥά ποτε Ζεὺς
Οὐρανῷ ἐγκατένασσεν ἐφέστιον ἀθανάτοισιν,
Κάλλεος ἱμερθείς· ἀμφ' ἀστραγάλοισι δὲ τώγε
Χρυσείοις, ἅτε κοῦροι ὁμήθεες, ἑψιόωντο.
Καί ῥ' ὁ μὲν ἤδη πάμπαν ἐνίπλεον ᾧ ὑπὸ μαζῷ

Ita nunc, Cytherea, negotium illud, ut dicis,
Perfice celeriter; et ne quid irata sis, neque contendas
Offensa puero tuo; cedet enim *non nisi* post longum tempus.
Cum hæc dixisset, liquit sedem, simulque secuta est Minerva.
Iverunt autem ambæ hæ reversivæ: ipsa etiam Venus
Perrexit ire per plicaturas cœli, si quà istum inveniret.
Invenit autem ipsum seorsim Jovis florenti in campo,
Non solum, sed unà etiam Ganymedem, (quem olim Jupiter
In cœlum transtulerat, contubernalem Deorum,
Pulchritudinis desiderio perculsus) cum talis autem illi
Aureis, utpote pueri familiares, ludebant.
Ac abunde jam eorum sub mamillâ suâ

ἀπατᾶν. Παλαμήδης δὲ ἐξ ἀντιβολῆς, ἢ παραλογιστικῶς. νιῶ δὲ ἐξ ἀποκρίσεως. Schol.

112. Παλίσσυτοι] ὀπισθόρμητοι. Schol.

114. Ἀπάνευθε Διὸς] ἀμφίβολος ἡ φράσις. τὸ μὲν γὰρ δηλοῖ ἀπάνευθε Διὸς, χωρὶς τοῦ Διός· ὃ καὶ μᾶλλον. ἢ λείπει τὸ ἄλλων, ἵν' ᾖ, χωρὶς τῶν ἄλλων ἐν τῇ Διὸς ἀλωῇ. Schol.

115. Γανυμήδεα] τὸν δὲ Γανυμήδην Ὅμηρος οὐχ ὑπὸ Διὸς ἡρπάσθαι, ἀλλ' ὑπὸ θεῶν, φησίν· οὐδὲ δι' ἔρωτα καὶ πόθον, ἀλλ' ὥστε Διὶ οἰνοχοεύειν. "τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν." Schol.

117. Κάλλεος ἱμερθείς. Cretensis est hæc fabula, ut Plato sensit I. Legum: itaque πάντες αὐτὸν κατηγοροῦμεν, hoc est de mendacio et impudentiâ postulamus. Ejus tamen allegoria seu alieniloquium evolvitur in scholiis ad Il. δ. Hœl.

118. Ἑψιόωντο] ἀντὶ τοῦ ἔπαιζον. συμπαίζει γὰρ ὁ Γανυμήδης τῷ ἔρωτι. Φίλων δὲ, ἀντὶ τοῦ ὡμίλουν παρὰ τὸ ἔπος. Schol.

Μάργος

Μάργος Ἔρως λαιῆς ὑπόϊσχανε χειρὸς ἀγοστῷ,
Ὀρθὸς ἐφεστηώς· γλυκερὸν δέ οἱ ἀμφὶ παρειὰς
Χροιῇ θάλλεν ἔρευθος. Ὁ δ' ἐγγύθεν ὀκλαδὸν ἧστο
Σῖγα κατηφιόων, δοιὼ δ' ἔχεν, ἄλλον ἔθ' αὔτως
Ἄλλῳ ἐπιπροϊείς· κεχόλωτο δὲ καγχαλόωντι.
Καὶ μὴν τούς γε παρᾶσσον ἐπὶ προτέροισιν ὀλέσσας
Βῆ κενεαῖς σὺν χερσὶν ἀμήχανος, οὐδ' ἐνόησε
Κύπριν ἐπιπλομένην· ἡ δ' ἀντίη ἵστατο παιδὸς,
Καί μιν ἄφαρ γναθμοῖο καταϲχομένη προσέειπε.
Τίπτ' ἐπιμειδιάας, ἄφατον κακόν; ἦέ μιν αὔτως
Ἤπαφες, οὐδὲ δίκῃ περιέπλεο νῆϊν ἐόντα;
Εἰ δ' ἄγε μοι πρόφρων τέλεσον χρέος ὅ, ττι κεν εἴπω·

Protervus Amor lævæ tenebat manûs volâ,
Rectus ftans; amabilis autem circà genas
Efflorebat rubor; alter verò inflexis ftetit genibus,
Tacitè mœrens, ac duos tantùm habebat *talos*, alio temerè
Super alium miffo; valdè etiam fuccenfebat cachinnanti.
Verùm illis quoque citò fuper priores amiffis,
Difceffit vacuis cum manibus, nullum reliquum habens commentum, nec animadvertit
Venerem fupervenientem; quæ coram adftitit filio,
Eumque ftatim, compreffis genis, allocuta eft.
Quid rides, malum infandum? an eum aliquo modo
Circumvenifti, nec legitimè vicifti infcium exiftentem?
Age verò promptè mihi perfice negotium, quod dictura fum;

120. Μάργος Ἔρως] κατὰ μετωνυμίαν, ὁ μαργαίνειν ποιῶν. ὡς καὶ, μαινομένοιο Διονύσου. καὶ Ἀνακρέων, "μαργὸς δ' ἐστὶν Ἔρως." καὶ Ὅμηρος. "χλωρὸν δέος."
Ἡ δὲ λαιὰ ἐσχημάτισται ἀπὸ τοῦ λάιος, ὅ ἐστι βελτίονος. ὅθεν καὶ εὐώνυμος. Schol.
122. Ὀκλαδὸν] ἀντὶ τοῦ ὀκλάσας. Schol.
123. Δοιὼ] Λείπει τὸ ἀστραγάλους. Schol.
125. Ἐπὶ προτέροισιν ὀλέσσας] καὶ τούτους ἐπαπολέσας τοῖς προτέροις, κεναῖς χερσὶν ἀμηχανῶν, ἤτοι ἐν ἀπορίᾳ γενόμενος, μὴ δυνηθεὶς νικῆσαι τὸν ἔρωτα, ἀπῆλθε. Schol.
127. Ἐπιπλομένην] ἀντὶ τοῦ ἐπελθοῦσαν. ἢ παραγενομένην ἐνταῦθα. Schol.
129. Τίπτ' ἐπιμειδιάας] τί γελᾷς, κακὸν μέγα καὶ ἄρρητον; ἢ αὐτὸν ματαίως ἐξηπάτησας καὶ παρελογίσω, οὐδὲ δικαίως αὐτοῦ περιεγένου, ἀλλὰ παρελογίσω ἄπειρον αὐτὸν ὄντα; Schol.

Καὶ

Καί κέν τοι ὀπάσαιμι Διὸς περικαλλὲς ἄθυρμα,
Κεῖνο τό οἱ ποίησε φίλη τροφὸς Ἀδρήστεια
Ἄντρῳ ἐν Ἰδαίῳ ἔτι νήπια κουρίζοντι,
Σφαῖραν ἐΰτρόχαλον, τῆς οὐ σύ γε μείλιον ἄλλο
Χειρῶν Ἡφαίστοιο κατακτεατίσσῃ ἄρειον.
Χρύσεα μέν οἱ κύκλα τετεύχαται, ἀμφὶ δ' ἑκάστῳ
Διπλόαι ἀψῖδες περιηγέες εἱλίσσονται.
Κρυπταὶ δὲ ῥαφαί εἰσιν· ἕλιξ δ' ἐπιδέδρομε πάσαις
Κυανέη· ἀτὰρ εἴ μιν ἑαῖς ἐνὶ χερσὶ βάλοιο,
Ἀστὴρ ὥς, φλεγέθοντα δι' ἠέρος ὁλκὸν ἵησιν.
Τήν τοι ἐγὼν ὀπάσω· σὺ δὲ παρθένον Αἰήταο

Et profecto te donabo Jovis perpulchro ludicro,
Eo quod ipsi fecit cara nutrix Adrastea
Cum adhuc in antro Idæo puerilia saperet,
Globo volubili, quo tu nullum aliud oblectamentum
Bellius Vulcani acciperes manu.
Aurei quidem ei circuli fabrefacti sunt; et circa singulos
Duplices curvaturæ orbiculares ducuntur.
Occultæ autem suturæ sunt, et currit per omnes hedera
Cærulea; sed si hoc manibus tuis jeceris,
Stellæ instar, flagrantem per aërem, sulcum trahet.
Hoc ego te donabo; tu modò virginem Æetæ

133. Ἀδρήστεια] αὕτη τροφὸς Διός. Καλλίμαχος. "σὲ δὲ κοίμισεν Ἀδρήστεια." ἀδελφὴ Κουρήτων. Schol.

Ibid. Ἀδρήστεια. Ἀδρήστη, Ul. δ'. quod plenum, ἀδράστη νέμεσις. In schol. pro κοίμησεν rescripsi κοιμίσεν. Quod præterea a Latino Callimachi interprete acceptum est malè, quasi esset *circum gestavit*, cum sit, *sopivit*; in hym. Jov. Et quod hìc additur, ἀδελφὴ Κουρήτων, id verò est scholion Callimachicum. Hœl.

134. Ἄντρῳ ἐν Ἰδαίῳ] ἢ τῷ τῆς Κρήτης, ἢ τῷ τῆς Τροίας. ἀντιποιοῦνται γὰρ καὶ Τρῶες τῆς τοῦ Διὸς γενέσεως, καθά φησι Δημήτριος ὁ Σκήψιος. Schol.

135. Σφαῖραν, &c. Confer Platonem, in Phædone, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, &c. Upt.

137. Κύκλα] κύκλα λέγει τοὺς ῥόμβους, κυκλώματα. Ἰωνικῶς δὲ τὰ κύκλα ἀντὶ τοὺς κύκλους· ὡς λύχνα καὶ δίφρα. Schol.

Ἰωνικῶς δὲ, &c. Consule Span. ad Callimachi Dian. v. 133, et Pall. v. 70. Upt.

138. Ἀψῖδες] αἱ συναφαί. Περιηγέες δὲ, περιφερεῖς, περίδρομοι. Schol.

140. Ἑαῖς] ἰδίαις εἶπεν. Schol.

141. Ὁλκὸν] νῦν τὴν διαδρομὴν τοῦ ἀστέρος λέγει. Schol.

Θέλξον

Θέλξον ὀϊστεύσας ἐπ' Ἰήσονι· μηδέ τις ἔστω
Ἀμβολίη· δὴ γάρ κεν ἀφαυροτέρη χάρις εἴη.
Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι.
Μείλια δ' ἔκβαλε πάντα, καὶ ἀμφοτέρῃσι χιτῶνος
Νωλεμὲς ἔνθα καὶ ἔνθα θεᾶς ἔχεν ἀμφιμεμαρπώς.
Λίσσετο δ' αἶψα πορεῖν αὐτοσχεδόν· ἡ δ' ἀγανοῖσιν
Ἀντομένη μύθοισιν, ἐπειρύσασα παρειάς,
Κῦσε προσπτυξαμένη, καὶ ἀμείβετο μειδιόωσα.
Ἴστω νῦν τόδε σεῖο φίλον κάρη, ἠδ' ἐμὸν αὐτῆς,
Ἦ μέν τοι δῶρόν γε παρέξομαι, οὐδ' ἀπατήσω,
Εἴ κεν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο.
Φῆ· ὁ δ' ἄρ' ἀστραγάλους συναμήσατο, κὰδ δὲ φαεινῷ
Μητρὸς ἑῆς εὖ πάντας ἀριθμήσας βάλε κόλπῳ.
Αὐτίκα δ' ἰοδόκην χρυσῇ περικάτθετο μίτρῃ,

Jaculo percuſſam in Jaſonis amorem ſolve; nec ulla ſit
Mora; alioqui jejunior erit gratia.
Sic locuta eſt: illi autem gratus ſermo erat audienti:
Omnes igitur abjecit delicias, et ambabus manibus veſtem
Fortiter utrinque Deæ tenebat comprehenſam,
Orabatque ut ſtatim daret abſque morâ: illa verò blandis
Aggreſſa verbis, attractis genis,
Oſculabatur eum complexa, reſponditque ſubridens.
Teſtor tuum nunc carum caput, et meum ipſius,
Certiſſimè me tibi donum præbituram, nec decepturam,
Si modò infixeris ſagittam filiæ Æetæ.
Dixit: verùm ille talos collegit, et ſplendido
Matris ſuæ diligenter omnes numeratos injecit ſinui.
Ac ſtatim pharetram aureo circumpoſuit cingulo,

143. Θέλξον] ἀντὶ τοῦ λῦσον τὴν ψυχήν. Schol.

144. Ἀμβολίη] Ἀμβολίαν λέγει τὴν βραδυτῆτα. Ἀφαυροτέρη, ἐλάσσων. Schol.

146. Μείλια] τὰ παίγνια δι' ὧν οἱ παῖδες μειλίσσονται. Ὅμηρος ἐπὶ τοῦ ξενίων. "ἐγὼ δ' ἐπὶ μείλια δώσω Πολλὰ μάλ'." Schol.

148. Ἀγανοῖσιν] οὕτω τὸ ἑξῆς. ἡ δὲ ἐπειρύσασα παρειὰς κῦσε. Schol.

150. Πολιχομένη] περιλαβοῦσα καὶ ἀπτομένη, ἀγανοῖς μύθοις ἀμείβετο μειδιόωσα. Schol.

153. Ἐνισκίμψῃς] ἐνεργήσῃς, ἐπιβάλοις. Schol.

Πρέμνου

Πρέμνῳ κεκλιμένην· ἀνὰ δ' ἀγκύλον εἵλετο τόξον·
Βῆ δὲ δι' ἐκ μεγάροιο Διὸς πάγκαρπον ἀλωήν.
Αὐτὰρ ἔπειτα πύλας ἐξήλυθεν Οὐλύμποιο
Αἰθερίας· ἔνθεν δὲ καταιβάτις ἐστὶ κέλευθος
Οὐρανίη· δοιὼ δὲ πόλοι ἀνέχουσι κάρηνα
Οὐρέων ἠλιβάτων, κορυφαὶ χθονός· ἧχί τ' ἀερθεὶς
Ἠέλιος πρώτῃσιν ἐρεύγεται ἀκτίνεσσι.
Νειόθι δ' ἄλλοθι γαῖα φερέσβιος, ἄστεά τ' ἀνδρῶν
Φαίνετο, καὶ ποταμῶν ἱεροὶ ῥόοι· ἄλλοτε δ' αὖτε
Ἄκριες, ἀμφὶ δὲ πόντος ἐν αἰθέρι πολλὸν ἰόντι.
Ἥρωες δ' ἀπάνευθεν ἑῆς ἐπὶ σέλμασι νηὸς

Arboris trunco reclinatam; curvumque prehendit arcum:
Ivit verò ex ædibus per Jovis omniparentem campum:
Et poſtquam portis exierat Olympi
Ætheriis, hinc declivis via eſt
Cœleſtis, et duo poli erigunt vertices
Montium celſiſſimorum, cacumina terræ, quò ſublatus
Sol primis emittitur radiis.
Infrà autem alibi terra frugifera, et urbes hominum
Apparebant; et fluviorum ſacri fluxus; alibi iterum
Cacumina montium; circáque pontus per æthera aſſiduiſſimè currentem.
Heroes autem ſeorſim ſuæ ſuper tranſtris navis

158. Βῆ δὲ δι' ἐκ μεγάροιο] Διὰ τούτων τῶν στίχων παραγράφει τὰ εἰρημένα ὑπὸ Ἰβύκου, ἐν οἷς περὶ τῆς Γανυμήδους ἁρπαγῆς εἶπεν, ἐπὶ τῇ εἰς Γοργίαν ᾠδῇ. καὶ ἐπιφέρει περὶ τῆς Ἠοῦς, ὡς ἥρπασε Τιθωνόν. Schol.

163. Ἐρεύγεται. Ut ibi conſtituatur fons luminis. Pythion. I. πηγαὶ ἐρεύγονται. Quemadmodum cor eſt ſcaturigo verborum, Pſal. XLV. רחש לבי דבר. Hœl.

Hen. Steph, legit ἐρεύθεται, *ſol primis rubeſcit radiis.* Et rectè legere videtur.

166. Ἐν αἰθέρι] ἀντὶ τοῦ ἀν' αἰθέρα. Schol.

167. Ἑῆς] ἔδει εἰπεῖν σφῆς, ἵν' ᾖ, τῶν ἑαυτῶν. τὸ μὲν γὰρ σφῆς, τῆς ἑαυτῶν· τὸ δὲ ἑῆς, τοῦ ἑαυτοῦ. Schol.

Ibid. Ἑῆς. Scholiaſtes hanc vocem rapit in vitium quaſi ἑῆς ſit τῆς ἑαυτοῦ; non item τῶν ἑαυτῶν. Sed ipſe Apollonius etiam ſic loquitur, III. 170. I. 805. I. 1113, ut et Latini utuntur τῷ ſuus, quod ab illo eſſe conſtat. Hœlz.

Ἐν ποταμῷ καθ' ἕλος λελοχημένοι ἠγορόωντο
Αὐτὸς δ' Αἰσονίδης μετεφώνεεν, οἱ δ' ὑπάκουον,
Ἠρέμα ᾗ ἐνὶ χώρῃ ἐπισχερὼ ἑδριόωντες.
Ὦ φίλοι, ἤτοι ἐγὼ μὲν ὅ μοι ἐπιανδάνει αὐτῷ,
Ἐξερέω, τοῦ δ' ὔμμι τέλος κρῆναι ἔοικεν.
Ξυνὴ γὰρ χρειὼ, ξυνοὶ δέ τε μῦθοι ἔασι
Πᾶσιν ὁμῶς· ὁ δὲ σῖγα νόον βουλήν τ' ἀπερύκων,
Ἴστω καὶ νόστου τόνδε στόλον οἶος ἀπούρας.
Ὧλλοι μὲν κατὰ νῆα σὺν ἔντεσι μίμνεθ' ἕκηλοι.
Αὐτὰρ ἐγὼν ἐς δώματ' ἐλεύσομαι Αἰήταο
Υἷας ἑλὼν Φρίξοιο, δύω δ' ἐπὶ τοῖσιν ἑταίρους.
Πειρήσω δ' ἐπέεσσι παροίτερον ἀντιβολήσας,
Εἴ κ' ἐθέλοι φιλότητι δέρος χρύσειον ὀπάσσαι,
Ἠὲ καὶ οὔ· πίσυνος δὲ βίῃ μετιόντας ἀτίσσει.
Ὧδε γὰρ ἐξ αὐτοῖο πάρος κακότητα δαέντες,
Φρασσόμεθ' εἴτ' Ἀρηῒ συνοισόμεθ', εἴτε τις ἄλλη

In fluvio, intra arundines in insidiis locati, consultabant.
Ac ipse Jason concionabatur; illi verò auscultabant,
Quietè suo quisque in loco ex ordine sedentes.
O amici, ego quidem quod mihi ipsi placuerit
Narrabo; hujus verò vos finem implere oportet.
Commune enim negotium, communes etiam sermones sunt
Omnibus æquè: qui verò silentio mentem ac consilium celaverit,
Sciat ille, se solum reditu classem hanc privare.
Cæteri quidem in navi cum armis quieti manete;
Ego verò ad ædes proficiscar Æetæ
Assumptis filiis Phrixi, et duobus ad hos sociis:
Tentaboque, verbis illum prius precatus,
An velit benevolè pellem auream concedere,
Nec ne; an fisus viribus advenientes spernat.
Sic enim ex ipso prius malum edocti,
Consultabimus, utrùm armis confligamus, an alia quæpiam

173. Ξυνὴ γὰρ χρειὼ] κοινὴ γὰρ ἡ χρεία καὶ οἱ λόγοι, Schol.
174. Ὁ δὲ σῖγα νόον] ὁ δὲ τὴν σιγὴν προτάττων, καὶ ἐν ἑαυτῷ κρύπτων τὸ συμφέρον, οὗτος τὴν σωτηρίαν ἡμῶν παραιρεῖται. Schol.

Μῆτις

Μή τις ἀπόρροθος ἔστω ἐεργομένοισιν ἀϋτῆς.
Μηδ' αὔτως ἀλκῇ πρὶν ἔπεσσί γε πειρηθῆναι,
Τόνδ' ἀπαμείρωμεν σφέτερον κτέρας· ἀλλὰ πάροιθε
Λωΐτερον μύθῳ μιν ἀρέσσασθαι μετιόντας.
Πολλάκι τοι ῥέα μῦθος ὃ κεν μόγις ἐξανύσειεν
Ἠνορέη, τόδ' ἔρεξε κατὰ χρέος, ᾗπερ ἐῴκει
Πρηΰνας. Ὃ δὲ καὶ ποτ' ἀμύμονα Φρίξον ἔδεκτο
Μητρυιῆς φεύγοντα δόλον, πατρός τε θυηλάς.

Ratio utilis superſit, cohibitis nobis à prælio.
Neque temerè ipſum vi, priuſquam verbis tentaverimus,
Suâ privemus poſſeſſione; ſed antea
Satius eſt ut verbis eum demulceamus conventum.
Sæpe et facilè oratio, quod ægrè perficeret
Robur, id plenè perfecit, prout convenerit,
Deleniendo. Ille etiam inſontem Phrixum recepit olim
Matris fugientem inſidias et patris ſacrificia.

186. *Σφέτερον κτέρας*] οὐκ ὀρθῶς τὸ σφέτερον. ἔστι γὰρ τρίτον προσώπου πληθυντικόν. καὶ ἁμαρτάνει. ἔδει γὰρ ἑνικὸν, ἐπεὶ οὐ πληθυντικόν· ἀποχωρίσαι ἑὸν κτέρας. Schol.

Ibid. *Σφέτερον*. I. 167. II. 1042. III. 302. et alibi. Hoc corrigit Scholiaſtes in ἑόν: non ſine inſcitiâ et injuriâ: nam σφετέρον etiam de unius poſſeſſione dicitur. Heſiodus in Scut.

Ὃς προλιπὼν ΣΦΕΤΕΡΟΝ τε δόμον ΣΦΕΤΕΡΟΥΣ τε τοκῆας.
Ὤχετο, &c. Ariſtoteles πολιτικῶν IV. 10. ἡ τυραννὶς ἄρχει πρὸς τὸ ΣΦΕΤΕΡΟΝ αὐτῆς συμφέρον. Æſchylus in Perſis de Dario, ἀκρατέως ΣΦΕΤΕΡΑΙΣ φρεσί. Callimach. in Dian.

—— σοὶ δ' Ἀγαμέμνων
Πηδάλιον νηὸς ΣΦΕΤΕΡΗΣ ἐγκάτθετο νηῷ.

Orpheus de Ænceo ſolo, ΣΦΕΤΕΡΗΣΙ δαημοσύνῃσι κεκάσθαι. Ac plurima his ſimilia ex Appiano adducam et Polybio loca, ſi res poſtulet. Hœl.

187. *Λωΐτερον*] ἀντὶ τοῦ λῷον, συγκριτικόν. τὸ δὲ λωΐτερον παρῆκται διὰ τὸ μέτρον. Schol.

190. *Ὃ δὲ καὶ πότ'*] ἀπὸ ὀξείας τὴν ἀρχὴν συλλαβήν. κατὰ ἀναφορὰν γὰρ λέγεται ἐπὶ τοῦ Αἰήτου. τὸ δὲ ἑξῆς, ὃ δὲ καὶ ποτὲ Φρίξον ἔδεκτο πατρὸς φεύγοντα θυηλάς. Schol.

191. *Πατρός τε θυηλάς*. De hâc fabulâ tractatur in Scholiis ad Il. η'. Ἰνὼ ἐπιβουλεύουσα τοῖς τῆς Νεφέλης παισὶν, εὑροῦσα δέ τινα μηχανὴν, ἔφρυγε τὰ σπειρόμενα. Καὶ δὴ πολλῆς οὔσης ἀκαρπίας ἐν τῇ χώρᾳ ἔπεμψεν ὁ Ἀθάμας εἰς Πυθὼ θεοπρόπους· ἡ δὲ Ἰνὼ συνέπεισε τούτους, τεχνησαμένη τινα χρησμὸν κατὰ τοῦ Φρίξου, ὡς θῦμα τοῦ αὐτοῦ γονῆς προσενεγκὼν ἀπαλλαγήσεται τοῦ δεινοῦ, καὶ τὰ ἑξῆς. Hinc Virgilius ſuum illud de Sinone commentum accepit. Hœl.

Πάντες ἐπεὶ πάντη, καὶ ὅτις μάλα κύντατος ἀνδρῶν
Ξεινίου αἰδεῖται Ζηνὸς θέμιν, ἠδ' ἀλεγίζει.
Ὧς φάτ'· ἐπήνησαν δὲ νέοι ἔπος Αἰσονίδαο
Πασσυδίῃ, οὐδ' ἔσκε παρὲξ ὅ τις ἄλλο κελεύοι.
Καὶ τότ' ἄρ' υἱῆας Φρίξου, Τελαμῶνά θ' ἕπεσθαι
Ὦρσε, καὶ Αὐγείην· αὐτὸς δ' ἕλεν Ἑρμείαο
Σκῆπτρον· ἄφαρ δ' ἀνὰ νηὸς ὑπὲρ δόνακάς τε καὶ ὕδωρ
Χέρσονδ' ἐξαπέβησαν ἐπὶ θρωσμοῦ πεδίοιο.
Κιρκαῖον τόδε που κικλήσκεται· ἔνθα δὲ πολλαὶ

Omnes omnino, vel impudentissimus hominum
Hospitalis reveretur Jovis jus atque observat.
Sic dixit: comprobârunt autem juvenes sententiam Æsonis filii
Unanimiter, nec erat qui seorsim aliud juberet.
Et tunc sane filios Phrixi et Telamonem, ut sequerentur
Excitavit, et Augeam: ipse verò corripuit Mercurii
Sceptrum; statimque è navi per cannas et aquam
In litus egressi sunt, in editiorem locum campi,
Qui Circæus appellatur; ubi plurimæ

199. Ἐπὶ θρωσμοῦ πεδίοιο] τοῦ ὑπερκειμένου τοῦ ποταμοῦ τόπου, ὅπου ἐστὶ θορεῖν καὶ πηδῆσαι ἀπὸ τῆς νεώς. Schol.

200. Κιρκαῖον] Κιρκαῖον πεδίον, ἀπὸ Κίρκης. τὴν δὲ Κίρκην τινὲς μὲν Αἰήτου ἀδελφὴν, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. ταύτην Διονύσιος ὁ Μιλήσιος ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν, θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Περσέως, ἀδελφὴν δὲ Μηδείας λέγει. Ἡλίῳ γάρ φησιν υἱοὺς γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις, οἷς ὀνόματα ἦν, Περσεὺς καὶ Αἰήτης. τούτους δὲ διαλαχεῖν τὴν χώραν· καὶ Αἰήτην μὲν Κόλχους καὶ Μαιώτας, Περσέα δὲ τῆς Ταυρικῆς βασιλεῦσαι· καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινὰ, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ᾗ ὄνομα Ἑκάτη. οἱ δὲ ἐκ Νύμφης τινὸς ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτῷ γενέσθαι, ἀνδρικὴν περὶ τὰ κυνηγετικὰ, καὶ ταύτην θανασίμους ῥίζας εὑρεῖν, καὶ ἐμπειροτάτην γεγονέναι τῶν τε δηλητηρίων καὶ τῶν ἰάσεων δυναμένων, καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. ταύτην γήμασθαι πεμφθεῖσαν εἰς Κόλχους Αἰήτῃ τῷ πατραδέλφῳ, ἀφ' ἧς γενέσθαι Κίρκην καὶ Μήδειαν. τὴν δὲ Κίρκην, πρεσβυτέραν οὖσαν, ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα· τὰ μὲν διαφυλάσσουσαν παρ' αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυῖαν, πολλὰ καὶ δεινά. Μήδειαν δὲ, νεωτέραν μὲν Κίρκης, οὐχ ἡττωμένην δὲ αὐτῆς. ταῦτα μὲν οὗτοι. Ἡσίοδος δέ φησι τὴν Κίρκην τοῦ ἡλίου θυγατέρα εἶναι ἐν τοῖσδε τοῖς ἔπεσι. "Κίρκη δ' ἠελίου θυγάτηρ ὑπεριονίδαο Τίκτεν Ὀδυσσῆϊ ταλασίφρονι ἐν φιλότητι Ἄγριον, ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε." Schol.

Ἑξείης

Ἑξείης πρόμαλοί τε καὶ ἰτέαι ἐκπεφύασιν.
Τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται
Δέσμιοι· εἰσέτι νῦν γὰρ ἄγος Κόλχοισιν ὄρωρεν
Ἀνέρας οἰχομένους πυρὶ καιέμεν· οὐδ' ἐνὶ γαίῃ
Ἔστι θέμις στείλαντας ὕπερθ' ἐπὶ σῆμα χέεσθαι·
Ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις,
Δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος· ἠέρι δ' ἴσην
Καὶ χθὼν ἔμμορεν αἶσαν· ἐπὶ χθονὶ ταρχύουσι
Θηλυτέρας· ἡ γάρ κε δίκη θεσμοῖο τέτυκται.
Τοῖσι δὲ νεισομένοις Ἥρη φίλα μητιόωσα
Ἠέρα πουλὺν ἐφῆκε δι' ἄστεος, ὄφρα λάθοιεν

Ex ordine salices vitesque enatæ erant;
Quarum è fastigiis cadavera vinculis pendebant,
Ligata: nam in hodiernum usque piaculo est Colchis
Mares defunctos igne cremare; nec in terrâ
Fas est eos, monimento superimposito, sepelire;
Sed in crudis taurinis involutos pellibus,
Ex arboribus suspendere procul ab urbe: aëri autem æquale
Et terra sortita est munus: in terrâ sepeliunt
Fœminas: hic enim mos legis est.
Illis verò progredientibus Juno benè consulens
Multum caliginis aëriæ immisit per urbem, ut laterent

201. Πρόμαλοι. Non dubitant Steph. et Hœlz. quin legendum sit πρόμαλοι, quod εἶδος ἀγρίας δρυός.

202. Τῶν καὶ ἐπ' ἀκροτάτων] τὰ τῶν ἀῤῥένων σώματα οὐ θέμις Κόλχοις οὔτε καίειν οὔτε θάπτειν· βύρσαις δὲ νεαραῖς ἐλοῦντες ἐκρέμων τῶν ἀῤῥένων τὰ σώματα, τὰ δὲ θήλεα τῇ γῇ ἐδίδοσαν, ὥς φησι Νυμφόδωρος, ὁ ἱστορήσας (?). σέβονται δὲ μάλιστα οὐρανὸν καὶ γῆν. Schol.

205. Στείλαντας. Ὑπηρετοῦντας τοὺς Κόλχους, funeri nempe operam dantes: additur enim κατειλύσαντε, quæ haud infrequens est numeri ἀδιαφορία, ἄνδρε ἔχοντας, Il. ε'. Sic enim componuntur mortui, et arctantur, maximéque combusti, ut est in Sophoclis Electra, σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει. l. 355. Hœl.

209 Ἡ γάρ κε δίκη] ἀντὶ τοῦ, οὗτος γὰρ ὁ τρόπος τοῦ νόμου. Schol.

210. Τοῖσι δὲ νεισομένοις, &c. Respexisse videtur Apollonius ad hos versus Odyss. IV.

> Καὶ τότ' Ὀδυσσεὺς ὦρτο πόλιν δ'
> ἴμεν, ἀμφὶ δ' Ἀθήνη
> Πολλὴν ἠέρα χεῦε, φίλα φρονέουσ',
> &c.

> At Venus *obscuro* gradientes *aëre* sepsit,
> Et *multo nebulæ* circum Dea *fudit amictu*. Æn. I.

Κόλχων

Κόλχων μυρίον ἔθνος ἐς Αἰήταο κιόντες.
Ὦκα δ' ὅτ' ἐκ πεδίοιο πόλιν καὶ δώμαθ' ἵκοντο
Αἰήτεω, τότε δ' αὖτις ἀπεσκέδασεν νέφος Ἥρη.
Ἔσταν δ' ἐν προμολῇσι τεθηπότες ἕρκε' ἄνακτος,
Εὐρείας τε πύλας, καὶ κίονας οἳ περὶ τοίχους
Ἑξείης ἄνεχον· θριγκὸς δ' ἐφύπερθε δόμοιο
Λαΐνεος χαλκέαισιν ἐπὶ γλυφίδεσσιν ἀρήρει.
Εὔκηλοι δ' ὑπὲρ οὐδὸν ἔπειτ' ἔβαν· ἄγχι δὲ τοῖο
Ἡμερίδες χλοεροῖσι καταστεφέες πετάλοισιν
Ὑψοῦ ἀειρόμεναι μέγ' ἐθήλεον· αἱ δ' ὑπὸ τῇσιν
Ἀέναοι κρῆναι πίσυρες ῥέον, ἃς ἐλάχηνεν
Ἥφαιστος· καί ῥ' ἡ μὲν ἀναβλύεσκε γάλακτι,
Ἡ δ' οἴνῳ· τριτάτη δὲ θυώδεϊ νᾶεν ἀλοιφῇ·

Colchorum numerosam gentem ad Æetæ *regiam* contendentes.
Quamprimùm autem è campo ad urbem et ædes venissent
Æetæ, tunc iterum dispulit nubem Juno.
Steterunt autem illi in vestibulo, cum stupore admirantes munimina regis,
Amplasque portas, et columnas quæ circa parietes
Ordine eminebant: super domum autem lorica
Lapidea æreis erat capitellis adaptata.
Taciti dein transcenderunt limen, quod juxta
Vites virentibus amictæ foliis,
In altum sublatæ valde floruerunt; et sub illis
Perennes fontes quatuor manabant, quos effoderat
Vulcanus; et hic quidem scatebat lacte,
Ille verò vino; tertius suaviter olenti fluebat oleo,

215. Τεθηπότες ἕρκε' ἄνακτος] τὴν ἐχύρωσιν τῆς οἰκήσεως, τῶν οἰκημάτων τὴν ἀσφάλειαν. Schol.

218. Χαλκέαισιν ἐπὶ γλυφίδεσσιν] ἐπὶ χαλκοῖς τορεύμασιν, ἢ χαλκοῖς κιονοκράνοις. Schol.

Ibid. Χαλκείαις. Affirmat Hœlzlinus scripsisse Apollonium Χαλκείῃσιν. ut. Il. 1253.

222. Ἐλάχηνεν] ὤρυξεν. ἔσκαψεν. καταστρέψαι δὲ εἰς τὸ κατασκευάσαι. Schol.

Ibid. Ἀέναοι κρῆναι. Ad hos fontes confer quod dictum Ulyss. ε'. v. 68. et seq.

224. Θυώδεϊ νᾶεν] ἀρώμασι μεμιγμένον ὕδωρ ἔῤῥει, ἢ εὐῶδες ἔλαιον. Schol.

Ἡ δ'

Ἡ δ' ἄρ' ὕδωρ προρέεσκε, τὸ μέν ποθι δυομένῃσιν
Θέρμετο Πληϊάδεσσιν· ἀμοιβηδὶς δ' ἀνιούσαις
Κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης.
Τοῖ' ἄρ' ἐνὶ μεγάροισι Κυταιέος Αἰήταο
Τεχνήεις Ἥφαιστος ἐμήσατο θέσκελα ἔργα.
Καί οἱ χαλκόποδας ταύρους κάμε· χάλκεα δέ σφέων
Ἦν στόματ', ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκον.
Πρὸς δὲ καὶ αὐτόγυον στιβαροῦ ἀδάμαντος ἄροτρον

Et quartus aquam effundebat, quæ quidem occidentibus
Calebat Pleiadibus, et orientibus viciſſim,
Glaciei in morem è cavâ proſiliebat rupe.
Talia in ædibus Colchici Æetæ
Artificioſus Vulcanus elaborârat admirabilia opera.
Quin etiam ei æripides tauros extuderat: æreaque ipſorum
Erant ora; et ignis horrendam flammam efflabant.
Inſuper adnatum dentali ſolido de ferro aratrum

225. Ἡ δ' ἄρ' ὕδωρ προρέεσκε] ὁ Ἀπολλώνιος κατὰ τὴν Πλειάδων δύσιν λέγων τὴν κρήνην θερμὸν ῥεῖν, κατὰ δὲ τὴν ἐπιτολὴν ψυχρὸν, οὐ παρέστησεν εἰλικρινῶς τὸν καιρόν. δύο γάρ εἰσιν ἐπιτολαὶ τῶν ἀπλανῶν ἄστρων, καὶ δύο δύσεις. ἑῴα μέν ἐστιν ἐπιτολὴ, ὅταν ἔξω τῶν αὐγῶν τοῦ ἡλίου πρῶτον ἱστῶνταί τι ἄστρον, καὶ πρὸ αὐτοῦ ἀνατέλλον ὀφθῇ. ἑῴα δὲ δύσις, ὅταν ἡλίου πρὸς τὴν ἀνατολὴν ὄντος, ὁραθῇ τι ἄστρον περὶ τὰς δύσεις ὕστατον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα δύνει. ἑσπερία δὲ ἐπιτολὴ, ὅταν δύνοντος ἡλίου, ὁραθῇ τι ἄστρον ἐπὶ τῆς ἀνατολῆς πρῶτον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα ἀνίσχει. ἑσπερία δὲ δύσις λέγεται, ὅταν ἡλίου δύνοντος, ἄστρον ὁραθῇ τι πρὸ τῶν ἄλλων ἐγκαταδῦνον αὐτῷ, ὡς ἂν ὑπὸ ταῖς αὐγαῖς τοῦ ἡλίου γένηται. ὁ δὲ ὑπὸ ταῖς αὐγαῖς χρόνος πᾶς κρύψις ὀνομάζεται. Schol.

Ibid. Δυομένῃσι, &c. Reprehenditur hoc a Scholiaſte, quoniam non exprimitur quo occaſus ortuſve genere res iſtæ evenerint. At quis veterum ſcriptorum ſic erit a culpâ liber? hæc ſane τεχνικὰ vocabula ab omnibus ſtudio occuluntur, ne quid ſcrupuloſioris promineat diligentiæ, aut ὕψος deprimatur. Sed et χρονογραφεῖν hiſtorici magis eſt, quam fabulatoris poëtæ. Hœl.

226. Πληϊάδεσσιν] αἱ δὲ Πληϊάδες, Πληϊόνης τῆς Ὠκεανοῦ καὶ Ἄτλαντος, ὡς μέν τινες, ἀπὸ τῆς μητρὸς ἔσχον τὴν ἐπωνυμίαν· ἢ μᾶλλον παρὰ τὸν πλεῖωνα, ὅ ἐστιν ἐνιαυτός. σημαντικαὶ γὰρ αὗται καὶ χειμῶνος καὶ θέρους. αὗται δὲ τὴν ἐναντίαν ἀεὶ πορείαν ποιοῦνται τῷ Ὠρίωνι. συναντῆσαι γάρ ποτε λέγεται τῇ Πληϊόνῃ μετὰ τῶν θυγατέρων κατὰ τὴν Βοιωτίαν· καὶ ὡς ἐρῶντα ταύτης ἐκπιστὸν, ἐδίωκεν, ἡ δὲ ἔφυγεν. γενέσθαι δὲ τὸν δρόμον αὐτῶν φασὶν ἀδιάλειπτον, καὶ οὕτω καταστερισθῆναι τὰς Πληϊάδας τὸν Ὠρίωνα φευγούσας. Schol.

230. Χαλκόποδας] ὅτι δὲ χαλκόποδες οἱ ταῦροι, καὶ πῦρ πνέοντες, καὶ Φερεκύδης φησί. Schol.

232. Πρὸς δὲ καὶ αὐτόγυον] δύο ἀρότρων εἰσὶν εἴδη. τὸ μὲν, πηκτόν· τὸ δὲ, αὐ-

Ἤλασεν,

Ἤλασεν, ἠελίῳ τίνων χάριν, ὅς ῥά μιν ἵπποις
Δέξατο Φλεγραίῃ κεκμηκότα δηϊοτῆτι.
Ἔνθα δὲ καὶ μέσαυλος ἐλήλατο· τῇ δ' ἐπὶ πολλαὶ
Δικλίδες εὐπηγεῖς θάλαμοί τ' ἔσαν ἔνθα καὶ ἔνθα.
Δαιδαλέη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο.
Λέχρις δ' αἰπύτεροι δόμοι ἕστασαν ἀμφοτέρωθεν.
Τῶν ἤτοι ἄλλον μὲν, ὅ τις καὶ ὑπείροχος ἦεν,
Κρείων Αἰήτης σὺν ἑῇ ναίεσκε δάμαρτι·
Ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάϊς Αἰήταο,
Τὸν μὲν Καυκασίη Νύμφη τέκεν Ἀστερόδεια,

Fabricârat, soli referens gratiam, qui ipsum equis
Excepit, Phlegræo lassatum in prælio.
Hinc et media aula fabricata erat, inque eâ multæ
Valvæ bene compactæ, thalamique erant, hinc, illinc.
Variata insuper porticus ab utrâque parte erat constructa.
Ex obliquò autem domus editiores stabant utrinque:
In quârum alterâ, quæ et eminentior erat,
Rex Æeta suâ habitabat cum conjuge:
In aliâ verò Absyrtus habitabat filius Æetæ,
Quem Caucasia Nympha peperit Asterodæa,

τόρνον. πηκτὸν μὲν, τὸ ἐκ συμβολῆς ἔχον τὸ ἔλυμα. ἔστι δὲ ἔλυμα ἐν ᾧ ὁ ὕνις ἐντίθεται. τὸ δὲ ξύλον τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας, γύης καλεῖται· τὸ δὲ ἀπὸ τοῦ γύου, ἱστοβοεύς. τοῦ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιτιθέμενα, οἱ μὲν, ζεύγλας, οἱ δὲ, μεσάβοα λέγουσι. τοιοῦτον μὲν τὸ πηκτόν. αὐτόγυον δέ ἐστιν, οὗ τινος τὸ ἔλυμα οὐκ ἔστιν ἐκ συμβολῆς. τὴν δὲ κατασκευὴν τῶν ἀρότρων, Ἐρατοσθένης ἐν τῷ ἀρχιτεκτονικῷ καταγράφει. Schol.

233. Ἤλασεν, ἠελίῳ] πέπλασται ὁ μῦθος διὰ τὴν τῶν ποδῶν χωλότητα. οὐ μέντοι πιθανῶς. μείζονα γὰρ εἶχεν δύναμιν τῶν γιγάντων, δι' ἧς αὐτοὺς ἐτρέψατο ἄν. ὁ μέντοι Ἀπολλώνιος αἰτίαν ἀποδίδωσι, δι' ἣν ὁ Ἥφαιστος κατεσκεύασε τῷ Αἰήτῃ τούς τε χαλκόνυχας ταύρους καὶ τὸ ἄροτρον. ὅτι δὲ δυνατὸς ἦν Ἥφαιστος, Ὅμηρος ἔδειξεν, ἐπὶ Ξάνθου τοῦ ποταμοῦ. Schol.

234. Φλεγραίῃ] Φλέγρα πεδίον Θρᾴκης, περὶ Παλλήνην, ἔνθα οἱ θεοὶ τοὺς γίγαντας ἐπολέμησαν. Schol.

235. Μέσαυλος] τὸ μέσον τῆς αὐλῆς, ὅπου τῶν βοῶν αἱ στάσεις. μέσαυλον δὲ οἱ Ἀττικοὶ τὴν φέρουσαν εἴς τε τὴν ἀνδρωνῖτιν καὶ γυναικωνῖτιν. Schol.

237. Δαιδαλέη δ' αἴθουσα] στοὰ δὲ ποικίλη ἦν ἑκατέρωθεν τῆς οἰκίας. Schol.

238. Λέχρις] ἐκ πλαγίου δὲ τῆς αἰθούσης, ὑψηλότεραι ἦσαν οἰκοδομαὶ, ὅ ἐστι πύργοι. Schol.

242. Τὸν μὲν Καυκασίη] ὁ τὰ Ναυ-

Πρὶν

Πρίν περ κουριδίην θέσθαι Ἰδυῖαν ἄκοιτιν,
Τηθύος Ὠκεανοῦ τε πανοπλοτάτην γεγαυῖαν.
Καί μιν Κόλχων υἷες ἐπωνυμίην Φαέθοντα
Ἔκλεον, οὕνεκα πᾶσι μετέπρεπεν ἠϊθέοισι.
Τοὺς δ' ἔχον ἀμφίπολοί τε καὶ Αἰήταο θύγατρες
Ἄμφω, Χαλκιόπη Μήδειά τε· ἡ μὲν ἄρ' ἥγ'
Ἐκ θαλάμου θαλαμόνδε κασιγνήτην μετιοῦσα,
(Ἥρη γάρ μιν ἔρυκε δόμῳ, πρὶν δ' οὔτι θάμιζεν
Ἐν μεγάροις, Ἑκάτης δὲ πανήμερος ἀμφεπονεῖτο
Νηὸν, ἐπεί ῥα θεῆς αὐτὴ πέλεν ἀρήτειρα)
Καί σφεας ὡς ἴδεν ἆσσον, ἀνίαχεν· ὀξὺ δ' ἄκουσε
Χαλκιόπη· δμωαὶ δὲ ποδῶν προπάροιθε βαλοῦσαι
Νήματα καὶ κλωστῆρας, ἀολλέες ἔκτοθι πᾶσαι

Priusquam puellarem duxisset Idyam conjugem,
Tethyos et Oceani minimam natu filiam.
Ac ipsum Colchorum filii cognomine Phaëthonta
Vocârunt, quoniam omnibus præstaret adolescentibus.
Cæteras autem occupabant famulæ, et filiæ Æetæ
Ambæ, Calciope et Medea: et hæc quidem ibat
Ex thalamo in thalamum, sororem conventum,
(Juno enim eam domi detinuit, quæ quidem antea infrequens erat
In ædibus, totos dies occupata in Hecatæ
Fano, nam Deæ ipsa erat sacerdos)
Ut verò illos aspexit, exclamavit; celeriter autem audivit
Calciope; ac ancillæ, projectis ante pedes
Staminibus fusisque, confertim extra omnes

ναυτικὸν πεποιηκὼς Εὐρυλύτην αὐτὴν λέγει. Διονύσιος δὲ ὁ Μιλήσιος, Ἑκάτην μητέρα Μηδείας καὶ Κίρκης, ὡς προείρηται. Σοφοκλῆς Νεαίραν, μίαν τῶν Νηρηΐδων· Ἡσίοδος δὲ Ἰδυῖαν. "Αἰήτης δ' υἱὸς φαεσιμβρότου ἠελίοιο Γῆμε θεῶν βουλῆσιν Ἰδυῖαν καλλιπάρῃον." Ἐπιμενίδης δέ φησι Κορίνθιον τὸ γένος τὸν Αἰήτην, μητέρα δὲ αὐτοῦ, Ἐφύραν φησί. Διοφάνης δὲ ἐν τῇ α' τῶν Ποντικῶν ἱστοριῶν, Ἀντιόπην φησὶν Αἰήτου μητέρα. προσφυέστερον δέ φασι τὸν Ἄψυρτον Μηδείας γενέσθαι Αἰήτῃ ἐξ Ἀστεροδείης τῆς Ὠκεανοῦ καὶ Τηθύος θυγατρός. Schol.

254. Δμωαὶ δὲ. Mirum est priores editiones, ipsamque Stephanicam, aliis longè præcellentem, fecisse ut claudicaret versus, omittendo ποδῶν, quod inseruit Hœlzlinus, ex II. 52.

255. Ἔκτοθι πᾶσαι] ἀντὶ τοῦ ἐκτὸς, ἵνα τὸ εἰς τόπον σημαίνῃ. Schol.

Ἔδραμον· ἡ δ' ἄμα τοῖσιν ἑοὺς υἷας ἰδοῦσα,
Ὑψοῦ χάρματι χεῖρας ἀνέσχεθεν· ὣς δὲ καὶ αὐταὶ
Μητέρα δεξιόωντο καὶ ἀμφαγάπαζον ἰδόντες,
Γηθόσυνοι· τοῖον δὲ κινυρομένη φάτο μῦθον.
Ἔμπης οὐκ ἄρ' ἐμέλλετ' ἀκηδέῃ με λιπόντες
Τηλόθι πλάγξασθαι· μετὰ δ' ὑμέας ἔτραπεν αἶσα.
Δειλὴ ἐγώ, οἷον πόθον Ἑλλάδος ἔκ ποθεν ἄτης
Λευγαλέης Φρίξοιο ἐφημοσύνῃσι νέεσθαι
Πατρός· ὁ μὲν θνήσκων στυγερὰς ἐπετείλατ' ἀνίας
Ἡμετέρῃ κραδίῃ· τί δέ κεν πόλιν Ὀρχομενοῖο,
Ὅστις ὅδ' Ὀρχομενός, κτεάνων Ἀθάμαντος ἕκητι,
Μητέρ' ἐὴν ἀχέουσαν ἀποπρολιπόντες ἵκοισθε;
Ὣς ἔφατ'· Αἰήτης δὲ πανύστατος ὦρτο θύραζε,

Procurrebant: verùm ea, ſuis inter eos conſpectis filiis,
Altè manus ſuſtulit præ gaudio: ſimiliter etiam ipſi
Matrem ſalutabant et amplexabantur viſam,
Læti: ea queribunda talem protulit ſermonem.
Nequaquam igitur, me negligenter relictâ,
Longius eſtis navigaturi; vos verò retruſit fatum.
Miſeram me! quanto Græciæ deſiderio, ex aliquâ noxâ
Triſti, Phrixi præceptis abibatis
Patris! ille ſane moriens præcepit quod gravi eſſet dolori
Cordi noſtro: quare verò ad urbem Orchomeni,
Quicunque ille Orchomenus, poſſeſſionum Athamantis cauſâ
Matre veſtrâ in luctu relictâ, iretis?
Sic locuta eſt: Æeta autem poſtremus veniebat foràs,

257. Ὑψοῦ χάρματι] ἤδη ὑψόσε. τὸ γὰρ ὑψοῦ, τὸ ἐν τόπῳ δηλωτικόν ἐστι· τὸ δὲ ὑψόσε, τὸ εἰς τόπον. Ὅμηρος. "ὑψοῦ ἐπὶ ψαμάθοιο." Schol.

260. Ἔμπης οὐκ ἄρ' ἐμέλλετ'] Ἀφροντίστως με καταλιπόντες, ὅμως οὐκ ἐμέλλετε μακρὰν πορεύεσθαι. ὑποστρέψαι ὑμᾶς ἡ μοῖρα πεποίηκε.

261. Τηλόθι] πόῤῥωθεν ἀντὶ τοῦ τηλόσε. Schol.

262. Ἐκ πόθεν ἄτης] ἀντὶ τοῦ, ἔκ τινος βλάβης. Schol.

263. Νέεσθαι. In Flor. νέεσθε.

265. Ὀρχομενοῖο] καὶ Ἑλλάνικός φησι τὸν Ἀθάμαντα Ὀρχομενὸν ᾠκηκέναι. Schol.

267. Μητέρ' ἐὴν] ἑὴν μητέρα, ἀντὶ τοῦ ὑμετέραν. Schol.

Ἐκ

Ἐκ δ' αὐτὴ Ἰδυῖα δάμαρ κίεν Αἰήταο,
Χαλκιόπης ἀΐουσα· τὸ δ' αὐτίκα πᾶν ὁμάδοιο
Ἕρκος ἐπεπλήθει· τοὶ μὲν μέγαν ἀμφεπένοντο
Ταῦρον ἅλις δμῶες· τοὶ δὲ ξύλα κάγκανα χαλκῷ
Κόπτον· τοὶ δὲ λοετρὰ πυρὶ ζέον· οὐδέ τις ἦεν
Ὃς καμάτου μεθίεσκεν ὑποδρήσσων βασιλῆϊ.
Τόφρα δ' Ἔρως πολιοῖο δι' ἠέρος ἷξεν ἄφαντος,
Τετρηχὼς οἷόν τε νέαις ἐπὶ φορβάσιν οἶστρος
Τέλλεται, ὅντε μύωπα βοῶν κλείουσι νομῆες.
Ὦκα δ' ὑπὸ φλοιῇ προδόμῳ ἔνι τόξα τανύσσας
Ἰοδόκης ἀβλῆτα πολύστονον ἐξέλετ' ἰόν.
Ἐκ δ' ὅγε καρπαλίμοισι λαθὼν ποσὶν οὐδὸν ἄμειψεν,
Ὀξέα δενδίλλων· αὐτῷ δ' ὑπὸ βαιὸς ἐλυσθεὶς

Ipſaque Idya conjux prodiit Æetæ
Auditâ Calciope: ſtatim autem univerſa ſtrepitu
Aula repleta erat: alii quidem circa vaſtum occupabantur
Taurum unà ſervi; alii ligna arida ſcindebant
Ferro; nonnulli aquam balneariam igne calefaciebant; nec aliquis erat
Qui à labore ceſſaret, ſubſerviens regi.
Interim Amor liquidum per aëra venit inviſus,
Exaſperati ad inſtar œſtri, qui junioribus armentis
Immittitur, et quem tabanum boum vocant paſtores.
Statim autem poſt poſtem in veſtibulo arcum intendens
E pharetrâ recentem valdè luctuoſam deprompſit ſagittam:
Levibuſque pedibus occultè limen tranſgreſſus eſt
Acutè circumjiciens oculos; ac poſt ipſum, in minutiem contractus

275. Πολιοῖο] πολιὸν, τὸ διαφανές. Schol.

276. Τετρηχὼς] ὁ δεδαμασμένος. Οἶστρος. διαφέρει οἶστρος μύωπος. ὁ μὲν γὰρ μύωψ ἀπογεννᾶται τῶν ξύλων· ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων. Schol.

Ibid. Ο δεδαμασμένος. Melior longe et veriſimilior Hœlzlini lectio, qui mutandum conjecit in ὁ δεδυσμενισμένος. Virgilius de œſtro. G. III. 149. *Aſper* (τετρηχὼς) acerba ſonans, &c.

277. Τέλλεται] κατ' ἀφαίρεσιν ἐστὶ τοῦ σ, ἀντὶ τοῦ στέλλεται. Schol.

279. Ἰοδόκης ἀβλῆτα, &c. Ex Homero Il. δ'. 117.

—— ἐκ δ' ἕλετ' ἰὸν
Ἀβλῆτα, πτερόεντα, μελαινάων ἕρμ' ὀδυνάων. Upt.

281. Ὀξέα δενδίλλων] ἀντὶ τοῦ, συν-

Αἰσονίδῃ γλυφίδας μέσσῃ ἐνικάτθετο νεύρῃ.
Ἰθὺς δ' ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν
Ἧκ' ἐπὶ Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν.
Αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
Καγχαλόων ἤιξε· βέλος δ' ἐνεδαίετο κούρῃ
Νέρθεν ὑπὸ κραδίῃ, πυρὶ εἴκελον· ἀντία δ' αἰεὶ
Βάλλεν ὑπ' Αἰσονίδην ἀμαρύγματα· καί οἱ ἄλωντο·
Στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες, οὐδέ τιν' ἄλλην
Μνῆστιν ἔχεν· γλυκερῇ δὲ κατείβετο θυμὸν ἀνίῃ.
Ὡς δὲ γυνὴ μαλερῷ περὶ κάρφεα χεύατο δαλῷ·

Æſonis filium, crenas medio impoſuit nervo;
Eoque ſtatim ambabus manibus diſtento, *telum*
Immiſit Medeæ: illius ſtupor corripuit animum.
Ipſe verò ſublimi retrò è regiâ
Cachinnans diſceſſit: interea ſagitta ardebat in virgine
Infrà ſub pectore, igni ſimilis; contrariaque ſemper
Jecit in Jaſonem oculorum fulgura, et anhelabant ei
E pectoribus crebrò ob laſſitudinem præcordia, nec aliam aliquam
Memoriam habebat; dulci autem animus diſtabeſcebat dolore.
Sicut verò mulier igne candenti ramenta ſuperinfudit torri

στρέψας ἑαυτὸν καὶ ἀποκαλύψας, ὀξέως περιεπιστρεφόμενος· καὶ εἰς αὐτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος δὲ ἐπὶ τοῦ στρέφειν τέθεικε τὴν λέξιν, τὸ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεκκλίνοντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ Ἀπολλόδωρος. Σοφοκλῆς δὲ ἐπὶ τοῦ προλείπειν τέθεικε τὴν λέξιν. Schol.

288. Ἀμαρύγματα] τὰς λαμπάδας τῶν ὀφθαλμῶν λέγει. Καί οἱ ἄλωντο. πολὺ ἔπεμπον, ἢ μετεωρίζοντο. Schol.

Ibid. Βάλλεν ὑπ'. Malim ἐπ'. Quod autem in hoc verſu habeamus ἄηντο, videtur diverſum ab eo quod legitur in hoc ipſo libro, v. 688.

Χαλκιόπη περί μοι παίδων σέο θυμὸς ἄηται.

In cujus verſus expoſitione malè apud ſchol. legitur, ὑπὸ τῶν ἠῶν pro ὑπέρ. Cui contra ſimile eſt hoc libri quarti,

Ζεῦ πάτερ, ἦ μέγα δή μοι ἐνὶ φρεσὶ θάμβος ἄηται.

Sed cum his verbis

——καί οἱ ἄηντο
Στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες—

convenire videntur illa, Ἐκ δ' ἄρα οἱ κραδίη στηθέων πίσεν. Itidemque κάματον dixerat in præcedente verſu.

Steph.

290. Mavult H. Steph. legere γλυκερῇ et ἀνίῃ in dandi caſu.

291. Ὡς δὲ γυνὴ] καὶ Ὅμηρος. "ὡς δ' ὅτε τὶς δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ." Schol.

Ibid. Ὡς δὲ γυνὴ, &c. In animo

Χερνῆτις

Χερνῆτις, τῇπερ ταλασήια ἔργα μέμηλεν,
Ὥς κεν ὑπωρόφιον νύκτωρ σέλας ἐντύναιτο,
Ἄγχι μάλ' ἐγρομένη· τὸ δ' ἀθέσφατον ἐξ ὀλίγοιο
Δαλοῦ ἀνεγρόμενον σὺν κάρφεα πάντ' ἀμαθύνει,
Τοῖος ὑπὸ κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ
Οὖλος ἔρως· ἁπαλὰς δὲ μετετρωπᾶτο παρειὰς
Ἐς χλόον, ἄλλοτ' ἔρευθος, ἀκηδείῃσι νόοιο.
Δμῶες δ' ὁππότε δή σφιν ἐπαρτέα θῆκαν ἐδωδήν,
Αὐτοί τε λιαροῖσιν ἐφαιδρύνοντο λοετροῖς,
Ἀσπασίως δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσσαν.
Ἐκ δὲ τοῦ Αἰήτης σφετέρης ἐρέεινε θυγατρὸς
Υἱῆας, τοίοισι παρηγορέων ἐπέεσσι.

Operaria, cui lanaria res curæ est,
Ut sub tecto ignem noctu parare possit,
Admodum brevi resurrectura; ille verò plurimus ex parvo
Torre renatus materiam omnem in cinerem redigit;
In hunc modum sub pectore occultus ardebat latenter
Perniciosus Amor, tenerasque transmutabat genas
Interdum in pallorem, interdum in ruborem, mœrore animi.
Postquam autem ipsis servi paratas apposuissent epulas,
Et ipsi a tepidis nitescerent balneis,
Hilariter cibo potuque refecerunt animum.
At dehinc Æeta suæ rogavit natæ
Filios, talibus consolans verbis.

habuisse videtur Apollonius hunc locum Ulyssеæ ε', 488.

Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ
Σπέρμα πυρὸς σώζων, &c.

E nostro apertè Maro, Æn. VIII. 408.

—— cum fœmina primum
Cui tolerare colo vitam tenuique Minervâ
Impositum cinerem, &c.

294. Ἄγχι μάλ' ἐγρομένη] ἀντὶ τοῦ ἐγγύς. τίθεται δὲ καὶ ἐπὶ χρόνου. Μίνανδρος, ἔγημεν ἔναγχος, ἀντὶ τοῦ νῦν, ἢ ἀντὶ τοῦ ταχέως.

296. Εἰλυμένος] κεκαλυμμένος, οἷον κεκρυμμένος. εἰς γὰρ τοῦτο καταστρέφει. Schol.

Ibid. Τοῖος ὑπὸ κραδίῃ εἰλυμένος
ΑΙΘΕΤΟ ΛΑΘΡΗ
Οὖλος ἔρως,
—*tacitum vivit* sub pectore vulnus. Æn. IV. 67.

298. Ἀκηδείῃσι] ταῖς πολυκηδείαις. τοῦτ' ἔστι ταῖς λύπαις. Schol.

302. Σφετέρης] ἀντὶ τοῦ ἰδίας. Schol.

Παιδὸς

Παιδὸς ἐμῆς κοῦροι, Φρίξοιό τε, τὸν περὶ πάντων
Ξείνων ἡμετέροισιν ἐνὶ μεγάροισιν ἔτισα,
Πῶς Αἰανδὲ νέεσθε παλίσσυτοι; ἦέ τις ἄτη
Σωομένοις μεσσηγὺς ἐνέκλασεν; οὐ μὲν ἐμεῖο
Πείθεσθε προφέροντος ἀπείρονα μέτρα κελεύθου.
Ἤιδειν γάρ ποτε πατρὸς ἐν ἅρμασιν ἠελίοιο
Δινεύσας, ὅτ' ἐμεῖο κασιγνήτην ἐκόμιζεν
Κίρκην Ἑσπερίης εἴσω χθονός· ἐκ δ' ἱκόμεσθα
Ἀκτὴν ἠπείρου Τυρσηνίδος, ἔνθ' ἔτι νῦν περ
Ναιετάει μάλα πολλὸν ἀπόπροθι Κολχίδος αἴης.
Ἀλλὰ τί μύθων ἦδος; ἃ δ' ἐν ποσὶν ὔμμιν ὄρωρεν,
Εἴπατ' ἀριφραδέως· ἠδ' οἵτινες οἵδ' ἐφέπονται
Ἀνέρες, ὁππότε καὶ γλαφυρῆς ἐκ νηὸς ἔβητε.
Τοῖά μιν ἐξερέοντα κασιγνήτων προπάροιθεν

Natæ meæ Phrixique filii, quem supra omnes
Hospites in ædibus meis honoravi,
Quo pacto Æam reveniatis reduces? an malum aliquod
Servatis mediam interfecuit viam? haud equidem mihi
Paruistis ostendenti immensa spacia itineris.
Cognovi enim olim in patris solis curru
Versatus, quando sororem meam veheret
Circen, Hesperiam intra terram; pervenimusque
In oram agri Etrusci, ubi etiamnum
Degit, longè admodum a Colchicâ terrâ.
Sed quid verbis opus est? quæ autem vobis occurrerunt
Exponite accuratè, quique sint qui unà sequuntur
Viri, et quando insigni è nave exscendistis.
Talia eum rogantem ante fratres

306. Ἤ τις ἄτη] οἷον, κακόν τι ὑμᾶς ἐνεπόδισε κατὰ τὸν πλοῦν. Schol.

307. Ἐνέκλασεν] ἐνέκλασε, κατὰ μεταφορὰν ἐνεπόδισε. Schol.

Ibid. Σωομένοις Gall. σωομένους.

311. Κίρκην Ἑσπερίης] ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσείας πλάνην. ὧν ἀρχηγὸς Ἡσίοδος, καθερμηνευμένη λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει. Ἑσπερίης ἔσω χθονός. περὶ τὴν Ἰταλίαν ᾤκησεν ἡ Κίρκη, ὅθεν ὄρος Κιρκαῖον, ἀπ' αὐτῆς πολυφαρμάκου. φησὶ δὲ Ἀπολλώνιος, Ἡσιόδῳ ἑπόμενος, ἐπὶ τοῦ ἅρματος τοῦ ἡλίου εἰς τὴν κατὰ Τυρρηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν. Ἑσπερίαν δὲ αὐτὴν εἶπεν, ἐπεὶ πρὸς δυσμαῖς κεῖται.

Ἄργος,

Ἄργος, ὑποδδείσας ἀμφὶ στόλῳ Αἰσονίδαο,
Μειλιχίως προσέειπεν, ἐπεὶ προγενέστερος ἦεν.
Αἰήτη, κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι
Ζαχρηεῖς· αὐτοὺς δ᾽ ὑπὸ δούρασι πεπτηῶτας
Νήσου Ἐνυαλίοιο ποτὶ ξερὸν ἔκβαλε κῦμα
Λυγαίῃ ὑπὸ νυκτί· Θεὸς δέ τις ἄμμ᾽ ἐσάωσεν.
Οὐδὲ γὰρ αἳ τοπάροιθεν ἐρημαίην κατὰ νῆσον
Ηὐλίζοντ᾽ ὄρνιθες Ἀρήιαι, οὐδέ τι κείνας
Εὕρομεν· ἀλλ᾽ οἵγ᾽ ἄνδρες ἀπήλασαν ἐξαποβάντες
Νηὸς ἑῆς προτέρῳ ἐνὶ ἤματι· καί σφ᾽ ἀπέρυκεν
Ἡμέας οἰκτείρων Ζηνὸς νόος, ἠέ τις αἶσα·
Αὐτίκ᾽ ἐπεὶ καὶ βρῶσιν ἅλις καὶ εἵματ᾽ ἔδωκαν,
Οὔνομά τε Φρίξοιο περικλεὲς εἰσαΐοντες,
Ἠδ᾽ αὐτοῖο σέθεν· μετὰ γὰρ τεὸν ἄστυ νέονται.

Argus, timens aliquantulum Jasonis classi,
Blandè allocutus est; nam natu erat maximus.
Æeta, illam quidem statim diffregerunt procellæ
Impetuosæ; ipsosque tabulis illapsos
Insulæ Martis ad oras ejecit unda
Obscurâ sub nocte; nos autem Deorum aliquis servavit:
Nec enim, quæ antea in insulâ desertâ
Versabantur aves Martiæ, eas aliquando
Offendimus; verùm isti viri abegerant egressi
Nave suâ pridiè; eosque retinuit
Nostri misertus Jupiter, aut sors aliqua:
Statim quippe hi deinde alimenti satis et vestium dederunt,
Audito inclytissimo Phrixi nomine,
Et tuo ipsius; ad tuam enim urbem veniunt.

320. Διέχευαν. Hesychius διεμέλισαν, Virgilius, *disjecerunt*: Glossæ, ἐξηρθρώσαν, deartuarunt: Scaligeranæ ἀπηρθρώσαν. Cicero, exartuarunt. Gallic. διέχευσαν, minùs probè. Hœl.

322. Ποτὶ ξερὸν] ἐπὶ τὸ ξηρὸν ἀπὸ τοῦ ὑγροῦ τῆς θαλάσσης. ἡ δὲ ποτὶ πρόθεσις παρὰ μὲν Δωριεῦσι πρὸς, παρ᾽ ἡμῖν δὲ καὶ Ἴωσιν ἐλλείπει ἀντὶ τῆς παρά. Ὅμηρος. "ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ." καὶ ἡ Δωρικὴ παροιμία. τὸν λίθον ποτὶ τὸ σπάρτον ἄγειν. Schol.

327. Νηὸς ἑῆς] κακῶς τὸ ἑῆς, ἐπὶ πλήθους. ἔστι γὰρ ἑνικόν. ἔδει δὲ εἰπεῖν σφετέρης. Schol.

Χρειὼ

Χρειὼ δ', ἣν ἐθέλεις ἐξίδμεναι, οὔ σ' ἐπικεύσω.
Τόνδε τις ἱέμενος πάτρης ἀπάνευθεν ἐλάσσαι
Καὶ κτεάνων βασιλεὺς περιώσιον, οὕνεκεν ἀλκῇ
Σφωϊτέρῃ πάντεσσι μετέπρεπεν Αἰολίδῃσιν,
Πέμπει δεῦρο νέεσθαι ἀμήχανον· οὐδ' ὑπαλύξειν
Στεῦται ἀμειλίκτοιο Διὸς θυμαλγέα μῆνιν
Καὶ χόλον, οὐδ' ἄτλητον ἄγος, Φρίξοιό τε ποινὰς,
Αἰολιδῶν γενεὴν, πρὶν ἐς Ἑλλάδα κῶας ἱκέσθαι.
Νῆα δ' Ἀθηναίη Παλλὰς κάμεν, οὐ μάλα τοίην
Οἷαί περ Κόλχοισι μετ' ἀνδράσι νῆες ἔασι,
Τάων αἰνοτάτης ἐπεκύρσαμεν· ἤλιθα γάρ μιν
Λάβρον ὕδωρ πνοιή τε διέτμαγεν· ἡ δ' ἐνὶ γόμφοις
Ἴσχεται, ἢν καὶ πᾶσαι ἐπιβρίσωσιν ἄελλαι.
Ἶσον δ' ἐξ ἀνέμοιο θέει, καὶ ὅτ' ἀνέρες αὐτοὶ

Causam verò, si cupias cognoscere, non à te celabo.
Hunc conans à patriâ longè abigere
Et possessionibus quidam supra modum rex, quòd virtute
Suâ, omnibus præstaret Æoli nepotibus,
Mittit hùc ire, impotem negandi: neque aufugiturum
Asseverat implacabilis Jovis luctuosam iram
Et indignationem, nec inexpiabilem luem, Phrixique pœnas
Æolidarum genus, priusquam in Græciam pellis veniat.
Navem autem Pallas Miverva fabricavit; non omnino talem
Quales Colchicos intes homines naves sunt:
Harum pessimam nacti sumus; facilè enim eam
Insana unda ventusque diffregerunt; hæc vero compaginibus
Tenetur, vel si omnes ingruant procellæ:
Æquè autem vento currit, et quando viri ipsi

335. Σφωϊτέρῃ] κακῶς εἶπεν ἀντὶ ἑνικοῦ. ἔστι γὰρ δυϊκόν. ὁ δὲ Ἰάσων ἀπὸ Αἰόλου τὸ γένος κατάγει, ὡς Ἑλλάνικος. Schol.

337. Στεῦται ἀμειλίκτοιο] ὁ νοῦς. ὁρίζεται δὲ τοὺς ἀπ' Αἰόλου οὐκ ἐκφεύξεσθαι τὸν ἀνεξίλαστον χόλον τοῦ Διὸς, οὐδὲ τὸ μίασμα καὶ τὴν Φρίξου ποινὴν, πρὶν τὸ κῶας εἰς τὴν Ἑλλάδα κομισθῆναι. τὸ δὲ ἑξῆς. στεῦται δὲ Αἰολιδῶν γενεὴν οὐχ ὑπαλύξειν ἀμειλίκτοιο Διὸς μῆνιν καὶ χόλον, πρὶν ἐς Ἑλλάδα ἱκέσθαι. Schol.

342. Τάων] τῶν Κολχικῶν κακίστης ἐτύχομεν νεώς. Ἐπεκύρσαμεν, ἐνετύχομεν. Ἤλιθα, ἀθρόως. Schol.

Νωλεμέως

Νωλεμέως χείρεσσιν ἐπισπέρχουσιν ἐρετμοῖς.
Τῇ δ' ἐναγειράμενος παναχαιΐδος εἴ τι φέριστον
Ἡρώων, τεὸν ἄστυ μετήλυθε, πόλλ' ἐπαληθεὶς
Ἄστεα, καὶ πελάγη στυγερῆς ἁλὸς, εἴ οἱ ὀπάσσαις.
Αὐτῷ δ' ὥς κεν ἅδοι, τὼς ἔσσεται· οὐ γὰρ ἱκάνει
Χερσὶ βιησάμενος· μέμονεν δέ τοι ἄξια τίσειν
Δωτίνης, ἀΐων ἐμέθεν μέγα δυσμενέοντας
Σαυρομάτας, τοὺς σοῖσιν ὑπὸ σκήπτροισι δαμάσσει.
Εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις γενεήν τε
Ἴδμεναι οἵτινες εἰσὶν, ἕκαστά γε μυθησαίμην.
Τόνδε μὲν, οἷόπερ οὕνεκ' ἀφ' Ἑλλάδος ὧλλοι ἄγερθεν,
Κλείουσ' Αἴσονος υἱὸν Ἰήσονα Κρηθεΐδαο.
Εἰ δ' αὐτοῦ Κρηθῆος ἐτήτυμον ἐστι γενέθλης,

Indefinenter manibus inurgeant remis.
In hanc collecto, quantuscunque in omni Græciâ erat, flore
Heroum, tuam accessit urbem, multis oberratis
Et urbibus, et maris horrendi viis, si fortè ei *vellus* concedas.
Utcunque autem tibi ipsi placuerit, ita erit; non enim venit
Manibus vim illaturus; cupit autem tibi digna rependere
Dono, audiens a me mirè infenso esse animo
Sauromatas, quos tuis sub sceptris rediget.
Si verò et nomen cupias genusque
Cognoscere, quinam sint, singula memorabo.
Hunc quidem, cujus causâ cæteri è Græciâ collecti sunt,
Vocant Jasonem Æsonis filium Cretheo sati.
Quòd si ipsius Crethei reverà est de genere,

348. —— τεὸν ἄστυ μετήλυθε, πόλλ' ἐπαληθεὶς
Ἄστεα, &c.
—— Lavinaque venit
Littora, multum ille, &c.
Æn. I.

350. Αὐτῷ] ἀντὶ τοῦ σοί. Schol.

351. Βιησάμενος. Retinendum hoc pro βιησόμενος, quod in editione Gallicana. Sic enim χωρῆσαι pro χωρήσειν, Joh. XXI. ἐπαυρήσασθαι οἴω, Il. ζ. ut legit Schol. παύσασθαι et νιψάμενος Ulyss. β'. Il. δ'. ἀποτίσαι, hoc est ἀποτίσουσιν. Callim. in Del. ἐφύλαξα pro φυλάξω. Hoel.

354. Δῆθεν] παρέλκεται τὸ δῆθεν. εἰ δὲ [illegible], φησὶν, ἱκάσε γνῶναι τὴν γενεὰν καὶ τοὔνομα, πάντα ἐξείποιμι. Schol.

356. Οἱόπερ] Οὗτινος χάριν. Schol.

Οὕτω κεν γνωτὸς πατρώϊος ἄμμι πέλοιτο.
Ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἷες,
Φρίξος δ' αὖτ' Ἀθάμαντος ἔην πάϊς Αἰολίδαο.
Τόνδε δ' ἄρ', ἠελίου γόνον ἔμμεναι ἔςτιν' ἀκούεις,
Δέρκεαι Αὐγείην· Τελαμὼν δ' ὅγε κυδίστοιο
Αἰακοῦ ἐκγεγαώς· Ζεὺς δ' Αἰακὸν αὐτὸς ἔτικτεν.
Ὣς δὲ καὶ ὧλλοι πάντες ὅσοι συνέπονται ἑταῖροι,
Ἀθανάτων υἷές τε καὶ υἱωνοὶ γεγάασιν.
Τοῖα παρέννεπεν Ἄργος· ἄναξ δ' ἐπεχώσατο μύθοις,
Εἰσαΐων, ὑψοῦ δὲ χόλῳ φρένες ἠερέθοντο.
Φῆ δ' ἐπαλαστήσας (μενέαινε δὲ παισὶ μάλιστα
Χαλκιόπης· τῶν γάρ σφι μετελθέμεν οὕνεκ' ἐώλπει.
Ἐκ δέ οἱ ὄμματ' ἔλαμψαν ὑπ' ὀφρύσιν ἱεμένοιο)
Οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀποπρόθι, λωβητῆρες,
Νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης,

Hoc modo consanguineus paternus nobis sit:
Ambo enim Cretheus ac Athamas erant Æoli filii,
Phrixus autem Athamantis erat filius Æolidæ.
Hunc porro, si quem solis esse filium audis,
Cernis Augeam: hic verò est Telamon, à clarissimo
Æaco natus: Æacum autem ipse Jupiter genuit.
Similiter etiam cæteri omnes quotquot unà sequuntur socii,
Deorum aut filii aut nepotes sunt.
Talia locutus est Argus. Rex verò accensus est, auditis
Verbis, altéque irâ mentes inflatæ sunt.
Dixitque graviter affectus (maximè autem irascebatur filiis
Calciopes, horum enim illos advenisse causâ putabat,
Ejusque micuerunt oculi sub superciliis, incitati)
Nonne statim ab oculis longè meis, flagitiosi,
Cum ipsis dolis abitis retrofugi è terrâ,

359. Οὕτω κεν γνωτὸς] ἀντὶ τοῦ συγγενής. ἢ ἀνεψιδοῦς, διεξάδελφος. Κρηθεὺς καὶ Ἀθάμας ἀδελφοί, Αἰόλου παῖδες. Κρηθέως Αἴσων, Αἴσονος Ἰάσων, Ἀθάμαντος δὲ Φρίξος, οὗ Ἄργος. Schol.

368. Ἠερέθοντο] μετεωρίζοντο τοῦ νοῦ χολουμένου. ἀντὶ τοῦ οἰδαίνοντο, ἐφυσῶντο. Schol.

Πρὶν

Πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι,
Αὐτίχ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος; οὐδ' ἐπὶ κῶας,
Σκῆπτρα δὲ καὶ τιμὴν βασιληΐδα δεῦρο νέεσθε.
Εἰ δέ κε μὴ προπάροιθεν ἐμῆς ἥψασθε τραπέζης,
Ἦτ' ἂν ἀπὸ γλώσσας τε ταμὼν, καὶ χεῖρε κεάσσας
Ἀμφοτέρας, οἴοισιν ἐπιπροέηκα πόδεσσιν,
Ὡς κεν ἐρητύοισθε καὶ ὕστερον ὁρμηθῆναι.
Οἷα δὲ καὶ μακάρεσσιν ἐπεψεύσασθε θεοῖσι.
Φῆ ῥα χαλεψάμενος· μέγα δὲ φρένες Αἰακίδαο
Νειόθεν οἰδαίνεσκον· ἐέλδετο δ' ἔνδοθι θυμὸς
Ἀντιβίην ὀλοὸν φάσθαι ἔπος· ἀλλ' ἀπέρυκεν
Αἰσονίδης· πρὸ γὰρ αὐτὸς ἀμείψατο μειλιχίοισιν.
Αἰήτη, σχέο μοι τῷδε στόλῳ· οὔτι γὰρ αὔτως

Prinsquam aliquis luctuosam pellem, et Phrixum videat,
Huc usque unà comitati à Græciâ? non sane ad vellus [illegible]
Sed ad sceptrum, honoresque regios huc venistis.
Quòd nisi meam antea contigissetis mensam,
Linguis exsectis, manibusque amputatis
Utrisque, solis remisissem pedibus,
Ut cohiberemini ab impetu in posterum faciendo.
Quanta verò contra beatos mentiti estis Deos!
Dixit, graviter succensens: mirè verò mentes Æacidæ
Ex imo intumuerunt; cupiebatque intus animus
Contrà loqui verbum perniciosum: illum verò cohibuit
Jason, qui ipse prior respondit verbis blandis.
Æeta, cohibe teipsum meâ causâ hâc in classe; non enim temerè

375. Αὐτίκα] ἀντὶ τοῦ νῦν. τὸ δὲ τῆς νέεσθε, ἀπὸ κοινοῦ τὸ ἔολπα. Ἄλλως. τὸ δὲ τῆς αὐτίχ' ὁμαρτήσαντες, προσεκτέον. ὅτι ἀσαφῶς εἴρηται. ἴσως οὖν αὖθις ἀντὶ τοῦ αὐτίκα ῥητέον· καὶ ἀντὶ τοῦ ἀφ' Ἑλλάδος, ἐφ' Ἑλλάδα. ἵν' ᾖ, οὐκ ἄφαρ ὑποστρέψετε ὡς Ἑλλάδα. ἢ στείλαντες εἰς τὸ Ἑλλάδα ἐπιπλέειν, τὸ ἑξῆς ἐπιφέρειν δεῖ, οὐκ ἐπὶ κῶας δεῦρο νέεσθε, ἐπὶ τὰ σκῆπτρα δὲ καὶ τὴν βασίλειον τιμήν. ὥστε ὁ [illegible], οὐδ' ἐπὶ κῶας, ἀλλ', οὐκ ἐπὶ κῶας· οὐδὲ, σκῆπτρόν τι, ἀλλὰ σκῆπτρα δέ. οἱ δὲ χολιογράφοι ἐοίκασιν ἄλλῃ τινὶ γραφῇ ἐντυχεῖν. φασὶ γὰρ ἀπὸ κοινοῦ νοεῖσθαι τὸ ἔολπα. οὐδαμοῦ δὲ εἴρηται τὸ ἔολπα. Schol.

386. Αἰήτη, σχέο μοι] ὦ Αἰήτη, ἐπίσχες ἢ ἀνάσχου μοι περὶ τούτου τοῦ στόλου. Schol.

Ibid. —— οὔτι γὰρ αὔτως

Ἄστυ τεὸν καὶ δώμαθ' ἱκάνομεν, ὥς που ἐολπας,
Οὐδὲ μὲν ἱέμενοι (τίς δ' ἂν τόσον οἶδμα περῆσαι
Τλαίη ἑκὼν ὀθνεῖον ἐπὶ κτέρας;) ἀλλά με δαίμων
Καὶ κρυερὴ βασιλῆος ἀτασθάλου ὦρσεν ἐφετμή.
Δὸς χάριν ἀντομένοισι· σέθεν δ' ἐγὼ Ἑλλάδι πάσῃ
Θεσπεσίην οἴσω κληηδόνα· καὶ δέ τοι ἤδη
Πρόφρονες εἰμὲν Ἄρηϊ θοὴν ἀποτίσαι ἀμοιβὴν,
Εἴτ' οὖν Σαυρομάτας γε λιλαίεαι, εἴτε τιν' ἄλλον
Δῆμον σφωϊτέροισιν ὑπὸ σκήπτροισι δαμάσσαι.
Ἴσκεν, ὑποσσαίνων ἀγανῇ ὀπί· τοῖο δὲ θυμὸς
Διχθαδίην πόρφυρεν ἐνὶ στήθεσσι μενοινὴν,
Ἤ σφεας ὁρμηθεὶς αὐτοσχεδὸν ἐξεναρίζοι,
Ἤ ὅγε πειρήσαιτο βίης· τό οἱ εἴσατ' ἄρειον
Φραζομένῳ· καὶ δή μιν ὑποβλήδην προσέειπε.

Urbem tuam et ædes pervenimus, ut ſanè reris,
Nec cupiditate aliquâ *regni*, (quis enim tantam undam emetiri
Suſtineret volens alienas ob poſſeſſiones?) verùm me Deus
Ac ſeverum regis protervi impulit mandatum.
Veniam da precantibus; tuam verò ego per totam Græciam
Immortalem feram laudem: et nunc etiam
Parati ſumus ad rependendam bello citam gratiam,
Sive Sauromatas cupias, vel alium aliquem
Populum tuis ſub ſceptris redigere.
Dixit, demulcens miti voce: hujus autem animus
Duplicem verſabat in pectore ſententiam,
Utrumne eos adortus illico interficeret,
An periculum faceret virium; quod ipſi potius viſum eſt
Deliberanti; eum igitur viciſſim allocutus eſt.

Ἄστυ τεὸν, &c.
Non nos aut ferro Libycos populare penates
Venimus, &c. Æn. I.

388. Οὐδὲ μὲν ἱέμενοι] οὐδὲ ἐφιέμενοι τῆς σῆς βασιλείας. Schol.

395. Σφωϊτέροισιν] κακῶς τῷ σφωϊτέροισιν ἐχρήσατο. ἔδει γὰρ εἰπεῖν τεοῖσι. Schol.

396. Ἴσκεν] Ὁμηρικῶς. Schol.

399. Πειρήσαιτο βίης] πεῖραν λάβοι τῆς ἰσχύος τῶν ἡρώων. Schol.

400. Ὑποβλήδην] κακῶς τὸ ὑποβλήδην. κεῖται γὰρ ἀντὶ τοῦ καταπλῆξαι τὸν ἕτερον λέγοντα. Schol.

ξεῖνε,

Ξεῖνε, τί κεν τὰ ἕκαστα διηνεκέως ἀγορεύεις;
Εἰ γὰρ ἐτήτυμόν ἐστε θεῶν γένος, ἠὲ καὶ ἄλλως
Οὐδὲν ἐμεῖο χέρηες ἐπ' ὀθνείοισιν ἔβητε,
Δώσω τοι χρύσειον ἄγειν δέρος, ἤν κ' ἐθέλῃσθα,
Πειρηθείς· ἐσθλοῖς γὰρ ἐπ' ἀνδράσιν οὔτι μεγαίρω,
Ὡς αὐτοὶ μυθεῖσθε τὸν Ἑλλάδι κοιρανέοντα.
Πεῖρα δέ τοι μένεός τε καὶ ἀλκῆς ἔσσετ' ἄεθλος,
Τόν ῥ' αὐτὸς περίειμι χεροῖν ὀλοόν περ ἐόντα.
Δοιώ μοι πεδίον τὸ Ἀρήιον ἀμφινέμονται
Ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντε.
Τοὺς ἐλάω ζεύξας στυφελὴν κατὰ νειὸν Ἄρηος
Τετράγυον· τὴν αἶψα ταμὼν ἐπὶ τέλσον ἀρότρῳ,
Οὐ σπόρον ὁλκοῖσιν Δηοῦς ἐνιβάλλομαι ἀκτήν,

Quare, hoſpes, ſingula prolixè recenſes?
Si enim reverà eſtis Deorum genus, an alioquin
Me nihilo deteriores ad aliena veniſtis,
Dabo tibi abducendum vellus aureum, ſi volueris
Expertus; ſtrenuis enim viris nihil invideo;
Qualem ipſi dicitis Græciæ dominatorem.
Tentamini autem virtutis et roboris erit certamen
Quod ipſe ſubeo manibus, utcunque periculoſum.
Duo mihi per campum Martium paſcuntur
Tauri æripides, qui ex ore flammam efflant.
Hos impello jugatos per aſperum novale Martis
Quatuor amplum jugera; quo ad fines uſque perarato,
Non ſeminalem ſulcis Cereris injicio frugem,

401. Διηνεκέως ἀγορεύεις] ἀντὶ τοῦ μακρηγορεῖς. Schol.

405. Μεγαίρω] ἀντὶ τοῦ οὐ φθονῶ ὑμῖν ὡς ὁ Πελίας. πεῖραν δὲ λαβὼν τῆς σῆς ἀνδρείας, παρέξω τὸ δέρας. οὐ γὰρ φίλον μοι τὸ φθονεῖν. Schol.

406. Ἑλλάδι κοιρανέοντα] τὸν Πελίαν λέγει. Schol.

408. Ὀλοόν] τὸν ἄεθλον. Schol.

409. Δοιώ μοι πεδίον] καὶ Ἀντίμαχος ἐν τῇ Λυδῇ ἡφαιστοτεύκτους τοὺς ταύρους ἀπεφήνατο. Schol.

411. Στυφελὴν] τραχεῖαν. πεντηκοντόγυον φησὶ Φερεκύδης ἐν τῇ ἕκτῃ. Schol.

413. Σπόρον] πυρόν. Ὁλκοῖσι. ταῖς ἐγχαράξεσιν. ἐληθμένου γὰρ τοῦ ἀρότρου, ἡ γῆ διαῤῥήγνυται. Δηοῦς, Δήμητρος. Schol.

Ἀλλ'

Ἀλλ' ὄφιος δεινοῖο μεταλδήσκοντας ὀδόντας
Ἀνδράσι τευχηστῇσι δέμας· τοὺς δ' αὖθι δαΐζων
Κείρω ἐμῷ ὑπὸ δουρὶ περισταδὸν ἀντιόωντας.
Ἠέριος ζεύγνυμι βόας, καὶ δείελον ὥρην
Παύομαι ἀμήτοιο· σὺ δ' εἰ τάδε τοῖα τελέσσεις,
Αὐτῆμαρ τόδε κῶας ἀποίσεαι εἰς βασιλῆος.
Πρὶν δέ κεν οὐ δοίην· μηδ' ἔλπεο· δὴ γὰρ ἀεικὲς
Ἄνδρ' ἀγαθὸν γεγαῶτα κακωτέρῳ ἀνέρι εἶξαι.
Ὣς ἄρ' ἔφη. Ὁ δὲ σῖγα ποδῶν πάρος ὄμματα πήξας,
Ἧστ' αὔτως ἄφθογγος, ἀμηχανέων κακότητι.
Βουλὴν δ' ἀμφὶ πολὺν στρώφα χρόνον· οὐδέ πῃ εἶχε
Θαρσαλέως ὑποδέχθαι· ἐπεὶ μέγα φαίνετο ἔργον.
Ὀψὲ δ' ἀμειβόμενος προσελέξατο κερδαλέοισιν.
Αἰήτη, μάλα τοί με δίκῃ περιπολλὸν ἐέργεις.
Τῷ καὶ ἐγὼ τὸν ἄεθλον ὑπερφίαλόν περ ἐόντα,

Sed serpentis horrendi dentes, qui renascuntur
Viris corpus armatis; eos inibi discerptos
Interficio meâ sub hastâ circumcircà undique adversantes.
Matutinus jungo tauros, et sub vesperam
Quiesco a messurâ: hæc talia si tu perfeceris,
Eo die vellus auferes ad regis *ædes*.
Prius autem nullo modo concedam; nec sperato; indignum enim esset
Virum fortem natum cedere ignaviori.
Sic locutus est: ille autem tacitè, ante pedes oculis defixis,
Sedebat prorsus elinguis, perplexus malis.
Consilium huc, illuc, diu versabat, nec aliquo modo potuit
Audacter polliceri, arduum enim videbatur facinus.
Serò tamen respondens allocutus est verbis astutis.
Æeta, haud injuriâ me valde admodum circumclaudis.
Quocirca et ego certamen, immensum licèt,

416. Κείρω] κτείνω. Περισταδὸν. περιεστῶτας καὶ ἐναντιουμένους, ἢ ἐξισοῦντας. Schol.

422. Πάρος] νῦν ἐπὶ τόπου τὸ πάρος. κεῖται δὲ καὶ ἐπὶ χρόνου. Schol.

427. Περιπολλὸν ἐέργεις] ὁ νοῦς. λίαν με τῷ δικαίῳ ἐγκλείεις, συνέχεις. διόπερ ἐγὼ καίπερ ὑπερφέροντα τῇ βίᾳ τὸν ἄθλον ὑποίσω μέχρι θανάτου. ἀρσενικῶς δὲ εἶπε τὴν μοῖραν μόρον. Schol.

Τλήσομαι,

Τλήσομαι, εἰ καί μοι θανέειν μόρος· οὐ γὰρ ἔτ' ἄλλο
Ῥίγιον ἀνθρώποισι κακῆς ἐπικείσετ' ἀνάγκης,
Ἥ με καὶ ἐνθάδε νεῖσθαι ἐπέχραεν ἐκ βασιλῆος.
Ὧς φάτ' ἀμηχανίῃ βεβολημένος· αὐτὰρ ὁ τόν γε
Σμερδαλέοις ἐπέεσσι προσέννεπεν ἀσχαλόωντα.
Ἔρχεο νῦν μεθ' ὅμιλον· ἐπεὶ μέμονάς γε πόνοιο.
Εἰ δὲ σύ γε ζυγὰ βουσὶν ὑποδδείσαις ἐπαεῖραι,
Ἠὲ καὶ οὐλομένου μεταχάσσεαι ἀμητοῖο,
Αὐτῷ κεν τὰ ἕκαστα μέλοιτό μοι· ὄφρα καὶ ἄλλος
Ἀνὴρ ἐῤῥίγῃσιν ἀρείονα φῶτα μετελθεῖν.
Ἴσκεν ἀπηλεγέως· ὁ δ' ἀπὸ θρόνου ὄρνυτ' Ἰήσων,
Αὐγείης Τελαμών τε παρασχεδόν· εἵπετο δ' Ἄργος
Οἶος· ἐπεὶ μεσσηγὺς ἔτ' αὐτόθι νεῦσε λιπέσθαι
Αὐτοκασιγνήτοις· οἱ δ' ἤισαν ἐκ μεγάροιο.

Sustinebo, vel mori fatum sit; neque enim aliud
Magis horrendum hominibus durâ accidit necessitate;
Quæ me etiam huc proficisci impulit à rege.
Sic dixit, rei difficultate perculsus: cæterùm ille hunc
Sævis verbis allocutus est tristantem.
Abi nunc ad turmam tuam, quandoquidem in animo est tibi laborem subire:
Quòd si tu bobus juga imponere metueris,
Aut periculosam refugeris messem,
Mihi ipsi singula sint curæ; ut et alius
Aliquis horrescat fortiorem virum convenire.
Dixit intrepidè: à solio autem erupit Jason,
Juxtaque Augeas et Telamon; sequebatur autem Argus
Solus; nam interim ut ibi manerent, innuit
Fratribus; ipsi verò ibant ex ædibus.

429. Οὐ γὰρ ἔτ' ἄλλο] οὐδὲν γὰρ ἀνθρώποις χεῖρον ἀνάγκης, καθ' ἣν ἀφίγμεθα πρὸς σὲ βιασθέντες ὑπὸ τοῦ βασιλέως. Schol.

438. Μετελθεῖν] ἡ μετὰ ἀντὶ τῆς πρός. πρὸς ἀμείνονα φῶτα ἐλθεῖν. Schol.

439. Ἀπηλεγέως] ἀποτόμως. Schol.

441. Μεσσηγὺς] τὸ μεσσηγὺς αἰτίας ἀποδοτικὸν διὰ τί κατόπιν ἐκείνων ἐπορεύετο ὁ Ἄργος. διότι, φησὶν, ἔνευσε τοῖς ἀδελφοῖς αὐτοῦ ἔτι λιπέσθαι καὶ μεῖναι ἐν τῇ οἰκίᾳ. Schol.

442. Οἱ δ' ἤισαν] ἐξῆλθον, οἱ περὶ Ἰάσονα δηλαδή. Schol.

Θεσπέσιον

Θεσπέσιον δ' ἐν πᾶσι μετέπρεπεν Αἴσονος υἱὸς
Κάλλεϊ καὶ χαρίτεσσιν· ἐπ' αὐτῷ δ' ὄμματα κούρη
Λοξὰ παρὰ λιπαρὴν σχομένη θηεῖτο καλύπτρην,
Κῆρ ἄχεϊ σμύχουσα· νόος δέ οἱ, ἠύτ' ὄνειρος,
Ἑρπύζων πεπότητο μετ' ἴχνια νισσομένοιο.
Καί ῥ' οἱ μέν ῥα δόμων ἐξήλυθον ἀχαλόωντες·
Χαλκιόπη δὲ χόλον πεφυλαγμένη Αἰήταο,
Καρπαλίμως θάλαμονδε σὺν υἱάσιν οἷσι βεβήκει.

Eximiè autem inter omnes prælucebat Æſonis filius
Pulchritudine et venuſtate; et in eum oculos virgo
Obliquè juxta pulchram calyptram fixos tenens, admirabatur *eum*,
Cor dolore abſumens; mens verò illi, tanquam ſomnium,
Repens volabat poſt veſtigia abeuntis.
Ac hi quidem ex ædibus egreſſi ſunt triſtantes;
Chalciope autem, evitatâ Æetæ irâ,
Celeriter in thalamum cum filiis ſuis ſe recepit:

444. Ἐπ' αὐτῷ δ' ὄμματα] ἐπ' αὐτῷ δὲ ἡ Μήδεια λοξὰ τὰ ὄμματα ἔχουσα, θηεῖτο, παραθεμένη τὴν καλύπτραν. Schol.

445. Σχομένη θηεῖτο] ἔχουσα οὖν τὰ ὄμματα ἐπ' αὐτῷ λοξὰ, παραθεμένη τὴν λιπαρὰν καλύπτραν, ἐθαύμαζε. Schol.

Ibid. Παρασχομένη, *obtendens*, Scholiaſta magiſtro, qui exponit παραθεμένη. At verius eſt diviſim legere, παρὰ καλύπτρην σχομένη ὄμματα. Obliquo nimirum et furtivo obtuitu feriebat Jaſonem. Aliter enim eſſet illud ὄμματα deſtitutum verbo. Diverſum eſt quod dixit Homerus Ulyſſeæ α'.

Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα. Hœl.

446. Κῆρ ἄχεϊ] τῇ λύπῃ τὴν ψυχὴν καιομένη καὶ ἀλίσκουσα. Νόος δέ οἱ. ὁ νοῦς. τῷ δὲ νῷ ἀνεθεώρει τὸν Ἰάσονα. οἷον, καθάπερ ὄνειρος μετέωρος ἐπορεύετο κατὰ τὰ ἴχνη τοῦ Ἰάσονος. Schol.

Ibid. —— ἠύτ' ὄνειρος

Ἑρπύζων πεπότητο μετ' ἴχνια.

Ingenti quidem ſed irrito conatu. In ſomnis quippe

—— nequicquam avidos extendere curſus
Velle videmur, et in mediis conatibus ægri
Succidimus.

—— μετ' ἴχνια. Summam hanc ſermonis venuſtatem æquavit pæne Flaccus in his libri VII.

Reſpexitque fores, et adhuc invenit euntem,
Viſus et heu miſeræ tunc pulchrior hoſpes amanti
Diſcedens: tales humeros, ea terga reliquit.

Hic autem eſt αἴσθησις adhuc recentior, et τοῦ παρόντος φάντασμα. Μνήμη in illis προπρὸ δ' ἄρ' ὀφθαλμῶν. De qua cap. 1. περὶ μνήμης, ἡ γὰρ γινομένη κίνησις ἐνσημαίνεται οἷον τύπον τινὰ τοῦ αἰσθήματος, καθάπερ οἱ σφραγιζόμενοι τοῖς δακτυλίοις. Hœl.

Αὔτως

Αὔτως δ' αὖ Μήδεια μετέστιχε· πολλὰ δὲ θυμῷ
Ὅρμαιν', ὅσσα τ' ἔρωτες ἐποτρύνουσι μέλεσθαι.
Προπρὸ δ' ἄρ' ὀφθαλμῶν ἔτι οἱ ἰνδάλλετο πάντα·
Αὐτός θ' οἷος ἔην, οἵοισί τε φάρεσιν ἧστο,
Οἷά τ' ἔειφ', ὥς θ' ἕζετ' ἐπὶ θρόνου, ὥς τε θύραζε
Ἤιεν· οὐδέ τιν' ἄλλον ὀΐσσατο πορφύρουσα
Ἔμμεναι ἀνέρα τοῖον· ἐν οὔασι δ' αἰὲν ὀρώρει
Αὐδή τε μῦθοί τε μελίφρονες, οὓς ἀγόρευσε.
Τάρβει δ' ἀμφ' αὐτῷ μή μιν βόες, ἠὲ καὶ αὐτὸς
Αἰήτης φθίσειεν· ὀδύρετο δ' ἠΰτε πάμπαν
Ἤδη τεθνειῶτα· τέρεν δέ οἱ ἀμφὶ παρειὰς
Δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέε κηδοσύνῃσιν.
Ἦκα δ' ἥ, μυρομένη λιγέως, ἀνενείκατο μῦθον.
Τίπτε με δειλαίην τόδ' ἔχει ἄχος; εἴθ' ὅγε πάντων

Similiter et Medea secuta est; multaque in animo
Versabat, qualia amores incitant ad curandum.
Ante autem oculos illi adhuc apparebant omnia,
Et qualis fuerat ipse, et quibus vestibus indutus erat,
Qualiaque dixerat, quomodo in solio consederat, aut foràs
Iverat; nec alium aliquem putabat animo turbata
Esse virum talem: in auribus autem usque erant
Vox sermonesque mellei quos ediderat.
Metuebat insuper ejus causâ, ne eum vel boves, vel ipse
Æeta interimeret; immo lamentabatur eum, quasi prorsus
Jam mortuum: teneræque ei circa genas
Lachrymæ præ altâ miseratione fluebant et mœstitiâ.
Tacitam tandem inter argutos fletus protulit vocem.
Cur me miseram hic angit dolor? sive ille omnium

453. Προπρὸ δ' ἄρ'] ἐμφαντικῶς αἱ προθέσεις τὴν συνεχῶς ἀνειδωλοποιοῦσαν τῷ νῷ ἐμφαίνουσι. καὶ παρ' Ὁμήρῳ. "προπροκυλινδόμενος." Schol.

Ibid. Προπρὸ δ' ἄρ' ὀφθαλμῶν. Huc respexisse videtur Virgilius IV. 3.

Multa viri virtus animo, multusque recursat
Gentis honos. Upt.

460. Ὀδύρετο δ' ἠΰτε] ἐθρήνει δὲ αὐτὸν ὡς ἤδη τεθνηκότα. Schol.

462. Ἐλέῳ] Ἐλέῳ δὲ συνεχομένη, ἔκλαιεν ἐπ' αὐτῷ λυπουμένη. Schol.

464. Εἴθ' ὅγε] τὸ εἴπε οὐ πρὸς τὸ φθίσεται, ἀλλὰ πρὸς τὸ προφερέστατος ἀναφέρειν δεῖ. ἵν' ᾖ, εἴπε ὅγε προφερέστατος φθίσεται

Φθίσεται ἡρώων προφερέστατος, εἴτε χερείων,
Ἐρρέτω· ἦ μὲν ὄφελλεν ἀκήριος ἐξαλέασθαι.
Ναὶ δὴ τοῦτό γε, πότνα Θεὰ Περσηΐ, πέλοιτο·
Οἴκαδε νοστήσειε φυγὼν μόρον· εἰ δέ μιν αἶσα
Δμηθῆναι ὑπὸ βουσί, τόδε προπάροιθε δαείη,
Οὕνεκεν οὐχ οἱ ἔγωγε κακῇ ἐπαγαίομαι ἄτῃ.
Ἡ μὲν ἄρ' ὣς ἐόλητο νόον μελεδήμασι κούρη.
Οἱ δ' ἐπεὶ οὖν δήμου τε καὶ ἄστεος ἐκτὸς ἔβησαν
Τὴν ὁδὸν ἣν τὸ πάροιθεν ἀνήλυθον ἐκ πεδίοιο,
Δὴ τότ' Ἰήσονα τοῖσδε προσέννεπεν Ἄργος ἔπεσσι.
Αἰσονίδη, μῆτιν μὲν ὀνόσσεαι, ἥντιν' ἐνίψω·

Periturus ſit præſtantiſſimus heroum, ſive deterrimus,
Pereat: utinam tamen illæſus effugiat!
Hoc profectò eveniat, O veneranda dea, Perſeo nata!
Domum redeat, evaſâ peſte: ſi verò ei eſt fato
Ut interimatur à tauris, hoc ſaltem antea ſciat,
Me nullo modo infelici ejus lætari malo.
Sic utique angebatur animum curis virgo.
Poſtquam autem illi extra populum urbemque iverant,
Eâdem viâ, quâ antea advenerant è Campo,
Tunc ſane Jaſonem talibus allocutus eſt Argus verbis.
Æſonis fili, conſilium quidem vituperabis, quod dicturus ſum,

τῶν ἡρώων φθίσεται, ἅτε χείρων, ἤγουν χείρονος. κεῖται γὰρ τὸ συγκριτικὸν ἀντὶ ὑπερθετικοῦ. Schol.

Ibid. Τίπτε με δειλαίην, &c. Medea apud Val. Flacc. VII. 131.

Quid me autem ſic ille movet, ſuperetne labores,
An cadat? Upt.

466. Ἐρρέτω] φθειρέσθω. Ἦ ὤφειλε χωρισθῆναι ἀπαθής, μηδὲν παθών. τοῦτο γὰρ σημαίνει τὸ ἀκήρατος. Schol.

467. Πότνια Θεὰ Περσηΐ] Περσηΐδα τὴν Ἑκάτην λέγει, ὡς τοῦ Πέρσου θυγατέρα. τινὲς δὲ αὐτὴν φασὶ Διὸς εἶναι παῖδα. ἐν δὲ τοῖς Ὀρφικοῖς Δήμητρος γενεαλογεῖται. "καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν." Βακχυλίδης δὲ νυκτός φησιν αὐτὴν θυγατέρα. "Ἑκάτα, δᾳδοφόρε νυκτὸς μεγαλοκόλπου θύγατερ." Μουσαῖος δὲ, Ἀστερίας καὶ Διός· Φερεκύδης δὲ, Ἀρισταίου τοῦ Παίονος.

470. Οὕνεκεν] ὅτι οὐκ ἐπιχαίρω ἐγὼ κακοῖς. ὁ δὲ λόγος ἐρωτικός. Schol.

471. Ἐόλητο] ἐτετάρακτο καὶ ἐν ἀγωνίᾳ ἦν. ὑπερβατόν ἐστι. τὸν γὰρ Ἰάσονα ὁ Ἄργος προσέειπεν. Schol.

Ibid. Ἐόλητο. Flor. αἰόλητο. Cenſet Hœlzlinus mutari poſſe in αἴολτο, ut eſt ἆλτο, ex ἥλατο, γέντο ex ἐγένετο, &c.

Πείρης

Πείρης δ' οὐ μάλ' ἔοικε μεθιέμεν ἐν κακότητι.
Κούρην δή τινα πρόσθεν ὑπέκλυες αὐτὸς ἐμεῖο
Φαρμάσσειν Ἑκάτης Περσηΐδος ἐννεσίῃσιν·
Τὴν εἴ κεν πεπίθοιμεν, ὀΐομαι, οὐκέτι τάρβος
Ἔσσετ' ἀεθλεύοντι δαμήμεναι· ἀλλὰ μάλ' αἰνῶς
Δείδω μήπως οὔ μοι ὑποσταίη τόγε μήτηρ.
Ἔμπης δ' ἐξαῦτις μετελεύσομαι ἀντιβολήσων·
Ξυνὸς ἐπεὶ πάντεσσιν ἐπικρέμαθ' ἧμιν ὄλεθρος.
Ἴσκεν ἐϋφρονέων· ὁ δ' ἀμείβετο τοῖσδ' ἐπέεσσιν.
Ὦ πέπον, εἴ νύ τοι αὐτῷ ἐφανδάνει, οὔτι μεγαίρω.
Βάσκ' ἴθι, καὶ πυκινοῖσι τεὴν παρὰ μητέρα μύθοις
Ὄρνυθι λισσόμενος· μελέη γε μὲν ἧμιν ὄρωρεν
Ἐλπωρὴ, ὅτε νόστον ἐπετραπόμεσθα γυναιξίν.
Ὣς ἔφατ', ὦκα δ' ἕλος μετεκίαθον· αὐτὰρ ἑταῖροι
Γηθόσυνοι ἐρέεινον, ὅπως παρεόντας ἴδοντο.

Tentamen verò nequaquam oportet omittere in rebus dubiis.
Virginem quandam antea ipſe ſubaudiſti à me,
Veneficia exercere ex Hecatæ Perſeo natæ diſciplinâ.
Huic ſi perſuaſerimus, opinor, haud amplius metuendum erit
Ne in certamine perimaris? ſed vehementer admodum
Formido, ne quo modo mihi polliceatur hoc mater.
Attamen iterum adibo ſupplicaturus,
Quandoquidem in nos omnes communis impendeat interitus.
Dixit bene volens: ille reſpondit talibus verbis.
Amiciſſime, ſi hoc tibi placuerit, non invideo.
Vade age, et prudentibus matrem tuam verbis
Incita precando; inanis tamen nobis videtur
Spes, quando reditum committimus mulieribus.
Sic dixit: ſtatimque ad paludem receſſerunt; at ſocii
Læti ſciſcitabantur ex iis ubi advenientes conſpicati ſunt.

478. Ἑκάτης] εἰς ἣν αἱ φαρμακίδες ἀναφέρονται. Schol.

482. Ἀντιβολήσων] συναντήσων. καταστρέφει δὲ εἰς τὸ κοινολογήσομαι, συντάξομαι. Schol.

485. Ὦ πέπον] ὦ γλυκύτατε, ἡδύτατε, προσφιλέστατε. ἐπεὶ καὶ ὁ πέπων μείλιχος. Schol.

490. Παρεόντας] τὸν Ἰάσονα καὶ τοὺς σὺν αὐτῷ. Schol.

Τοῖσιν δ' Αἰσονίδης τετιημένος ἔκφατο μῦθον.
Ὦ φίλοι, Αἰήταο ἀπηνέος ἄμμι φίλον κῆρ
Ἀντικρὺ κεχόλωται· ἕκαστα γὰρ οὔ νύ τοι τέκμωρ
Οὔτ' ἐμοὶ οὔτε κεν ὔμμι διειρομένοισι πέλοιτο.
Φῆ δὲ δύω πεδίον τὸ Ἀρήιον ἀμφινέμεσθαι
Ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντε.
Τετράγυον δ' ἐπὶ τοῖσιν ἐφίετο νειὸν ἀρόσσαι,
Δώσειν δ' ἐξ ὄφεος γενύων σπόρον, ὅς ῥ' ἀνίησιν
Γηγενέας χαλκέοις σὺν τεύχεσιν· ἤματι δ' αὐτῷ
Χρειὼ τούσδε δαΐξαι· ὃ δή νύ οἱ (οὔτι γὰρ ἄλλο
Βέλτερον ἦν φράσσασθαι) ἀπηλεγέως ὑπέστην.
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἀνήνυτος εἴσατ' ἄεθλος.
Δὴν δ' ἄνεῳ καὶ ἄναυδοι ἐς ἀλλήλους ὁρόωντο
Ἄτῃ ἀμηχανίῃ τε κατηφέες· ὀψὲ δὲ Πηλεὺς

Illis Æſonis filius mœſtus ſermonem protulit.
O amici, Æetæ immitis ex imo cor contrà nos
Iracundiam concepit; ſingula enim *mandata* ad finem
Nec à me, nec vobis inquirentibus perduci poſſunt.
Dicebat autem duos per campum Martium paſci
Tauros æripides, qui ex ore flammam efflant;
Quatuor jugerum præterea impoſuit *nobis* novale proſcindendum,
Seque præbiturum è ſerpentis maxillis ſemen, quod reddat
Gigantas æreis cum armis; eodemque die
Neceſſe eſſe illos interficere; quod quidem ei (neque enim aliud
Satius erat quod dicerem) audacter pollicitus ſum.
Sic dixit; cunctis autem videbatur certamen nullo modo perficiendum;
Diuque muti et taciti alii alios intuebantur
Calamitate et conſilii inopiâ vultum demittentes: ſerò tamen Peleus

493. Ἀντικρὺ] φανερώτατα, ἐναντιώτατα. Schol.

494. Διειρομένοισι] διερωτῶσιν ἢ λέγουσιν. ὁ γὰρ νοῦς· ἐναντίως ἡμῖν ἔχει. οὐ γάρ ἐστι πληρωθησόμενον οὔτε ἐμοὶ λέγοντι, οὔτε ὑμῖν ἐρωτῶσι τὰ ἐπιταττόμενα. Schol.

497. Ἐφίετο] ἐνετείλατο. Schol.

500. Ὃ δή νύ οἱ] τὸ ἑξῆς. ὅπερ αὐτῷ συντόμως ὑπεσχόμην. οὐ γὰρ ἦν ἄλλο τι σκέψασθαι βέλτιον. Schol.

502. Ἀνήνυτος] δυσκατόρθωτος. Schol.

Θαρσαλέως

Θαρσαλέως μετὰ πᾶσιν ἀριστήεσσιν ἔειπεν.
Ὥρη μητιάασθαι ὅ κ' ἕρξομεν· οὐ μὲν ἔολπα
Βουλῆς εἶναι ὄνειαρ, ὅσον τ' ἐπὶ κάρτεϊ χειρῶν.
Εἰ μέν νυν τύνη ζεῦξαι βόας Αἰήταο
Ἥρως Αἰσονίδη, φρονέεις, μέμονάς τε πόνοιο,
Ἦτ' ἂν ὑποσχεσίην πεφυλαγμένος ἐντύναιο.
Εἰ δ' οὔτοι μάλα θυμὸς ἑῇ ἐπὶ πάγχυ πέποιθεν
Ἠνορέῃ, μήτ' αὐτὸς ἐπείγεο, μήτε τιν' ἄλλον
Τῶνδ' ἀνδρῶν πάπταινε παρήμενος· οὐ γὰρ ἔγωγε
Σχήσομ'· ἐπεὶ θάνατός γε τὸ κύντατον ἔσσεται ἄλγος.
Ὣς ἔφατ' Αἰακίδης· Τελαμῶνι δὲ θυμὸς ὀρίνθη·
Σπερχόμενος δ' ἀνόρουσε θοῶς· ἐπὶ δὲ τρίτος Ἴδας
Ὦρτο μέγα φρονέων· ἐπὶ δ' υἱες Τυνδαρέοιο.
Σὺν δὲ καὶ Οἰνείδης ἐναρίθμιος αἰζηοῖσιν

Audacter inter omnes proceres locutus est.
Tempus est jam decernendi quid agendum sit; non equidem puto
Salutem tantùm in consilio esse, quantùm in robore manuum.
Si igitur tu boves jungere Æetæ
Heros Æsonis fili, in animo habes, et animosè audes laborem,
Profectò, servatâ fide, ad opus accingere.
Quòd si tuus animus non omnino suæ confisus fuerit
Virtuti, nec adurgearis ipse, nec alium aliquem
His ex viris assidens circumspicias, non enim ego
Patiar, quoniam mors summus erit dolor.
Sic dixit Æaci filius: Telamoni autem animus commotus est,
Concitatusque prosiliit velociter: deinde tertius Idas
Impulsus est, magno animo, et insuper filii Tyndarei.
Unáque etiam Oenides annumeratus erat fortibus

510. Πεφυλαγμένος ἐντύναιο] φυλάττων τὴν ὑπόσχεσιν παρασκευάζου. ἐντύνειν γὰρ τὸ παρασκευάζειν. Schol.

511. Ἑῇ] κοινῶς τὸ ἰῇ. τρίτου γάρ ἐστι προσώπου, ἀντὶ δὲ σῇ. Schol.

513. Οὐ γὰρ ἔγωγε] ἀντὶ τοῦ, ἐγὼ οὐκ ἀνέξομαι. τί γὰρ πλέον ἢ θάνατός με περιμένει; ὁ μὲν Ἀπολλώνιος τούτους φησὶ προθυμεῖσθαι ζεῦξαι τοὺς βόας· ὁ δὲ τὰ ναυπακτικὰ ποιήσας πάντας ἀριθμεῖ τοὺς ὑπ' αὐτοῦ φερομένους ἀρίστεις. Schol.

Ibid. Παρήμενος. Flor. παρήμενον. Quod melius.

Ἀνδράσιν

Ἀνδράσιν, οὐδέ περ ὅσσον ἐπανθιόωντας ἰούλους
Ἀντέλλων· τοίῳ οἱ ἀείρετο κάρτεϊ θυμός.
Οἱ δ᾽ ἄλλοι ἕξαντες ἄκην ἔχον· αὐτίκα δ᾽ Ἄργος
Τοῖον ἔπος μετέειπεν ἐελδομένοισιν ἀέθλου.
Ὦ φίλοι, ἤτοι μὲν τόδε λοίσθιον· ἀλλά τιν᾽ οἴω
Μητρὸς ἐμῆς ἔσσεσθ᾽ ἐναίσιμον ὔμμιν ἀρωγήν.
Τῷ καίπερ μεμαῶτες ἐρητύοισθ᾽ ἐνὶ νηῒ
Τυτθὸν ἔθ᾽, ὡς τοπάροιθεν· ἐπεὶ καὶ ἐπισχέμεν ἔμπης
Λώϊον, ἢ κακὸν οἶτον ἀφειδήσαντας ἑλέσθαι.
Κούρη τὶς μεγάροισιν ἐνιτρέφετ᾽ Αἰήταο,
Τὴν Ἑκάτη περίαλλα θεὰ δάε τεχνήσασθαι
Φάρμαχ᾽, ὅσ᾽ ἤπειρός τε φύει καὶ νήχυτον ὕδωρ·
Τοῖσι καὶ ἀκαμάτοιο πυρὸς μειλίσσετ᾽ ἀϋτμήν,

Viris, quanquam nihil adhuc florentis lanuginis
Emisisset; tali ei efferebatur fortitudine animus.
Alii verò cedentes vocem comprimebant: statim Argus
Tale locutus est verbum cupientibus certaminis.
O amici, hoc certè postremum *certamen*; sed aliquod puto
Matris meæ fore utile vobis consilium.
Quare, utcunque cupidi, in nave vosmet contineatis
Paulum adhuc, sicut antea, quoniam compescere nos omnino
Satius est, quàm malum interitum profusâ audaciâ accersere.
Virgo quædam in ædibus alitur Æetæ
Quam Hecate dea eximiè docuit artificiosè parare
Venena, quæcunque terrà profert, et diffusissima aqua.
Cum his vel indefessi ignis sedat flammam,

523. Ἀλλά τιν᾽ οἴω] δυνατὸν, φησὶν, ἡ μήτηρ ἡ ἐμὴ πεῖσαι τὴν Μήδειαν συνεργῆσαι τὸν ἆθλον. ἐν δὲ τοῖς ναυπακτικοῖς Ἴδμων ἀναστὰς Ἰάσονα κελεύει ὑποστῆναι τὸν ἆθλον. Schol.

524. Μητρὸς ἐμῆς ἔσσεσθ᾽ ἐναίσιμον. Mavult H. Stephanus, ἔσσεσθαι ἐναίσιμον.

529. Δάε] δάειν, ἀντὶ τοῦ ἐδίδαξε. Schol.

530. Νήχυτον ὕδωρ] τὸ πολύχυτον. τὸ γὰρ νὴ καὶ στέρησιν σημαίνει, καὶ ἐπίτασιν. καὶ ἀχεύετον ὕδωρ, τὸ πολὺ, κατὰ Ἴωνας καὶ Σικελιώτας. Διονύσιος. "πλαζομένας ἵνα λύσαι ἀχεύετον ἦχα βαλοῦσα." Schol.

531. Τοῖσι καὶ ἀκαμάτοιο, &c. Confer Virgilium Æn. IV. 484.

Καὶ

Καὶ ποταμοὺς ἵστησιν ἄφαρ κελαδεινὰ ῥέοντας,
Ἄστρα τε καὶ μήνης ἱερῆς ἐπέδησε κελεύθους.
Τῆς μὲν ἀπὸ μεγάροιο κατὰ στίβον ἐνθάδ' ἰόντες
Μνησάμεθ', εἴκε δύναιτο κασιγνήτη γεγαυῖα
Μήτηρ ἡμετέρη πεπιθεῖν ἐπαρῆξαι ἀέθλῳ.
Εἰ δὲ καὶ αὐτοῖσι τόδ' ἐφανδάνει, ἦτ' ἂν ἱκοίμην
Ἤματι τῷδ' αὐτῷ πάλιν εἰς δόμον Αἰήταο
Πειρήσων· τάχα δ' ἂν σὺν δαίμονι πειρηθείην.
Ὣς φάτο· τοῖσι δὲ σῆμα Θεοὶ δόσαν εὐμενέοντες.
Τρήρων μὲν φεύγουσα βίην κίρκοιο πελειὰς
Ὑψόθεν Αἰσονίδεω πεφοβημένη ἔμπεσε κόλποις·
Κίρκος δ' ἀφλάστῳ περικάππεσεν· αἶψα δὲ Μόψος
Τοῖον ἔπος μετὰ πᾶσι θεοπροπέων ἀγόρευεν.

Et fluvios ſiſtit de ſubitò quamvis impetuosè fluentes;
Aſtraque et lunæ ſacræ impedit vias.
Hujus quidem ab ædibus in viâ hùc revertentes
Mentionem fecimus, ſi modò poſſit ſoror nata
Mater noſtra ei perſuadere ut opem ferat certamini.
Si verò hoc vobis placuerit, proculdubio venirem
Hoc ipſo die iterum ad domum Æetæ,
Tentaturus, et forſan felici cum fortunâ tentaverim.
Sic dixit; illis verò ſignum Dii dederunt faventes.
Pavida fugiens violentiam accipitris columba
Ex alto Æſonidæ perterrita incidit ſinui,
Accipiter autem in apluſtre decidit; ſtatimque Mopſus
Tale verbum inter omnes vaticinans edidit.

533. Ἄστρα τε καὶ μήνης] τὸν παραδεδομένον μῦθον λέγει, ὡς αἱ φαρμακίδες κατάγουσι τὴν σελήνην. τινὲς δὲ καὶ τὰς ἐκλείψεις ἡλίου καὶ σελήνης καθαιρέσεις ἐκάλουν τῶν θεῶν. τὸ παλαιὸν ᾤοντο αἱ φαρμακίδες τὴν σελήνην καὶ τὸν ἥλιον καθαιρεῖν. διὸ καὶ μέχρι τῶν Δημοκράτους χρόνων πολλοὶ τὰς ἐκλείψεις καθαιρέσεις ἐκάλουν. Σωσιφάνης ἐν Μελεάγρῳ. "μάγοις ἐπῳδαῖς πᾶσα Θεσσαλὶς κόρη, ψευδὴς σελήνης αἰθέρος καταιβάτις." Schol.

539. Τάχα] τὸ τάχα ἐν διαστυγμῷ κεῖται. τινὲς δὲ καὶ ἀντὶ τοῦ ταχέως. Ἀπολλόδωρος φησὶν ἐν τῷ περὶ θεῶν ὅτι ἡ περιστερὰ ἱερὰ Ἀφροδίτης. διὸ καὶ λάγνον. παρὰ γὰρ τὸ περισσῶς ἐρᾶν λέγεται. Schol.

Ὕμμι,

Υ̓́μμι, φίλοι, τόδε σῆμα Θεῶν ἰότητι τέτυκται·
Οὐδέ πη ἄλλως ἐστὶν ὑποκρίνεσθαι ἄρειον.
Παρθενικὴν δ' ἐπέεσσι μετελθέμεν ἀμφιέποντας
Μήτι παντοίῃ· δοκέω δέ μιν οὐκ ἀθερίξειν,
Εἰ ἐτεὸν Φινεύς γε Θεῇ ἐνὶ Κύπριδι νόστον
Πέφραδεν ἔσσεσθαι· κείνης δ' ὅγε μείλιχος ὄρνις
Πότμον ὑπεξήλυξε· κέαρ δέ μοι ὡς ἐνὶ θυμῷ
Τόνδε καθ' οἰωνὸν προτιόσσεται, ὣς δὲ πέλοιτο.
Ἀλλὰ, φίλοι, Κυθέρειαν ἐπικλείοντες ἀμύνειν,
Ἤδη νῦν Ἄργοιο παραιφασίῃσι πίθεσθε.
Ἴσκεν· ἐπῄνησαν δὲ νέοι, Φινῆος ἐφετμὰς
Μνησάμενοι· μοῦνος δ' Ἀφαρήϊος ἄνθορεν Ἴδας
Δείν' ἐπαλαστήσας μεγάλῃ ὀπὶ, φώνησέν τε.
Ὦ πόποι, ἦ ῥα γυναιξὶν ὁμόστολοι ἐνθάδ' ἔβημεν
Οἳ Κύπριν καλέουσιν ἐπίρροθον ἄμμι πέλεσθαι.
Οὐκ ἔτ' Ἐνυαλίοιο μέγα σθένος, ἐς δὲ πελείας

Vobis, ô amici, hoc ostentum Deorum voluntate offertur:
Neque aliâ meliore licet ratione interpretari.
Oportet autem vos virginem verbis orare et ambire
Arte omnimodâ; eam verò non opinor recusaturam,
Si modò verè Phineus in Deâ Venere reditum
Cecinit locandum: illius autem hæc cara avis
Necem effugit: sicut verò mihi in animo cor
Hoc per augurium præsagit, ita eveniat.
Sed, amici, Cytheream invocantes, ut opituletur,
Jam nunc Argi monitis morigeri estote.
Dixit: assenserunt autem juvenes, Phinei mandatorum
Memores; solus verò Aphareius prosiliit Idas
Graviter indignatus, et ingenti voce locutus est.
Proh Dii! certè mulierum comites hùc venimus,
Qui Venerem invocant, ut nobis sit auxilio.
Non amplius Martis ingens robur, sed columbas

551. Κέαρ δέ μοι] ὡς δὲ ἡ ψυχή μου προορᾶται, οὕτως γένοιτο. Schol.

Καὶ

Καὶ κίρκους λεύσαντες ἐρητύεσθε ἀέθλων.
Ἔρρετε· μήδ' ὔμμι πολεμήια ἔργα μέλοιτο,
Παρθενικὰς δὲ λιτῇσιν ἀνάλκιδας ἠπεροπεύειν.
Ὣς ηὔδα μεμαώς· πολέες δ' ὁμάδησαν ἑταῖροι
Ἦκα μάλ'· οὐδ' ἄρα τίς οἱ ἐναντίον ἔκφατο μῦθον.
Χωόμενος δ' ὅγ' ἔπειτα καθέζετο· τοῖσι δ' Ἰήσων
Αὐτίκ' ἐποτρύνων τὸν ἑὸν νόον ὧδ' ἀγόρευσεν.
Ἄργος μὲν παρὰ νηὸς, ἐπεὶ τόδε πᾶσιν ἕαδε,
Στελλέσθω· ἀτὰρ αὐτοὶ ἐπὶ χθονὸς ἐκ ποταμοῖο
Ἀμφαδὸν ἤδη πείσματ' ἀνάψομεν· ἦ γὰρ ἔοικε
Μηκέτι δηθὰ κρύπτεσθαι πτήσσοντας ἀϋτήν,
Ὣς ἄρ' ἔφη· καὶ τὸν μὲν ἄφαρ προΐαλλε νέεσθαι
Καρπαλίμως ἐξαῦτις ἀνὰ πτόλιν· οἱ δ' ἐπὶ νηὸς
Εὐναίας ἐρύσαντες ἐφετμαῖς Αἰσονίδαο,

Et accipitres respicientes abhorretis à certaminibus.
Abite in malam rem, nec vobis bellica opera curæ sint,
Virgines verò precibus imbelles decipite.
Sic fatus est graviter iratus; multi autem fremuerunt socii
Tacitè admodum; nec aliquis ei contrarium protulit responsum.
Indignatus verò ille deinde resedit; ac talibus Jason
Protinus incitato animo suo, locutus est.
Argus quidem à nave, quandoquidem hoc omnibus placuerit,
Mittatur; nos autem ipsi ad terram ex fluvio
Palàm jam retinacula alligabimus; decet enim
Haud diutius latere, expavescentes pugnam.
Sic dixit: et hunc statim præmisit, ut iret
Celeriter iterum ad urbem: illi verò in nave
Subtractis anchoris, jussu Æsonidæ,

564. Μεμαώς] ἀντὶ τοῦ ὀργιζόμενος, νεικῶν· οὐ γὰρ ἐπὶ κακοῖς τις πρόθυμός ἐστι. Schol.

571. Μηκέτι, &c. Insignem hujus versus tarditatem notat Hœlzlinus, et pro more criticorum, novas semper in poetis suis venustates reperientium, non dubitat quin consulto exprimere voluit Apollonius priorem nautarum timiditatem.

Τυτθὸν ὑπ' ἐξ ἕλεος χέρσῳ ἐπέκελσαν ἐρετμοῖς.
Αὐτίκα δ' Αἰήτης ἀγορὴν ποιήσατο Κόλχων
Νόσφιν ἑοῖο δόμου· τόθι περ καὶ πρόσθε κάθιζον,
Ἀτλήτους Μινύεσσι δόλους καὶ κήδεα τεύχων.
Στεῦτο δ' ἐπεί κεν πρῶτα βόες διαδηλήσωνται
Ἄνδρα τὸν ὅς ῥ' ὑπέδεκτο βαρὺν καμέεσθαι ἄεθλον,
Δρυμὸν ἀναρρήξας λασίης καθύπερθε κολώνης,
Αὔτανδρον φλέξειν δόρυ νήϊον· ὄφρ' ἀλεγεινὴν
Ὕβριν ἀποφλύξωσιν ὑπέρβια μηχανόωντες.
Οὐδὲ γὰρ Αἰολίδην Φρίξον μάλα περ χατέοντα
Δέχθαι ἐνὶ μεγάροισιν ἐφέστιον, ὃς περὶ πάντων
Ξείνων μειλιχίῃ τε, θεουδείῃ τ' ἐκέκαστο·
Εἰ μή οἱ Ζεὺς αὐτὸς ἀπ' οὐρανοῦ ἄγγελον ἧκεν

Paululum è palude terræ appropinquârunt remis.
Statim autem Æeta concilium habuit Colchorum
Extrà ſuam domum, ubi et antea ſolebant conſidere,
Intolerabiles Minyis dolos moleſtiaſque excogitans.
Affirmabat verò, quamprimùm boves interfeciſſent
Virum illum, qui grave certamen ſuſceperat elaborandum,
Sylvâ reciſâ comoſum ſuprà collem,
Ligna ſe navalia cum ipſis viris crematurum, ut dolendam
Contumeliam poſſent deſpumare, opus ſuprà vires molientes.
Neque enim Æolidem Phrixum licèt vehementer deſiderantem,
Se recipere voluiſſe in ædibus domeſticum, qui ſuprà omnes
Hoſpites comitate et pietate præditus erat,
Niſi ipſe Jupiter de cœlo nuncium miſiſſet

578. Μινύεσσι. Gallic. Μινύαισι. Sed, ut annotavit Hœlzlinus, non minùs eſt illud à Μινύης, quàm Δημοσθενέσι à ſuo recto. Poſſit etiam eſſe Μινύησιν a Μινύαις, ut βασιλῆσιν, apud Herodotum.

579. Στεῦτο] ἀπὸ κοινοῦ τὸ στεῦτο. Schol.

583. Ἀποφλύξωσιν] ἀντὶ τοῦ ἐκφυσήσωσιν. κατασρέφει δὲ εἰς τὸ ἐκπτύσωσιν. ἔνθεν καὶ ὁ φλύαρος. Schol.

584. Οὐδὲ γὰρ δέχθαι] λείπει τὸ ὑπέμεινεν. Schol.

587. Ει μή οἱ Ζεὺς] ἄγγελον φησὶν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι, κελεύοντα δέξασθαι τὸν Φρίξον, ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. ὁ δὲ τὸν Αἰγίμιον ποιήσας, διὰ τὸ δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. λέγει δὲ ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας, οὕτως εἰσῆλθεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων. Schol.

Ἑρμείαν,

Ἑρμείαο, ὥς κεν προσκηδέος ἀντιάσειε·
Μὴ καὶ ληϊστῆρας ἑὴν ἐς γαῖαν ἰόντας
Ἔσσεσθαι δηναιὸν ἀπήμονας, οἷσι μέμηλεν
Ὀθνείοις ἐπὶ χεῖρα ἑὴν κτεάτεσσιν ἀείρειν,
Κρυπταδίους τε δόλους τεκταινέμεν, ἠδὲ βοτήρων
Αὔλια δυσκελάδοισιν ἐπιδρομίῃσι δαΐξαι.
Νόσφιν δ' οἷ αὐτῷ φάτ' ἐοικότα μείλια τίσειν
Υἷας Φρίξοιο, κακορρέκτῃσιν ὀπηδοὺς
Ἀνδράσι νοστήσαντας ὁμιλαδὸν, ὄφρα ἑ τιμῆς
Καὶ σκήπτρων ἐλάσειαν ἀκηδέες (ὥς ποτε βάξιν
Λευγαλέην οὗ πατρὸς ἐπέκλυεν ἠελίοιο,
Χρῆναί μιν πυκινόν τε δόλον βουλάς τε γενέθλης

Mercurium, ut bene ei affecto obviam iret.
Nedum latrones suam in terram profectos
Diu futuros impunitos, quibus curæ erat
Ut alienis manum suam possessionibus admoverent,
Et occultos dolos molirentur, et pastorum
Stabula horrisonis incursibus perrumperent.
Seorsim verò sibi ipsi dixit idonea munera placabilia daturos
Filios Phrixi, qui maleficos secuti
Viros, simul reverterunt, ut eum ab honore
Et sceptris abigerent irreverentèr, (velut olim oraculum
Triste sui patris subaudierat solis,
Oportere nempe eum à vafro dolo et consiliis stirpis

588. Ὡς κεν προσκηδής] ὅπως ἂν εὐμενοῦς ἀντιάσειεν ὁ Φρίξος τοῦ Αἰήτου. Schol.

Ibid. Ἑρμείαο, ὥς κεν, &c. Vide Maronianam hujus loci imitationem, Æn. I. ubi, dimisso a Jove Mercurio,

—— regina quietum
Accipit in Teucros animum, mentemque benignam.

594. Νόσφιν δ' οἱ αὐτῷ μείλια τίσειν] τιμωρίαν ἀποτίσειν. χωρὶς δὲ αὐτῷ δώσειν τιμωρίαν ἔλεγεν τοὺς Φρίξου παῖδας. τούτους γὰρ αὐτῷ κακοὺς ἄνδρας ἐπάγειν, ὅπως αὐτοῦ τῆς βασιλείας ἐγκρατεῖς γένωνται. ὡς καὶ παρὰ τοῦ ἰδίου πατρὸς ἡλίου ἠκηκόει. ὅτι δὲ χρησμὸς ἦν Αἰήτῃ δεδομένος, ὑπὸ τῶν αὐτοῦ ἐγγόνων ἀπολέσθαι, καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις ἱστορεῖ. τούτου ἕνεκα καὶ τὴν ζεῦξιν τῶν ταύρων λέγει αὐτὸν ἐπινοῆσαι. Schol.

597. Ἀκηδέες] Ἀκηδὴς, ὁ ἀφρόντιστος, καὶ ὁ μὴ φροντίζων ἑτέρων Schol.

599. Χρῆναι] γράφεται χρειώ. Schol.

Σφωϊτέρης ἄτην τε πολύτροπον ἐξαλέασθαι
Τῷ καὶ ἐελδομένους πέμπειν ἐς Ἀχαιΐδα γαῖαν
Πατρὸς ἐφημοσύνῃ δολιχὴν ὁδόν) οὐδὲ θυγατρῶν
Εἶναί οἱ τυτθόν γε δέος, μή πού τινα μῆτιν
Φράσσονται) στυγερὴν, οὐδ᾽ υἱέος Ἀψύρτοιο,
Ἀλλ᾽ ἐνὶ Χαλκιόπης γενεῇ τάδε λυγρὰ τετύχθαι.
Καί ῥ᾽ ὁ μὲν ἄσχετα ἔργα πιφαύσκετο δημοτέροισιν,
Χωόμενος· μέγα δέ σφιν ἀπείλεε νῆά τ᾽ ἐρύσθαι
Ἠδ᾽ αὐτούς· ἵνα μή τις ὑπὲρ κακότητος ἀλύξῃ.
Τόφρα δ᾽ ἐὴν μητέρ᾽ ἐὴν μετιὼν δόμον Αἰήταο
Ἄργος παντοίοισι παρηγορέεσκεν ἔπεσσιν,
Μήδειαν λίσσεσθαι ἀμυνέμεν· ἡ δὲ καὶ αὐτὴ
Πρόσθεν μητιάασκε· δέος δέ μιν ἴσχανε θυμὸν,

Suæ, damnisque multiplicibus cavere:
Idcirco et cupidos miserat in Achaicam terram
Ex patris præcepto, longum iter;) non autem à filiabus
Vel minimùm se metuere, nè dolum aliquem
Struerent tristem, nec à filio Absyrti,
Sed Chalciopes sobole hæc tristia parari.
Quin etiam intoleràbilia opera indixit popularibus
Iratus, graviterque ipsis minabatur nî navem observarent
Et ipsos, nè quis malum effugeret.
Interim autem matrem suam reversus ædes Æetæ
Argus variis cohortabatur verbis,
Ut Medeæ supplicaret opem ferre; quæ et ipsa
Antea consuluerat, timor verò ejus cohibuit animum

600. Σφωϊτέρης] κακῶς τὸ σφωϊτέρης δυϊκὸν ἐπὶ ἑνικοῦ ἐχρήσατο. ἔδει γὰρ ἀπεῖν ἑῆς, ἵν᾽ ᾖ, τοῦ ἑαυτοῦ. Schol.

601. Τῷ καὶ ἐελδομένους] παρατατικὸν εἴληφεν ἀντὶ ὑπερσυντελικοῦ. καὶ ἔστιν ὑπερβατὸν ἡ φράσις, καὶ λείπει τὸ ὡς. τὸ γὰρ ἑξῆς οὕτως ἐστὶ, διὸ καὶ ἐπιθυμοῦντας μακρὰν πλεῦσαι, προσυπακουστέον καὶ τοῦτο, ὡς πατρὸς ἐντολῇ φράσαντος, ἀπέπεμψεν αὐτούς. Schol.

Ibid. Πέμπειν. In Gall. est πέμπεμεν, ut metro succurratur. At, ut annotavit Hœlzlinus, talis est λαγαρότης in λίπεν Il ω΄. posteriore productâ.

603. Εἶναί δέος] λείπει τὸ ὑπελάμβανεν. Schol.

610. Παρηγορέεσκεν] παρεκάλει, ἐφιλοφρονεῖτο. Schol.

Μή

Μή πως ἠὲ παρ' αἶσαν ἐτώσια μειλίσσαιτο
Πατρὸς ἀτυζομένην ὀλοὸν χόλον, ἠὲ λιτῇσιν
Ἑσπομένης ἀρίδηλα καὶ ἀμφαδὰ ἔργα πέλοιτο.
Κούρην δ' ἐξ ἀχέων ἀδινὸς κατελώφεεν ὕπνος
Λέκτρῳ ἀνακλινθεῖσαν· ἄφαρ δέ μιν ἠπεροπῆες
Οἷά τ' ἀκηχεμένην ὀλοοὶ ἐρέθεσκον ὄνειροι.
Τὸν ξεῖνον δ' ἐδόκησεν ὑφεστάμεναι τὸν ἄεθλον,
Οὔτι μάλ' ὁρμαίνοντα δέρος κριοῖο κομίσσαι,
Οὐδέ τι τοῖο ἕκητι μετὰ πτόλιν Αἰήταο
Ἐλθέμεν, ὄφρα δέ μιν σφέτερον δόμον εἰσαγάγοιτο
Κουριδίην παράκοιτιν· ὀΐετο δ' ἀμφὶ βόεσσιν
Αὐτὴ ἀεθλεύουσα μάλ' εὐμαρέως πονέεσθαι,
Σφωϊτέρους δὲ τοκῆας ὑποσχεσίης ἀθερίζειν,
Οὕνεκεν οὐ κούρῃ ζεῦξαι βόας, ἀλλά οἱ αὐτῷ
Προὔθεσαν· ἐκ δ' ἄρα τοῦ νεῖκος πέλεν ἀμφήριστον

Ne quodammodo vel contra decus incassùm delinire studeret
Patris metuentem sævam iram, vel precibus
Obsequentis manifesta et aperta fierent facinora.
Virginem verò à doloribus arctus requiescere fecit somnus
Lecto reclinatam: statim autem ipsam fallacia
Utpote tristitiâ affectam terribilia inquietârunt somnia.
Hospitem verò putavit suscepisse certamen,
Non tamen admodum cupidum vellus arietis auferre,
Nec hujus causâ ad Æetæ ædes
Venisse; sed ut se ipsam ad domum suam duceret
Puellarem uxorem: videbatur insuper cum bobus
Ipsa decertans facilè admodum laborem subire:
Parentesque suos *putavit* pollicita recusare,
Quòd non puellæ sed sibi ipsi jungendos boves
Proposuerant: ex quo dissensio orta est anceps

615. Ἀμφαδὰ] ἀπρυστὰ, φανερά. Schol.

616. Κατελώφεεν] ἐκ τῶν λυπῶν αὐτῆς κατέπαυσεν ὁ ὕπνος. Schol.

622. Σφέτερον] καὶ νῦν κοινῶς τὸ σφέτερον. πληθυντικὸν γάρ ἐστιν ἑνικοῦ ἀλλοληπτικόν. ἔδει δὲ ἑὸν δόμον εἰπεῖν. Schol.

625. Σφωϊτέρους] οὐχ ὑγιῶς οὐδὲ νῦν τὸ σφωϊτέρους. δυϊκὸν γάρ ἐστιν ἐπὶ ἑνικοῦ. ἔδει ἂν εἰπεῖν ἑούς. Schol.

Πατρί

Πατρί τε καὶ ξείνοις· αὐτῇ δ' ἐπιέτρεπον ἄμφω
Τὼς ἔμεν ὥς κεν ἔησι μετὰ φρεσὶν ἰθύσειεν.
Ἡ δ' ἄφνω τὸν ξεῖνον, ἀφειδήσασα τοκήων,
Εἵλετο· τοὺς δ' ἀμέγαρτον ἄχος λάβεν, ἐκ δ' ἐβόησαν
Χωόμενοι· τὴν δ' ὕπνος ἅμα κλαγγῇ μεθέηκε.
Παλλομένη δ' ἀνόρουσε φόβῳ, περί τ' ἀμφί τε τοίχους
Πάπτηνεν θαλάμοιο· μόλις δ' ἐσαγείρατο θυμὸν,
Ὡς πάρος, ἐν στέρνοις· ἀδινὴν δ' ἀνενείκατο φωνήν.
Δειλὴ ἐγὼν, οἷόν με βαρεῖς ἐφόβησαν ὄνειροι.
Δείδια μὴ μέγα δή τι φέρῃ κακὸν ἥδε κέλευθος
Ἡρώων· περί μοι ξείνῳ φρένες ἠερέθονται.
Μνάσθω ἑὸν κατὰ δῆμον Ἀχαιΐδα τηλόθι κούρην,
Ἄμμι δὲ παρθενίη τε μέλοι καὶ δῶμα τοκήων.
Ἔμπα γε μὴν θεμένη κύνεον κέαρ, οὐκ ἔτ' ἄνευθεν
Αὐτοκασιγνήτης πειρήσομαι, εἴ κέ μ' ἀέθλῳ

Inter patrem et peregrinos; ipsi autem committebant utrique
Ita rem fore, ut suo in animo vehementiùs cuperet.
Ipsa repentè hospitem, neglectis parentibus,
Elegit: illos verò immensus dolor corripuit, exclamâruntque
Indignati: hanc autem somnus simul cum clamore reliquit.
Palpitans verò metu prosiliit, ac circa parietes
Spectavit thalami, et ægrè collegit animum
Sicut antea, in pectoribus, miserabilem verò emisit vocem.
Miseram me! quàm horrenda me terruerunt somnia!
Extimesco ne grande aliquod malum ferat hic appulsus
Heroum; pro hospite mihi mentes suspensæ sunt.
Ambiat suo procul in populo puellam Achivam,
Nobis autem virginitas sit curæ, et parentum ædes.
Posito tamen fero corde, haud amplius absque sorore
Periculum faciam, si forsan me certamini

628. Ἄμφω] ἀμφότεροι δὲ ἐπέτρεψαν τῇ κόρῃ τὴν δίκην, ὁμολογήσαντες ἐμμένειν οἷς ἂν δικάσῃ. Schol.

629. Ὥς κεν ἰθύσειεν] ὡς ἂν ταῖς διανοίαις ἐπιβάλλοι. Schol.

641. Ἔμπα] ἀντὶ τοῦ ἔμπης. Schol.

Χραισμεῖν

Χραισμεῖν ἀντιάσειεν, ἐπὶ σφετέροις ἀχέουσα
Παισί· τό κέν μοι λυγρὸν ἐνὶ κραδίῃ σβέσαι ἄλγος.
Ἦ ῥα· καὶ ὀρθωθεῖσα, θύρας ὤϊξε δόμοιο,
Νήλιπος, οἰέανος· καὶ δὴ λελίητο νέεσθαι
Αὐτοκασιγνήτηνδε, καὶ ἕρκεος οὐδὸν ἄμειψε.
Δὴν δὲ κατ' αὐτόθι μίμνεν ἐνὶ προδόμῳ θαλάμοιο
Αἰδοῖ ἐεργομένη· μετὰ δ' ἐτράπετ' αὖτις ὀπίσσω
Στρεφθεῖσ'· ἐκ δὲ πάλιν κίεν ἔνδοθεν ἄψ τ' ἀλέεινεν
Εἴσω· τηΰσιοι δὲ πόδες φέρον ἔνθα καὶ ἔνθα.
Ἤτοι ὅτι θύσειεν ἔρυκέ μιν ἔνδοθεν αἰδώς·

Opem ferre oraverit, propter suos sollicita
Liberos: hoc mihi tristem in pectore sedaverit dolorem.
Dixit, atque erecta fores aperit domûs,
Nuda pedes, unâ tantùm veste induta, et valdè cupiebat accedere ad
Sororem, et septi limen transiit:
Diu verò ibi manebat in vestibulo thalami
Pudore cohibita, revertebatque iterum retrò
Versa, iterum prodibat intus, ac denuo refugit
Intrò: irriti autem pedes ferebant eam, hùc, illùc.
Nimirum quando proruere vellet, cohibuit eam intus pudor,

652. Ἤτοι ὅτι θύσειεν. Nisi mea conjectura hunc locum sanaverit, vix ulla nisi à vetere codice expectanda medicina fuerit. Ea certè conjectura et è propinquo posita est, et pro sensu, qui parum cum præcedentibus cohærere videtur, sensum cum illis maximè convenientem exhibet. Eam non longe petitam esse dico, quòd levi mutatione, ex ὅτι θύσειεν, faciam ὅ, τ' ἰθύσειεν. *Pudor* (inquit) *eam intus revocabat ab ea re, cujus desiderio accensa erat, vel ad quam animata erat.* Potest verò et aliis loquendi generibus, sed eodem pertinentibus, exponi. Siquidem pro eo quod à Græcis poëtis dicitur ἰθύει ποιεῖν, sive ἵεται ποιεῖν, Latini poetæ dicunt, *impetus me capit hoc faciendi* (interdum verò converso hoc genere loquendi dicitur) *impetum capio hoc faciendi vel toto animi impetu feror ad hoc faciendum.* Aut simplicius, *impetus est hoc facere.* Aut etiam, *tota mente feror ad hoc.* Quibus præterea modis exponi possit hoc verbum, ille meus Thesaurus te docebit, si doceri necesse habeas. Hoc addo ad meæ conjecturæ confirmationem, non solum poetas in genere hoc verbo ἰθύειν delectari, sed et isti nominatim placere. Legitur enim libro II. hujus operis,

——νῦν δ' ὅγ' αὐτῇ
Δασκύλῳ ὅ κεν ᾗσι μετὰ φρεσὶν
ΙΘΥΣΕΙΕΝ.

Αἰδοῖ

*Αἰδοῖ δ' ἐργομένην θρασὺς ἵμερος ὀτρύνεσκεν.*
*Τρὶς μὲν ἐπειρήθη, τρὶς δ' ἔσχετο, τέτρατον αὖθις*
*Λέκτροισι πρηνὴς ἐνικάππεσεν εἱλιχθεῖσα.*

Pudore verò cohibitam audax impulit Amor.
Ter quidem conabatur, ter retenta eſt: quartò iterum
Lecto prona incidit convoluta.

Utitur et alibi. Verùm et ex eo compoſitum ἐπιθύειν uſurpat,

Εἰ δὲ καὶ οὔνομα δῆθεν ΕΠΙΘΥΕΙΣ γενεήν τε
Ἴδμεναι οἵτινές εἰσιν.

Sed vereor ne dum tam multa ad meæ conjecturæ confirmationem congero, eam magis ſuſpectam alicui reddam. Equidem brevior fuiſſem niſi viderem interpretem alioqui non indoctum, alteri lectioni, tanquam quæ recipi poſſet, acquieſcentem, nullam uſquam loci hujus, ut qui mendoſus videretur, mentionem facientem, ita eſſe interpretatum. *Imbecilles autem pedes ferebant huc illucque. Nempe quòd ſacrificâſſet, ipſam intus verecundia coercuit.* Imo quorſum hìc ſacrificii mentio? quum tantummodo deſcribere velit poëta (et quidem deſcribat tam eleganter, ut nihil in toto hoc poemate cenſeam elegantius) amoris cum pudore, ſive pudoris cum amore pugnam, eamque acerrimam: quippe in ea puella quæ impotente amore capta eſſet, ſive quæ impotens animi præ amore, aut etiam amoris (ut quidam locuti ſunt) impotens eſſet. Sed nec illud placet (ſi obiter hoc attingere mihi licet) in iſtâ interpretatione, quòd τηΰσιοι πόδες velit eſſe, *imbecilles pedes*. Exiſtimo enim potius ad pedes transferri quod dicitur de itinere; atque ut Homerus appellat, τηΰσιον ὁδὸν, *iter quod fruſtra conficitur*, ſic τηϋσίους πόδας appellari *pedes qui fruſtra iter conficiant eundo toties et redeundo*. Adeo ut τηϋσίους πόδας liceat fortaſſe interpretari, *pedes fruſtra laborantes*. Neque tamen hic interpretationis iſtius locus, eo animo a me examinatur ut laudi interpretis detraham; quin potius, quamvis plurima in ea deſiderem, vix alium poetam ſcire me profiteor cui tam elaborata contigerit, et cum hac conferri poſſit. Ac ne ipſum quidem Homerum excipio, quem tamen multo minus Apollonio obſcurum eſſe conſtat. Verùm aliquid nunc mihi in mentem venit, quo neceſſe eſt, hanc annotationem, licèt plus ſatis longam, longiorem reddam. Recordatus enim ſum iſtius verſus, quem in hoc ipſo libro aliquanto poſt habemus,

Πυκινὰ δ' οἱ κραδίη στηθέων ἔντοσθεν
ΕΘΥΕΝ.

ubi quum Schol. ΕΘΥΕΝ exponat, ὥρμα et ἐκινεῖτο, videri queat et huic loco poſſe convenire ΘΥΣΕΙΕΝ in ea ſignificatione. Verùm ſi quis forte dubitationem illam mihi moveret, hoc reſponderem, præterquam quòd tam aptam ſignificationem non haberet illud ΘΥΣΕΙΕΝ, neque verbo æquè uſitato eſſet uſus Apollonius, aliquam etiam ſyllabicæ menſuræ in ὅ, τι factum iri injuriam.

H. Stephanus.

654. Τρὶς μὲν ἐπειρήθη.
Ter ſeſe attollens, &c.
Æn. IV. 690.

Ὡς δ' ὅτε τις νύμφη θαλερὸν πόσιν ἐν θαλάμοισι
Μύρεται, ᾧ μιν ἀδελφεοὶ ὤπασαν ἠδὲ τοκῆες·
Οὐδέ τί πω πάσαις ἐπιμίσγεται ἀμφιπόλοισιν,
Αἰδοῖ, ἐπιφροσύνῃ τε· μυχῷ δ' ἀχέουσα θαάσσει·
Τὸν δέ τις ὤλεσε μοῖρα, πάρος ταρπήμεναι ἄμφω
Δήνεσιν ἀλλήλων· ἡ δ' ἔνδοθι δαιομένη περ
Σῖγα μάλα κλαίει, χῆρον λέχος εἰσορόωσα,
Μή μιν κερτομέουσαι ἐπιστοβέωσι γυναῖκες·
Τῇ ἰκέλη Μήδεια κινύρετο· τὴν δέ τις ἄφνω
Μυρομένην μεσσηγὺς ἐπιπρομολοῦσ' ἐνόησεν
Δμωάων, ἥ οἱ ἑπέτις πέλε κουρίζουσα·
Χαλκιόπῃ δ' ἤγγειλε παρασχεδόν· ἡ δ' ἐνὶ παισὶν

Sicut autem ſponſa aliqua florentem maritum in thalamis
Lamentatur, cui ipſam deſponſatam dederant fratres atque parentes;
Neque adhuc cunctis immiſcetur famulabus
Præ pudore et prudentiâ, ſed in abdito triſtata ſedet;
Illum verò fatalis aliquis perdidit caſus, priuſquam gaviſi fuiſſent ambo
Furtis maritalibus inter ſe: ipſa, quamvis intus incenſa,
Tacitè admodum luget, viduum lectum intuita,
Ne ipſi cavillantes convicientur mulieres;
Huic ſimilis Medea lamentabatur; eam autem aliqua repentè
Flentem interim ſuperveniens animadvertit
Famula, quæ illi erat pediſſequa adoleſcentula.
Chalciopæ verò nunciavit illico, quæ inter filios

656. Ὡς δ' ὅτε τις] ὁ νοῦς, καθάπερ νύμφη ἐκδοθεῖσα ὑπὸ τῶν γονέων καὶ τῶν ἀδελφῶν εἰς γάμον, ἀπολομένου κατά τινα μοῖραν τοῦ γήμαντος, πρὶν ἐπ' ἀλλήλοις τερφθῆναι, διακαιομένην τὴν ψυχὴν ὑπὸ λύπης, ἐν τῷ θαλάμῳ κλαίει· αἰδουμένη καὶ τῶν θεραπαινίδων τὴν ἐντροπὴν, ἵνα μή τις αὐτῶν μωμήσηται φθονουσῶν γυναικῶν. Schol.

662. Χῆρον] ἔρημον. Schol.

663. Ἐπιστοβέωσι] χλευάζουσαι λοιδορήσωσι. μωμήσωνται. Schol.

665. Ἐπιπρομολοῦσ'] περιττεύει ἡ ἐπὶ πρόθεσις. ὡς ἐν τῷ ἐπιβουκόλος. Schol.

Ibid. Ἐπιπρομολοῦσα. In ſcholio dicitur ἡ ἐπὶ redundare. Sed eſt ἐπιπρομολοῦσα. I. 30. et ſeq. Hœlz.

666. Ἑπίτις] ἀκόλουθος ἢ νεάζουσα. Κουρίζουσα, νεάζουσα. Schol.

Ibid. Κουρίζουσα. Cavendum eſt, Hœlzlino monente, ne credamus hoc eſſe ſegne et otioſum epitheton, cum arguat puellulæ in procurrendo temeritatem, et nunciandi promptitudinem.

Ἧς ἐπιμηλιόωσα κασιγνήτην ἀρέσασθαι.
Ἀλλ' οὐδ' ὣς ἀπίθησεν, ὅτ' ἔκλυεν ἀμφιπόλοιο
Μῦθον ἀνώϊστον· διὰ δ' ἔσσυτο θαμβήσασα
Ἐκ θαλάμου θάλαμόνδε διαμπερὲς, ᾧ ἔνι κούρη
Κέκλιτ' ἀκηχεμένη, δρύψεν δ' ἑκάτερθε παρειάς.
Ὡς δ' ἴδε δάκρυσιν ὄσσε πεφυρμένα, φώνησέν μιν.
Ὤμοι ἐγὼ, Μήδεια, τί δὴ τάδε δάκρυα λείβεις;
Τίπτ' ἔπαθες; τί τοι αἰνὸν ὑπὸ φρένας ἵκετο πένθος;
Ἦ νύ σε θευμορίη περιδέδρομεν ἅψεα νοῦσος;
Ἠέ τιν' οὐλομένην ἐδάης παρὰ πατρὸς ἐνιπὴν
Ἀμφί τ' ἐμοὶ καὶ παισίν; ὄφελλέ με μήτε τοκήων
Δῶμα τόδ' εἰσοράαν, μηδὲ πτόλιν, ἀλλ' ἐπὶ γαίης
Πείρασι ναιετάειν, ἵνα μηδέ περ οὔνομα Κόλχων.
Ὡς φάτο· τῆς δ' ἐρύθηνε παρήϊα· δὴν δέ μιν αἰδὼς
Παρθενίη κατέρυκεν ἀμείψασθαι μεμαυῖαν.
Μῦθος δ' ἄλλοτε μέν οἱ ἐπ' ἀκροτάτης ἀνέτελλε

Sedebat consultans de sorore persuadendâ.
Sed ne sic quidem immorigera erat, audito ex ancillâ
Nuncio inopinato; perrupit verò stupore perculsa
Ex thalamo in thalamum continuò, quo virgo
Recumbebat mœrore saucia, ac lacerabat utrinque genas.
Quando verò lachrymis vidit oculos suffusos, inclamavit eam,
Hei mihi, Medea! cur has lachrymas fundis?
Quidnam passa es? quis tibi gravis mentem invasit dolor?
An tibi divinitùs immissus percurrit per artus morbus?
An sævam aliquam experta es à patre objurgationem
Propter me et liberos? utinam ego neque parentum
Ædes has aspicerem, neque urbem, sed in terræ
Extremis finibus habitarem, ubi nec ipsum nomen Colchorum.
Sic dixit: ejus erubuerunt genæ, diuque eam pudor
Virgineus cohibuit respondendi cupientem.
Sermo autem nunc quidem ei in summâ oriebatur

668. Ἀρέσασθαι] πεῖσαι. Schol.
676. Θευμορίη] ἐκ θεῶν μεμοιρασ-
μένη νόσος περιδέδρομεν. Schol.
680. Ἵνα] ὅπου. Schol.

Γλώσσης,

Γλώσσης, ἄλλοτ᾽ ἔνερθε κατὰ στῆθος πεπότητο.
Πολλάκι δ᾽ ἱμερόεν μὲν ἀνὰ στόμα θῦεν ἐνισπεῖν,
Φθογγὴ δ᾽ οὐ προὔβαινε παροιτέρω· ὀψὲ δ᾽ ἔειπε
Τοῖα δόλῳ· (θρασέες γὰρ ἐπεκλονέεσκον ἔρωτες.)
Χαλκιόπη, περί μοι παίδων σέο θυμὸς ἄηται,
Μή σφε πατὴρ ξείνοισι σὺν ἀνδράσιν αὐτίκ᾽ ὀλέσσῃ.
Τοῖα κατακνώσσουσα μινυνθαδίῳ νέον ὕπνῳ
Λεῦσσω ὀνείρατα λυγρὰ, τά τις θεὸς ἀκράαντα
Θείη· μηδ᾽ ἀλεγεινὸν ἐφ᾽ υἱάσι κῆδος ἕλοιο.
Φῆ ῥα κασιγνήτης πειρωμένη, εἴ κέ μιν αὐτὴ
Ἀντιάσειε πάροιθεν ἑοῖς τεκέεσσιν ἀμύνειν.
Τὴν δ᾽ αἰνῶς ἄτλητος ἐπέκλυσε θυμὸν ἀνίη

Linguâ, nunc infrà in pectore errabat.
Sæpe amabile per os festinabat profari,
Sermo autem non provenit ulterius: serò tamen locuta est
Talia astutè; audaces enim inurgebant amores.
Chalciope, de tuis filiis animus mihi perturbatus est
Ne eos pater peregrinis cum viris illicò interficiat:
Talia jam brevi consopita somno
Vidi somnia horrenda, quæ utinam Deus aliquis irrita
Reddat, nec tristem propter filios dolorem sustineas.
Dixit, periculum faciens sororis, anne etiam se ipsa
Oraret prior, ut filiis suis opem ferret.
Hujus valde intolerabilis inundavit animum mœror

686. Φθογγὴ. Gall. φθογγῇ. Sed malè.

688. Περί μοι παίδων] ὑπὸ τῶν υἱῶν σου. ἄηται, τοῦτ᾽ ἔστι τεταράχθαι ἡ ψυχή μου, μὴ αὐτοὺς σὺν τοῖς ξένοις ὁ πατὴρ ἀποκτείνῃ. Schol.

689. Μή σφε] μὴ αὐτούς. καὶ ἀφαιρεῖται γὰρ ἐκ τοῦ σφέας. Schol.

690. Νέον] νεωστί. Schol.

691. Λεύσσω. Hanc esse ἐναλλαγὴν haud inelegantem, ut III. 336. III. 894. III. 907. notat Hœlzlinus. Catullus, *quendam audet*. Possit etiam observari majorem vim habere Medeæ narrationem præsenti tempore utentis. Nimirum adeo horrenda erant somnia, et altè adeo menti infixa, ut eorum imagines longum post tempus ob oculos versarentur. Vult igitur, *non solum vidi, sed etiamnum video*.

694. Ἀντιάσειε] παρακαλέσειε. δυσωπήσῃ. Schol.

Δείματι· τοῖ' ἐσάκουσεν· ἀμείβετο δ' ὧδ' ἐπέεσσι.
Καὶ δ' αὐτὴ τάδε πάντα μετήλυθον ὁρμαίνουσα,
Εἴ τινα συμφράσσαιο καὶ ἀρτύνειας ἀρωγήν.
Ἀλλ' ὄμοσον γαῖάν τε καὶ οὐρανὸν, ὅ, ττι τοι εἴπω
Σχήσειν ἐν θυμῷ, σύν τε δρήστειρα πέλεσθαι.
Λίσσομ' ὑπὲρ μακάρων, σέο τ' αὐτῆς, ἠδὲ τοκήων,
Μή σφε κακῇ ὑπὸ κηρὶ διαρραισθέντας ἰδέσθαι
Λευγαλέως· ἢ σοί γε φίλοις σὺν παισὶ θανοῦσα
Εἴην ἐξ Ἀΐδεω στυγερὴ μετόπισθεν Ἐρινύς.
Ὣς ἄρ' ἔφη· τὸ δὲ πολλὸν ὑπεξέχυτ' αὐτίκα δάκρυ·
Νειόθι δ' ἀμφοτέρῃσι περίσχετο γούνατα χερσί.
Σὺν δὲ κάρη κόλποις περικάββαλον· ἔνθ' ἐλεεινὸν
Ἄμφω ἐπ' ἀλλήλῃσι θέσαν γόον· ὦρτο δ' ἰωὴ
Λεπταλέη διὰ δώματ' ὀδυρομένων ἀχέεσσιν.

Terrore; talia audiverat; respondìtque ita verbis.
Ipsa etiam hæc omnia quæsivi in animo versans,
An aliquod molireris unà et strueres auxilium.
Sed jura terram et cœlum, quodcunque tibi dixero,
Te retenturam in animo, unáque adjutricem fore.
Precor per superos, per teipsam, per parentes,
Ne ipsos malo fato perditos intuear
Miserè: alioquin caris tibi cum pueris mortua
Fuerim ex Orco horrenda in posterum Erynnis.
Sic locuta est; largasque statim effudit lachrymas:
Infráque ambabus amplexa est genua manibus:
Unáque caput sinui injecerunt; unde miserabilem
Ambæ mutuò ediderunt fletum: excitatus autem est ejulatus
Flebilis per ædes conquerentium præ doloribus.

700. Σαὶ τε δρήστειρα] ὅπερ σοι εἴπω, φυλάξειν ἐν τῇ ψυχῇ, καὶ συνεργὸς γενέσθαι. Schol.

704. Εἴην ἐξ Ἀΐδεω, &c.

Et cum frigida mors animâ seduxerit artus
Omnibus umbra locis adero: dabis, improbe, pœnas.
Æn. IV.

Hanc enim, secundum Horatium, "Deorum esse vim manium" pro certo credidit antiquitas. Vim et potestatem animæ a corpore solutæ luculenter explicat Apuleius, lib. de Deo Socratis.

Τὴν

Τὴν δὲ πάρος Μήδεια προσέννεπεν ἀσχαλόωσα.
Δαιμονίη, τί νύ τοι ῥέξω ἄκος; οἷ᾽ ἀγορεύεις
Ἀράς τε στυγερὰς καὶ Ἐρινύας· αἲ γὰρ ὄφελλεν
Ἔμπεδον εἶναι ἐπ᾽ ἄμμι τεοὺς υἷας ἔρυσθαι.
Ἴστω Κόλχων ὅρκος ὑπέρβιος, ὅντιν᾽ ὀμόσσαι
Αὐτὴ ἐποτρύνεις· μέγας οὐρανὸς, ἠδ᾽ ὑπένερθε
Γαῖα, θεῶν μήτηρ· ὅσσον σθένος ἐστὶν ἐμεῖο
Μή σ᾽ ἐπιδευήσεσθαι, ἄνυστέ περ ἀντιόωσαν.
Φῆ ἄρα. Χαλκιόπη δ᾽ ἠμείβετο τοῖσδ᾽ ἐπέεσσιν.
Οὐκ ἂν δὴ ξείνῳ τλαίης χατέοντι καὶ αὐτῷ
Ἢ δόλον ἤ τινα μῆτιν ἐπιφράσσασθαι ἀέθλου
Παίδων εἵνεκ᾽ ἐμεῖο; καὶ ἐκ κείνοιο δ᾽ ἱκάνει
Ἄργος ἐποτρύνων με τεῆς πειρῆσαι ἀρωγῆς·
Μεσσηγὺς μὲν τόνγε δόμον λίπον ἐνθάδ᾽ ἰοῦσα.
Ὣς φάτο· τῇ δ᾽ ἐντοσθεν ἀνέπλατο χάρματι θυμός.

Hanc autem prior Medea allocuta est mœsta.
Infelix, quam tibi medelam inveniam? ita inclamas
Horribiles Diras atque Furias! utinam sanè
Firmiter esset in nobis situm ut tuos servaremus filios.
Sciat Colchorum juramentum inviolabile, quod jurare
Ipsa me incitas, magnum cœlum, atque infrà
Terra, Deorum mater, pro meis viribus
Me non defuturam tibi, quamvis vix perficienda ores.
Dixit utique: Chalciope verò respondit talibus verbis.
Non igitur hospiti audeas, indigenti et ipsi,
Vel dolum aliquem vel artem excogitare certaminis
Meos propter liberos? et sane ab ipso venit
Argus incitans me tuum experiri auxilium:
Interim quidem eum domi reliqui hùc progressa.
Sic dixit; illi verò intus exultavit præ gaudio animus;

724. Ἀνέπλατο χάρματι] ἄνεσιν πιθανῶς δὲ χαρακτηρίζει ἡμῖν τὸ ἔρωτα. ἔχειν αὐτῆς ἡ ψυχὴ ἐν χαρᾷ γενομένης. Schol.

φοινίχθη

Φοινίχθη δ' ἄμυδις καλὸν χρόα· καδδὲ μὲν ἀχλὺς
Εἷλεν ἰαινομένην· τοῖον δ' ἐπὶ μῦθον ἔειπεν.
Χαλκιόπη, ὡς ὔμμι φίλον τερπνόν τε τέτυκται,
Ὣς ἔρξω· μὴ γάρ μοι ἐν ὀφθαλμοῖσι φαάνθοι
Ἠὼς, μηδέ με δηρὸν ἔτι ζώουσαν ἴδοιο,
Εἰ ἔτι σῆς ψυχῆς προφερέστερον, ἠέ τι παίδων
Σῶν θείην· οἳ δή μοι ἀδελφειοὶ γεγάασιν,
Κηδεμόνες τε φίλοι καὶ ὁμήλικες· ὧς δὲ καὶ αὐτὴν
Φημὶ κασιγνήτην τε σέθεν κούρην τε πέλεσθαι·
Ἶσον ἐπεὶ κείνοις με τεῷ ἐπαείρεο μαζῷ,
Νηπυτίην, ὡς αἰὲν ἐγώ ποτε μητρὸς ἄκουον.
Ἀλλ' ἴθι· κεῦθε δ' ἐμὴν σιγῇ χάριν, ὄφρα τοκῆας
Λήσομαι, ἐντύνουσα ὑπόσχεσιν· ἦρι δὲ νηὸν
Οἴσομαι εἰς Ἑκάτης θελκτήρια φάρμακα ταύρων.

Simulque rubefacta est pulchra cutis: interim caligo
Corripuit hilarescentem, talemque sermonem edidit.
Chalciope, sicut vobis gratum et jucundum fuerit,
Ita faciam: utinam enim mihi non in oculis illucescat
Aurora, nec me diu vivam intuearis,
Si quid aut tuâ animâ jucundius, aut quid liberis
Tuis ducam, qui et fratres mihi sunt,
Ac sobrini dilecti et æquales: nec minus ipsam me
Censeo non modò tuam sororem sed filiam esse;
Quandoquidem me æquè cum illis in tua sustulisti ubera
Infantulam, sicut ego continuò à matre audivi.
Sed abi, cela meum silentio officium, ut parentes
Lateam dum præstare parem promissa: diluculò verò ad templum
Feram Hecatæ pharmaca quæ vim habeant demulcendi tauros.

725. Καδδὲ μὶν. Vix dubitat H. Stephanus quin legendum sit μὶν.

730. Εἰ ἔτι σῆς] ἄν τι σου προκρίναιμι, ἢ τῶν σῶν παίδων. Schol.

738. Οἴσομαι εἰς Ἑκάτης] ὥς τισι φέρεται μετὰ τό, οἴσομαι εἰς Ἑκάτης θελκτήρια φάρμακα ταύρων, καὶ ἕτερος στίχος. οἰσομένη ξείνῳ ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρε. ἐν τισὶ δὲ οὐ φέρεται, ὡς ἐντεῦθεν. Schol.

Ὡς

Ὡς ἥγ' ἐκ θαλάμοιο πάλιν κίε, παισί τ' ἀρωγὴν
Αὐτοκασιγνήτης διεπέφραδε· τὴν δέ μιν αὖθις
Αἰδώς τε στυγερόν τε δέος λάβε μουνωθεῖσαν,
Τοῖα παρὲξ οὗ πατρὸς ἐπ' ἀνέρι μητιάασθαι.
Νὺξ μὲν ἔπειτ' ἐπὶ γαῖαν ἄγεν κνέφας· οἱ δ' ἐνὶ πόντῳ
Ναῦται εἰς Ἑλίκην τε καὶ ἀστέρας Ὠρίωνος
Ἔδρακον ἐκ νηῶν· ὕπνοιο δὲ καί τις ὁδίτης
Ἤδη καὶ πυλαωρὸς ἐέλδετο· καί τινα παίδων
Μητέρα τεθνεώτων ἀδινὸν περὶ κῶμ' ἐκάλυπτεν·
Οὐδὲ κυνῶν ὑλακὴ ἔτ' ἀνὰ πτόλιν, οὐ θρόος ἦεν
Ἠχήεις· σιγὴ δὲ μελαινομένην ἔχεν ὄρφνην.

Sic illa ex thalamo rursus abiit; filiisque auxilium
Sororis nunciavit; hanc verò rursus
Pudor tristisque metus corripuit solam relictam,
Quòd talia, invito patre, propter virum molita esset.
Nox deinde terris induxit caliginem, inque ponto
Nautæ Helicen et astra Orionis
Spectabant è navibus, somnumque viator
Et janitor unusquisque captabat, ac liberorum
Matrem mortuorum profundus occupabat somnus.
Nec canum jam in urbe latratus erat, nec murmur
Sonorum; sed nigrantes silebant tenebræ.

739. Παισί τ' ἀρωγὴν] τὰ ὁμολογηθέντα ὑπὸ τῆς Μηδείας τοῖς παισὶν αὐτῆς ἡ Χαλκιόπη διασάφησιν. Schol.

741. Στυγερόν τε δέος] κατὰ μετωνυμίαν εἶπεν τὸ φοβοῦν ποιητικόν. Schol.

742. Τοῖα παρὲξ] τοιαῦτα ἀνδρὶ τῆς πατρὸς γνώμης ἐπὶ τῷ Ἰάσονι βουλεύσασα. Schol.

743. Νὺξ μὲν ἔπειτ', &c.

Nox erat, et placidum carpebant fessa soporem
Corpora per terras, &c.
Æn. IV. 522.

Nollem hanc aliquis comparationem, Julio Scaligero judice, præ Virgilianâ contemnat: non enim illa ἁπλῶς est quam nostra melior, sed est ἡρωικωτέρα, et altiloquentior: cum nostra interea sit ut humanior ita amabilior. Hœl.

Confer etiam Theocritum, Idyll. II. 38. De meritis autem utriusque comparationis, hoc saltem necesse est statuamus, adeo manifestè ab Apollonio mutuatum esse Virgilium, ut non sub judice reliquerit utrum plus laudis debeatur excogitatori an imitatori.

Ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπὶ γλυκερὸς λάβεν ὕπνος.
Πολλὰ γὰρ Αἰσονίδαο πόθῳ μελεδήματ' ἔγειρεν
Δειδυῖαν ταύρων κρατερὸν μένος, οἷσιν ἔμελλεν
Φθεῖσθαι ἀεικελίῃ μοίρῃ κατὰ νειὸν Ἄρηος.
Πυκνὰ δέ οἱ κραδίη στηθέων ἔντοσθεν ἔθυεν,
Ἠελίου ὥς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη
Ὕδατος ἐξανιοῦσα, τὸ δὴ νέον ἠὲ λέβητι
Ἠέ που ἐν γαυλῷ κέχυται· ἡ δ' ἔνθα καὶ ἔνθα
Ὠκείῃ στροφάλιγγι τινάσσεται ἀΐσσουσα·
Ὣς δὲ καὶ ἐν στήθεσσι κέαρ ἐλελίζετο κούρης,
Δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν· ἔνδοθι δ' αἰεὶ
Τεῖρ' ὀδύνη σμύχουσα διὰ χροός, ἀμφί τ' ἀραιὰς

Medeam tamen non ſuavis attigit ſomnus.
Multæ enim Jaſonis deſiderio curæ eam excitabant
Metuentem taurorum validas vires, quibus erat
Occubiturus indignâ morte in novali Martis.
Multipliciter autem ei cor in pectoribus commovebatur,
Solis veluti aliquis in ædibus reſultat ſplendor
Ex aquâ emergens, quæ modò aut in lebete
Vel fortè in ſitulâ infuſa, hùc, illùc,
Celeri gyro commovetur impulſa.
Ita in pectoribus cor jactabatur puellæ,
Lachrymæque ab oculis præ miſericordiâ fluebant, intuſque indeſinenter
Conficiebat ac perurebat corpus dolor, circa miſeras

750. Ἀλλὰ μάλ' οὐ Μήδειαν] παρέλκει τὸ μάλα. τὸ δὲ ἑξῆς. ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπέλαβε γλυκερὸς ὕπνος, δειδυῖαν ταύρων κρατερὸν μένος. Schol.

751. Αἰσονίδαο πόθῳ] οὐχ ὑγιῶς τέθεικεν τὸν πόθον ἀντὶ τοῦ ἔρωτος. πόθος γὰρ ἡ ἐπιζήτησις· ὁ δὲ ἔρως ὑπερτεταμένος ἐστὶ πόθος. Schol.

752. Δειδυῖαν] τοῦ δείδω ῥήματος παρακείμενος δέδια, ἀφ' οὗ μετοχὴ κατὰ συγκοπὴν δειδώς. τὸ θηλυκὸν δειδυῖα. Schol.

754. Ἔθυεν] ὥρμα· ἐκινεῖτο. ἔνθεν καὶ Θυάδες, αἱ Βάκχαι. Schol.

755. Ἠελίου ὥς τίς τε δόμοις] καθάπερ τις αὐγὴ ἡλίου κατ' οἶκον ἐξ ὕδατος ἀναφέρεται πρὸς τοῖχον, ὅπερ νεωστὶ κέχυται ἢ ἐν λέβητι ἢ ἐν κάδῳ· ὡς ἑκάτερα δὲ τὰ μέρη συνεχῶς κινεῖται στρεφομένη. Schol.

Ibid. Ἠελίου ὡς. &c.

Sicut aquæ tremulum labris ubi lumen ahenis
Sole repercuſſum, &c.
Æn. VIII.

761. Τεῖρ' ὀδύνη] κατεπόνει αὐτὴν ἡ ὀδύνη καίουσα. Ὅμηρος. "κατασμύξαι "πυρὶ νῆας." Schol.

Ἶνας

Ἶνας καὶ κεφαλῆς ὑπὸ νείατον ἰνίον ἄχρις·
Ἔνθ' ἀλεγεινότατον δύνει ἄχος, ὁππότ' ἀνίας
Ἀκάματοι πραπίδεσσιν ἐνισκήψωσιν ἔρωτες.
Φῆ δέ οἱ ἄλλοτε μὲν θελκτήρια φάρμακα ταύρων
Δωσέμεν, ἄλλοτε δ' οὔτι· καταφθεῖσθαι δὲ καὶ αὐτή.
Αὐτίκα δ' οὔτ' αὐτὴ θανέειν, οὐ φάρμακα δώσειν,
Ἀλλ' αὔτως εὔκηλος ἑὴν ὀτλησέμεν ἄτην.
Ἑζομένη δ' ἤπειτα δοάσσατο, φώνησέν τε.
Δειλὴ ἐγώ, νῦν ἔνθα κακῶν ἢ ἔνθα γένωμαι.
Πάντη μοι φρένες εἰσὶν ἀμήχανοι· οὐδέ τις ἀλκὴ
Πήματος, ἀλλ' αὔτως φλέγει ἔμπεδον. Ὡς ὄφελόν γε
Ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι,
Πρὶν τόνγ' εἰσιδέειν, πρὶν Ἀχαιΐδα γαῖαν ἱκέσθαι

Fibras, et capitis uſque ad infimum nervum.
Ibi ſane acerrimus ſubit cruciatus, quando dolores
Indefeſſi animo intruſerint amores.
Dicebat jam ſe ei venena ad demulcendos tauros
Daturam, jam neutiquam, ſed ſeipſam perituram;
Mox nec ſe perituram, nec venena daturam,
Sed omnino quietè ſuam ſuſtentaturam miſeriam.
Sedens deinde animo fluctuabat, et locuta eſt.
Miſeram me! nunc vel hùc vel illùc in malis ſum.
Omnino mihi mentes perplexæ ſunt; nec aliquod eſt remedium
Mali; ſed paſſim ardet indeſinenter. Quàm vellem
Me prius citis Dianæ ſagittis fuiſſe interfectam,
Priuſquam hunc aſpexerim, priuſquam in Græciam veniſſent

763. Ἔνθ' ἀλεγεινότατον] καθ' ὃν τόπον ἄλγιστόν ἐστι μέρος τῆς ψυχῆς, ὅταν ἀδιαλείπτως τις τῷ ἔρωτι κατέχηται. ἐπιμαρτυρεῖ δὲ πιθανῶς τῷ χαρακτῆρι ἑλκομένης μὲν τῷ πάθει, λογισμῷ δὲ κρατουμένης. Schol.

764. Ἐνισκήψωσιν] ἐμπέσωσι. Schol.

766. Καταφθεῖσθαι] τῷ ἔρωτι δηλαδή. Schol.

Ibid. Καταφθεῖσθαι. Gallic. καταφθίσθαι.

768. Ὀτλησέμεν] ὑποφέρειν τὴν ἄτην ἐσκέψατο. Schol.

774. Ἀχαιΐδα] ἀντὶ τοῦ Θεσσαλικήν. Ὅμηρος "Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί." Schol.

Χαλκιόπης υἷας· σὺν μὲν θεὸς ἤ τις Ἐρινὺς
Ἄμμι πολυκλαύτους δεῦρ' ἤγαγε κεῖθεν ἀνίας.
Φθείσθω ἀεθλεύων, εἴ οἱ κατὰ νειὸν ὀλέσθαι
Μοῖρα πέλει· πῶς γάρ κεν ἐμοὺς λελάθοιμι τοκῆας
Φάρμακα μησαμένη; ποῖον δ' ἐπὶ μῦθον ἐνίψω;
Τίς δὲ δόλος; τίς μῆτις ἐπίκλοπος ἔσσετ' ἀρωγῆς;
Ἦ μιν ἄνευθ' ἑτάρων προσπτύξομαι οἶον ἰδοῦσα
Δύσμορος; οὐ μὲν ἔολπα καταφθιμένοιό περ ἔμπης
Λωφήσειν ἀχέων· τότε δ' ἂν κακὸν ἄμμι πέλοιτο,
Κεῖνος ὅτε ζωῆς ἀπαμείρεται. Ἐρρέτω αἰδὼς,
Ἐρρέτω ἀγλαΐη· ὁ δ' ἐμῇ ἰότητι σαωθεὶς,
Ἀσκηθὴς, ἵνα οἱ θυμῷ φίλον, ἔνθα νέοιτο.
Αὐτὰρ ἐγὼν αὐτῆμαρ, ὅτ' ἐξανύσειεν ἄεθλον,
Τεθναίην, ἢ λαιμὸν ἀναρτήσασα μελάθρων,

Chalciopes filii: eos ſanè aut Deus aliquis aut Furia
Ut nobis flebili admodum eſſent dolori hùc adegit.
Interimatur in certamine, ſi ei in agro perire
Fatatum eſt: quomodo enim meos latere poſſim parentes
Si venena paraverim; quale verbum narrabo?
Quis verò dolus, quænam *ſatis* furtiva erit ratio auxilii?
Ipſumne ſeorſim à ſociis amplectar ſolum intuita,
Infelix? at non ſane opinor, eo defuncto,
Fore ut quieſcam à doloribus; ſed tunc nobis malum adſit,
Quando ille vitâ privatur: valeat pudor,
Valeat gaudium: ille meo conſilio ſervatus
Incolumis, quocunque ei animo placuerit, ibi diſcedat.
Ego verò eodem die quo ille perfecerit certamen,
Moriar, ſeu nexo de trabe jugulo,

779. Φάρμακα μησαμένη] λείπει τὸ δοῦναι. πρόσκειται δὲ ἡ ἐπὶ πρόθεσις. Schol.

780. Τίς μῆτις] τίς δέ μοι ἔσται παραλογιστικὴ βουλὴ τῆς βοηθείας. Schol.

783. Ἄμμι] ἀντὶ ἑνικοῦ τοῦ ἐμοὶ κεῖται τὸ ἄμμι. Schol.

788. Μελάθρων. Aldinum, μελάθρῳ. Suſpicor ſcriptum fuiſſe μελάθρου. Ul. λ de Jocaſta

Ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο
ΜΕΛΑΘΡΟΥ,
Et nondum informis lethi trabe
nectit ab alta.
Æn. XII. l. 1065. Hœl.

Ἢ κὲ

Ἠὲ καὶ πασσαμένη ῥαιστήρια φάρμακα θυμοῦ.
Ἀλλὰ καὶ ὣς φθιμένῃ μοι ἐπιλλίζουσιν ὀπίσσω
Κερτομίας· τηλοῦ δὲ πόλις περὶ πᾶσα βοήσει
Πότμον ἐμόν· καί κέν με διὰ στόματος φορέουσαι
Κολχίδες ἄλλυδις ἄλλαι ἀεικέα μωμήσονται·
Ἥτις κηδομένη τόσον ἀνέρος ἀλλοδαποῖο
Κάτθανεν, ἥτις δῶμα καὶ οὓς ᾔσχυνε τοκῆας,
Μαργοσύνῃ εἴξασα· τί δ᾽ οὐκ ἐμὸν ἔσσεται αἶσχος;
Ὤμοι ἐμῆς ἄτης· ἦ τ᾽ ἂν πολὺ κέρδιον εἴη
Τῇδ᾽ αὐτῇ ἐν νυκτὶ λιπεῖν βίον ἐν θαλάμοισιν,
Πότμῳ ἀνωΐστῳ κάκ᾽ ἐλέγχεα πάντα φυγοῦσαν,
Πρὶν τάδε λωβήεντα καὶ οὐκ ὀνομαστὰ τελέσσαι.
Ἦ, καὶ φωριαμὸν μετεκίαθεν, ᾗ ἔνι πολλὰ

Seu peremptoreo comeſo veneno.
Sed tamen et hoc modo mortuæ mihi illudent in poſterum
Conviciis; et omnis latè civitas perſonabit
Fatum meum; et me ſemper in oribus habentes
Colchicæ aliæ aliorſum indignè vituperabunt;
Utpote quæ tantùm deperierit virum alienum
Ut moreretur, quæ domum et parentes ſuos dedecore affecerit,
Laſciviæ obſecuta: quæ verò non mea erit infamia?
Heu calamitatem meam! certè multò ſatiùs eſſet
Hâc ipſâ nocte vitam relinquere in thalamo,
Fato inopinato mala probra omnia effugientem,
Antequam hæc perniciosa et infanda efficiam.
Dixit, et abiit allatum arculam, in quâ multa

790. Ἐπιλλίζουσιν] ἐπικαταμωμήσονται. κυρίως δὲ τοὺς ὀφθαλμοὺς ἐπικλίνειν καταμωκώμενον. Schol.

792. Διὰ στόματος φορέουσαι. Ore et ſermone ſolam ferentes, adeo ut illis fiam fabula. Xenophon, Κῦρον ΔΙΑ ΣΤΟΜΑΤΟΣ ἔχειν. Hinc Latinum *ferre*, quod eſt, ut videtur, *perſeveranter dicere, tanquam feratur ore.* Æn. VII. Memini Auruncos *ita ferre* ſenes. Ac *ferre* pro *nunciare* eſt *non ore prius dimittere quàm ad alterum veneris.* Hœl.

795. Καὶ οὓς] κακῶς τὸ οὗς. βέλτιον δὲ τὸ ἑούς. ἵνα ἐκ τῶν γυναικῶν ᾖ ὁ λόγος. Schol.

801. Ἦ, καὶ φωριαμὸν] νῦν τὴν κιβωτὸν λέγει. σαφὲς δ᾽ ἐκ τοῦ, ἐνθεμένη ἐπὶ

φάρμακά οἱ, τὰ μὲν ἐσθλὰ, τὰ δὲ ῥαιστήρι' ἔκειτο.
Ἐνθεμένη δ' ἐπὶ γούνατ' ὀδύρετο· δεῦε δὲ κόλπους
Ἄλληκτον δακρύοισι· τὰ δ' ἔρρεεν ἀστεγὲς αὔτως
Αἴν' ὀλοφυρομένης τὸν ἑὸν μόρον· ἵετο δ' ἥγε
Φάρμακα λέξασθαι θυμοφθόρα, τόφρα πάσαιτο.
Ἤδη καὶ δεσμοὺς ἀνελύετο φωριαμοῖο,
Ἐξελέειν μεμαῦια δυσάμμορος· ἀλλά οἱ ἄφνω
Δεῖμ' ὀλοὸν στυγεροῖο κατὰ φρένας ἦλθ' Ἀΐδαο·
Ἔσχετο δ' ἀμφασίῃ δηρὸν χρόνον, ἀμφὶ δὲ πᾶσαι
Θυμηδεῖς βιότοιο μεληδόνες ἰνδάλλοντο.
Μνήσατο μὲν τερπνῶν ὅσ' ἐνὶ ζωοῖσι πέλονται,

Venena ei, partim bona, partim noxia posita erant.
Eâ verò genibus impositâ, plorabat, rigavitque sinum
Indesinentèr lachrymis, quæ defluxerunt effusè prorsus
Dum fatum suum vehementèr defleret: cupiebat insuper ea
Venena seligere lethalia, ut degustaret.
Jamque ligamina resolverat arculæ
Eximere ea valdè cupiens infelix: sed ei repentè
Horror ingens terribilis animum invasit mortis:
Tenebatur autem stupore longum tempus, circáque omnia
Jucunda vitæ studia obversabantur.
Meminit quidem voluptatum, quotquot viventibus adsunt,

γένηται. ἐτυμολογεῖ δὲ τὴν φωριαμὸν Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ. "φωριαμὸν δὲ ἀνόμηναι ὅ μιν κύθε φώριον ἄγρην· ἐκ τοῦ φωριαμὸς κικλήσκεται ἀνθρώποισιν." Schol.

804. Ἀστεγὲς] ἀντὶ τοῦ πολυστεγές. τὸ γὰρ α νῦν ἐπιτατικόν· ὡς, "ἄξυλος ὕλη." Schol.

Ibid. J. Rutgersius legit ἀσταγὲς. et in scholiis πολυσταγές. Quod consentaneum quidem visum, sed non continuo sine manuscripti codicis auctoritate erat mutandum. Ego interea suspicor Scholiastem quidem non posse conciliari cum scriptura vulgata ἀστεγὲς, sed idem existimo, neglectis scholiis, posse illud exponi, si concedat usus, *incohibiliter*. Hœl.

806. Τόφρα πάσαιτο] τὸ τόφρα ἀντὶ τοῦ ὄφρα κεῖται. τὸ δὲ ὄφρα ποτὲ μὲν τὸ ἵνα δηλοῖ (Ὅμηρος. ὄφρα μὴ ἄσπερμος γένηται) ποτὲ δὲ προηγούμενόν ἐστιν, ἀνταποδοτικὸν ἔχον τὸ τόφρα. Ὅμηρος. "ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ." Τὸ πάσαιτο οὐχ ὑγιῶς. οὐ γὰρ εἰς κόρον ἡ τούτου μετάληψις. Schol.

812. Ἐν ζωοῖσι] τὰ ἐν τῷ ζῆν ἀρεστὰ ἐλογίζετο. Schol.

Μνήσαθ'

Μνήσαθ' ὁμηλικίης περιγηθέος, οἷά τε κούρη.
Καί τέ οἱ ἠέλιος γλυκίων γένετ' εἰσοράασθαι
Ἢ πάρος· ἢ ἐτεόν γε νόῳ ἐπεμαίεθ' ἕκαστα.
Καὶ τὴν μέν ῥα πάλιν σφετέρων ἀπεκάτθετο γούνων
Ἥρης αἰνεσίῃσι μετάτροπος, οὐδέ τι βουλὰς
Ἄλλῃ δοιάζεσκεν· ἐέλδετο δ' αἶψα φανῆναι
Ἠῶ τελλομένην, ἵνα οἱ θελκτήρια δοίη
Φάρμακα συνθεσίῃσι, καὶ ἀντήσειεν ἐς ὠπήν.
Πυκνὰ δ' ἀνὰ κλῇδας ἑῶν λύεσκε θυράων,
Αἴγλην σκεπτομένη· τῇ δ' ἀσπάσιον βάλε φέγγος
Ἠριγενής, κίνυντο δ' ἀνὰ πτολίεθρον ἕκαστοι.
Ἔνθα κασιγνήτους μὲν ἔτ' αὐτόθι μεῖναι ἀνώγει
Ἄργος, ἵνα φράζοιντο νόον καὶ μήδεα κούρης·
Αὐτὸς δ' αὖτ' ἐπὶ νῆα κίεν προπάροιθε λιασθείς.
Ἡ δ' ἐπεὶ οὖν πρώτιστα φαεινομένην ἴδεν ἠῶ
Παρθενική, ξανθὰς μὲν ἀνήψατο χερσὶν ἐθείρας,

Meminit ſodalitatis coæqualis lætæ admodùm, prout puellæ convenit:
Ac ei ſol jucundior erat viſu
Quàm antea: impensè quidem in mente inquiſivit ſingula,
Atque illam *arculam* ſuis iterum depoſuit genibus,
Junonis conſiliis mutata, nec ſententiam
Aliò atque aliò mutabat; ſed optabat, ut illicò appareret
Aurora exoriens, ut ei deliniendi vim habentia daret
Medicamenta ex pactis, et obviam iret in ejus conſpectum.
Frequenter autem clauſtra ſuarum reſolvit forium
Ut lucem aſpiceret: illi tandem gratum miſit jubar
Aurora, movebanturque per urbem ſinguli.
Tunc fratribus quidem diutius ibi manere juſſit
Argus, ut animadverterent mentem et conſilia puellæ,
Ipſe verò iterùm navem adiit, prior *ab iis* ſeparatus.
Ipſa verò quamprimùm lucentem vidit Auroram
Virgo, flavas quidem religavit manibus comas,

827. Ἡ δ' ἐπεὶ οὖν, &c. Vidit, &c. Æn. IV. 587.
Regina e ſpeculis ut primum
albeſcere lucem

Ai

Αἵ οἱ ἀτημελίῃ καταειμέναι ἠερέθοντο·
Αὐσταλέας δ' ἔψησε παρηΐδας· αὐτὰρ ἀλοιφῇ
Νεκταρέῃ φαιδρύνετ' ἐπὶ χρόα· δῦνε δὲ πέπλον
Καλὸν, εὐγνάμπτοισιν ἐεργμένον περόνῃσιν.
Ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην
Ἀργυρέην· αὐτοῦ δὲ δόμοις ἔνι δινεύουσα
Στεῖβε πέδον, λήθῃ ἀχέων τά οἱ ἐν ποσὶν ἦεν
Θεσπέσι', ἄλλα τ' ἔμελλεν ἀεξήσεσθαι ὀπίσσω.
Κέκλετο δ' ἀμφιπόλοισιν, αἵ οἱ δυοκαίδεκα πᾶσαι
Ἐν προδόμῳ θαλάμοιο θυώδεος ηὐλίζοντο,
Ἥλικες, οὔπω λέκτρα σὺν ἀνδράσι πορσύνουσαι,
Ἐσσυμένως οὐρῆας ὑποζεύξασθαι ἀπήνῃ,
Οἵ κέ μιν εἰς Ἑκάτης περικαλλέα νηὸν ἄγοιεν.
Ἔνθ' αὖτ' ἀμφίπολοι μὲν ἐφοπλίζεσκον ἀπήνην·
Ἡ δὲ τέως γλαφυρῆς ἐξείλετο φωριαμοῖο

Quæ ſibi negligentèr demiſſæ, jactabantur,
Squalidaſque fucavit genas; deinde unguento
Nectareo niteſcere fecit cutem; induitque peplum
Pulchrum, flexibilibus adaptatum fibulis.
Odorato deinde capiti ſuperimpoſuit velamen
Candidum, ibique in ædibus verſans
Terebat ſolum, oblita malorum quæ ſibi ante pedes erant
Innumera, aliorumque quæ in poſterum erant eventura.
Juſſit deinde famulabus, quæ ſibi duodecim univerſæ
In veſtibulo thalami odorati verſabantur
Coæquales, quæ nondum lectum cum viris ornaverant,
Ut feſtinantèr mulos currui adjungerent,
Qui ipſam ad Hecates perpulchrum templum veherent.
Deinde igitur famulæ inſtruebant currum:
Ipſa interim ex cavâ exemit arcâ

834. Ἀργυρέην. Flor. ἀργυφέην, quæ vera videtur ſcriptura. IV. 1407.

835. Λήθῃ ἀχέων] λήθην ποιουμένη τῆς τε παρούσης λύπης, καὶ τῆς ἐπαυξηθησομένης. Schol.

φάρμακον,

Φάρμακον, ὅῤῥά τε φασὶ Προμήθειον καλέεσθαι.
Τῷ εἴ κ' ἐννυχίοισιν ἀρεσσάμενος θυέεσσι
Δαῖραν μουνογένειαν, ἑὸν δέμας ἰκμαίνοιτο,
Ἦτ' ἂν ὅγ' οὔτε ῥηκτὸς ἔοι χαλκοῖο τυπῇσιν,
Οὔτε κεν αἰθομένῳ πυρὶ εἰκάθοι· ἀλλὰ καὶ ἀλκῇ
Λωΐτερος κεῖν' ἦμαρ ὁμῶς κάρτει τε πέλοιτο.
Πρωτοφυὲς τόγ' ἀνέσχε καταστάξαντος ἔραζε
Αἰετοῦ ὠμηστέω κνημοῖς ἔνι Καυκασίοισιν
Αἱματόεντ' ἰχῶρα Προμηθῆος μογεροῖο.
Τοῦ δ' ἤτοι ἄνθος μὲν ὅσον πηχυῖον ὕπερθε
Χροιῇ Κωρυκίῳ ἴκελον κρόκῳ ἐξεφαάνθη,

Medicamentum, quod aiunt Prometheum vocari.
Quo si quis, nocturnis placatâ sacris
Proserpinâ unigenâ, corpus suum humectaverit,
Ille neque frangibilis fuerit ferreis ictibus,
Neque ardenti igni cedat; sed et robore
Pollentior per illum diem, et viribus fuerit.
Hoc primitùs natum se sustulit, distillante in terram
Aquilâ crudivorâ in Caucasi saltibus
Sanguinolentam saniem ærumnosi Promethei.
Hujus quidem flos, quasi cubitali spatio, desuper
Colore Corycio similis croco apparuit,

844. Φάρμακον Προμήθειον. De herba Promethea alii alia tradiderunt: in magicis incantationibus valere existimabant: ideo Medea utitur apud Val. Flac. VII. 355. Valet etiam ad amicitias diruendas. Vid. Propert. L. I. Eleg. XII. 10. et contra περὶ ἀντιπαθείας, si fides adhibenda Plutarcho juniori περὶ ποταμῶν, qui scribit Medeam Caucasea herba usam fuisse περὶ ἀντιπαθείας τοῦ πατρός. Upt.

846. Δαῖραν. Cur Hecate dicta Δάειρα, quasi Δᾳδοῦχος, consule Spanh. in Call. Dian. XI.

Ibid. Δαῖραν μουνογένειαν] τὸ Δαῖραν κατ' ἔλλειψιν ἐστὶ τοῦ ε διὰ τὸ μέτρον. Δάειρα γάρ ἐστι· λέγει δὲ τὴν Περσεφόνην, ὡς δηλοῖ διὰ τὸ μουνογένειαν. νυχίαν δὲ εἶπεν, ἤτοι διὰ τὸ χθονίων βασιλεύειν (νύκτα γὰρ τὸν ἀφώτιστον τόπον φασίν) ἢ ἣν νυκτὸς οὔσης ἐξιλάσκηται). εὔλογον γὰρ τὴν τῶν νυχίων τόπων κρατοῦσαν, κατὰ τὴν τῆς νυκτὸς ὥραν ἱλάσκεσθαι. ὅτι δὲ τὴν Δαῖραν Περσεφόνην καλοῦσι, Τιμοσθένης ἐν τῷ ἐξηγητικῷ συγκατατίθεται. καὶ Αἰσχύλος ἐν ψυχαγωγοῖς ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαῖραν. Schol.

854. Κωρυκίῳ] Κωρύκιον, καὶ χωρίον τῆς Κιλικίας, ἐν ᾧ διάφορος γίνεται κρόκος. τὸ δὲ ἄνθος αὐτοῦ φησὶ παραπλήσιον Κωρυκίῳ. Schol.

Ibid. Κωρυκίῳ. Strabo lib IV. in Cilicia ἐστι τὸ Κωρύκιον ἄντρον, ἐν ᾧ ἡ ἀρίστη κρόκος φύεται.

Καυλοῖσιν

Καυλοῖσιν διδύμοισιν ἐπήορον· ἡ δ' ἐνὶ γαίῃ
Σαρκὶ νεοτμήτῳ ἐναλιγκίη ἔπλετο ῥίζα.
Τῆς οἵην τ' ἐν ὄρεσσι κελαινὴν ἰκμάδα φηγοῦ
Κασπίῃ ἐν κόχλῳ ἀμήσατο φαρμάσσεσθαι,
Ἑπτὰ μὲν ἀενάοισι λοεσσαμένη ὑδάτεσσιν,
Ἑπτάκι δὲ Βριμὼ κουροτρόφον ἀγκαλέσασα,
Βριμὼ νυκτιπόλον, χθονίην, ἐνέροισιν ἄνασσαν,
Λυγαίῃ ἐνὶ νυκτὶ σὺν ὀρφναίοις φαρέεσσι.
Μυκηθμῷ δ' ὑπένερθεν ἐρεμνὴ σείετο γαῖα
Ῥίζης τεμνομένης Τιτηνίδος· ἔστενε δ' αὐτὸς

Caulibus ſublimis geminis: at in terrâ
Carni recens inciſæ ſimilis erat radix:
Ejus radicis ſuccum nigrum, qualis eſt montanæ quercus,
In concham Caſpiam collegerat ad medicandum,
Poſtquam ſe ſepties perennibus laviſſet aquis,
Septieſque Brimo nutricem juvenum invocâſſet,
Brimo noctivagam, ſubterraneam, inferis regnantem,
Tenebroſâ in nocte cum atris veſtibus.
Boatu verò ſubtùs tenebroſa quatiebatur terra,
Radice ſectâ Promethea, ingemuitque ipſe

857. Τῆς οἵην τ' ἐν ὄρεσσι] τὸ ἀποφερόμενον ὑγρὸν, ὁποῖον εἴποι τῆς φηγοῦ. ἔχει δὲ ὁ ὠκεανὸς μεγίστους κόχλους, ἐφ' ὧν, φησὶ, τὸ φάρμακον εἵλετο. ἰδίως δὲ ὁ ποιητὴς τερατεύεται τὰ περὶ τὴν ῥίζαν. παρ' οὐδενὶ γὰρ τῶν ῥιζοτόμων εἴρηται. Schol.

858. Κασπίῃ ἐν κόχλῳ] Κάσπιον πέλαγος παρὰ τὸν ὠκεανὸν, παρ' ᾧ καὶ ἔθνος Κάσπιον, ὅμορον Πέρσαις. περὶ τῆς Κασπίας θαλάσσης ἱστορεῖ Ἀρτεμίδωρος ἐν τῇ ἐπιτομῇ τῶν γεωγραφουμένων. ἔστι δὲ πλησίον τοῦ ὠκεανοῦ· ἢ παράκειται ἔθνος ὀνομαζόμενον Κάσπιον, ὅμορον δὲ Πέρσαις. Schol.

Ibid. Κασπίῃ. Scholiaſtes mare Caſpium ait prope abeſſe oceano, unde majores conchæ ſint, ſed Strabo cenſuit etiam illud mare eſſe ſinum ἀπὸ τῆς ἔξω θαλάττης. L. II. quem lacum vocare malunt recentiores. Hœl.

859. Ἑπτὰ μὲν] ἐφ' ἑπτὰ ποταμῶν λουσαμένη ὕδασι. τερατεύεται δέ. Schol.

860. Ἑπτάκι δὲ Βριμὼ] ἑπτάκις δέ φησι καὶ τὴν Ἑκάτην ἐπικαλέσασθαι. δοκοῦσι γὰρ αἱ φαρμακίδες τὴν Ἑκάτην ἐπικαλεῖσθαι. Βριμὼ δὲ αὐτὴν προσηγόρευσε, διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς δαίμονος, καὶ φάσματα ἐπιπέμπειν τὰ καλούμενα ἑκαταῖα· καὶ πολλάκις αὐτὰ μεταβάλλειν τὸ εἶδος, διὰ τὸ Ἔμπουσαν καλεῖσθαι. ἢ παρὰ τὸν βρόμον, τὸν τοῦ πυρὸς ψόφον. τοιοῦτος γὰρ γίνεται βρόμος. ἡ γὰρ θεὸς λαμπαδοῦχος. τὸ δὲ βρι, ἐπιτάσεως ἐστὶν, ὡς τὸ "βριήπυος ὄβριμος ἄρης." ἴσως οὖν Βριμὼ, ἡ μεγάλην ἔχουσα μῆνιν. Βριμώνεις τὶς οὖσα. Schol.

864. Τιτηνίδος] ἐπεὶ τῶν Τιτάνων ἦν ὁ Προμηθεὺς, δι' ὃ τὴν ῥίζαν ἔφη Τιτηνίδα, διὰ τὸ ἐκ Προμηθέως βεβλαστηκέναι, ὃς εἷς ἦν τῶν Τιτάνων. διὰ τοῦτον δὲ

Ἰαπετοῖο

Ἰαπετοῖο πάϊς ὀδύνῃ πέρι θυμὸν ἀλύων.
Τόν ῥ' ἥγ' ἐξανελοῦσα θυώδεϊ κάτθετο μίτρῃ,
Ἥτε οἱ ἀμβροσίοισι περὶ στήθεσσιν ἔερτο.
Ἐκ δὲ θύραζε κιοῦσα θοῆς ἐπεβήσατ' ἀπήνης.
Σὺν δέ οἱ ἀμφίπολοι δοιαὶ ἑκάτερθεν ἔβησαν.
Αὐτὴ δ' ἡνί' ἔδεκτο, καὶ εὐποίητον ἱμάσθλην
Δεξιτερῇ, ἔλαεν δὲ δι' ἄστεος· αἱ δὲ δὴ ἄλλαι
Ἀμφίπολοι πείρινθος ἐφαπτόμεναι μετόπισθε
Τρώχων εὐρεῖαν κατ' ἀμαξιτόν· ἂν δὲ χιτῶνας
Λεπταλέους λευκῆς ἐπιγουνίδος ἄχρις ἄειρον.
Οἵη δὲ λιαροῖσιν ἐφ' ὕδασι Παρθενίοιο
Ἠὲ καὶ Ἀμνησοῖο λοεσσαμένη ποταμοῖο

Iapeti natus, præ dolore languens animo.
Hunc illa *succum* exemptum odoratæ imposuit fasciæ
Quæ ei divina circà pectora pendebat;
Foráſque progreſſa velocem aſcendit currum:
Cumque eâ famulæ duæ utrinque aſcendebant.
Ipſa verò habenas corripuit, et habilem ſcuticam
Dextrâ, aurigavitque per urbem; reliquæ verò
Famulæ, prehenſo curru à tergo,
Currebant latam per viam, veſteſque
Tenues nivea uſque ad genua ſuſtulerunt.
Qualis verò ad limpidas aquas Parthenii,
Sive Amneſi lota fluvii,

περιτεινῦσαι τὰ περὶ τὴν τομὴν τῆς ῥίζης, καὶ τὸ συμπάσχειν τῷ Προμηθεῖ ἐπὶ τῇ ταύτης τομῇ. Schol.

Ibid. Ἔστενε δ' αὐτός. Legit αὐτὸς Burmannus ad Val. Flac. VII. 368. i. e. *fruſtra gemuit*. Ut Flac.

—— gemit *irritus* ille
Colchidos ora tuens.

875. Λιαροῖσιν] λαμπροῖς, ἢ καθαροῖς. Ὅμηρος δὲ ἀντὶ τοῦ θερμοῖς. Παρθένιος δὲ, ποταμὸς Παφλαγονίας. παραγράφει δὲ τὰ ἐν Ὀδυσσείᾳ.

Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα
Ἢ κατὰ Τηΰγετον περιμήκετον, ἢ Ἐρύμανθον
Τερπομένη κάπροισι. Schol.

876. Ἀμνησοῖο. Anne legendum ſit Ἀμνισοῖο, et 881. Ἀμνισίδες, conſule Spanhemium ad Call. hymn. in Dian. 15.

Χρυσείοις Λητωῒς ἐφ' ἅρμασιν ἑστηυῖα,
Ὠκείαις κεμάδεσσι διεξελάησι κολώνας,
Τηλόθεν ἀντιόωσα πολυκνίσου ἑκατόμβης·
Τῇ δ' ἅμα Νύμφαι ἕπονται ἀμορβάδες, αἱ μὲν ἐπ' αὐτῆς
Ἀγρόμεναι πηγῆς Ἀμνισίδος, αἱ δὲ δὴ ἄλλαι
Ἄλσεα καὶ σκοπιὰς πολυπίδακας· ἀμφὶ δὲ θῆρες
Κνυζηθμῷ σαίνουσιν ὑποτρομέοντες ἰοῦσαν·
Ὡς αἵγ' ἐσσεύοντο δι' ἄστεος· ἀμφὶ δὲ λαοὶ
Εἶκον, ἀλευάμενοι βασιληΐδος ὄμματα κούρης.
Αὐτὰρ ἐπεὶ πόλιος μὲν ἐϋδμήτους λίπ' ἀγυιάς,
Νηὸν δ' εἰσαφίκανε δι' ἐκ πεδίων ἐλάουσα,
Δὴ τότ' ἐϋτροχάλοιο κατ' αὐτόθι βήσατ' ἀπήνης
Ἱεμένη, καὶ τοῖα μετὰ δμωῇσιν ἔειπεν.
Ὦ φίλαι, ἦ μέγα δή τι παρήλιτον· οὐδ' ἐνόησα
Μὴ ἴμεν ἀλλοδαποῖσι μετ' ἀνδράσιν, οἵτ' ἐπὶ γαῖαν

Aureo Diana in curru ſtans
Pernicibus cervis tranſit juga,
De longinquo obviam euns multo nidore redolenti hecatombe;
Cum illâ autem ſimul Nymphæ ſequuntur pediſſequæ, aliæ quidem in ipſo
Habitantes fonte Amneſiaco, aliæ verò apud
Nemora et ſcopulos fontibus ſcatentes, circáque feræ
Murmure adulatorio blandiuntur ſubtremiſcentes euntem:
Sic illæ ruebant per urbem, circà autem populus
Cedebat vitans regiæ conſpectum virginis.
Poſtquam verò urbis bene ſtructos reliquerat vicos
Templumque advenerat, per campum aurigans,
Tunc ſane volubili deſcendit ibidem de curru
Lubenter, ac talia dixit famulabus.
O caræ, magnum profectò aliquod peccavi, nec animadverti
Ne accederem advenas ad viros, qui in terrâ

880. Ἀμορβάδες] ἀμορβάδας τὰς ἀκολούθους φησί. Schol.
889 Ἱεμένη] ἀντὶ τοῦ ἱεμένως, προθύμως. Ἡ δὲ μετὰ ἀντὶ τοῦ πρός. ἵν' ᾖ, πρὸς τὰς δμωάς. οὐ δή' ἐνόησα. ὁ δὲ ἀντὶ τοῦ γάρ. Schol.

Ἡμετέρην

Ἡμετέρην στροφόωσιν· ἀμηχανίῃ βεβόληται
Πᾶσα πόλις· τὸ καὶ οὔτις ἀνήλυθε δεῦρο γυναικῶν
Τάων αἳ τοπάροιθεν ἐπημάτιαι ἀγέροντο.
Ἀλλ' ἐπεὶ οὖν ἱκόμεσθα, καὶ οὔ νύ τις ἄλλος ἔπεισιν,
Εἰ δ' ἄγε μολπῇ θυμὸν ἀφειδείως κορέσωμεν
Μειλιχίῃ, τάδε καλὰ τερείνης ἄνθεα ποίης
Λεξάμεναι· τότ' ἔπειτ' αὐτὴν ἀπονεισόμεθ' ὥρην.
Καὶ δέ κε σὺν πολέεσσιν ὀνείασιν οἴκαδ' ἵκοισθε
Ἤματι τῷ, εἴ μοι συναρέσσετε τήνδε μενοινήν.
Ἄργος γάρ μ' ἐπέεσσι παρατρέπει, ὡς δὲ καὶ αὐτὴ
Χαλκιόπη· (τὰ δὲ σῖγα νόῳ ἔχετ' εἰσαΐουσαι
Ἐξ ἐμέθεν, μὴ πατρὸς ἐς οὔατα μῦθος ἵκηται.)
Τὸν ξεῖνόν με κέλονται, ὅτις περὶ βουσὶν ὑπέστη,
Δῶρ' ἀποδεξαμένην, ὀλοῶν ῥύσασθαι ἀέθλων.
Αὐτὰρ ἐγὼ τὸν μῦθον ἐπήνεον· ἠδὲ καὶ αὐτὸν

Noſtrâ verſantur: ſtupore perculſa eſt
Tota civitas: quapropter nulla venit hùc mulierum
Illarum quæ antea quotidianæ confluebant.
Quoniam verò convenimus, nemoque alius adeſt,
Agedum cantu animum affatim ſatiemus
Suavi, pulchris his floribus teneræ herbæ
Collectis; tum deinde ipſo temporis articulo revertemus,
Et multo ſanè cum lucro domum revenietis
Hoc die, ſi mecum comprobaveritis hanc ſententiam.
Argus enim me verbis hortatur, ac ipſa etiam
Chalciope: (tacitè autem in mente tenete quæ auditis
A me, ne ad patris aures ſermo perveniat.)
Hoſpitem illum me hortantur, qui certamen contra boves ſuſceperit,
Acceptis donis, periculoſis liberare à certaminibus.
Ego verò ſermonem approbavi, et ipſum

898. Λεξάμεναι] ἀντὶ τοῦ συλλεξάμεναι, ἢ ἀναλεξεῖσαι, ὡς καὶ Ὅμηρος. "λέξωνται εὖ μίσγωσι νομεύς." Schol.

901. Παρατρέπει] προτρέπει. Schol.

902. Σῖγα νόῳ ἔχετ'] σῖγα ἔχετε. σιωπῇ κατέχετε, μαθοῦσαι ἐξ ἐμοῦ. Schol.

904. Περὶ] ἀντὶ τοῦ ὑπό. Ὑπέστη. κατεδέξατο ἐπὶ ταῖς βουσὶν ἀγωνίσασθαι. Schol.

Κέκλομαι εἰς ὦπην ἑτάρων ἄπο μοῦνον ἱκέσθαι,
Ὄφρα τὰ μὲν δασόμεσθα κατὰ σφίσιν, εἴκεν ὀπάσσῃ
Δῶρα φέρων, τῷ δ' αὖτε κακώτερον ἄλλο πόρωμεν
Φάρμακον· ἀλλ' ἀπονόσφι πέλεσθέ μοι εὖτ' ἂν ἵκηται.
Ὣς ηὔδα· πᾶσιν δ' ἐπίκλοπος ἥνδανε μῆτις.
Αὐτίκα δ' Αἰσονίδην ἑτάρων ἄπο μοῦνον ἐρύσσας
Ἄργος, ὅτ' ἤδη τήνδε κασιγνήτων ἐσάκουσεν
Ἠερίην Ἑκάτης ἱερὸν μετὰ νηὸν ἰοῦσαν,
Ἦγε δι' ἐκ πεδίου· μετὰ δέ σφισιν εἵπετο Μόψος
Ἀμπυκίδης, ἐσθλὸς μὲν ἐπιπροφανέντας ἐνισπεῖν
Οἰωνοὺς, ἐσθλὸς δὲ συνὸν φράσσασθαι ἰοῦσιν.
Ἔνθ' οὔπω τις τοῖος ἐπὶ προτέρων γένετ' ἀνδρῶν,
Οὔθ' ὅσοι ἐξ αὐτοῖο Διὸς γένος, οὔθ' ὅσοι ἄλλων
Ἀθανάτων ἥρωες ἀφ' αἵματος ἐβλάστησαν,

Jussi seorsim à sociis in conspectum meum venire;
Ut ea inter nos dividamus quæ is dederit
Allata dona, illique vicissim nocentius aliud præbeamus
Medicamentum: seorsim autem à me discedite, quando ille venerit.
Sic dixit: omnibus autem furtivum placuit consilium.
Statim verò Æsonidem sociis seorsim avulsum
Argus, quando jam ex fratribus audiverat
Diluculo eam ad Hecatæ sacrum fanum profecturam,
Duxit è campo; simulque cum ipsis sequebatur Mopsus,
Ampyci filius, peritus quidem advolantes interpretandi
Aves, peritus etiam eadem sentiendi aufugientibus.
Eâ tempestate nondum aliquis talis extiterat priorum virorum,
Neque quotquot ab ipso Jove duxerunt genus, neque qui aliorum
Immortalium heroes de sanguine egerminârunt,

907. Εἰς ὦπην] εἰς ὄψιν μου. ἐναντίον ἐμοῦ. Schol.

908. Κατὰ σφίσιν. Legendum censet H. Stephanus μετὰ σφίσιν.

913. Κασιγνήτων] λείπει ἡ παρά. ἵν' ᾖ, παρὰ τῶν κασιγνήτων ἀκήκοε τὴν Μήδειαν κατὰ τὸν ὄρθρον ἀφίξεσθαι εἰς τὸν τῆς Ἑκάτης ναόν. Schol.

916. Ἐσθλὸς μὲν] ὁ νοῦς. ἀγαθὸς μὲν καὶ ἐπιφανέντας εὖ καὶ ἀπιόντας σημειώσασθαι. Schol.

Οἷον

Οἷον Ἰήσονα θῆκε Διὸς δάμαρ ἤματι κείνῳ,
Ἠ μὲν ἐς ἄντα ἰδεῖν, ἠδὲ προτιμυθήσασθαι.
Τὸν καὶ παπταίνοντες ἐθάμβεον αὐτοὶ ἑταῖροι
Λαμπόμενον χαρίτεσσιν· ἐγήθησεν δὲ κελεύθῳ
Ἀμπυκίδης, ἤδη που ὀϊσσάμενος τὰ ἕκαστα.
Ἔστι δέ τις πεδίοιο κατὰ στίβον ἐγγύθι νηοῦ
Αἴγειρος φύλλοισιν ἀπειρεσίοις κομόωσα,
Τῇ θαμὰ δὴ λακέρυζαι ἐπηυλίζοντο κορῶναι.
Τάων τις μεσσηγὺς ἀνὰ πτερὰ κινήσασα
Ὑψοῦ ἐπ' ἀκρεμόνων Ἥρης ἠνίπαπε βουλάς.
Ἀκλειὴς ὅδε μάντις, ὃς οὐδ' ὅσα παῖδες ἴσασιν,
Οἶδε νόῳ φράσσασθαι· ὅθ' οὕνεκεν οὔτε τι λαρὸν
Οὔτ' ἐρατὸν κούρη κεν ἔπος προτιμυθήσαιτο
Ἠιθέῳ, εὖτ' ἄν σφιν ἐπήλυδες ἄλλοι ἕπωνται.
Ἔρροις, ὦ κακόμαντι, κακοφραδές· οὐδέ σε Κύπρις,

Qualem Jaſonem exhibuerat Jovis conjux in illo die,
Seu coràm ſpectandus, ſeu compellandus foret.
Hunc etiam aſpectantes ſtupebant ipſi ſocii
Renitentem venuſtate; lætatus autem eſt in itinere
Ampyci filius, jam ſanè rata exiſtimans ſingula.
Eſt autem quædam in campi ſemitâ, propè templum
Populus nigris foliis comata:
In hâc frequenter garrulæ commorabantur cornices;
Quarum aliqua, interim ſuccuſſis alis,
Altè in ramis Junonis declaravit conſilia.
Inglorius ille vates qui nec quæ pueri ſciunt,
Novit mente prævidere; quòd nec dulce quicquam
Nec amabile puella verbum unquam alloquetur
Adoleſcenti, ubi eum comites alii ſequuntur.
Abi in malam rem, infelix vates, maledice; nec te Venus

921. Οἷον Ἰήσονα θῆκε, &c.
——ſolito formoſior Æſone natus
Illâ luce fuit: poſſes ignoſcere amanti. Ov. Met. VII.

928. Λακέρυζαι] αἱ φλύαροι διὰ τρίβων καὶ ἐμψόφοι. Schol.

931. Ἀκλειὴς] ἄδοξος. Schol.

934. Ἐπήλυδες] οἱ ξένοι, καὶ οἱ ἀκόλουθοι. Schol.

Οὐ

Οὔτ' ἀγανοὶ φιλέοντες ἐπιπνείουσιν ἔρωτες.
Ἴσκεν ἀτεμβομένη· μείδησε δὲ Μόψος ἀκούσας
Ὀμφὴν οἰωνοῖο θεήλατον· ὧδέ τ' ἔειπε·
Τύνη μὲν νηόνδε θεᾶς ἴθι, τῷ ἔνι κούρην
Δήεις, Αἰσονίδη· μάλα δ' ἠπίη ἀντιβολήσεις,
Κύπριδος ἐννεσίῃς, ἥ τοι συνέριθος ἀέθλων
Ἔσσεται· ὡς δὴ καὶ πρὶν Ἀγηνορίδης φάτο Φινεύς.
Νῶϊ δ', ἐγὼν Ἄργος τε, δεδεγμένοι εὖτ' ἂν ἵκηαι,
Τῷδ' αὐτῷ ἐνὶ χώρῳ ἀπεσσόμεθ'· οἰόθι δ' αὐτὸς
Λίσσεό μιν πυκινοῖσι παρατροπέων ἐπέεσσιν.
Ἦ ῥα περιφραδέως· ἐπὶ δὲ σχεδὸν ᾔνεον ἄμφω.
Οὐδ' ἄρα Μηδείης θυμὸς τράπετ' ἄλλα νοῆσαι,
Μελπομένης περ ὁμῶς· πᾶσαι δέ οἱ, ἥντιν' ἀθύροι
Μολπὴν, οὐκ ἐπὶ δηρὸν ἐφήνδανεν ἑψιάασθαι.

Nec blandi faventes afflant amores.
Dixit convicians; subrisit autem Mopsus, auditâ
Voce avis divinitùs missâ, et sic locutus est.
Tu quidem ad Deæ templum ito, in quo puellam
Invenies, Jason; valde autem facili obviam ibis,
Veneris consiliis, quæ tibi unà adjutrix erit certaminis:
Sicut etiam antea Agenoris filius cecinit Phineus.
Nos verò, ego et Argus, expectantes donec veneris,
Hoc ipso in loco aberimus; ipse autem solus
Ora eam callidis persuasam verbis.
Dixit quidem astutè: simulque assentiebant utrique.
Nec Medeæ animus convertebatur ad alia cogitanda,
Quamlibet ludentis; omnes verò ei, quemcunque luderet
Cantum, non diu placebant ad ludendum:

937. Ἴσκεν ἀτεμβομένη] ἔλεγε μεμφομένη τῷ Μόψῳ. Schol.
938. Ὀμφὴν] φήμην. Θεήλατον, τὴν ὑπὸ τῆς θεᾶς Ἥρας ἐλαθεῖσαν καὶ λεχθεῖσαν. Schol.
941. Ἥ τοι συνέριθος] ἥτις Κύπρις συνεργὸς καὶ συμπράκτειρα τῶν σῶν κινδύνων φροντίσεται. Schol.
945. Λίσσεό μιν] εἶπε γὰρ ὁ Φινεύς. "ἐν γὰρ τῇ κλυτῇ πείρατα κεῖται ἀέθλου." Παρατροπέων. παρατρέπων, παραπείθων. Schol.
948. Ἀθύροι] παίζοι. Schol.

Ἀλλὰ

Ἀλλὰ μεταλήγεσκεν ἀμήχανος· οὐδέ ποτ᾽ ὄσσε
Ἀμφιπόλων μεθ᾽ ὅμιλον ἔχ᾽ ἀτρέμας, ἐς δὲ κελεύθους
Τηλόσε παπταίνεσκε, παρακλίνουσα παρειάς.
Ἦ θαμὰ δὴ στηθέων ἐάγη κέαρ, ὁππότε δοῦπον
Ἢ ποδὸς ἢ ἀνέμοιο παραθρέξαντα δοάσσαι.
Αὐτὰρ ὅγ᾽ οὐ μεταδηρὸν ἐελδομένῃ ἐφαάνθη,
Ὑψόσ᾽ ἀναθρώσκων, ἅτε Σείριος ὠκεανοῖο,
Ὃς δή τοι καλὸς μὲν ἀρίζηλός τ᾽ ἐσιδέσθαι
Ἀντέλλει, μήλοισι δ᾽ ἐν ἄσπετον ἧκεν ὀϊζύν.
Ὣς ἄρα τῇ καλὸς μὲν ἐπήλυθεν εἰσοράασθαι
Αἰσονίδης, κάματον δὲ δυσίμερον ὦρσε φαανθείς.
Ἐκ δ᾽ ἄρα οἱ κραδίη στηθέων πέσεν, ὄμματα δ᾽ αὔτως
Ἤχλυσαν· θερμὸν δὲ παρηίδας εἷλεν ἔρευθος·
Γούνατα δ᾽ οὔτ᾽ ὀπίσω οὔτε προπάροιθεν ἀεῖραι
Ἔσθενεν, ἀλλ᾽ ὑπένερθε πάγη πόδας· αἱ δ᾽ ἄρα τείως

Sed cessavit animi dubia; nec unquam oculos
Famularum ad cœtum dirigebat irretortè, sed in vias
Longè circumspectabat, inclinatis genis.
Toties autem cor ei effringebatur è pectore, quoties sonitum
Sive pedis sive venti prætereuntis sibi videbatur audire.
Verùm ille non longo intervallo apparuit desideranti,
Altè exiliens, tanquam Sirius Oceano,
Qui quidem pulcher et præclarus visu
Exoritur, sed pecori plurimum afferre solet calamitatis.
Sic ad illam accessit pulcher visu
Æsonis filius, laborem verò minimè desiderandum attulit conspectus.
Puellæ autem cor è pectore excidit, lumina pariter
Caligabant, calidas genas occupabat rubor:
Genua neque retrorsum neque prorsum movere
Potuit; subtus verò pedes obriguere: interim

950. Μεταλήγεσκεν. Sic Flor. Gall. μεταλλήγεσκεν.

954. Δοάσσαι] ἔδοξεν ἀκοῦσαι παραδραμόντα. ἔστι δὲ δοάσσαι τὸ θέμα δοάζω. σημαίνει δὲ τὸ νομίσαι. Schol.

962. Θερμὸν] καὶ τὸ ἐρύθημα δὲ τὸ θερμὸν τὰς παρειὰς κατείλαβεν. οἷον, ἐρυθρὰ ἐγένετο. Schol.

Ἀμφίπολοι

Ἀμφίπολοι μάλα πᾶσαι ἀπὸ σφείων ἐλίασθεν.
Τὼ δ᾽ ἄνεῳ καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοισιν,
Ἢ δρυσὶν ἢ μακρῇσιν ἐειδόμενοι ἐλάτῃσιν·
Αἵ τε παράσσον ἕκηλοι ἐν οὔρεσιν ἐρρίζωνται
Νηνεμίῃ, μετὰ δ᾽ αὖτις ὑπαὶ ῥιπῆς ἀνέμοιο
Κινύμεναι ὁμάδησαν ἀπείριτον· ὣς ἄρα τώγε
Μέλλον ἅλις φθέγξασθαι ὑπὸ πνοιῇσιν ἔρωτος.
Γνῶ δέ μιν Αἰσονίδης ἄτῃ ἐνιπεπτηυῖαν
Θευμορίῃ, καὶ τοῖον ὑποσσαίνων φάτο μῦθον.
Τίπτε με, παρθενική, τόσον ἅζεαι οἶον ἐόντα;
Οὔτοι ἐγὼν, οἷοί τε δυσαυχέες ἄλλοι ἔασιν
Ἀνέρες, οὐδ᾽ ὅτε περ πάτρῃ ἔνι ναιετάεσκον,
Ἦα πάρος· τῷ μή με λίην ὑπεραίδεο, κούρη,

Ab illis cunctæ recesserunt famulæ.
Ambo autem muti et sine sonitu unà consistebant
Aut quercubus, aut longis similes abietibus,
Quæ prope se quietè in montibus radices egerunt,
Tranquillitate, postea verò impetu venti
Commotæ strepuerunt immensum: sic sane illi
Satis erant locuturi præ flatu amoris.
Sensit autem Æsonis filius eam malo illapsam
Divinitùs misso, et talem subblandiens protulit sermonem.
Quare me, virgo, adeo revereris solum existentem?
Non sum ego quales alii malè gloriosi sunt
Viri, nec cum antea in patriâ habitarem,
Talis eram; quapropter parce coram me nimis erubescere, virgo,

966. Τὼ δ᾽ ἀνέῳ, &c.
Haud secus in mediis noctis nemorisque tenebris
Inciderant ambo attoniti, juxtaque subibant,
Abietibus tacitis aut immotis cyparissis
Adsimiles, rapidus nondum quas miscuit Auster. Upt.
Val. Flacc. VII. 403.

970. Ὁμάδησαν] κατεχρήσατο. ὅμαδος γὰρ κυρίως ἐπὶ ἀνδρῶν, ὁμαδώδης τις ἦν. Schol.

973. Θευμορίῃ] τῇ ἐκ θεῶν μεμοιραμένῃ αὐτῇ ἄτῃ. Schol.

975. Οἷοί τε δυσαυχέες] ὡς καυχώμενοι ἀλαζονικῶς ἐν ἑτέραις διαβολαῖς. Schol.

Ἦ τι

Ἤ τι παρεξερέεσθαι ὅ τοι φίλον, ἠέ τι φάσθαι.
Ἀλλ᾽ ἐπεὶ ἀλλήλοις ἱκάνομεν εὐμενέοντες
Χώρῳ ἐν ἠγαθέῳ, ἵνα τ᾽ οὐ θέμις ἔστ᾽ ἀλιτέσθαι,
Ἀμφαδίην ἀγόρευε καὶ εἴρεο· μηδέ με τερπνοῖς
Φηλώσῃς ἐπέεσσιν· ἐπεὶ τοπρῶτον ὑπέστης
Αὐτοκασιγνήτῃ, μενοεικέα φάρμακα δώσειν.
Πρὸς αὐτῆς Ἑκάτης μειλίσσομαι ἠδὲ τοκήων,
Καὶ Διός, ὃς ξείνοις ἱκέτῃσί τε χεῖρ᾽ ὑπερίσχει·
Ἀμφότερον δ᾽, ἱκέτης ξεῖνός τ᾽ ἔπι ἐνθάδ᾽ ἱκάνω,
Χρειοῖ ἀναγκαίῃ γουνούμενος. οὐ γὰρ ἄνευθεν
Ὑμείων, στονόεντος ὑπέρτερος ἔσσομ᾽ ἀέθλου.
Σοὶ δ᾽ ἂν ἐγὼ τίσαιμι χάριν μετόπισθεν ἀρωγῆς,

Quò minus quæras quodcunque lubet, aut quid loquaris.
Quoniam verò mutuò convenimus benevoli,
Loco in ſacro, ubi non fas eſt decipere,
Liberè loquaris rogeſque, nec me mollibus
Palpes verbis; quandoquidem imprimis pollicita es
Sorori germanæ, te demulcentia daturam medicamenta.
Per ipſam te Hecaten obteſtor, et per parentes,
Jovemque, qui hoſpitibus ſupplicibuſque manum porrigit,
Simul autem ſupplex et peregrinus hùc venio,
Neceſſitate in genua detruſus: non enim abſque vobis,
Luctuoſi ſuperator ero certaminis.
Tibi autem ego poſtea referam gratiam ob auxilium,

981. Τερπνοῖς] παραλογιστικοῖς. Schol.

982. Φηλώσῃς] ἀπατήσῃς. ἀπὸ τοῦ φήληκος, ὃ ἄωρον σῦκον. Schol.

984. Πρὸς αὐτῆς. Huic verſui opem ferre conatus, non aliter opitulari poſſe me vidi quàm ſi ſcriberem πρός σ᾽ αὐτῆς. Ut ſit μειλίσσομαι σε πρὸς αὐτῆς Ἑκάτης. Plerique autem loci, iis qui in poetarum lectione ſunt exercitati, minimè novam videri hujus particulæ collocationem ſinent. Immo novum potius eſſe poſſit μειλίσσομαι hac in ſignificatione, viz. pro *precor*: ſed ea poetam hunc alibi quoque uti comperies. Neque vero eſt ſimpliciter *precor*, ſed propriè, *blandis verbis et ad demulcendum aptis precor*. At verò in hoc verſu

Μουνογενῆ δ᾽ Ἑκάτην Περσηΐδα
ΜΕΙΛΙΣΣΟΙΟ

*placare* ſignificat: quod poſtea dicit ἱλάσκεσθαι. Stephanus.

Ἣ, θέμις, ὡς ἐπέοικε διάνδιχα ναιετάοντας,
Οὔνομα καὶ καλὸν τεύχων κλέος· ὡς δὲ καὶ ἄλλοι
Ἥρωες κλήσουσιν ἐς Ἑλλάδα νοστήσαντες,
Ἡρώων τ' ἄλοχοι καὶ μητέρες· αἵ νύ που ἤδη
Ἡμέας ἠιόνεσσιν ἐφεζόμεναι γοάουσιν·
Τάων ἀργαλέας κεν ἀποσκεδάσειας ἀνίας.
Δή ποτε καὶ Θησῆα κακῶν ὑπελύσατ' ἀέθλων
Παρθενικὴ Μινωῒς ἐϋφρονέουσ' Ἀριάδνη,
Ἥν ῥά τε Πασιφάη κούρη τέκεν ἠελίοιο.
Ἀλλ' ἡ μὲν καὶ νηός, ἐπεὶ χόλον εὔνασε Μίνως,
Σὺν τῷ ἐφεζομένη πάτρην λίπε· τὴν δὲ καὶ αὐτοὶ

Prout fas est, et ut decet divisim habitantes;
Nomen tibi et præclaram reddens gloriam: sic et alii
Heroes celebrabunt te in Græciam reversi,
Heroumque conjuges et matres, quæ forsan jam
Nos in litore sedentes lamentantur.
Harum sane tristes discuteres curas.
Fuit cum Thesea periculosis liberaret certaminibus
Virgo Minoïa bene volens Ariadne,
Quam Pasiphae solis peperit filia.
Quin ea etiam et nave, cum iram repressisset Minos,
Cum eo inscensâ, liquit patriam: hanc autem et ipsi

992. Ἐς Ἑλλάδα] Ἑλλάδα νῦν τὴν Φθιωτικὴν ὅλην χώραν, ὁμωνύμως τῇ πόλει. ὃν τρόπον Ἄργος, καὶ ἡ πόλις καὶ ἡ χώρα. Schol.

996. Δή ποτε καὶ Θησῆα] Διὰ τούτων ἠθικῶς παρακαλεῖται τὴν Μήδειαν εἰς τὸ ἀποπλεῦσαι σὺν αὐτῷ, παράδειγμα φέρων τὴν Ἀριάδνην τὴν Θησέως σώτειραν· στέφανον αὐτῆς κατηστερίσθαι λέγων· οὐ πάντα ἀληθεύων. καταλέλειπται γὰρ ὑπὸ Θησέως ἐν Νάξῳ, πεπαρθένευται δὲ ὑπὸ Διονύσου κατά τινας. ἐξ ἧς παιδοποιεῖ Οἰνοπίωνα, Θόαντα, Στάφυλον, Λάτραμυν, Εὐάνθη, Ταυρόπολιν. ὅτι δὲ οὐδὲ ἤγαγεν αὐτὴν εἰς Ἀθήνας, πλανῆσαί τε καταλειφθεῖσαν ὑπὸ Θησέως, Ὅμηρος μαρτυρεῖ, δι' ὧν ὁ Ὀδυσσεύς φησι. "Φαίδρην τε Πρόκριν τε ἴδον, καλήν τ' Ἀριάδνην, Κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε Θησεὺς Γήμας οὐδ' ἀπόνητο." ὅτι δὲ ὁ στέφανος ὑπὸ Διονύσου κατηστέρισται, Ἄρατός φησιν. "αὐτοῦ κἀκεῖνος στέφανος, τὸν ἀγαυὸν ἔθηκεν Σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης." Schol.

999. Ἀλλ' ἡ μὲν] Διὰ τούτων προτρέπεται τὴν Μήδειαν πλεῖν σὺν αὐτῷ, παράδειγμα φέρων τὸν Ἀριάδνης ἔρωτα, ὅτι συναπῆρε τῷ Θησεῖ εἰς Ἀθήνας. Schol.

Ἀθάνατοι

Ἀθάνατοι φίλαντο, μέσῳ δέ οἱ αἰθέρι τέκμαρ
Ἀστερόεις στέφανος, τόν τε κλείουσ' Ἀριάδνης,
Πάννυχος οὐρανίοισιν ἑλίσσεται εἰδώλοισιν.
Ὣς καὶ σοὶ θεόθεν χάρις ἔσσεται, εἴκε σαώσεις
Τόσσον ἀριστήων ἀνδρῶν στόλον· ἦ γὰρ ἔοικας
Ἐκ μορφῆς ἀγανῇσιν ἐπητείῃσι κεκάσθαι.
Ὣς φάτο κυδαίνων· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα,
Νεκτάρεον μείδησ', ἐχύθη δέ οἱ ἔνδοθι θυμὸς
Αἴνῳ ἀειρομένης, καὶ ἀνέδρακεν ὄμμασιν ἄντην·
Οὐδ' ἔχεν ὅ, ττι πάροιθεν ἔπος προτιμυθήσαιτο,
Ἀλλ' ἄμυδις μενέαινεν ἀολλέα πάντ' ἀγορεῦσαι.
Προπρὸ δ' ἀφειδήσασα θυώδεος ἔξελε μίτρης
Φάρμακον· αὐτὰρ ὅγ' αἶψα χεροῖν ὑπέδεκτο γεγηθώς.

Dii dilexerunt, eique in medio cœlo ſignum,
Stellata corona, quam vocant Ariadnes,
Per totam noctem cœleſtibus volvitur ſimulachris.
Sic et tibi à Diis erit gratia, ſi ſervaveris
Tantam principum virorum claſſem: et ſane videris
Ex formâ, et comitate et ſolertiâ prædita.
Sic locutus eſt: ea verò inclinatis luminibus,
Suaviter ſubriſit, effuſuſque eſt ei intùs animus
Laudibus ſublatæ, ſuſpexitque è contrà oculis:
Neque novit quod prius verbum proferret,
Sed cuncta confertim eloqui ardebat.
Primùm igitur, omiſſis aliis, ex odoratâ deprompſit faſciâ
Medicamentum, quod ille ſtatim manibus recepit lætabundus.

1006. Ἐπητείῃσι] ἐπιστήμαις, φρονήσεσιν. Ὅμηρος. "ἐπητῇ δ' ἀνδρὶ ἔοικας." Schol.

1008 Νεκτάρεον] ἀντὶ τοῦ προσηνές. ἐγὼ δέ φημι λαρὸν, παρὰ τὸ νέκταρ. Schol.

1010 Οὐδ' ἔχεν, &c.

Nec quibus incipiat demens videt, ordine nec quo,
Quave tenus, *primâ cupiens effundere voce*
*Omnia:* ſed nec prima pudor dat verba timenti.

Val. Flacc. VII. 433. Upt.

1012. Προπρὸ δ' ἀφειδήσασα.] χάριται, προπρὸ δὲ μειδήσασα. ἐμφαντικὴ ἡ ἐπαναδίπλωσις τῆς προθέσεως. ἐμφαίνει

Καί νύ κέ οἱ καὶ πᾶσαν ἀπὸ στηθέων ἀρύσασα
Ψυχὴν ἐγγυαλίξεν ἀγαιομένη χατέοντι,
Τοῖος ἀπὸ ξανθοῖο καρήατος Αἰσονίδαο
Στράπτεν ἔρως ἡδεῖαν ἀπὸ φλόγα· τῆς δ' ἀμαρυγὰς
Ὀφθαλμῶν ἥρπαζεν· ἰαίνετο δὲ φρένας εἴσω
Τηκομένη, οἷόν τε περὶ ῥοδέοισιν ἐέρση
Τήκεται, ἠώοισιν ἰαινομένη φαέεσσιν.
Ἄμφω δ' ἄλλοτε μέν τε κατ' οὔδεος ὄμματ' ἔρειδον
Αἰδόμενοι, ὅτε δ' αὖτις ἐπὶ σφίσι βάλλον ὀπωπὰς,
Ἱμερόεν φαιδρῇσιν ὑπ' ὀφρύσι μειδιόωντες.

Et jam ſane ei omnem è pectoribus hauſtam
Præbuiſſet animam admirabunda, ſi deſiderâſſet;
Talis à capite flavo Jaſonis
Coruſcabat amor amœnum fulgur, et illius ſcintillationes
Oculorum rapuit: exultabat verò in animo intùs
Tabeſcens, qualiter in roſis ros
Diffluit, matutinis diſſolutus radiis.
Ambo autem nunc in humum oculos figebant
Pudibundi, nunc rurſus ſe mutuò feriebant luminibus,
Amabiliter lætis ſub ſuperciliis ridentes.

γὰρ μᾶλλον τὸ μετὰ σπουδῆς καὶ προχείρως γεγονέναι τὴν δόσιν. Ἀφαδίσασα. ἀφροντιστήσασα πρὸς τοῦτον εἰπεῖν. ἀντὶ τοῦ, μηκέτι ἀκριβωσαμένη, ἢ πολυπραγμονήσασα, ἀφεῖλεν ἐκ τοῦ στηθοδεσμίου τὸ φάρμακον. διὰ δὲ τούτου φαίνεται ἡ ἐπίτασις τοῦ ἔρωτος. Schol.

1014 Ἀρύσασα] ἀντὶ τοῦ ἀφελομένη, ἀπαντλήσασα, ἢ ἐκκενώσασα. Schol.

1017. Ἀμαρυγὰς] τὰς οἷον συνεχεῖς κινήσεις. καὶ ἐπὶ τοῦ πυρὸς λέγεται ἀμαρύσσειν, ἀπὸ τοῦ τὴν φλόγα συνεχῶς ἀΐσσειν. Ὅμηρος. "Μαρμαρυγὰς θηεῖτο ποδῶν." τὴν κατεπάλληλον δηλῶν κίνησιν. Schol.

1019. Τηκομένη] τὸ Ὁμηρικὸν παρέφρασε. "Ἰάνθη δ' ὡσεί τε περὶ σταχύεσσιν ἐέρση Ληΐου ἀλδήσκοντος." τὸ μὲν οὖν τηκόμενον πάντως καταχεῖται. Ὅμηρος. "αἶψα δ' ἰαίνετο κηρὸς, ἐπεὶ κέλετο μεγάλη ἲς ἠελίοιο." οὐ πάντως δὲ ὅ τι ἰαίνεται, τοῦτο καὶ τήκεται. ὅθεν Ὅμηρος, εἰπὼν ἰάνθη, ἐπήνεγκεν, ὡσεί τι. μεταφορικῶς λέγων, ὅτι ὀρθὸν ἔχουσι τὸν στάχυν, οἷον μετεωριζόμενον. ὥστε εἶναι τὸ νοούμενον ἐμφατικὸν τῆς τῶν σταχύων ἡδονῆς, καθάπερ ἐμψύχων, τῆς δρόσου ἀντεχομένης τῶν καρπῶν. οὕτω καὶ τὴν ψυχὴν τοῦ Μενελάου εἰς τέρψιν μετῆχθαι τοῖς λόγοις τοῦ Ἀντιλόχου. τὸ δὲ τήξει παραβάλλειν τὴν τερπομένην ψυχὴν οὐ πιθανόν. δύναται μὲν οὖν ἀναγινώσκεσθαι καὶ τὸ τήκεσθαι ἐπὶ τέρψεως. τὸ γὰρ τηκόμενον πάντως λύεται καὶ μαλάσσεται. ἔστιν οὖν εἰπεῖν, ὅτι πᾶσα διελύθη, ἐφηπλώθη ἡ Μήδεια. Schol.

Ὀψὲ

Ὀψὲ δὲ δὴ τοίοισι μόλις προσπτύξατο κούρη.
Φράζεο νῦν ὥς κέν τοι ἐγὼ μητίσομ᾽ ἀρωγήν.
Εὖτ᾽ ἂν δὴ μετιόντι πατὴρ ἐμὸς ἐγγυαλίξῃ
Ἐξ ὄφιος γενύων ὀλοοὺς σπείρασθαι ὀδόντας,
Δὴ τότε μέσσην νύκτα διαμμοιρηδὰ φυλάξας,
Ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος ποταμοῖο,
Οἶος ἄνευθ᾽ ἄλλων ἐνὶ φάρεσι κυανέοισι
Βόθρον ὀρύξασθαι περιηγέα· τῷ δ᾽ ἔνι θῆλυν
Ἀρνειὸν σφάζειν, καὶ ἀδαίετον ὠμοθετῆσαι,
Αὐτῷ πυρκαϊὴν εὖ νήσας ἐπὶ βόθρῳ.
Μουνογενῆ δ᾽ Ἑκάτην Περσηΐδα μειλίσσοιο,

Serò tandem talibus ægrè allocuta eſt virgo.
Adverte nunc quomodo tibi molitura ſim auxilium.
Quando advenienti pater meus dederit,
E draconis maxillis horrendos ad ſerendum dentes,
Tunc ſane obſervatâ mediâ nocte, æqualiter diviſâ,
Perennis fluctibus lotus fluvii,
Solus ſeparatim ab aliis, in veſtibus atris,
Foveam effodias orbicularem, in eâque fœminam
Ovem mactes, et integram crudamque imponas
Pyræ in ipſam foveam ritè extructæ.
Unigenam verò Hecaten Perſeo natam places

1028. Διαμμοιρηδὰ φυλάξας] τινὰ λέγει τῶν ζωδίων μεσουρανοῦντα παραφυλάττοντα κατὰ τὸ μεσονύκτιον, τῶν πρὸς τῷ ὁρίζοντι, ἃ μὲν δυόντα, ἃ δὲ ἀνατέλλοντα, ἢ ἐπὶ τῆς ἀρχῆς ὑψώματος. Ἄλλως. τὸ διαμμοιρηδὰ ἀντὶ τοῦ, κατὰ ἴσας μοίρας εἰς ζώδια διαιρεῖσθαι τὸν οὐρανὸν, ὡς εἶναι μεσουρανοῦντα τῶν ζωδίων τὰ κατὰ τὴν ἑσπέραν ἀνατέλλοντα. Schol.

1031. Περιηγέα] τὸ περιφερῆ, καὶ στρογγύλον. Schol.

132. Ἀρνειὸν σφάζειν] ἀντὶ τοῦ σφάξον. καὶ ἀδιαμέριστον θὲς ἐπὶ τὸ πῦρ. Ὠμοθετεῖν δέ ἐστι τὸ τοὺς ἱερέας ὠμὰ ἀπάρχεσθαι τῶν μελῶν. Schol.

Ibid. Μειλίσσοιο, et mox μειλισσέων. *Melle* utebantur in inferorum ſacris, unde vox μειλίσσεσθαι. Vide Heinſium ad Sil. Ital. XIII. 434. Upt.

1034. Μουνογενῆ] Ἡσίοδος. "οὐδέ τι μουνογενὴς ἧσσον θεὰ ἔμμορε τιμῆς." Μουσαῖος ἱστορεῖ Δία ἐρασθέντα Ἀστερίας, μιγῆναι· καὶ μιγεῖσαν δοῦναι τῷ Περσεῖ, ἐξ ἧς τεκνῶσαι αὐτοῦ τὴν Ἑκάτην. Schol.

Λείβων

Λείβων ἐκ δέπαος σιμβλήϊα ἔργα μελισσῶν.
Ἔνθα δ' ἔπειτα Θεὰν μεμνημένος ἱλάσσηαι,
Ἂψ δ' ἀπὸ πυρκαϊῆς ἀναχάζεο· μηδέ σε δοῦπος
Ἠὲ ποδῶν ὄρσῃσι μεταστρεφθῆναι ὀπίσσω,
Ἠὲ κυνῶν ὑλακή· μή πως τὰ ἕκαστα κολούσας,
Οὐδ' αὐτὸς κατὰ κόσμον ἑοῖς ἑτάροισι πελάσσῃς.
Ἦρι δὲ μυδήνας τόδε φάρμακον, ἠΰτ' ἀλοιφῇ
Γυμνωθεὶς φαίδρυνε τεὸν δέμας· ἐν δέ οἱ ἀλκὴ
Ἔσσετ' ἀπειρεσίη, μέγα τε σθένος· οὐδέ κε φαίης
Ἀνδράσιν ἀλλὰ Θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν.
Πρὸς δὲ καὶ αὐτῷ δουρὶ σάκος πεπαλαγμένον ἔστω
Καὶ ξίφος· ἔνθ' οὐκ ἄν σε διατμήξειαν ἀκωκαὶ
Γηγενέων ἀνδρῶν, οὐδ' ἄσχετος ἀΐσσουσα
Φλὸξ ὀλοῶν ταύρων· τοῖός γε μὲν οὐκ ἐπὶ δηρὸν
Ἔσσεαι, ἀλλ' αὐτῆμαρ· ὅμως σύ γε μήποτ' ἀέθλου

Libans ex paterâ alvearenſia opera apum.
Deinde, poſtquam Deam memor placaveris,
Retrò à pyrâ recedas; neque te ſtrepitus
Sive pedum impellat retrorsùm converti,
Sive canum latratus; nè ſingula irrita reddens
Nec ipſe decenter tuis appropinquaveris ſociis.
Manè verò ubi humectaveris medicamentum, velut unguento
Nudatum tuum corpus niteſcere facias; tibique robur
Inerit immenſum, validæque vires, nec te putaveris
Viris, ſed immortalibus æqualem Diis.
Præter autem ipſam haſtam, et ſcutum ſit oblitum.
Cum gladio: exinde te non perruperint cuſpides
Gigantum, nec toleratu difficilis *erit* irruens
Flamma horribilium taurorum. Talis tamen non diu
Eris, ſed unum duntaxat diem: tu tamen nullo modo certamini

1039. Κολούσας] ἀτελῆ καὶ ἄπρακτα ποιήσας ἕκαστα τῶν ἐνεργουμένων. Σοφοκλῆς δὲ ἐν ταῖς Κολχίσιν, εἰσάγει τὴν Μήδειαν ὑποτιθεμένην τῷ Ἰάσονι περὶ τοῦ ἄθλου δι' ἀμοιβαίων. Schol.

Ibid. Κολούσας. Sacra interrumpere et omina turbare piaculum eſſet. Confer Servium ad Æn. VIII. 110. *Ne qua inter ſanctos*, &c. Upt.

Χάζεο·

Χάζεο· καὶ δέ τοι ἄλλο παρὲξ ὑποθήσομ' ὄνειαρ.
Αὐτίκ' ἐπὴν κρατεροὺς ζεύξῃς βόας, ὦκα δὲ πᾶσαν
Χερσὶ καὶ ἠνορέῃ στυφελὴν διὰ νειὸν ἀρόσσῃς,
Οἱ δ' ἤδη κατὰ ὦλκας ἀνασταχύουσι γίγαντες,
Σπειρομένων ὄφιος δνοφερὴν ἐπὶ βῶλον ὀδόντων·
Αἴκεν ὀρινομένους πολέας νειοῖο δοκεύσῃς,
Λάθρῃ λᾶαν ἄφες στιβαρώτερον· οἱ δ' ἂν ἐπ' αὐτῷ,
Καρχαλέοι κύνες ὥστε περὶ βρώμης, ὀλέκοιεν
Ἀλλήλους· καὶ δ' αὐτὸς ἐπείγεο δηϊοτῆτος
Ἰθῦσαι· τὸ δὲ κῶας ἐς Ἑλλάδα τοῖό γ' ἕκητι
Οἴσεαι ἐξ Αἴης τηλοῦ ποθί. νείσσεο δ' ἔμπης
Ἧι φίλον, εἴ τοι ἕαδεν ἀφορμηθέντι νέεσθαι.
Ὣς ἄρ' ἔφη· καὶ σῖγα ποδῶν πάρος ὄσσε βαλοῦσα,
Θεσπέσιον λιαροῖσι παρηΐδα δάκρυσι δεῦε
Μυρομένη, ὅτ' ἔμελλεν ἀπόπροθι πολλὸν ἑοῖο

Cedas: quin et aliud tibi fubjiciam adminiculum.
Statim poftquam validos adjugaveris boves, et celeriter totum
Manibus et fortitudine afperum novale peraraveris,
Ipfique jam per fulcos egerminare inceperint gigantes,
Satis ferpentis atram in terram dentibus,
Si excitatos multos per novale obfervaveris,
Clàm lapidem illis immittas ingentem: illi verò, hâc de caufâ
Tanquam rabidi pro cibo canes, conficient
Se mutuò: tunc ipfe maturato in pugnam
Ruere; ac pellem in Græciam, hujus caufâ,
Auferes Æâ procul: revertes tamen
Ubi libitum, fi tibi placuerit feparato redire.
Sic dixit, et filentio ante pedes oculis demiffis,
Largiter tepidis genas rigavit lachrymis,
Lamentans, quòd longè longéque à fe

1053. Ἀνασταχύουσι. Malim ἀνασταχύωσι.

1056. Στιβαρώτερον] ἀντὶ τοῦ στιβαροῦ· τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ. Schol.

1064. Ἑοῖο] τῇ κτητικῇ ἀντὶ τῆς πρωτοτύπου. ἐμεῖο γὰρ, σεῖο. ἧς τὸ ἀκόλουθον οἷο, ἀντὶ τοῦ αὐτῆς. Schol.

Πόντου

Πόντον ἐπιπλάγξασθαι· ἀνιηρῷ δέ μιν ἄντην
Ἐξαῦτις μύθῳ προσεφώνεεν, εἷλέ τε χειρὸς
Δεξιτερῆς· ἤδη γὰρ ἀπ' ὀφθαλμοὺς λίπεν αἰδώς.
Μνώεο δ', ἢν ἄρα δή ποθ' ὑπότροπος οἴκαδ' ἵκηαι,
Οὔνομα Μηδείης· ὣς δ' αὖτ' ἐγὼ ἀμφὶς ἐόντος
Μνήσομαι· εἰπὲ δέ μοι πρόφρων τόδε, πῇ τοι ἔασι
Δώματα, πῇ νῦν ἔνθεν ὑπεὶρ ἅλα νηῒ περήσεις·
Ἦ νύ που ἀφνειοῦ σχεδὸν ἵξεαι Ὀρχομενοῖο,
Ἠὲ καὶ Αἰαίης νήσου πέλας· εἰπὲ δὲ κούρην,
Ἥν τινα τήνδ' ὀνόμηνας ἀριγνώτην γεγαυῖαν
Πασιφόης, ἣ πατρὸς ὁμόγνιος ἐστὶν ἐμεῖο.
Ὣς φάτο· τὸν δὲ καὶ αὐτὸν ὑπήιε δάκρυσι κούρης
Οὖλος ἔρως· τοῖον δὲ παραβλήδην ἔπος ηὔδα.
Καὶ λίην οὐ νύκτας ὀίομαι οὐδέ ποτ' ἦμαρ

Per mare navigaturus esset: mœsto igitur eum
Iterum contrà verbo allocuta est, prehensâ manu
Dextrâ, jam enim oculos reliquerat pudor:
Memineris saltem, si modò unquam redux domum adveneris,
Nominis Medeæ, sicut ego vicissim absentis
Recordabor: dic verò mihi libenter hoc, ubinam sunt tibi
Penates, quò nunc hinc trans mare nave trajicies.
An fortè ad opulenti confinia iturus sis Orchomeni,
Sive Ææam propè ad insulam: memora etiam mihi puellam,
Cujusmodi sit, quam nominâsti, nobilem natam
Pasiphaes, quæ patris mei cognata est.
Sic dixit: hunc autem et ipsum subiit lachrymis virginis
Nocens amor, et tale vicissim responsum dedit.
Prorsus sanè existimo me nec ullas noctes, nec dies,

1066. Εἷλε τέ χειρὸς, &c.
——*tum verò extremo percussa dolore*
*Arripit Aesonidem dextra, ac submissa profatur.*
*Sis memor, oro, mei, contra memor ipsa manebo*
*Crede, tui, &c.*
Val. Flacc. VII. 475.

1073. Ἠὲ καὶ Αἰαίης] νῆσος ἐν τῷ Φάσιδι ἐστὶν ἡ Αἰαία, ἐν ᾗ τὸ δέρας ἔκειτο· αὕτη δὲ ἔτι Κόλχων μητρόπολις. Schol.

Σεῦ

Σεῦ ἐπιλήσεσθαι, προφυγὼν μόρον· εἰ ἐτεόν γε
Φεύξομαι ἀσκηθὴς ἐς Ἀχαιΐδα· μηδέ τιν' ἄλλον
Αἰήτης προβάλῃσι κακώτερον ἄμμιν ἄεθλον.
Εἰ δέ τι ἡμετέρην ἐξίδμεναι εὔαδε πάτρην,
Ἐξερέω· μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει.
Ἔστι τις αἰπεινοῖσι περίδρομος οὔρεσι γαῖα,
Πάμπαν ἐΰῤῥηνός τε καὶ εὔβοτος· ἔνθα Προμηθεὺς
Ἰαπετιονίδης ἀγαθὸν τέκε Δευκαλίωνα·
Ὃς πρῶτος ποίησε πόληας καὶ ἐδείματο νηοὺς
Ἀθανάτοις, πρῶτος δὲ καὶ ἀνθρώπων βασίλευσεν.
Αἱμονίην δὴ τήνδε περικτίονες καλέουσιν·

Tui obliturum, evitato fato; si modò verè
Fugiam incolumis in Græciam, nec aliud quoddam
Æeta nobis objiciat periculosius certamen.
Si verò tibi quidpiam placuerit nostram perdiscere patriam,
Narrabo, maximè enim et meipsum animus impellit.
Est quædam arduis circumdata montibus terra,
Insigniter dives ovium, et ad pascendum apta, ubi Prometheus
Iapeto satus bonum genuit Deucaliona;
Qui primus extruxit urbes et condidit templa
Immortalibus, primus etiam hominibus regnavit.
Æmoniam autem illam dicunt accolæ.

1084. Ἔστι τις αἰπεινοῖσι] ὅτι ἡ Θεσσαλία περιέχεται ὄρεσι κυκλόθεν, Ἡρόδοτος ἱστορεῖ. ὅτι δὲ Προμηθέως υἱὸς Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικος φησί· καὶ ὅτι δώδεκα θεῶν βωμοὺς ἱδρύσατο. εἰς αὐτὴν δὲ καὶ ἄλλων ποταμῶν εἰσβαλλόντων, τεσσάρων δὲ μάλιστα τῶν δοκίμων, Πηνειοῦ, καὶ Ἀπιδανοῦ, καὶ Παμισοῦ, καὶ Ἐνιπέως, τούτων συμμιγνυμένων, ὁ Πηνειὸς τῷ ὀνόματι κατακρατῶν, ἀνωνύμους τοὺς ἄλλους ποιεῖ. Schol.

1085. Καὶ εὔβοτος] πρὸς τὸ βόσκειν ἐπιτήδεια· ἢ καλὰ θρέμματα ἔχουσα.

Ἔνθα Προμηθεύς. ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων, Ἡσίοδος ἐν πρώτῳ καταλόγων φησί· καὶ ὅτι Προμηθέως καὶ Πύῤῥας Ἕλλην. ὅτι δὲ καὶ ὁ Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικος ἐν πρώτῳ τῆς Δευκαλιωνίας φησίν. καὶ ὅτι δώδεκα θεῶν βωμοὺς ὁ Δευκαλίων ἱδρύσατο, Ἑλλάνικος ἐν τῷ αὐτῷ φησὶ συγγράμματι. Schol.

1086. Ἰαπετιονίδης] ἐκ τίνος γυναικὸς ὁ Δευκαλίων ἐγένετο Προμηθεῖ, σεσιώπηται. ἔστι δὲ καὶ ἕτερος Δευκαλίων, περὶ οὗ Ἑλλάνικος ἱστορεῖ· καὶ ἄλλος, ὁ Μίνωος, περὶ οὗ Φερεκύδης· καὶ τέταρτος, ὁ Ἄβαντος· οὗ μνημονεύει Ἀρίστιππος ἐν Ἀρκαδικοῖς. Schol.

1089. Αἱμονίην δὴ τήνδε] Αἱμονία

Ἐν δ' αὐτῇ Ἰαολκὸς, ἐμὴ πόλις, ἐν δὲ καὶ ἄλλαι
Πολλαὶ ναιετάουσιν, ἵν' οὐδέ περ οὔνομ' ἀκοῦσαι
Αἰαίης νήσου. Μινύην γε μὲν ὁρμηθέντα,
Αἰολίδην Μινύην, ἔνθεν φάτις Ὀρχομενοῖο
Δή ποτε Καδμείοισιν ὁμουρέον ἄστυ πολίσσαι.
Ἀλλὰ τίη τάδε τοι μεταμώνια πάντ' ἀγορεύω;
Ἡμετέρους τε δόμους, τηλεκλειτήν τ' Ἀριάδνην,
Κούρην Μίνωος· τόπερ ἀγλαὸν οὔνομα κείνην
Παρθενικὴν καλέεσκον ἐπήρατον, ἥν μ' ἐρεείνεις.
Αἴθε γὰρ ὡς Θησῆϊ τότε ξυναρέσσατο Μίνως
Ἀμφ' αὐτῆς, ὧς ἄμμι πατὴρ τεὸς ἄρθμιος εἴη.

In eâ Iolcus urbs mea, aliæque
Multæ inhabitantur, ubi nec ipsum nomen audire conceditur
Insulæ Æææ. Minyam verò profectum
Inde, Minyam Æolidem, fama est Orchomeni
Quondam Cadmeis affinem urbem condidisse.
Sed cur tibi hæc vana omnia recenseo?
Et ædes meas, inclytamque Ariadnem
Minoë satam, quo splendido nomine illam
Virginem nuncupabant amabilem, de quâ me rogas.
Utinam verò quòd tunc cum Theseo convenerat Minoï
De illâ, ut tuus nobis pater amicus esset.

πρότερον ἡ Θεσσαλία ἐκαλεῖτο· καὶ ἄλλας δὲ ἔχειν ὀνομασίας. ἐλέγετο δὲ καὶ Πυῤῥοδία ἀπὸ Πύῤῥας τῆς Δευκαλίωνος. ἡ Θεσσαλία ἐκαλεῖτο τὸ παλαιὸν Πύῤῥα· ὡς Ῥιανός. "Πύῤῥαν δή ποτε τήν γε παλαιότεροι καλέεσκον, Πύῤῥης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο. Αἱμονίην δ' ἐξαῦτις, ἀφ' Αἵμονος, ὅν ῥα Πελασγὸς Γείνατο, φέρτατον υἱόν. ὁ δ' αὖ τέκε Θεσσαλὸν Αἵμων. τοῦ δ' ἄπο Θεσσαλίην λαοὶ μετεφημίξαντο." οἱ δὲ ἀπὸ Θεσσαλοῦ τοῦ Φειδίππου πατρὸς, τοῦ Ἡρακλείδου, μετὰ τὰ Τρωϊκὰ κληθῆναι φασί. διαιρεῖται δὲ εἰς μέρη τέσσαρα, Πελασγιῶτιν, Θεσσαλιῶτιν, Ἰωλκῖτιν, Φθιῶτιν· ταῦτα παρατίθεται Ἀπολλόδωρος ἐν νεῶν καταλόγῳ. Schol.

1093. Αἰολίδην] οὐκ ἀπὸ Αἰόλου, ἀλλ' ἀπὸ τοῦ Αἰόλου. Σισύφου γὰρ παῖδες ἐγένοντο, Ἅλμος καὶ Πορφυρίων· Χρυσογόνης δὲ τῆς Ἅλμου καὶ Ποσειδῶνος, Μινύας, ὁ τὸν Ὀρχομενὸν κτίσας. καὶ κατὰ τοῦτο εἴρηται Αἰολίδης, ὅτι Σίσυφος Αἰόλου ἐγένετο. Μινύας δὲ κατὰ μητέρα Αἰολίδης, πατρὸς δὲ Ποσειδῶνος. τοῦτον οὖν Ἀπολλώνιος φησὶν εἰς τὴν Βοιωτίαν εἰσβαλόντα, ὅμορον Θηβαίοις Ὀρχομενὸν κτίσαι. Schol.

1099. Αἴθε γὰρ ὡς Θησῆϊ] πιθανῶς ἄγαν περιτρέπεται αὐτὴν εἰς τὸ ὁμολογήσασθαι τῷ Ἰάσονι τὴν συναίρεσιν αὐτῆς, καλεῖ στοχασμένος τοῦ ἔρωτα. Schol.

Ὣς φάτο, μειλιχίοισι καταψύχων ὀάροισι.
Τῆς δ' ἀλεγεινότατοι κραδίην ἐρέθεσκον ἀνίαι·
Καί μιν ἀκηχεμένη ἀδινῷ προσπτύξατο μύθῳ.
Ἑλλάδι που τάδε καλὰ, συνημοσύνας ἀλεγύνειν·
Αἰήτης δ' οὐ τοῖος ἐν ἀνδράσιν οἷον ἔειπας
Μίνω Πασιφάης πόσιν ἔμμεναι· οὐδ' Ἀριάδνῃ
Ἰσοῦμαι· τῷ μήτι φιλοξενίην ἀγόρευε.
Ἀλλ' οἶον τύνη μὲν ἐμεῦ, ὅτ' Ἰωλκὸν ἵκηαι,
Μνώεο· σεῖο δ' ἐγὼ, καὶ ἐμῶν ἀέκητι τοκήων,
Μνήσομαι· ἔλθοι δ' ἧμιν ἀπόπροθεν ἠέ τις ὄσσα,
Ἠέ τις ἄγγελος ὄρνις, ὅτ' ἐκλελάθοιο ἐμεῖο·
Ἢ αὐτήν με ταχεῖαι ὑπὲρ πόντοιο φέροιεν
Ἐνθένδ' εἰς Ἰαολκὸν ἀναρπάξασαι ἄελλαι,
Ὄφρα σ' ἐν ὀφθαλμοῖσιν ἐλεγχείας προφέρουσα,

Sic dixit; blandis eam demulcens verbis.
Ejus verò acerbissimi cor irritabant dolores,
Ipsumque tristata miserabili affata est sermone.
In Græciâ fortasse honestum sit pactorum rationem habere:
Æeta autem non talis inter viros, qualem dixisti
Minoä Pasiphaes maritum, esse; nec ego Ariadnæ
Æqualis sum; quare nihil amplius de hospitalitate dicas.
Tu tantùm mei quandò ad Iolcum veneris,
Memineris; tui verò ego, et invitis parentibus,
Recordabor: utinam autem ad nos veniat de longinquo aut fama quæpiam
Aut avis aliqua nuncia, quando mei oblitus fueris:
Aut ipsam me celeres trans pontum ferant
Hinc in Iolcum abreptam procellæ,
Ut tibi, ante tui ipsius oculos accusationes objiciens,

1101. Καλαψύχων] καταμαλάττων. Schol.

Ibid. Καταψύχων. *Refrigerans, exsiccans.* Hœlzlinus, interpres non omnino fidus, *Hâc amatoriâ eam allocutiunculâ tanquam aquulâ adspersit.* At Spanhemius in Call. Pall. 66. legendum omnino affirmat καλαψήχων: quem vide.

1103. Ἀδινῷ] ἀδινὸν ἐνταῦθα μὲν τὸ οἰκτρὸν καὶ λυπηρόν. Schol.

1114. Ἐν ὀφθαλμοῖσι. ps.50. לעיניך ואערכה אוכחך Ita te convincam ut negare non possis. Aut. I. 475. ut erubescas. Hœl.

Μνήσαι ἐμῇ ἰότητι πεφυγμένον· αἴθε γὰρ εἴην
Ἀπροφάτως τότε σοῖσιν ἐφέστιος ἐν μεγάροισιν.
Ὣς ἄρ' ἔφη, ἐλεεινὰ καταπροχέουσα παρειῶν
Δάκρυα· τὴν δ' ὅγε δῆθεν ὑποβλήδην προσέειπε.
Δαιμονίη, κενεὰς μὲν ἔα πλάζεσθαι ἀέλλας,
Ὣς δὲ καὶ ἄγγελον ὄρνιν· ἐπεὶ μεταμώνια βάζεις.
Εἰ δέ κεν ἤθεα κεῖνα καὶ Ἑλλάδα γαῖαν ἵκηαι,
Τιμήεσσα γυναιξὶ καὶ ἀνδράσιν αἰδοίη τε
Ἔσσεαι· οἱ δέ σε πάγχυ Θεὸν ὣς πορσανέουσιν,
Οὕνεκα τῶν μὲν παῖδες ὑπότροποι οἴκαδ' ἵκοντο
Σῇ βουλῇ, τῶν δ' αὖτε κασίγνητοί τε ἔται τε
Καὶ θαλεροὶ κακότητος ἅδην ἐσάωθεν ἀκοῖται.
Ἡμέτερον δὲ λέχος θαλάμοις ἐνὶ κουριδίοισι
Πορσανέεις· οὐδ' ἄμμε διακρινέει φιλότητος
Ἄλλο, πάρος θάνατόν γε μεμορμένον ἀμφικαλύψαι.

In memoriam revocem meo te confilio effugiffe: utinam enim effem
De improvifo tuis tunc familiaris in ædibus.
Sic dixit, miferabiles defundens à genis
Lachrymas: eam verò ille interpellanter allocutus eft.
Cariffima, inanes fine vagentur procellæ
Et ipfa etiam nuncia avis, quoniam vana loqueris.
Si verò illas ad fedes, terramque Græciam adveneris,
Honorata apud mulieres, et apud viros reverita
Eris; qui te omnino quafi deam percolent,
Eò quòd horum nati reduces domum attigerint
Tuo confilio; illarum rurfus vel fratres vel cognati
Florentefque è clade fervati fuerint mariti.
Noftrum infuper lectum in thalamis puellaribus
Participabis, nec nos diftrahet ab amore
Aliud aliquid, priufquam mors fatalis obruat.

1123. Πορσανέουσιν] πορσανέουσιν νῦν ἀντὶ τοῦ τιμήσουσι καὶ ὡς θεὸν νομίσουσι σε πλήν. Ὅταν δὲ λέγῃ ὁ Ἰάσων, ἡμέτερον δὲ λέχος θαλάμοις ἐνὶ κουριδίοισι πορσανέεις, δηλοῖ ὅτι εὐθετήσῃ καὶ αὐξήσεις, δι' οὗ τὴν συμβίωσιν σημαίνει. Schol.

Ὣς

Ὣς φάτο· τῇ δ' ἔντοσθε κατείβετο θυμὸς ἀκουῇ·
Ἔμπης δ' ἔργ' ἀΐδηλα κατεῤῥίγησεν ἰδέσθαι
Σχετλίη· οὐ μὲν δηρὸν ἀπαρνήσεσθαι ἔμελλεν
Ἑλλάδα ναιετάειν· ὧς γὰρ τόδε μήδετο Ἥρη,
Ὄφρα κακὸν Πελίῃ ἱερὴν ἐς Ἰωλκὸν ἵκηται
Αἰαίη Μήδεια, λιποῦσά γε πατρίδα γαῖαν.
Ἤδη δ' ἀμφίπολοι μὲν ὀπιπεύουσαι ἄπωθεν
Σιγῇ ἀνιάζεσκον· ἐδεύετο δ' ἤματος ὥρη
Ἂψ οἰκόνδε νέεσθαι ἑὴν μετὰ μητέρα κούρην.
Ἡ δ' οὔπω κομιδῆς μιμνήσκετο (τέρπετο γάρ οἱ
Θυμὸς ὁμῶς μορφῇ τε καὶ αἱμυλίοισι λόγοισιν)
Εἰ μὴ ἄρ' Αἰσονίδης πεφυλαγμένος ὀψέ περ ηὔδα.
Ὥρη ἀποβλώσκειν, μὴ πρὶν φάος ἠελίοιο
Δύῃ ὑποφθάμενον, καί τις τὰ ἕκαστα νοήσῃ
Ὀθνείων· αὖτις δ' ἀβολήσομεν ἐνθάδ' ἰόντες.

Sic dixit; ei verò intùs diffluebat animus, his auditis.
Facinora tamen visu terribilia exhorruit
Misera: nec tamen diu recusatura erat
Græciam inhabitare; hoc enim ita molita est Juno,
Ut Peliæ exitio, splendidam ad Iolcum veniret
Medea Æetæ filia, relictâ patriâ terrâ.
Jam verò famulæ quidem observantes de procul
Silentio tristabantur; postulabatque diei tempus
Ut retrò domum rediret ad matrem suam puella.
Illa verò nequaquam reditûs recordata fuisset (delectabatur enim ei
Animus simul formâ blandisque verbis)
Nisi Æsonides cautior serò licèt dixisset,
Tempus est revertendi, nè prius splendor solis
Occidat præveniens, et aliquis singula sentiat
Extraneus; rursus verò conveniemus hinc profecti.

1130. Κατείβετο] κατετήκετο, τῶν Ἰάσονος ἀκούσασα ῥημάτων. Schol.
1137. Ἐδεύετο] ἐδεῖτο. ἔχρηζεν. ἀπῄτει. ἢ ὅτι ὑπελείπετο ὁ τῆς ἡμέρας καιρός. Schol.
1144. Ἀβολήσομεν] συντευξόμεθα. Schol.

Ὡς

Ὡς τώγ' ἀλλήλων ἀγανοῖς ἐπὶ τόσσον ἔπεσσιν
Πειρήθεν, μετὰ δ' αὖτε διέτμαγον· ἤτοι Ἰήσων
Εἰς ἑτάρους καὶ νῆα κεχαρμένος ὤρτο νέεσθαι,
Ἡ δὲ μετ' ἀμφιπόλους· αἱ δὲ σχεδὸν ἀντεβόλησαν
Πᾶσαι ὁμοῦ· τὰς δ' οὔτι περιπλομένας ἐνόησε.
Ψυχὴ γὰρ νεφέεσσι μεταχθονίη πεπότητο.
Αὐτομάτοις δὲ πόδεσσι θοῆς ἐπεβήσατ' ἀπήνης·
Καί ῥ' ἑτέρῃ μὲν χειρὶ λάβ' ἡνία, τῇ δ' ἄρ' ἱμάσθλην
Δαιδαλέην, οὐρῆας ἐλαυνέμεν· οἱ δὲ πόλινδε
Θῦνον ἐπειγόμενοι ποτὶ δώματα· τὴν δ' ἄρ' ἰοῦσαν
Χαλκιόπη περὶ παισὶν ἀκηχεμένη ἐρέεινεν.
Ἡ δὲ παλιντροπίῃσιν ἀμήχανος, οὔτε τι μύθων
Ἔκλυεν, οὔτ' αὐδῆσαι ἀνειρομένῃ λελίητο·
Ἷζε δ' ἐπὶ χθαμαλῷ σφελαϊ κλιντῆρος ἔνερθεν,
Λέχρις ἐρεισαμένη λαιῇ ἐπὶ χειρὶ παρειήν.

Sic hi mutuò inter ſe diu blandis verbis
Periculum fecerunt: poſtea verò divulſi ſunt: Jaſon ſanè
Ad ſocios et navem lætus incitabatur ire;
Illa verò ad ancillas, quæ propè obviam factæ ſunt
Omnes ſimul: eas tamen nequaquam advenientes ſenſit.
Anima enim ei ſublimis in nubibus volabat.
Ultroneis autem pedibus celerem conſcendit currum,
Et alterâ manu corripuit habenas, alterâ ſcuticam
Artificiosè factam ad impellendum mulos, qui in urbem
Proruebant feſtinantes ad ædes: ex hâc autem reverſâ
Chalciope de liberis ſolicita percontabatur.
Illa verò à reverſione confuſior, nihil verborum
Audiebat, nec reſpondere percontanti voluit:
Sed ſedebat in humili ſcabello lectum infrà,
Obliquè ſuffultâ genæ manu lævâ,

1149. Περιπλομένας] περιιούσας. ἐπεὶ καὶ πλόος λέγεται ἡ ὁδός. Καλλίμαχος. "ἐγρὲ καί τιν' ἔχοντα περίπλοον." Schol.

1150. Μεταχθονίη] οὐχ ἡνιοχοῦντος τοῦ νοῦ. Schol.

1156. Παλιντροπίῃσιν] ἤτοι ταῖς παρεπιστροφαῖς· ἢ διὰ τὸ ἔμπαλιν τετράφθαι αὐτῆς τὴν ψυχήν· ἡ δὲ τῇ ὑποστροφῇ τῷ λόγῳ κατασχοῦσα. Schol.

Ὑγρὰ

Ὑγρὰ δ' ἐνὶ βλεφάροις ἔχεν ὄμματα, πορφύρουσα
Οἷον ἑῇ κακὸν ἔργον ἐπιξυνώσατο βουλῇ.
Αἰσονίδης δ' ὅτε δὴ ἑτάροις ἐξαῦτις ἔμικτο
Ἐν χώρῃ ὅθι τούσγε καταπρολιπὼν ἐλιάσθη,
Ὦρτ' ἰέναι σὺν τοῖσι πιφαυσκόμενος τὰ ἕκαστα
Ἡρώων ἐς ὅμιλον· ὁμοῦ δ' ἐπὶ νῆα πέλασσαν.
Οἱ δέ μιν ἀμφαγάπαζον, ὅπως ἴδον, ἔκ τ' ἐρέοντο.
Αὐτὰρ ὁ τοῖς πάντεσσι μετέννεπε δήνεα κούρης,
Δεῖξέ τε φάρμακον αἰνόν. Ὁ δ' οἰόθεν οἶος ἑταίρων
Ἴδας ἧστ' ἀπάνευθε δακὼν χόλον· οἱ δὲ δὴ ἄλλοι
Γηθόσυνοι, τῆμος μὲν, ἐπεὶ κνέφας εἴργαθε νυκτὸς,
Εὔκηλοι μέλλοντο περὶ σφίσιν· αὐτὰρ ἅμ' ἠοῖ

Atque oculos uvidos inter palpebras tenebat, arctius cogitans
Quàm infandum facinus suo communicâsset consilio.
Cæterùm Æsonis filius quando suis iterum commistus erat sociis
In loco ubi ab illis relictis secesserat,
Cum iisdem prorupit ire, ad nunciandum singula,
Heroum ad cœtum: simul igitur appropinquârunt ad navem.
Illi eum visum amplexabantur, rogabantque:
Ille verò his omnibus nunciavit consilia puellæ,
Ostenditque medicamentum efficax. At verò seorsim ab aliis
Idas sedebat mordens iram, alii autem
Læti, tunc quidem, quoniam noctis cohibuit fuscedo,
Quieti sua curabant quisque; at simul cum Aurorâ

1168. Οἰόθεν οἶος ἑταίρων] οὐχ' ἁρμόζει νῦν τὸ οἰόθεν οἶος. μόνος γὰρ ἀπὸ πολλῶν. ἔδει δ' εἰπεῖν, οἶος ἀπ' ἄλλων. Schol.

1169. Δακὼν χόλον. *Mordens iram.* Il. ζ'. ὃν θυμὸν κατέδων. Magis se magisque ipse cruciabat. Aristoph. Vespis, χείλεα ἐσθίειν, mordere labra præ iracundiâ. l. 1389. Ac necessaria iræ repressio notatur in νεφέλαις. Act. V. sc. 2. Sed noster salsius dicit eum non solùm iram et animum exesse, sed ipsam bilem. Ut apud Sopatrum est δακέθυμος ἄλμη. Eustath. ad Il. ζ'. Hœl.

1171. Εὔκηλοι μέλλοντο] σολοικισμός. ὁ γὰρ λόγος, ἥσυχοι ἐμέλλοντο αὐτοῖς, ὡς ἀλλήλων τινῶν μελλόντων αὐτοῖς. ἔδει δὲ εἰπεῖν, ἐμέλλοντο σφίσιν, ὅ ἐστιν ἑαυτῶν. Schol.

Ibid. Μέλλοντο. Malim μελέοντο scribere, ut legitur in editione Parisina, quàm μέλλοντο, ut habent Florentina et Aldina. Ac certè mirum apud Scholiastem quoque eam scripturam inveniri: nec mihi de eâ per-

Πέμπον

Πέμπον ἐς Αἰήτην ἰέναι σπόρον αἰτήσοντας
Ἄνδρε δύω· πρὸ μὲν αὐτὸν ἀρηΐφιλον Τελαμῶνα,
Σὺν δὲ καὶ Αἰθαλίδην, υἷα κλυτὸν Ἑρμείαο.
Βὰν δ' ἴμεν· οὐδ' ἁλίωσαν ὁδόν· πόρε δέ σφιν ἰοῦσιν
Κρείων Αἰήτης χαλεποὺς ἐς ἄεθλον ὀδόντας
Ἀονίοιο δράκοντος· ὃν Ὠγυγίῃ ἐνὶ Θήβῃ

Miſerunt qui ad Æetam profecti ſemen peterent,
Viros duos: præcipuè quidem ipſum bellicoſum Telamona,
Unáque etiam Æthalidem, inclytum filium Mercurii.
Perrexerunt autem ire, nec luſerunt operam itineris; præbuit enim illis profectis
Rex Æetes acerbos in certamen dentes
Aonii ſerpentis, quem in Thebâ Ogygiâ

ſuadere aliud poſſum, quàm quod de aliis nonnullis mendoſis, quæ apud eum inveniuntur, dixi. Quis enim unquam audivit μέλλειν pro μέλειν, aut μέλλεται pro μέλεται poni? Equidem ubicunque mihi oſtendetur, aut locum ſuſpectum erroris habebo, aut ſi is ſuſpectus eſſe non poſſit, talem eſſe licentiam dicam, quæ Græcæ linguæ injuriam faciat. Sed videamus annon injuriam ipſi Apollonio faciat hic Scholiaſtes quum Solœciſmum ab eo committi dicit in hoc loquendi genere, εὔκηλοι μελέοντο περὶ σφισι, vel μέλλοντο, ut ipſe legit, ſive potius, ut quiſpiam apud eum repoſuit. Eſt, inquit, σολοικισμός. Nam λόγος ἐστὶ (vocat autem λόγον, quod grammaticorum Latinorum vulgus appellare ſolet ſenſum, quum dicunt, ſenſus eſt) ἥσυχοι ἐμέλλοντο αὐτοῖς. Et addit, ὡς ἀλλήλων τινῶν μέλλοντων αὐτοῖς. Quibus verbis oſtendit ſe ita intellexiſſe quaſi hoc loquendi genus prima fronte videretur ſignificare, *Illi inter ſe mutuam ſui curam gerebant*. Atque ut illa ejus verba hoc ſibi velle putem, facit quod ab eo ſubjicitur, ἔδει δὲ εἰπεῖν, ἐμέλοντο σφίων, ὅ ἐστιν ἑαυτῶν. At ego pro Apollonio reſpondeo non adeo inſolens videri debere hoc loquendi genus, ut ſolœciſmi accuſetur; et lectori magis obvium eſſe hunc ſenſum, ἐμέλλοντο σφίων, quàm alterum quem ipſe affert. Quinetiam talem præpoſitionis uſum exemplo poſſe confirmari dico. Scio alioqui Scholiaſtem hunc, omnium quorum ad nos commentarii pervenerunt, haberi doctiſſimum. Neque hoc et ipſe negaverim. Sed his commentariis idem contigiſſe putandum eſt quod cæteris; ut multa illis infercirentur ex iis etiam quæ aliquis ex cogitatione extemporanea in margine exemplaris ſui annotaſſet. Quum autem illa quæ ex tempore et ſubitò in mentem veniunt viris etiam doctiſſimis quoſdam ſcriptorum locos legentibus plerumque parum tuta ſint, quid de illis dicendum eſt quæ aliquis ſciolus αὐτοσχεδιάζει, et quidem αὐτοσχεδιάζει ſibi, non aliis?

Steph.

1177. Ἀονίοιο δράκοντος] ἀντὶ τοῦ, Κάδμος

Κάδμος, ὅτ' Εὐρώπην διζήμενος εἰσαφίκανε,
Πέφνεν, Ἀρητιάδῃ κρήνῃ ἐπίουρον ἐόντα.
Ἔνθα καὶ ἐνάσθη, πομπῇ βοὸς, ἥν οἱ Ἀπόλλων
Ὤπασε μαντοσύνῃσι προηγήτειραν ὁδοῖο.
Τοὺς δὲ θεὰ Τριτωνὶς ὑπ' ἐκ γενύων ἐλάσασα,
Αἰήτῃ πόρε δῶρον ὁμῶς αὐτῷ τε φονῆϊ.
Καί ῥ' ὁ μὲν Ἀονίοισιν ἐνισπείρας πεδίοισι
Κάδμος Ἀγηνορίδης γαιηγενῆ εἵσατο λαὸν,

Cadmus, quando Europam quærens illùc venerat,
Interemit, Aretio fonti custodem existentem.
Ubi et habitavit præitu bovis, quam ei Apollo
Dederat ex vaticinio indicem viæ.
Illos autem Dea Tritonia ex maxillis evulsos
Æetæ dono dedit, simulque ipsi interfectori.
Et ipse quidem cum Aoniis inseviſſet campis
Cadmus Agenoris filius, è terrâ genitum in civitatem tranſtulit populum,

Βοιωτικοῦ. Ἀονία γὰρ τὸ πρότερον ἡ Βοιωτία. Ὠγυγίας δὲ τὰς Θήβας, ἀπὸ Ὠγύγου τοῦ βασιλεύσαντος αὐτῶν. Κορίννα δὲ τὸν Ὤγυγον Βοιωτοῦ υἱὸν εἶπεν. ἀπὸ τούτου δὲ καὶ Ὠγύγιαι τῶν Θηβῶν πύλαι. περὶ δὲ Εὐρώπης καὶ τοῦ Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ πρώτῃ τῶν Θηβαϊκῶν παραδόξων συνείλοχε πολλὴν τὴν ὕλην ἀμφοτέρων. Schol.

1178. Κάδμος, ὅτ' Εὐρώπην] περὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ συναγωγῇ τῶν Θηβαϊκῶν παραδόξων ἱστορεῖ· καὶ Ἑλλάνικος ἐν α' Φορωνίδος· ἱστορῶν ὅτι ε' τοὺς ὀδόντας ἔσπειρε τοῦ δράκοντος κατὰ Ἄρεος βούλησιν· καὶ ἐγένοντο πέντε ἄνδρες ἔνοπλοι, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ὑπερήνωρ, Ἐχίων. ὁ δὲ Ἀπολλώνιος πολλοὺς οἴεται καὶ ἄλλους πολλοῖς συμπεπολεμηκέναι. ἐν δὲ τῷ τρίτῳ τῆς Μνασέου Τιτανογραφίας λέγεται ὡς Κάδμος ἐκ τοῦ Δελφικοῦ ἐπορεύετο προκαθηγουμένης αὐτῷ τῆς βοός. Ἱππίας δὲ ὁ Δήλιος ἐν ἐθνῶν ὀνομασίαις φησὶν ἔθνος τι καλεῖσθαι Σπαρτούς. καὶ ὁμοίως Ἀτρόμητος. Φερεκύδης δὲ ἐν τῇ πέμπτῃ οὕτω φησίν. "ἐπειδὴ Κάδμος κατῳκίσθη ἐν Θήβῃσιν, Ἄρης δίδωσι αὐτῷ καὶ Ἀθηναίη τοῦ ὄφιος τοὺς ἡμίσεας ὀδόντας, τοὺς δὲ ἡμίσεας Αἰήτῃ. καὶ ὁ Κάδμος αὐτίκα σπείρει αὐτοὺς εἰς τὴν ἄρουραν, Ἄρεος κελεύσαντος· καὶ αὐτῷ ἀναφύονται ἄνδρες ὡπλισμένοι. ὁ δὲ Κάδμος δείσας βάλλει αὐτοὺς λίθοισι· οἱ δὲ δοκέοντες ὑφ' ἑαυτῶν βάλλεσθαι, κτείνουσί τε ἀλλήλους καὶ θνήσκουσι, πλὴν πέντε ἀνδρῶν, Οὐδαίου, Χθονίου, Ἐχίονος, Πέλωρος καὶ Ὑπερήνορος. καὶ αὐτοὺς ὁ Κάδμος ποιεῖται πολίτας, κατοικίσας αὐτοὺς ἐν Θήβαις." Schol.

1179. Ἀρητιάδῃ. Censent Stephanus et Hœlzlinus scriptum fuiſſe Ἀρητιάδι.

1185. Κάδμος Ἀγηνορίδης] τοὺς περιλειφθέντας ἐν τῇ μάχῃ σὺν Κάδμῳ κατοικῆσαι ἐν Θήβαις φησί. λέγει δὲ καὶ Ἑλλάνικος ὅτι Κάδμος ἐξελὼν τοῦ ὄφεως τοὺς ὀδόντας ἔσπειρεν. ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ἐχίων, Ὑπερήνωρ. καὶ ὁ μὲν Ἑλλάνικος μό-

Ἄρεος ἀμώοντος ὅσοι ὑπὸ δουρὶ λίποντο.
Τοὺς δὲ τότ' Αἰήτης ἔπορεν μετὰ νῆα φέρεσθαι
Προφρονέως· ἐπεὶ οὔ μιν ὀΐσατο πείρατ' ἀέθλου
Ἐξανύσειν, εἰ καί περ ἐπὶ ζυγὰ βουσὶ βάλοιτο.
Ἠέλιος μὲν ἄπωθεν ἐρεμνὴν δύετο γαῖαν
Ἑσπέριος νεάτας ὑπὲρ ἄκριας Αἰθιοπήων,
Νὺξ δ' ἵπποισιν ἔβαλλεν ἐπὶ ζυγά· τοὶ δὲ χαμεύνας
Ἔντυον ἥρωες παρὰ πείσμασιν· αὐτὰρ Ἰήσων,
Αὐτίκ' ἐπεί ῥ' Ἑλίκης εὐφεγγέος ἀστέρες Ἄρκτου

Quotquot ex præliari meſſe haſtâque ſupererant.
Hos quidem tunc Æetes dedit ad navem ferri
Lubenter; nec enim eum putavit metas certaminis
Aſſecuturum, etiam ſi bobus juga injiceret.
Sol quidem de longinquo obſcuram ſubiit terram
Veſpertinus, ultimos ſuprà vertices Æthiopum;
Et equis nox juga impoſuit: ipſi verò ſtrata
Parabant heroes apud retinacula: at Jaſon
Statim poſtquam Helices pulchrè ſplendentis ſtellæ urſæ

νούς φησὶ τούτους βεβλαστηκέναι. ὁ δὲ Ἀπολλώνιος πολλοὺς καὶ ἄλλους (ἱδρύουσιν ὄχλον γηγενῆ Ἄρεος ἀμώοντος, ὅσοι ὑπὸ δουρὶ λίποντο) καὶ ἀλλήλους πεφονευκέναι. ἄλλως. οἱ μὲν Ἀγήνορος λέγουσι τὸν Κάδμον, οἱ δὲ Φοίνικος. Φερεκύδης δὲ ἐν δ' οὕτω φησίν. "Ἀγήνωρ δὲ ὁ Ποσειδῶνος γαμεῖ Δαμνὼ τὴν Βήλου. τῶν δὲ γίνονται Φοίνιξ καὶ Ἰσαίη, ἣν ἴσχει Αἴγυπτος· καὶ Μελία, ἣν ἴσχει Δαναός. ἔπειτα ἴσχει Ἀγήνωρ Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ, τοῦ δὲ γίνεται Κάδμος." Schol.

1190. Ἠέλιος μὲν ἄπωθεν] ἐρεμνὴν γαῖαν λέγει τὴν ὑπὸ τὸν ὁρίζοντα. δύσιν γὰρ εἴρηκε τὸ ὑπὸ τῶν ἀρχαίων παραδεδομένον ὁρίζοντα· ἐρεμνὴν δὲ γῆν, τὸ ἀφανὲς ἡμισφαίριον τὸ περὶ τὸ ἔρεβος. τοιοῦτον δὲ ἀκουστέον τὸν ὑπὸ τὸν ὁρίζοντα τόπον παρ' Ἀπολλωνίῳ. Schol.

1191. Ἑσπέριος] Ἑσπέριον δὲ τὸν ἥλιον εἴρηκε, τὴν ὥραν σημαίνων, καθ' ἣν ὥραν παρέπεται αὐτῷ τὸ δύειν. Νεάτας δὲ ἄκρας τῶν Αἰθιόπων, τὰς ἐσχατιάς, ὡς ὑπερκειμένας τὴν οἰκουμένην. οὐκ ὀρθῶς δὲ εἴρηκεν ὑπὲρ ἄκριας Αἰθιόπων τὸν ἥλιον δύνειν. ὁ γὰρ ὁρίζων κύκλος οὐκ ὢν τῇ φύσει, τῇ ὄψει ἐπισημαίνεται). Schol.

Ibid. Ὑπὲρ ἄκριας. Scholiaſtes hoc notat, quia ὁρίζων aſpectu ſolùm noſtro ſcribatur. Sed Proclum ille audiat velim. Ὁ λόγῳ διαιρετικὸς ὁρίζων ἐστὶν ὁ μέχρι τῆς τῶν ἀπλανῶν ὀρθώσεως ἀστέρων σφαίρας διήκων, καὶ διχοτομῶν τὸν ὅλον κόσμον. Ubi verò poetis hunc deſcribere horizontem negatum? Hœl.

1192. Νὺξ δ' ἵπποισιν] νεώτερος τῶν Ὁμήρου χρόνων ἡ τοῦ ἅρματος ὑπόζευξις. Schol.

1194. Αὐτίκ' ἐπεί] περὶ τὸ κλίμα τῆς Ἑλίκης φησὶν ἀναβλέψαντα τὸν Ἰάσονα, σημειώσασθαι τὸν καιρὸν τὸν εἰρημένον ὑπὸ τῆς Μηδείας αὐτῷ. Schol.

Ἔκλιθεν

Ἔκλιθεν, οὐρανόθεν δὲ πανεύκηλος γένετ' αἰθήρ,
Βῆ ῥ' ἐς ἐρημαίην κλωπήϊος, ἠΰτε τις φὼρ,
Σὺν πᾶσι χρήεσσι· πρὸ γάρ τ' ἀλέγυνεν ἕκαστα
Ἠμάτιος· θῆλυν μὲν ὄϊν γάλα τ' ἔκτοθι ποίμνης
Ἄργος ἰὼν ἤνεικε, τὰ δ' ἐξ αὐτῆς ἕλε νηός.
Ἀλλ' ὅτε δὴ ἴδε χῶρον ὅ τις πάτου ἔκτοθεν ἦεν
Ἀνθρώπων, καθαρῇσιν ὑπεύδιος εἱαμενῇσιν,
Ἔνθ' ἤτοι πάμπρωτα λοέσσατο μὲν ποταμοῖο
Εὐαγέως θείοιο τέρεν δέμας, ἀμφὶ δὲ φᾶρος
Ἕσσατο κυάνεον· τό μέν οἱ πάρος ἐγγυάλιξε
Λημνιὰς Ὑψιπύλη, ἀδινῆς μνημήϊον εὐνῆς.
Πηχύϊον δ' ἄρ' ἔπειτα πέδῳ ἔνι βόθρον ὀρύξας,
Νήησε σχίζας· ἐπὶ δ' ἀρνειοῦ τάμε λαιμόν·

Versæ ſunt, et de cœlo tranquillus omnino factus erat æther,
In locum ivit deſertum ſuſpenſo gradu, more furis,
Cum omnibus neceſſariis; antea enim diſpoſuerat ſingula
Interdiu: fœminam ſcilicet ovem et lac ex ovili
Argus digreſſus attulerat, reliqua verò ex ipſâ accepit nave.
Quando verò conſpexit locum qui extra viam tritam erat
Hominibus, puris in tranquillo irriguus rivis,
Ibi ante omnia lavit fluvio
Ritè ſacro tenerum corpus, circumque pallio
Se induit nigro, quo eum antea donaverat
Lemnia Hypſipyle, ut eſſet triſtis monimentum amoris.
Cubitali deinde foveâ in ſolo effoſſâ,
Extruxit aſſulas, et inſuper agnæ ſecuit jugulum:

1201. Ὑπεύδιος] ὑπ' ἀνθρώπων εὔδιος. ἀντὶ τοῦ, ἐν εὐδίᾳ καὶ ἡσυχίᾳ τυγχάνων ἀνθρώπων ὑγρὸς τόπος. Schol.

1205. Ἀδινῆς εὐνῆς] νεοῦ οἰκτρᾶς, λυπηρᾶς, διὰ τὴν ἀπόλειψιν. Schol.

1206. Πηχύϊον] Idem de hac voce non dicam quod antea, nimirum eam mutandam mihi videri in πηχυῖον, quod non ſolum apud alios ſed etiam apud hunc invenitur. Hoc enim ibi dicebam quòd nimis dura videretur fore quæ facienda erat ſynizeſis. At hìc nullam facere neceſſe fuerit. Liberum igitur hìc fuerit vel πηχυῖον ſcribere triſyllabum, vel πηχύϊον relinquere quadraſyllabum; quod contra verſus ille admittere non poterat

Τοῦ δ' ἤτοι ἄνθος καὶ ὅσον πηχύϊον ὕπερθε.

Steph.

Αὐτόν τ' εὖ καθύπερθε τανύσατο· δαῖε δὲ φιτροὺς
Πῦρ ὑπένερθεν ἱείς· ἐπὶ δὲ μιγάδας χέε λοιβάς,
Βριμὼ κικλήσκων Ἑκάτην, ἐπαρωγὸν ἀέθλων.
Καί ῥ' ὁ μὲν ἀγκαλέσας πάλιν ἔστιχεν· ἡ δ' ἀΐουσα
Κευθμῶν ἐξ ὑπάτων δεινὴ Θεὸς ἀντεβόλησεν
Ἱεροῖς Αἰσονίδαο· πέριξ δέ μιν ἐστεφάνωντο
Σμερδαλέοι δρυΐνοισι μετὰ πτόρθοισι δράκοντες·
Στράπτε δ' ἀπειρέσιον δαΐδων σέλας· ἀμφὶ δὲ τήνγε
Ὀξείῃ ὑλακῇ χθόνιοι κύνες ἐφθέγγοντο.
Πείσεα δ' ἔτρεμε πάντα κατὰ στίβον· αἱ δ' ὀλόλυξαν
Νύμφαι ἐλειονόμοι ποταμηΐδες, αἳ περὶ κείνην
Φάσιδος εἰαμενὴν Ἀμαραντίου εἰλίσσονται.

Ipſamque ritè extenſam ſuperimpoſuit, accenditque ligna
Igne ſubdito: miſta deinde effudit libamina,
Brimo invocans Hecaten, auxiliatricem certaminum.
Atque ille poſtquam invocâſſet, retrò ceſſit: ipſa verò, illo audito,
Latibulis ex intimis potens dea obviam facta eſt
Sacris Æſonis filii: circà autem ea cincta erat
Horribilibus, quernis cum ramis, draconibus.
Coruſcabat immensùm facum lux; circàque eam
Acuto latratu ſubterranei canes perſonabant.
Tum omnia prata tremuerunt, illâ incedente: ipſæque ululârunt
Nymphæ paludum atque amnium cultrices, quæ circà illum
Phaſidis Amarantii paluſtrem locum verſantur.

1209. Ἐπὶ δὲ μιγάδας] τὰς μεμιγμένας· ἢ τὰς συμμιγεῖς ἔκ τινων. Schol.

Ibid. Πῦρ. Neque hic verſus neque alii plerique ejuſmodi, in quibus ſyllaba naturâ brevis, ſequente μ, producitur, ſuſpecti cuiquam eſſe debent. Nam et Homerum et alios poetas hoc ſibi permiſiſſe conſtat: ſed hunc frequentius quàm ullum alium hac licentia (ſi tamen licentiam vocare oportet,) uti obſervavi. Steph.

1212. Κευθμῶν] Κευθμὸς δὲ ὁ κρύφιος τόπος. Ὕπατος, ὁ ὑψηλός· ἢ ὁ ἐνδότατος. Schol.

1213. Πέριξ δέ μιν ἐστεφάνωντο] ὅτι δράκουσι καὶ δρυΐνῳ κλάδῳ στέφεται ἡ Ἑκάτη, καὶ Σοφοκλῆς ἐν ῥιζοτόμοις τὸν χορὸν πεποίηκε λέγοντα. "Ἥλιε δέσποτα καὶ πῦρ ἱερὸν τῆς ἐνοδίας Ἑκάτης, ἔγχος τὸ δι' Ὀλύμπου πολλὸν φέρει καὶ γῆς ναίουσ' ἱερὰς τριόδους, στεφανωσαμένη δρυσὶ καὶ πλέκταις ὠμῶν σπειρήμασι δρακόντων." Schol.

1218. Ἑλειονόμοι νύμφαι] αἱ ἐν τοῖς ἕλεσιν ἀναστρεφόμεναι. Schol.

1219. Εἰαμενὴν] Εἰαμενὴ ὁ κάθυγρος

Αἰσονίδην δ᾽ ἤτοι μὲν ἕλεν δέος, ἀλλά μιν ἐδ᾽ ὧς
Ἐντροπαλιζόμενον πόδες ἔκφερον, ὄφρ᾽ ἑτάροισι
Μίκτο κιών. Ἤδη δὲ φόως νιφόεντος ὕπερθεν
Καυκάσε ἠεριγενὴς ἠὼς βάλεν ἀντέλλεσα.
Καὶ τότ᾽ ἄρ᾽ Αἰήτης περὶ μὲν στήθεσσιν ἕεστο
Θώρηκα σάδιον, τόν οἱ πόρεν ἐξεναρίξας
Σφωϊτέρης Φλεγραῖον Ἄρης ὑπὸ χερσὶ Μίμαντα·
Χρυσείην δ᾽ ἐπὶ κρατὶ κόρυν θέτο τετραφάληρον,
Λαμπομένην οἷόν τε περίτροχον ἔπλετο φέγγος
Ἠελίε, ὅτε πρῶτον ἀνέρχεται ὠκεανοῖο.
Ἂν δὲ πολύῤῥινον νώμα σάκος, ἂν δὲ καὶ ἔγχος
Δεινὸν, ἀμαιμάκετον· τὸ μέν ἔ κέ τις ἄλλος ὑπέστη
Ἀνδρῶν ἡρώων, ὅτε κάλλιπον Ἡρακλῆα

Jasonem quidem perculit metus, sed nec sic quidem
Retrò spectantem pedes ferebant, ut sociis
Misceretur reversus. Jam autem lucem nivoso desuper
Caucaso manè genita misit Aurora exorta;
Et tunc sane Æetes circà pectora induit
Thoracem rigidum, quem ipsi præbuerat Mars
Cum suis Phlegræum interfecisset manibus Mimanta.
Capiti autem galeam auream superimposuit quatuor conis insignem,
Effulgentem, ut rotundum solet apparere jubar
Solis, quando primùm emergit Oceano.
Multis deinde ex coriis confectum versabat clypeum, hastamque
Terribilem, immensam, quam nemo alius sustinuisset
Heroum, Hercule relicto,

τόπος. Ἀμαραντίε. Ἀμαράντιοι, ἔθνος βάρβαρον ὑπὲρ Κόλχων ἐν τῇ ἠπείρῳ· ὅθεν αἱ τοῦ Φάσιδος πηγαὶ ἐξερεύγονται. ἡ ὄρος Κολχικὸν καλέμενον Ἀμαράντιον, ὅθεν ὁ Φάσις καταφέρεται. Schol.

1225. Θώρηκα σάδιον] ὅτι οὐκ ἦν ἀλυσιδωτὸς, ἀλλὰ σαδιαῖος. ἀπὸ τοῦ στάσεως ἐσχημάτισται. τινὲς δὲ σάδιον, τὸν εὐπαγῆ· ὡν καὶ ὁ Καλλίμαχος λέγει. "σάδιον δ᾽ ὑφιέσο χιτῶνα." Schol.

1226. Σφωϊτέρης χερσὶ] ταῖς ἑαυτοῦ ἰδίαις. Φλεγραῖον, τὸ ἀπὸ Φλέγρας. Φλέγρα δὲ πεδίον Θρᾴκης περὶ Παλλήνην. Μίμας δὲ, τὸ κύριον τοῦ γίγαντος. Schol.

1230. Πολύῤῥινον σάκος] τὸ πολύδερσον. Schol.

Τῆλε

Τῆλε παρὲξ, ὅ κεν οἶος ἐναντίβιον πτολέμιζε.
Τῷ δὲ καὶ ὠκυπόδων ἵππων εὐπηγέα δίφρον
Ἔσχε πέλας Φαέθων ἐπιβήμεναι· ἂν δὲ καὶ αὐτὸς
Βήσατο, ῥυτῆρας δὲ χεροῖν ἔχεν· ἐκ δὲ πόληος
Ἤλασεν εὐρεῖαν κατ' ἀμαξιτὸν, ὥς κεν ἀέθλῳ
Παρσταίη· σὺν δέ σφιν ἀπείριτος ἔσσυτο λαός.
Οἷος δ' Ἴσθμιον εἶσι Ποσειδάων ἐς ἀγῶνα
Ἅρμασιν ἐμβεβαὼς, ἢ Ταίναρον, ἢ ὅγε Λέρνης
Ὕδωρ, ἠὲ κατ' ἄλσος Ὑαντίου Ὀγχηστοῖο·
Καί τε Καλαύρειαν μετὰ δῆθ' ἅμα νίσσεται ἵπποις,

Procul illinc, qui ſolus contrà pugnâſſet.
Huic etiam velocium equorum fabrè compactum currum
Tenebat prope Phaethon, quem is conſcenderet; mox igitur ille
Conſcendit, manibuſque corripuit habenas, et ex urbe
Aurigavit per latam viam, ut certamini
Adeſſet: ac cum illo infinitus proruit populus.
Qualis autem Iſthmium Neptunus pergit ad certamen,
Curru inſcenſo, aut ad Tænarum, aut ad Lernæ
Aquam, aut lucum Oncheſti Hyantii;
Sive ad Calaureiam crebrò proficiſcitur quadrigis,

1235. Φαέθων] ὅτι ὁ Ἄψυρτος καὶ Φαέθων ἐκαλεῖτο, ὥς φησι Τιμώναξ ἐν δευτέρῳ Σκυθικῶν. Schol.

1239. Οἷος δ' Ἴσθμιον] Ἴσθμια τὰ ἐν Ἰσθμῷ τελούμενα τῆς Κορίνθου, πρότερον μὲν Ποσειδῶνι, ὕστερον δὲ Μελικέρτῃ, κατὰ κέλευσιν τοῦ τότε τῆς Κορίνθου βασιλεύοντος Σισύφου τοῦ Αἰόλου· ὅτε προσορμισθὲν τὸ τοῦ Μελικέρτου σῶμα ἰδὼν τῇ Κορίνθῳ, ἐπέγνω ἀδελφιδοῦν ὄντα, καὶ Ἀθάμαντος τοῦ Αἰόλου υἱὸν ἐτίμησεν, ὡς ἔδει, τῷ ἀγῶνι τῷ Ἰσθμιακῷ, ἐν ᾧ οἱ νικῶντες πίτυϊ ἐστέφοντο πάλαι· ὕστερον δὲ ξηρῷ σελίνῳ. Μνασέας δὲ ἐν τῷ περὶ Ἰσθμίων, δύο φησὶ γίνεσθαι ἀγῶνας ἐν τῷ Ἰσθμῷ· καὶ τὸν μὲν, Ποσειδῶνος ἄγειν· τὸν δὲ Μελικέρτου. Schol.

1240. Ἢ Ταίναρον] Ταίναρον, ἀκρωτήριον τῆς Λακωνικῆς. Λέρνη δὲ κρήνη τοῦ Ἄργους, ἱερὰ Ποσειδῶνος. Λερναίων ἀδύτων προσελάστος ὀρχοφάντης. Schol.

1241. Ὑαντίου Ὀγχηστοῖο] τοῦ Βοιωτικοῦ. Ὕαντες γὰρ τὸ πρὶν ᾤκουν τὴν Βοιωτίαν. Ὀγχηστὸς δὲ, πόλις τῆς Βοιωτίας, ἱερὰ Ποσειδῶνος. Ὅμηρος. "Ὀγχηστόν θ' ἱερὸν Ποσιδήϊον ἀγλαὸν ἄλσος." Ὑάντιον δὲ, ἀντὶ τοῦ Βοιώτιον. Ὕαντες γὰρ Βοιωτίας ἔθνος βάρβαρον. ὅθεν καὶ παροιμία, Βοιωτία ὗς. Schol.

1242. Καλαύρειαν] Καὶ ἡ Καλαύρεια δὲ ἱερά ἐστι Ποσειδῶνος, ὥς φησι Φιλοστέφανος. ἦν δὲ πρότερον μὲν Ἀπόλλωνος, ἡ δὲ Πυθὼ Ποσειδῶνος· καὶ ἀντημείψαντο, ἤγουν ἀντήλλαξαν. Schol.

Πέτρην

Πέτρην θ' Αἱμονίην, ἢ δενδρήεντα Γεραιστόν·
Τοῖος ἄρ' Αἰήτης Κόλχων ἀγὸς ἦεν ἰδέσθαι.
Τόφρα δὲ Μηδείης ὑποθημοσύνῃσιν Ἰήσων
Φάρμακα μυδήνας, ἠμὲν σάκος ἀμφεπάλυνεν,
Ἠδὲ δόρυ βριαρόν, περὶ δὲ ξίφος· ἀμφὶ δ' ἑταῖροι
Πείρησαν τευχέων βεβιημένοι· οὐδ' ἐδύναντο
Κεῖνο δόρυ γνάμψαι τυτθόν γέ περ· ἀλλὰ μάλ' αὔτως
Ἀαγὲς κρατερῇσιν ἐνεσκλήκει παλάμῃσιν.
Αὐτὰρ ὁ τοῖς ἄμοτον κοτέων Ἀφαρήϊος Ἴδας,
Κόψε παρ' οὐρίαχον μεγάλῳ ξίφει· ἆλτο δ' ἀκωκή,
Ῥαιστὴρ ἄκμονος ὥστε, παλιντυπές· οἱ δ' ὁμάδησαν
Γηθόσυνοι ἥρωες ἐπ' ἐλπωρῇσιν ἀέθλου.
Καὶ δ' αὐτὸς μετέπειτα παλύνετο· δῦ δέ μιν ἀλκὴ
Σμερδαλέη, ἄφατός τε καὶ ἄτρομος· αἱ δ' ἑκάτερθε
Χεῖρες ἐπερρώσαντο περὶ σθένεϊ σφριγόωσαι.

Petramve Hæmoniam, aut denique arboriferum Gereftum,
Talis ſane Æetes Colchorum dux erat viſu.
Interea, Medeæ monitis, Jaſon
Medicamento humectato, tum clypeum undique aſperſit
Tum haſtam validam, gladiumque; circáque ſocii
Periculum fecerunt armorum ſummâ vi annisi, nec tamen poterant
Haſtam illam vel tantillum inflectere; ſed prorſus
Inflexibilis robuſtis induruerat manibus.
Verùm illis inſatiabiliter iraſcens Aphareius Idas
Magnum impegit enſem juxtà præferratam oram, ſed reſiliit
Haud aliter repercuſſa acies, ac malleus ab incudibus: ipſi fremuerunt
Læti heroes fiduciâ certaminis.
Ipſe poſt hæc oblitus erat, ſubiitque eum robur
Immane, ineffabile, intrepidum: ipſæ utrinque
Manus induruerunt robore, vehementes redditæ.

1243. Πέτρην θ' Αἱμονίην] τὴν Θεσσαλίαν πέτραν. χωρίον δέ ἐστιν ἐν ᾧ Ποσειδῶνος ἄγεται ἀγών· ὡς ἀπὸ τοῦ τόπου Πετραῖον καλεῖσθαι. Πίνδαρος. "παῖ Ποσειδᾶνος πετραίου." Γεραιστὸς, ἀκρωτήριον Εὐβοίας. Schol.

1250. Ἀαγὲς] τὸ ἀκαμπές. Schol.

1257. Περὶ σθένεϊ σφριγόωσαι] ἀκμάζουσαι. ῥωμαλεώτεραι τῇ δυνάμει ἐγένοντο. εὐτονοῦσαι ἐῤῥωμένως ἐκινοῦντο. τεθαῤῥήκασι τῇ δυνάμει, σφριγῶσαι. σφριγανὸν γάρ ἐστι τὸ ἰσχυρὸν καὶ στερεόν. Schol.

Ὣς

Ὡς δ' ὅτ' Ἀρήιος ἵππος ἐελδόμενος πολέμοιο,
Σκαρθμῷ ἐπιχρεμέθων κρούει πέδον, αὐτὰρ ὕπερθε
Κυδιόων ὀρθοῖσιν ἐπ' οὔασιν αὐχέν' ἀείρει·
Τοῖος ἄρ' Αἰσονίδης ἐπαγαίετο κάρτεϊ γυίων
Πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα μετάρσιον ἴχνος ἔπαλλεν,
Ἀσπίδα χαλκείην μελίην τ' ἐν χερσὶ τινάσσων.
Φαίης κεν ζοφεροῖο κατ' αἰθέρος ἀίσσουσαν
Χειμερίην στεροπὴν θαμινὸν μεταπαιφάσσεσθαι
Ἐκ νεφέων, ὅτ' ἔπειτα μελάντατον ὄμβρον ἄγωνται.
Καὶ τότ' ἔπειτ' οὐ δηρὸν ἔτι σχήσεσθαι ἀέθλων
Μέλλον· ἀτὰρ κλισίσιν ἐπισχερὼ ἱδρυνθέντες
Ῥίμφα μάλ' ἐς πεδίον τὸ Ἀρήιον ἠπείγοντο.
Τόσσον δὲ προτέρω πέλεν ἄστεος ἀντιπέρηθεν,
Ὅσσον τ' ἐκ βαλβῖδος ἐπήβολος ἅρματι νύσσα

Sicut autem quando equus bellicoſus, pugnæ ſitiens,
Pede hinniens pulſat ſolum, et ſupernè
Exultans arrectis auribus cervicem attollit,
Talis Æſonis filius exultabat fortitudine membrorum.
Crebrò autem hùc, illùc, ſublime veſtigium movebat,
Scutum æreum haſtamque in manibus vibrans.
Diceres ſanè per aëra caliginoſum irruens
Procelloſum fulgur frequens illuceſcere
Ex nubibus, cum nigerrimum poſtea imbrem afferunt.
Tunc deinde non diu amplius erant à certaminibus
Temperaturi; ſed in ſedilibus ex ordine collocati,
Celeriter admodum ad campum Martium impellebantur:
Qui tantùm erat ulteriùs ex adverſo urbis,
Quantùm à carcere attingenda curru meta

1259. Σκαρθμῷ] τῷ ποδί. Schol.
1261. Ἐπαγαίετο] ἔχαιρε. ἐγαυρία. Schol.
1275. Μεταπαιφάσσεσθαι] γράφεται μεταπαιφάσσουσαν. ἑκατέρως τὸ ἀλλεπάλληλον σημαίνει. Schol.
1267. Καὶ τότ'] οὐκ ἐπὶ πολὺ καιρὸν ἀφίξεσθαι ἔμελλον τῶν ἄθλων. Σχήσεσθαι, ἀφίξεσθαι. Schol.
1268. Κλισίσιν] Κλισίδες τὰ ζυγὰ, ἐφ' ὧν οἱ ἐρέται καθέζονται. Schol.
1269. Ἀρήιον] τὸ πλησίον τοῦ ἱεροῦ τοῦ Ἄρεος, ὅπου καὶ τὸ κῶας. Schol.
1271. Βαλβῖδος] βαλβὶς ἐστὶν ἡ ἐπι-

Γίγνε).

Γίγνεται, ὁππότ᾽ ἄεθλα καταφθιμένοιο ἄνακτος
Κηδεμόνες πεζοῖσι καὶ ἱππήεσσι τίθενται.
Τέτμον δ᾽ Αἰήτην τε καὶ ἄλλων ἔθνεα Κόλχων,
Τοὺς μὲν Καυκασίοισιν ἐφεσταότας σκοπέλοισι,
Τὸν δ᾽ αὐτοῦ παρὰ χεῖλος ἑλισσόμενον ποταμοῖο.
Αἰσονίδης δ᾽, ὅτε δὴ πρυμνήσια δῆσαν ἑταῖροι,
Δή ῥα τότε ξὺν δουρὶ καὶ ἀσπίδι βαῖν᾽ ἐς ἄεθλον
Νηὸς ἄπο προθορών· ἄμυδις δ᾽ ἕλε παμφανόωσαν
Χαλκείην πήληκα, θοῶν ἔμπλειον ὀδόντων,
Καὶ ξίφος ἀμφ᾽ ὤμοις γυμνὸς δέμας· ἄλλα μὲν Ἄρει
Εἴκελος, ἄλλα δέ που χρυσαόρι Ἀπόλλωνι.
Παπτήνας δ᾽ ἀνὰ νειὸν, ἴδε ζυγὰ χάλκεα ταύρων,
Αὐτόγυόν τ᾽ ἐπὶ τοῖς στιβαροῦ ἀδάμαντος ἄροτρον.
Χρίμψε δ᾽ ἔπειτα κιών· παρὰ δ᾽ ὄβριμον ἔγχος ἔπηξεν
Ὀρθὸν ἐπ᾽ οὐριάχῳ, κυνέην δ᾽ ἀποκάτθετ᾽ ἐρείσας.

Fit, quando certamina ob defunctum regem
Designatores peditibus proponunt et equitibus.
Offenderunt verò Æetam et reliquorum gentes Colchorum,
Hos quidem Caucaseis insistentes scopulis,
Illum verò juxta curvum litùs fluvii.
Jason autem, quando retinacula alligâssent socii,
Tunc sanè cum hastâ clypeoque contendit ad certamen
E nave prosiliens; simul autem cepit undique fulgentem
Æream galeam, acutis repletam dentibus;
Ensemque circum humeros, nudus corpore, aliquatenus Marti
Similis, aliquatenus verò Apollini aureum gestanti ensem.
Circumspectans igitur per novale, vidit juga ærea taurorum,
Et præterea adnatum dentali solido ex ferro aratrum.
Appropinquavit autem ulteriùs progressus; juxtaque validam impegit hastam
Erectè, præferratâ nitentem ora; positamque fulcivit humo galeam.

βάλλουσιν οἱ δρομεῖς γραμμή. σημαίνει δὲ καὶ τὴν ἐκκοπὴν τοῦ φρέατος. ὁ δὲ νοῦς. τοσοῦτον δὲ τῆς πόλεως ἀφίστηκεν, ὅσον ἡ νύσσα ἀπὸ τοῦ βαλβῖδος, ἤτοι τῆς ἀφετηρίας. Schol.

1285. Χρίμψε] χρίμψαι, τὸ πλησίον γενέσθαι. Schol.

Βῆ δ' αὖτις προτέρωσε σὺν ἀσπίδι νήριτα ταύρων
Ἴχνια μαστεύων· οἱ δ' ἔκποθεν ἀφράστοιο
Κευθμῶνος χθονίου, ἵνα τέ σφισιν ἔσκε βόαυλα
Καρτερὰ λιγνυόεντι πέριξ εἰλυμένα καπνῷ,
Ἄμφω ὁμοῦ προγένοντο πυρὸς σέλας ἀμπνείοντες.
Ἔδδεισαν δ' ἥρωες, ὅπως ἴδον· αὐτὰρ ὁ τούσγε
Εὖ διαβὰς ἐπιόντας, ἅτε σπιλὰς εἰν ἁλὶ πέτρη
Μίμνει ἀπειρεσίῃσι δονεύμενα κύματ' ἀέλλαις.
Πρόσθε δέ οἱ σάκος ἔσχεν ἐναντίον· οἱ δέ μιν ἄμφω
Μυκηθμῷ κρατεροῖσιν ἐνέπληξαν κεράεσσιν·
Οὐδ' ἄρα μιν τυτθόν περ ἀνώχλισαν ἀντιόωντες.
Ὡς δ' ὅτ' ἐνὶ τρητοῖσιν εὐῤῥίνοις χοάνοισι
Φῦσαι χαλκήων ὅτε μέν τ' ἀναμαρμαίρουσι

Ivit deinde alteriùs cum ſcuto, immania taurorum
Veſtigia indagatum: illi verò alicunde ex improviſis
Latibulis ſubterraneis, ubi ipſis erant bubilia
Communita, fuliginoſo involuta undique fumo,
Ambo ſimul proruperunt ignis flammam efflantes.
Expaverunt autem heroes, his viſis; ſed eos ille
Firmiter ſtans divaricatis cruribus *ſuſtinebat*, velut prominens in mari petra
Manet immenſis concitos procellis fluctus.
Ante autem ſe clypeum tenebat obverſum: illi verò ipſum ambo
Cum mugitu validis percuſſerunt cornibus,
Neque eum vel tantillùm everterunt occurſantes.
Sicut autem quando in foraminoſis et perflabilibus fornacibus
Folles fabrorum nunc quidem accendunt

1287. Νήριτα] νήριτον, τὸ πολὺ καὶ ἀναρίθμητον. Schol.
1289. Κευθμῶνος] κευθμὼν, τὸ κοίλωμα. Βόαυλα, ἡ βούστασις. Schol.
1290. Καπνῷ] κεκαπνίσθαι φησὶ τὴν βοόστασιν ἐκ τῆς τοῦ πυρὸς ἀποφορᾶς τοῦ στόματος τῶν ταύρων. Schol.

1298. Εὐῤῥίνοις] τοῖς εὐθύρσοις καὶ καλῶς ἐῤῥινημένοις. ἢ εὐπνόοις. διὰ γὰρ τῆς ῥινὸς τὸ πνεῦμα πέμπεται. Schol.
1299. Ἀναμαρμαίρουσι] κυρίως πνέουσι. μετενήνοχε δὲ τὴν φωνὴν ἀπὸ τῆς σφοδροτάτης φυσήσεως ἐνεργούσης ἔσωθεν. Schol.

Πῦρ

Πῦρ ὀλοὸν πιμπρᾶσαι, ὅτ' αὖ λήγουσιν ἀϋτμῆς·
Δεινὸς δ' ἐξ αὐτοῦ πέλεται βρόμος, ὁππότ' ἀΐξῃ
Νειόθεν· ὣς ἄρα τώγε θοὴν φλόγα φυσιόωντες
Ἐκ στομάτων ὁμάδευν· τὸν δ' ἀμφί τε δήϊον αἶθος
Βάλλεν ἅτε στεροπή· κούρης δέ ἑ φάρμακ' ἔρυτο.
Καί ῥ' ὅγε δεξιτεροῖο βοὸς κέρας ἄκρον ἐρύσσας
Εἷλκεν ἐπικρατέως παντὶ σθένει, ὄφρα πελάσσῃ
Ζεύγλῃ χαλκείῃ· τὸν δ' ἐν χθονὶ κάββαλεν ὀκλὰξ
Ῥίμφα ποδὶ κρούσας πόδα χάλκεον· ὣς δὲ καὶ ἄλλον
Σφῆλε γνὺξ ἐπιόντα μιῇ βεβολημένον ὁρμῇ.
Εὐρὺ δ' ἀποπροβαλὼν χαμάδις σάκος ἔνθα καὶ ἔνθα,
Τῇ καὶ τῇ βεβαὼς ἄμφω ἔχε πεπτηῶτας
Γούνασιν ἐν προτέροισι, διὰ φλογὸς εἶθαρ ἐλυσθείς.
Θαύμασε δ' Αἰήτης σθένος ἀνέρος. Οἱ δ' ἄρα τείως

Ignem vehementem ad ardendum, nunc cessant à flatu;
Ingensque ex eo fit fremitus cùm erumpit
Ab imo; sic sanè hi velocem flammam efflantes
Ex oribus infremebant, circáque eum infesta flamma
Percussit, fulguris more: tutabantur tamen eum medicamenta puellæ.
Ac ille, dextri bovis cornu summo prehenso,
Traxit fortiter totis viribus, donec admovisset
Æreo jugo, eumque in terram dejecit geniculatim
Cùm agili pede impulisset pedem æneum: itemque alterum
Evertit accedentem in genua, uno percussum impetu.
Tùm demum humi abjecto lato scuto, hinc, illinc,
Hâc et illâ parte firmiter stans ambos tenebat prolapsos
In genua anteriora, per flammam statim extensus.
Admiratus autem est Æeta robur viri. Interim

1303. Pro ὁμάδῳ, quod habent editiones Italicæ, Florentina et Veneta, habet Parisina ὁμάδων. Stephanus ex duabus malis unam fecit bonam, ὁμάδευν, ut alibi legimus ὁμάδησαν.

Ibid. Αἶθος] λέγεται τὸ πῦρ καὶ ἡ φλόξ. Schol.

1307. Ὀκλὰξ] ἐπὶ τὰ γόνατα. καὶ ὀκλάζειν ῥῆμα. Schol.

1309. Σφῆλε γνὺξ] σφαλῆναι ἐποίησε, καὶ ἤνεγκεν ἐπὶ τὰ γόνατα. Βεβολημένον. πεπληγότα. Schol.

1312. Ἐλυσθείς] ἐκταθείς. Schol.

Τυνδαρίδαι (δὴ γάρ σφι πάλαι προπεφραδμένον ἦεν)
Ἀγχίμολον ζυγά οἱ πεδόθεν δόσαν ἀμφιβαλέσθαι.
Αὐτὰρ ὁ εὖ ἐνέδησε λόφους· μεσσηγὺ δ᾽ ἀείρας
Χάλκεον ἱστοβοῆα, θοῇ συνάρασσε κορώνῃ
Ζεύγληθεν· καὶ τὼ μὲν ὑπὲρ πυρὸς ἂψ ἐπὶ νῆα
Χαζέσθην· ὁ δ᾽ ἄρ᾽ αὖτις ἑλὼν σάκος ἔνθετο νώτῳ
Ἐξόπιθεν· καὶ γέντο θοῶν ἔμπλειον ὀδόντων
Πήληκα βριαρὴν, δόρυ τ᾽ ἄσχετον, ᾧ ῥ᾽ ὑπὸ μέσσας
Ἐργατίνης ὥς τίς τε Πελασγίδι νύσσεν ἀκαίνῃ
Οὐτάζων λαγόνας· μάλα δ᾽ ἔμπεδον εὖ ἀραρυῖαν
Τυκτὴν ἐξ ἀδάμαντος ἐπιθύνεσκεν ἐχέτλην.
Οἱ δὲ τέως μὲν δὴ περιώσια θυμαίνεσκον
Λάβρον ἐπιπνείοντε πυρὸς σέλας· ὦρτο δ᾽ ἀϋτμὴ,

Tyndaridæ (jamdiu enim illis edictum erat)
De prope juga ei è campo præbebant, quæ injiceret.
Ille verò ritè ligavit cervices, et in medium ſublatum
Æreum temonem acuto adaptavit apici,
De jugo: hi ab igni retrò ad navem
Ceſſerunt: ille reſumptum ſcutum humeris impoſuit
A tergo, recepitque acutis plenam dentibus
Galeam validam, haſtamque immenſam, quâ media
Agricola velut aliquis Pelaſgico ſtimulo pungebat
Vulnerans ilia; et admodum firmam, beneque compactam,
Ex adamante factam dirigebat ſtivam.
Illi quidem interea ſuprà modum indignabantur,
Inſanam efflantes ignis flammam, incitabatur autem flatus

1316. Λόφους] τοὺς ἱμάντας. Schol.

1317. Θοῇ] τῇ εἰς ὀξὺ ληγούσῃ κορώνῃ. Ἄρασσε, συνήρμοσε. Κορώνῃ, τῷ τοῦ ζυγοῦ κρίκῳ συνήρμοσεν. Schol.

1319. Χαζέσθην] εἰς τοὺς Τυνδαρίδας ἀνενεκτέον· οὓς ἀναχωρῆσαι φησὶν εἰς τὴν ναῦν ὑπὸ τῆς τοῦ πυρὸς ῥύμης. Schol.

1320. Θοῶν] θοοὺς ὀδόντας τοὺς ὀξεῖς. Schol.

1322. Ἐργατίνης] ὁ ἐργάτης, ἢ ὁ γεωργός. Ἀκαίνῃ. ἀντὶ τοῦ κέντρῳ. ἄκαινα δέ ἐστι μέτρον δεκάπουν, Θεσσαλῶν εὕρεμα· ἢ ῥάβδος ποιμενική, παρὰ Πελασγοῖς εὑρημένη, περὶ ἧς Καλλίμαχος φησίν. "ἀμφότερον κέντρον τε βοῶν καὶ μέτρον ἀρούρης." Schol.

Ἤϋτε

Ἠΰτε βυκτάων ἀνέμων βρόμος, ὅς τε μάλιστα
Δειδιότες μέγα λαῖφος ἁλίπλοοι ἐστείλαντο.
Δηρὸν δ' οὐ μετέπειτα κελευόμενοι ὑπὸ δουρὶ
Ἤισαν· ὀκρυόεσσα δ' ἐρείκετο νειὸς ὀπίσσω
Σχιζομένη ταύρων τε βίῃ κρατερῷ τ' ἀροτῆρι.
Δεινὸν δ' ἐσμαράγευν ἄμυδις κατὰ ὦλκας ἀρότρου
Βώλακες ἀγνύμεναι ἀνδραχθέες· εἵπετο δ' αὐτὸς
Βαθμὸν ἐπὶ στιβαρῷ πιέσας ποδί· τῆλε δ' ἑοῖο
Βάλλεν ἀρηρομένην αἰεὶ κατὰ βῶλον ὀδόντας,
Ἐντροπαλιζόμενος, μή οἱ πάρος ἀντιάσειεν
Γηγενέων ἀνδρῶν ὀλοὸς στάχυς. Οἱ δ' ἄρ' ἐπιπρὸ
Χαλκείῃς χηλῇσιν ἐρειδόμενοι πονέοντο.
Ἦμος δὲ τρίτατον λάχος ἤματος ἀνομένοιο
Λείπεται ἐξ ἠοῦς, καλέουσι δὲ κεκμηῶτες
Ἐργατίναι γλυκερόν σφιν ἄφαρ βουλυτὸν ἱκέσθαι,

Ad inſtar ventorum reſonantium fremitûs, quos maximè
Formidantes decimanum velum demittere ſolent nautæ.
Non diu verò poſt juſſi ſub haſtâ
Iverunt, ac aſpera reſcindebatur terra retrò
Fiſſa taurorum robore fortique aratore.
Terribilem verò fragorem ediderunt ſimul per ſulcos terræ
Glebæ fractæ viris gravidæ; ſequebatur autem ipſe
Veſtigium forti premens pede; ac procul à ſe
Jecit aratam densè in glebam dentes,
Reſpectans, ne ſibi prius obviam iret
Gigantum horribilis ſeges: illique ſanè ante
Ferreis ungulis innitentes laborabant.
Quando autem tertia pars diei *jam pene* tranſacti
Relinquitur ab Aurorâ, invocantque feſſi
Operarii dulcem ſibi illico advenire veſperam,

1330. Ὀκρυόεσσα δ' ἐρείκετο] νεῶ ἀντὶ τοῦ, τραχεῖα διεσχίζετο γῆ. Schol.

1334. Βαθμὸν. In Flor. et Ald. legitur λαιὸν.

Τῆμος

Τῆμος ἄρ' ἤροτο νειὸς ὑπ' ἀκαμάτῳ ἀροτῆρι,
Τετράγυός περ ἐοῦσα· βοῶν τ' ἀπελύετ' ἄροτρα.
Καὶ τοὺς μὲν πεδίονδε διεπτοίησε φέβεσθαι,
Αὐτὰρ ὁ ἂψ ἐπὶ νῆα πάλιν κίεν, ὄφρ' ἔτι κεινὰς
Γηγενέων ἀνδρῶν ἴδεν αὔλακας· ἀμφὶ δ' ἑταῖροι
Θάρσυνον μύθοισιν· ὁ δ' ἐκ ποταμοῖο ῥοάων
Αὐτῇ ἀφυσσάμενος κυνέῃ σβέσεν ὕδατι δίψαν.
Γνάμψε δὲ γοῦνατ' ἐλαφρὰ, μέγαν δ' ἐμπλήσατο θυμὸν
Ἀλκῆς μαιμώων· συῒ εἴκελος, ὅς ῥά τ' ὀδόντας
Θήγει θηρευτῇσιν ἐπ' ἀνδράσιν· ἀμφὶ δὲ πολλὸς
Ἀφρὸς ἀπὸ στόματος χαμάδις ῥέε χωομένοιο.
Οἱ δ' ἤδη κατὰ πᾶσαν ἀνασταχύεσκον ἄρουραν
Γηγενέες, φρῖξαν δὲ περὶ στιβαροῖς σακέεσσι,
Δούρασί τ' ἀμφιγύοις, κορύθεσσί τε λαμπομένοισιν,
Ἄρηος τέμενος φθισιμβρότου· ἵκετο δ' αἴγλη

Tunc ſanè aratum erat novale ab indefeſſo aratore,
Quatuor licèt amplum jugera; et ab aratro ſolvebantur boves.
Et hos quidem terruit ut in campum fugerent,
Ille verò ad navem rediit, poſtquam adhuc ſteriles
Terrigenarum conſpexit ſulcos: circùm autem ſocii
Animabant verbis. Ille ex fluvii fluentis
Poſtquam ipſâ hauſiſſet galeâ, reſtinxit aquâ ſitim.
Flexit deinde genua levia, magnumque implevit animum
Prælii valdè cupiens, apri ad inſtar, qui dentes
Acuit in venatores, circùm autem plurima
Spuma ab ore in humum defluit iraſcentis.
Jamque univerſum per arvum expullulabant
Gigantes, circáque inhorruerunt validis ſcutis
Haſtiſque utrinque acutis, galeiſque fulgentibus,
Martis ager hominum interemptoris: pervenit autem ſplendor

1344. Διεπτοίησε] ἐθορύβησεν ὥστε φύγειν. Schol.

1354. Φρῖξαν] Ἐξωρθοῦντο. φοβεροὶ ἐφαίνοντο. Schol.

Νειόθεν

Νειόθεν Οὔλυμπόνδε δι᾽ ἠέρος ἀστράπτουσα.
Ὡς δ᾽ ὁπότ᾽ ἐς γαῖαν πολέος νιφετοῖο πεσόντος,
Ἂψ ἀπὸ χειμερίας νεφέλας ἐκέδασσαν ἄελλαι
Λυγαίῃ ὑπὸ νυκτὶ, τὰ δ᾽ ἀθρόα πάντα φαάνθη
Τείρεα λαμπετόωντα διὰ κνέφας· ὣς ἄρα τοίγε
Λάμπον ἀναλδήσκοντες ὑπὲρ χθονός· αὐτὰρ Ἰήσων
Μνήσατο Μηδείης πολυκερδέος ἐννεσιάων·
Λάζετο δ᾽ ἐκ πεδίοιο μέγαν περιηγέα πέτρον,
Δεινὸν Ἐνυαλίου σόλον Ἄρεος· οὔ κέ μιν ἄνδρες
Αἰζηοὶ πίσυρες γαίης ἀπὸ τυτθὸν ἄειραν.
Τόν ῥ᾽ ἀνὰ χεῖρα λαβὼν μάλα τηλόθεν ἔμβαλε μέσσοις
Ἀΐξας· αὐτὸς δ᾽ ὑφ᾽ ἑὸν σάκος ἕζετο λάθρῃ
Θαρσαλέως· Κόλχοι δὲ μέγ᾽ ἴαχον, ὡς ὅτε πόντος
Ἴαχεν ὀξείῃσιν ἐπιβρομέων σπιλάδεσσι.
Τὸν δ᾽ ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο

Ab imo in cœlum ſque per aëra coruſcans.
Sicut verò, poſtquam conferta in terram deciderit nix,
Hibernas nubes iterum diſpulerunt procellæ
Tenebroſâ ſub nocte, ipſaque plurima undique apparent
Aſtra micantia per tenebras; ſic ſane hi
Fulgebant emergentes ſuper terram: At Jaſon
Meminit Medeæ peraſtutæ conſiliorum;
Arripuitque è campo magnum rotundum ſaxum
Mirum bellicoſi diſcum Martis: non ipſum viri
Adoleſcentes quatuor vel paululum à terrâ ſuſtuliſſent.
Hoc manu correptum procul admodum injecit in medios
Saltu uſus: ipſe verò poſt ſcutum ſuum clam reſedit
Audacter; Colchique valde clamabant, ſicut quando mare
Reboavit acutis adfremens ſcopulis.
Ipſum verò invaſit ſtupor jactu validi diſci

1357. Οὔλυμπον] τὸν οὐρανὸν λέγει, κατὰ τοὺς νεωτέρους. Schol.

1362. Ἀναλδήσκοντες] ἀναδιδόμενοι, αὐξανόμενοι. Schol.

1364. Περιηγέα] περιφερῆ. Schol.

1365. Σόλον] σόλος ὁ δίσκος. Schol.

1371. Τὸν δ᾽ ἕλεν ἀμφασίη] οὗτος καὶ οἱ ἑξῆς στίχοι εἰλημμένοι εἰσὶ παρ᾽ Εὐμήλου, παρ᾽ ᾧ Μήδεια πρὸς Ἴδμονα διαλέγεται. καὶ Σοφοκλῆς δὲ ἐν Κολχίσι πεποίηκε τὸν Αἰήτην·

Αἰήτην· οἱ δ' ὥστε θοοὶ κύνες ἀμφιθορόντες
Ἀλλήλους βρυχηδὸν ἐδήϊον· οἱ δ' ἐπὶ γαῖαν
Μητέρα πίπτον ἑοῖς ὑπὸ δούρασιν, ἠΰτε πεῦκαι,
Ἢ δρύες, ἅς τ' ἀνέμοιο καταΐκες δονέουσιν.
Οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται ἀστὴρ
Ὁλκὸν ὑπαυγάζων, τέρας ἀνδράσιν οἵ μιν ἴδωνται
Μαρμαρυγῇ σκοτίοιο δι' ἠέρος ἀΐξαντα·
Τοῖος ἄρ' Αἴσονος υἱὸς ἐπέσσυτο γηγενέεσσι.
Γυμνὸν δ' ἐκ κολεοῖο φέρε ξίφος· οὖτα δὲ μίγδην
Ἀμώων, πολέας μὲν ἔτ' ἐς νηδὺν λαγόνας τε,

Æetam : illi porrò, velocium more canum, graſſantes
Se mutuò cum fremitu interimebant, et in terram
Matrem ceciderunt ſuis ſub haſtis, tanquam piceæ
Aut quercus, quas venti procellæ evertunt.
Qualis autem de cœlo rutila trahit ſtella
Sulcum ſubſplendeſcens, portentum hominibus, qui ipſam vident
Cum ſplendore tenebroſum per aëra erumpentem,
Talis ſane Æſonis filius irruit in Gigantes.
Nudo è vaginâ ſtricto enſe, percuſſit eos promiſcuè
Demetens, plurimos quidem ad ventrem & latera

ἀγγέλου τοῦ Αἰήτου πυθόμενον περὶ τῶν προειρημένων, οὕτως. "ἢ βλαστὸς οὐκ ἔβλαστεν οὐπιχώριος, Καὶ κάρτα φρίξας εὐλόφῳ σφηνώματι, Χαλκηλάτοις ὅπλοισι μὴ περισχίζειν." ταῦτα δὲ Ἀπολλώνιος παρέγραψε. Schol.

1375. Καταΐκες] συστροφαί. Schol.

1376. Οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται] γράφεται καὶ ἀπολάμπεται. περὶ τῶν διατρεχόντων ἀστέρων καὶ ῥᾳδίως ἀφανιζομένων τὸν λόγον ποιεῖται, οἳ τῇ τῆς ὀξύτητος φορᾷ παραπλήσιόν τι ἔχουσιν ὑποδούλημα. Schol.

1377. Ὁλκὸν] λέγει τὸ ὑπὸ τὴν ὀξύτητα παρασυρόμενον αὐτοῦ φέγγος. τὰς δὲ τοιαύτας φαντασίας ὁ Μουσαῖος ἀναφερομένας φησὶν ἐκ τοῦ ὠκεανοῦ κατὰ τὸν αἰθέρα ἀποσβέννυσθαι. τοὺς δὲ ὑπὸ Μουσαίου ἀστέρας εἰρημένους Ἀπολλώνιος πιθανῶς μαρμαρυγὰς εἴρηκε. τὰς γὰρ γινομένας ἀκαταλήπτους διὰ τὴν ὀξύτητα ἀποστίλψεις, μαρμαρυγὰς καλοῦσιν. ἀπίθανον δὲ τῷ τοιούτῳ ἀστέρι παραβάλλειν τὸν Ἰάσονα πρὸς ἐπικινδύνους ἄθλους πορευόμενον τῷ ἅμα τῷ φανῆναι εὐθέως σβεννυμένῳ. εἰ δέ τις λέγει τῷ πυρόεντι αὐτὸν ὡμοιωκέναι, περὶ οὗ Πειγένης ἐν τῷ περὶ τῆς Χαλκιδικῆς τῶν μαθηματικῶν, προειπὼν περὶ τῶν πλανητῶν, λέγων ὑφ' ἓν εἶναι τὸν πυρόεντα· προσαγορευόμενον δὲ ὑπὸ Ἑλλήνων Ἄρεος, ὑπὸ δὲ Χαλκιδέων Ἡρακλέους. ἐπισυρομένου γε μὴν αὐτοῦ, μαρμαρυγὰς καὶ σπινθῆρας γίνεσθαι. ὁ δὲ πυρόεις δυσκίνητός ἐστιν. Schol.

In hoc Schol. pro Χαλκιδικῆς et Χαλκιδέων ſcribe Χαλδαϊκῆς et Χαλδαίων. Vide Rutger. Var. lect. L. V. C. VI. et Hygin. L. II. C. XLII. poet. Aſtron. et interpretes.

Ἡμίσεας

Ἡμίσεας δ' ἀνέχοντας ἐς ἠέρα· τοὺς δὲ, καὶ ἄχρις
Ὤμων στελλομένους, τοὺς δὲ, νέον ἑστηῶτας·
Τοὺς δ' ἤδη καὶ ποσσὶν ἐπειγομένους ἐς Ἄρηα.
Ὡς δ' ὁπότ' ἀμφ' οὔροισιν ἐγειρομένου πολέμοιο,
Δείσας γειομόρος μή οἱ προτάμωνται ἀρούρας,
Ἅρπην εὐκαμπῆ νεοθηγέα χερσὶ μεμαρπὼς,
Ὠμὸν ἐπισπεύδων κείρει στάχυν, οὐδὲ βολῇσι
Μίμνει ἐς ὡραίην τερσήμεναι ἠελίοιο·
Ὡς τότε γηγενέων κεῖρε στάχυν· αἵματι δ' ὁλκοὶ
Ἠΰτε κρηναῖαι ἀμάραι πλήθοντο ῥοῇσι·
Πῖπτον δ', οἱ μὲν ὀδὰξ τετρηχότα βῶλον ὀδοῦσι
Λαζόμενοι πρηνεῖς· οἱ δ' ἔμπαλιν, οἱ δ' ἐπ' ἀγοστῷ
Καὶ πλευροῖς, κήτεσσι δομὴν ἀτάλαντοι ἰδέσθαι.
Πολλοὶ δ' οὐτάμενοι, πρὶν ὑπὸ χθονὸς ἴχνος ἀεῖραι,
Ὅσσον ἄνω προὔτυψαν ἐς ἠέρα, τόσσον ἔραζε

Dimidiatos ſurgentes in auras: alios verò humerorum tenus
Prominentes; nonnullos modò ſtantes,
Quoſdam denique jam pedibus ruentes in prælium.
Quemadmodum autem, juxtà agri fines excitato bello,
Metuens colonus ne ſibi *hoſtes* præmetant ſegetes,
Falce incurvâ recens acutâ manibus arreptâ,
Immaturam valdè feſtinans metit ſpicam, nec ut radiis
Siccetur ſolis in æſtatem manet;
Sic ille tunc terrigenarum deſecuit ſegetem: ſanguine autem ſulci
Implebantur, tanquam fontales meatus rivis.
Conciderunt autem hi quidem mordaciter glebam aſperam dentibus
Corripientes proni, illi retrorſum, alii in cubitum,
Et latera, cetis ſimiles corpore viſu.
Multi autem vulnerati priuſquam ſuper terram veſtigium ponerent,
Quantum ſursùm emerſerunt in auras, tantùm in terram

1388. Οὐδὲ βολῇσι μίμνει ἐς ὡραίην] παραγώγως εἶπεν, ἀντὶ τοῦ εἰς ὥραν καὶ τὸν δέοντα καιρόν. Ὅμηρος. "ἀναγκαίη γὰρ ἐπάγει." τὸ δὲ ἑξῆς, οὐδὲ μίμνει ὥστε εἰς ὥραν περσήμεναι βολαῖς ἠελίοιο. Schol.

1394. Δομήν] τὴν τοῦ σώματος σύστασιν, καὶ χροιάν. Schol.

1396. Προὔτυψαν] προῆλθον. ὅσον οὖν προῆλθον ἢ προεῖχον ὑπὲρ τῆς γῆς, τόσον καὶ ὑπὸ γῆν. Schol.

Βεβριθόμενοι πλαδαροῖσι καρήασιν ἠρήρειντο.
Ἔρνεά που τοίως, Διὸς ἄσπετον ὀμβρήσαντος,
Φυταλιῇ νεόθρεπτα κατημύουσιν ἔραζε
Κλασθέντα ῥίζηθεν, ἀλωήων πόνος ἀνδρῶν·
Τὸν δὲ κατηφείη τε καὶ οὐλοὸν ἄλγος ἱκάνει
Κλήρου σημαντῆρα φυτοτρόφον· ὣς τότ᾽ ἄνακτος
Αἰήταο βαρεῖαι ὑπὸ φρένας ἦλθον ἀνίαι.
Ἤιε δ᾽ ἐς πτολίεθρον ὑπότροπος ἄμμιγα Κόλχοις,
Πορφύρων ᾗ κέ σφι θοώτερον ἀντιόῳτο.
Ἦμαρ ἔδυ, καὶ τῷ τετελεσμένος ἦεν ἄεθλος.

Madidis aggravati capitibus refigebantur.
Tali fermè modo germina, Jove affatim pluente,
In plantario modò nutrita reclinantur in terram,
Radicitus effracta, hortensium labor virorum.
Ipsum verò mœstitia et acer invadit dolor
Possessionum dominum plantarum altorem: ita tunc regis
Æetæ graves animum invaserunt dolores.
Ivit verò ad oppidum reversus simul cum Colchis
Anxius cogitans, an alio quovis diriori modo illis occurreret.
Dies occidit, et ab illo certamen erat perfectum.

1397. Πλαδαροῖσι] πλαδαρὸν, τὸ διϋγρον. Schol.

Ibid. Βεβριθόμενοι, &c.

Purpureus veluti cùm flos succisus aratro
Languescit moriens, *lassove* papavera *collo*
*Demisere caput, pluvia si forte gravantur.* Æn. IX.

1402. Σημαντῆρα] τὸν δεσπότην. Schol.

# ΑΠΟΛΛΩΝΙΟΥ

## ΤΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ

### ΤΕΤΑΡΤΟΝ.

Αὐτὴ νῦν κάματόν γε, Θεὰ, καὶ δήνεα κούρης
Κολχίδος ἔννεπε Μοῦσα, Διὸς τέκος· ἦ γὰρ ἔμοιγε
Ἀμφασίῃ νόος ἔνδον ἑλίσσεται, ὁρμαίνοντι

Ipsa nunc laborem, ô dea, et consilia puellæ
Colchicæ enarra, Musa, Jovis proles: mihi enim
Stupore animus intus implicatur, cogitanti

Τοῦ τετάρτου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια ἐστὶ ταῦτα. οἱ Ἀργοναῦται διαπεράσαντες τὸν Πόντον ἀφίκοντο ἐς τὸν Ἴστρον, καὶ δι' αὐτοῦ κατηνέχθησαν εἰς τὴν Ἀδρίαν, καὶ ἐπεραιώθησαν εἰς τὸ πάλαι καλούμενον Κρόνιον. ἔνθα καὶ ἀναιροῦσι τὸν Ἄψυρτον δόλῳ. ἀγανακτοῦντος δὲ τοῦ Διὸς ἐπὶ τούτῳ, καὶ δυσπνοίᾳ θέλοντος περιτρέψαι τοὺς Ἀργοναύτας, Ἥρα ἐπιπέμπει ἀνέμους· καὶ διὰ τοῦ Ἠριδανοῦ εἰς τὴν περὶ Σαρδὼ καταφέρονται θάλασσαν. καθαίρονται δὲ ὑπὸ Κίρκης, καὶ διαπλέουσι τὰς Πλαγκτὰς πέτρας, Θέτιδος μετὰ τῶν ἄλλων Νηρείδων προπεμπούσης αὐτούς. τὰς δὲ Σειρῆνας ἀποπλέουσι. διασωθέντες δὲ εἰς τὴν πάλαι μὲν Δρεπάνην, αὖθις δὲ κληθεῖσαν Κέρκυραν, τοὺς διὰ τῶν Συμπληγάδων διώκοντας αὐτοὺς Κόλχους καταλαμβάνουσιν, οἵτινες τὸν Ἀλκίνουν ἐξητοῦντο τὴν Μήδειαν. ὁ δὲ ὑπερθέμενος τὴν κρίσιν εἰς τὴν αὔριον, ἔφη, παρθένον μὲν οὖσαν, τῷ πατρὶ ἀποστέλλεσθαι δεῖν· εἰ δὲ γυνὴ εἴη, παραδίδοσθαι τῷ ἀνδρί. γίγνεται οὖν ὁ γάμος ἐκείνῃ τῇ νυκτί. καὶ οὕτως ἄπρακτοι γενόμενοι οἱ Κόλχοι, μένουσι μὲν ἐν τῇ Σχερίᾳ, δεδοικότες ἀπανελθεῖν πρὸς Αἰήτην· ἀποπλεύσαντες δὲ οἱ Ἀργοναῦται, κατασύρονται τῆς Λιβύης εἰς Σύρτιν. καὶ τελευτῶσιν ἐκεῖ Κάνθος καὶ Μόψος. ἀποροῦσι δὲ περὶ σωτηρίας τοῖς Ἀργοναύταις ἐπιφαίνεται Τρίτων, καὶ ὡς διασωθήσονται δηλοῖ. βαστάσαντες οὖν τὴν ναῦν, ἐκόμισαν εἰς τὴν Τριτωνίδα λίμνην. εἶτα γίνονται ἐν Κρήτῃ, ἣ εἴργοντο προσσχεῖν ὑπὸ Τάλω· ὃν ἐπῳδαῖς ἐφάνισε Μήδεια. μετὰ δὲ ταῦτα παραγίνονται εἰς Αἴγιναν, κἀκεῖθεν διασώζονται εἰς Θεσσαλίαν. Αὐτὴ νῦν κάματόν γε. ἐλλείπει τὸ ὦ μόριον. ἵνα ᾖ, ὦ Θεά. ὁ δὲ νοῦς· αὐτὴ νῦν ἐμοὶ εἰπὲ, ὦ Μοῦσα, τόν γε μόχθον καὶ τὰς βουλὰς Μηδείας, ἀποροῦντος μου πότερον ἐρωτικῷ πάθει, ἢ κακώσεως φυγὴν ποιουμένη, κατέλιπε τὴν πατρίδα. Schol.

3. Ἀμφασίῃ] ἀντὶ τοῦ ἀπορίᾳ, ἀμφασίᾳ. ὥστε μὴ δύνασθαι εἰπεῖν πότερον ἐρωτικῷ πάθει, ἢ κακώσεως φυγὴν ποιουμένη (ἤγουν, φοβηθεῖσα μήπως κακωθῇ ὑπὸ τοῦ πατρὸς) ἀπέλιπε τὴν πατρίδα. ἐν μὲν οὖν τῷ ἀμφασίῃ τοῦ α στέρησιν σημαίνοντος ἐπεντέθη τὸ μ. Schol.

Ἠέ μιν ἄτης πῆμα δυσίμερον, ἢ τήγ' ἐνίσπω
Φύζαν ἀεικελίην, ᾗ κάλλιπεν ἔθνεα Κόλχων.
Ἤτοι ὁ μὲν δήμοιο μετ' ἀνδράσιν ὅσσοι ἄριστοι
Παννύχιος δόλον αἰπὺν ἐπὶ σφίσι μητιάασκεν
Οἷσιν ἐνὶ μεγάροις στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ
Αἰήτης ἄμοτον κεχολωμένος· οὐδ' ὅγε πάμπαν
Θυγατέρων τάδε νόσφιν ἑῶν τελέεσθαι ἐώλπει.
Τῇ δὲ ἀλεγεινότατον κραδίῃ φόβον ἔμβαλεν Ἥρη.
Τρέσσεν δ' ἠύτε τις κούφη κεμὰς, ἥντε βαθείης
Τάρφεσιν ἐν ξυλόχοιο κυνῶν ἐφόβησεν ὁμοκλή.
Αὐτίκα γὰρ νημερτὲς ὀΐσατο, μή μιν ἀρωγὴν

Ipſumne fati malum ex amore contractum gravi, ſeu dicam
Fugam indecentem quâ reliquit gentes Colchorum.
Ipſe quidem cum populi viris quotquot præſtantiſſimis
Per totam noctem dolum profundum illis meditabatur
Suis in ædibus triſte animo ob certamen
Æeta inſatiabiliter indignatus; nec omnino
Clam filias ſuas hæc perfici putabat.
At Medeæ graviſſimum cordi timorem injecit Juno,
Trepidavitque ad inſtar celeris alicujus hinnulæ, quam in profundâ
Sylvâ, in latibulo canum exterruit latratus.
Illico enim verè rata eſt, non eum auxilium

5. Ἀεικελίην] ἐπιθετικῶς μὲν λέγεται κατὰ τὸ φύζαν, καὶ διὰ τοῦτο ὁμοιοπτώτως, μεταλαμβάνει γε μὴν εἰς προσηγορικὴν γενικὴν αὐτὸ δεῖ, ἵν' ᾖ, φύζαν ἀεικελίης. οὕτω γὰρ ὁ νοῦς σώζεται. Schol,

8. Στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ] στυγερὸν εἶπε τὸν ἆθλον, ἐφ' ᾧ αὐτὸς κατεστύγναζε δυσφορῶν. Schol.

11. Ἀλεγεινότατον] ἤτοι κατὰ πρόσθεσιν τοῦ ε (ἔστι γὰρ ἀλγεινότατον, παρὰ τὸ ἀλγεῖν εἰρημένον) ἢ εἴρηται τὸ τὰς φροντίδας ἔχον, ὥστε τὴν λέξιν εἶναι παρὰ τὸ ἀλέγειν. Schol.

12. Κεμὰς] κεμάς ἐστιν ἡ νέα ἔλαφος. διαφορὰν δέ φασιν εἶναι κεμάδος καὶ νεβροῦ. κεμάδα γὰρ εἶναι τὴν ἔτι κοιμωμένην ἐν τῷ σπηλαίῳ, οἷον κοιμάδα τινὰ οὖσαν· νεβρὸν δὲ, τὸ ἤδη μείζονα, καὶ ἐπὶ βορὰν ἐξιόντα, καὶ νεμόμενον. τάρφεσι, πυκνώμασιν. Schol.

14. Ὀΐσατο] ἀπὸ τοῦ οἴω γέγονε ῥήματος κατὰ διαίρεσιν ὀΐω. μήποτε καὶ τὸ διαάσατο ἅμα τῇ προσοχῇ τοῦ διχρόνου, καὶ προσθέσει κέχρηται τοῦ δ. ὡς ἐν τὸ δνοφερὸν ὕδωρ παρὰ τὸ νέφος πεποίηται· καὶ παρὰ τὸ ἴψαι Σοφοκλῆς ἐν Ἰξίονι δίψιον φησὶ τὸ βεβλαμμένον. καὶ Ὅμηρος "πολυδίψιον Ἄργος ἱκοίμην." πολλάκις βεβλαμμένον. Schol.

Ληθέμεν

Ληθέμεν, αἶψα δὲ πᾶσαν ἀναπλήσειν κακότητα.
Τάρβει δ' ἀμφιπόλους ἐπιΐστορας· ἐν δέ οἱ ὄσσε
Πλῆντο πυρὸς, δεινὸν δὲ περιβρομέεσκον ἀκουαί.
Πυκνὰ δὲ λαυκανίης ἐπεμάσσετο, πυκνὰ δὲ κουρὶξ
Ἑλκομένη πλοκάμους γοερῇ βρυχήσατ' ἀνίῃ.
Καί νύ κεν αὐτοῦ τῆμος ὑπὲρ μόρον ὤλετο κούρη
Φάρμακα πασσαμένη, Ἥρης δ' ἁλίωσε μενοινὰς,
Εἰ μή μιν Φρίξοιο θεὰ σὺν παισὶ φέβεσθαι
Ὦρσεν ἀτυζομένην· πτερόεις δέ οἱ ἐν φρεσὶ θυμὸς
Ἰάνθη· μετὰ δ' ἥγε παλίσσυτος ἀθρόα κόλπον
Φάρμακα πάντ' ἄμυδις κατεχεύατο φωριαμοῖο.
Κύσσε δ' ἑόν τε λέχος καὶ δικλίδας ἀμφοτέρωθεν

Latere, ideoque fore, ut omnem ſtatim compleret calamitatem.
Timebat inſuper conſervas conſcias; eique lumina
Impleta ſunt igne, ac horribiliter inſonuerunt aures.
Tum frequenter jugulum contrectavit, et frequenter à capite
Detractis capillis, lugubri mœrore infremuit.
Et ſane ibi præter fatum periiſſet virgo
Deguſtatis venenis, Junoniſque inania reddidiſſet conſilia,
Niſi ipſam Dea ut unà cum Phrixi filiis aufugeret
Impuliſſet metu perculſam: alatus ei deinde in pectoribus animus
Exhilaratus eſt; ipſaque retrò verſa confertim in ſinum
Medicamenta omnia defudit ex arculâ.
Oſculata eſt lectum ſuum, et bifores utrinque

16. Ἐπιΐστορας] συνίστορας. συνειδυίας. Schol.

17. Περιβρομέεσκον ἀκουαί] ἐνήχουν αἱ ἀκοαὶ, ὥσπερ ἐρχομένων τινῶν ἀξόντων πρὸς τὸν πατέρα. Schol.

18. Πυκνὰ δὲ λαυκανίης] λαυκανίας, τῆς ἀρτηρίας, δι' ἧς τὸ πνεῦμα ἑλκόμενον φέρεται. Κουρὶξ δὲ, κατὰ κόρρης. Schol.

23. Πτερόεις δέ οἱ] οἷον κοῦφος. ἐκουφίσθη. τὸ πρότερον λογισμοῦ ταχέως μετέπιπτεν αὐτῆς ἡ ψυχή. Schol.

24. Ἰάνθη] εἰς ἱλαρότητα μετεστράφη, Schol.

26. Κύσε. Conſueta loca olim, omni abreptâ reveniendi ſpe, ſalutabantur in digreſſu. Sophocles Philoct. Ἴωμεν ὦ παῖ προσκύσαντες τὴν ἔσω Ἄοικον εἰσοίκησιν. Ibidem. Φέρε νῦν στείχων χώραν καλέσω, et, στεῖχε προσκύσας χθόνα. Hœl.

*Amplexæque tenent poſtes atque oſcula figunt.* Æn. II. 490.

Σταθμοὺς,

Σταθμοὺς, καὶ τοίχων ἐπαφήσατο· χερσί τε μακρὸν
Ῥηξαμένη πλόκαμον, θαλάμῳ μνημήϊα μητρὶ
Κάλλιπε παρθενίης· ἀδινῇ δ' ὀλοφύρατο φωνῇ.
Τόνδε τοὶ ἀντ' ἐμέθεν τανάον πλόκον εἶμι λιποῦσα,
Μῆτερ ἐμή· χαίροις δὲ καὶ ἄνδιχα πολλὸν ἰούσῃ·
Χαίροις, Χαλκιόπη, καὶ πᾶς δόμος· αἴθε σε πόντος
Ξεῖνε, διέρραισεν, πρὶν Κολχίδα γαῖαν ἱκέσθαι.
Ὣς ἄρ' ἔφη· βλεφάρων δὲ κατ' ἀθρόα δάκρυα χεῦεν.
Οἵη δ' ἀφνειοῖο διειλυσθεῖσα δόμοιο
Ληϊὰς, ἥν τε νέον πάτρης ἀπενόσφισεν αἶσα·
Οὐδέ νύ πω μογεροῖο πεπείρηται καμάτοιο,
Ἀλλ' ἔτ' ἀηθέσσουσα δύης, καὶ δούλια ἔργα
Εἶσιν ἀτυζομένη χαλεπὰς ὑπὸ χεῖρας ἀνάσσης·
Τοίη ἄρ' ἱμερόεσσα δόμων ἐξέσσυτο κούρη.
Τῇ δὲ καὶ αὐτόματοι θυρέων ὑπόειξαν ὀχῆες,

Postes, parietesque contrectavit; ac manibus longum
Evulsum crinem in thalamo, matri monumentum
Reliquit virginitatis, et flebili lamentabatur voce.
Hunc equidem mei ipsius vice longum cirrum relinquens abeo,
Mater mea; valeas verò mihi procul licèt digressæ:
Vale Chalciope, ac tota domus: utinam te pontus
Hospes, perdidisset, priusquam in terram Colchicam venisses.
Sic locuta est: et à palpebris confertas effudit lachrymas.
Qualis verò splendidis clàm egressa ædibus
Captiva, quam nuper à patriâ separavit calamitas,
Quæque nondum asperos experta est labores,
Sed adhuc inscia miseriarum, serviliumque operum,
Subire metuit difficilia imperia magistræ:
Talis equidem amabilis è domo erupit puella.
Illi verò suâ sponte forium cesserunt vectes,

35. Διειλυσθεῖσα] λάθρα διεξελθοῦσα τοῦ δόμου· ἀποδρᾶσα, φυγοῦσα. Schol.

36. Ληϊὰς] αἰχμάλωτις, δοριάλωτος. Schol.

38. Ἀηθέσσουσα] ἀήθης οὖσα. Δύης δὲ, κακοπαθείας. Schol.

Ὠκείαις

Ὠκείαις ἄψορροι ἀναθρώσκοντες ἀοιδαῖς.
Γυμνοῖσιν δὲ πόδεσσιν ἀνὰ στεινὰς θέεν οἴμους·
Λαιῇ μὲν χερὶ πέπλον ἐπ' ὀφρύσιν ἀμφὶ μέτωπα
Στειλαμένη καὶ καλὰ παρήϊα· δεξιτερῇ δὲ
Ἄκρην ὑψόθι πέζαν ἀερτάζουσα χιτῶνος.
Καρπαλίμως δ' ἀΐδηλον ἀνὰ στίβον ἔκτοθι πύργων
Ἄστεος εὐρυχόροιο φόβῳ ἵκετ'· οὐδέ τις ἔγνω
Τήνδε φυλακτήρων, λάθε δὲ σφέας ὁρμηθεῖσα.
Ἔνθ' ἐνὶ μὲν νηόνδε μάλ' ἐφράσατ'· οὐ γὰρ ἄϊδρις
Ἦεν ὁδῶν, θαμὰ καὶ πρὶν ἀλωμένη ἀμφί τε νεκροὺς
Ἀμφί τε δυσπαλέας ῥίζας χθονὸς, οἷα γυναῖκες
Φαρμακίδες· τρομερῷ δ' ὑπὸ δείματι πάλλετο θυμός.
Τὴν δὲ νέον Τιτηνὶς ἀνερχομένη περάτηθεν

Efficacibus retrorſum reſilientes incantamentis.
Tum nudis pedibus per anguſtas cucurrit vias,
Lævâ quidem manu peplo ſuperciliis circà frontem
Impoſito, et pulchris genis: dextrâ verò
Extremâ in altum orâ ſublatâ veſtis.
Celeriter deinde cæcam per ſemitam extra mœnia
Urbis ſpatioſæ præ timore ivit; nec eam aliquis agnovit
Ex cuſtodibus, latuit verò illos progreſſa.
Inde verò ad templum ire valdè cogitabat, non enim inſcia
Erat viarum, cùm toties antea oberraſſet inter cadavera,
Interque difficiles avulſu radices terræ, uti mos mulieribus
Veneficis: tremulo tamen pavore micabat animus.
Hanc verò Titania nuper exorta ex adverſo

42. Ἀοιδαῖς] ταῖς διὰ φαρμάκων ἐπῳδαῖς. Schol.

46. Πέζαν] τὸ ἀπόληγον τοῦ χιτῶνος· ὃ ἡμεῖς ᾤαν λέγομεν· τὸ γὰρ πρότερον, ὑπὲρ τοῦ μὴ τρίβεσθαι, δέρμα προσέρραπτο. Schol.

50. Ἔνθ' ἐνὶ μὲν Hartungus optimè admonuit legendum Ἔνθεν ἵμεν.

52. Ἀμφί τε δυσπαλέας] χαλεπὰς καὶ κάκας· ἢ τὰς ἐπὶ κακῷ ἀναδιδομένας ἐκ τῆς γῆς. πλείονα γὰρ τῶν σωτηρίων τὰ φθοροποιὰ φάρμακα. ἢ τὰς δυσχερῶς ἀνασπωμένας. Schol.

54. Τιτηνὶς] ἥλιος καὶ σελήνη ὑπερίονος τοῦ Τιτᾶνος καὶ Θείας εἰσὶ παῖδες, ὡς Ἡσίοδος φησί. "Θεία δ' ἠέλιον τέκε λαμπράν τε σελήνην." Schol.

Φοιταλέην

Φοιταλέην ἐσιδοῦσα Θεὰ ἐπεχήρατο μήνη
Ἁρπαλέως· καὶ τοῖα μετὰ φρεσὶν ἤσιν ἔειπεν.
Οὐκ ἄρ' ἐγὼ μούνη μετὰ Λάτμιον ἄντρον ἀλύσκω,
Οὐδ' οἴη καλῷ περιδαίομαι Ἐνδυμίωνι·
Ἦ θαμὰ δὴ καὶ σεῖο, κύον, δολίαισιν ἀοιδαῖς

Furibundam conſpicata Dea adgaudebat Luna
Avidè, et talia in animo ſuo dixit.
Non igitur ego ſola ad Latmium antrum erro,
Nec ſola ob pulchrum ardeo Endymiona;
Haud raro etiam tui, ô canis, doloſis carminibus

55. Φοιταλέην] ἐμμανῆ. μανιωδῶς περιδινουμένην. φοῖτος γὰρ ἡ μανία λέγεται· καὶ Εὐφορίων, "φοιταλέος διὰ πᾶσαν ἄδην ἐπάτησε χθόνα." μήποτε διὰ τοῦτο καὶ τὰς ἑταίρας φοιτάδας λέγουσιν. Schol.

57. Οὐκ ἄρ' ἐγὼ μούνη μετὰ Λάτμιον] Λάτμον, ὄρος Καρίας, ἔνθα ἐστὶν ἄντρον ἐν ᾧ διέτριβεν Ἐνδυμίων. ἔστι δὲ καὶ πόλις ἡ λεχθεῖσα Ἡράκλεια. τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης παῖδα λέγει, παρὰ Διὸς εἰληφότα δῶρον, αὐτὸν ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι. καὶ Πείσανδρος δὲ τὰ αὐτά φησι, καὶ Ἀκουσίλαος, καὶ Φερεκύδης, καὶ Νίκανδρος ἐν δευτέρῳ Αἰτωλικῶν, καὶ Θεόπομπος ἐν ἐποποιοῖς. ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ Διὸς εἰς οὐρανόν· ἐρασθέντα δὲ Ἥρας, εἰδώλῳ παραλογισθῆναι τὸν ἔρωτα νεφέλης, καὶ ἐκβληθέντα κατελθεῖν εἰς ᾅδου. περὶ δὲ τοῦ τῆς σελήνης ἔρωτος ἱστορεῖ Σαπφὼ, καὶ Νίκανδρος ἐν δευτέρῳ Εὐρώπης. λέγεται δὲ κατέρχεσθαι εἰς τοῦτο τὸ ἄντρον τὴν σελήνην πρὸς Ἐνδυμίωνα. Ἐπιμενίδης δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναί φησι τῆς Ἥρας, διόπερ Διὸς χαλεπήναντος αἰτήσασθαι διὰ παντὸς καθεύδειν. Ἴβυκος δὲ ἐν τετάρτῳ, Ἤλιδος αὐτὸν βασιλεῦσαι φησί. τινὲς δὲ διὰ πολλὴν δικαιοσύνην ἀποθεωθῆναι φασὶν αὐτὸν, καὶ αἰτήσασθαι παρὰ Διὸς ἀεὶ καθεύδειν. φασὶ δὲ αὐτὸν οἱ μὲν, Σπαρτιάτην, οἱ δὲ, Ἠλεῖον. ἔνιοι δὲ ἀναιροῦσι τὸν ἐπὶ τοῦ Ἐνδυμίωνος ὕπνου μῦθον. φιλοκυνήγετον γὰρ αὐτὸν γενόμενον, νύκτωρ πρὸς τὴν σελήνην κυνηγεῖν, διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομάς· τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὡς τινα οἴεσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. οἱ δὲ ἀλληγοροῦσι τὸν μῦθον, λέγοντες ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπιχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ. παρασχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν σελήνην ἔν τε φωτισμοῖς καὶ κινήσεσι. δι' ὃ καὶ νύκτωρ σχολάζοντα τούτοις, ὕπνῳ μὴ χρῆσθαι, κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. τινὲς δὲ τῷ ὄντι φίλυπνον τινὰ γεγονέναι τὸν Ἐνδυμίωνα. ἀφ' οὗ καὶ παροιμία, Ἐνδυμίωνος ὕπνος, ἐπὶ τῶν πολὺ κοιμωμένων, ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι. καὶ Θεόκριτος μέμνηται, Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων Ἐνδυμίων. Schol.

59. Ἦ θαμά] μεμύθευται ὡς ἄρα αἱ φαρμακίδες τὴν σελήνην ταῖς ἐπῳδαῖς καθαιροῦσι. τοῦτο δὲ ποιεῖν δοκοῦσιν αἱ Θετταλαί, σφαλεῖσαι τῆς ὑπολήψεως. καθὸ Ἀγλαονίκη Ἡγήμονος θυγάτηρ, ἔμπειρος οὖσα τῆς ἀστρολογίας, καὶ εἰδυῖα τὰς ἐκλείψεις τῆς σελήνης, ὁπότε μέλλοιεν γενήσεσθαι, ἔφασκε τὴν θεὸν καθαιρεῖν. καὶ παραχρῆμα περιέπιπτε συμφοραῖς, τῶν οἰκείων τινὰ ἀποβάλλουσα, καὶ δίκην διδοῦσα τοῦ ἁμαρτήματος. ὅθεν κατὰ τὸν βίον λέγεται παροιμία, ἐπὶ τῶν συμφοραῖς κεχρημένων, ὅτι τὴν σελήνην καθαιρεῖ. παρὰ δὲ τῷ τὰ ναυπακτικὰ πεποιηκότι, οὐκ ἔστι κατὰ τὴν ἰδίαν προαίρεσιν ἐξιοῦσα ἡ Μήδεια.

Μνησαμένη

Μνησαμένη φιλότητος, ἵνα σκοτίῃ ἐνὶ νυκτὶ
Φαρμάσσῃς εὔκηλος· ἅ τοι φίλα ἔργα τέτυκται.
Νῦν δὲ καὶ αὐτὴ δῆθεν ὁμοίης ἔμμορες ἄτης.
Δῶκε δ' ἀνιηρόν τοι Ἰήσονα πῆμα γενέσθαι
Δαίμων ἀλγινόεις· ἀλλ' ἔρχεο, τέτλαθι δ' ἔμπης
Καὶ πινυτή περ ἐοῦσα πολύστονον ἄλγος ἀείρειν.
Ὣς ἄρ' ἔφη· τὴν δ' αἶψα πόδες φέρον ἐγκονέουσαν.
Ἀσπασίως δ' ὄχθῃσιν ἐπηέρθη ποταμοῖο,
Ἀντιπέρην λεύσσουσα πυρὸς σέλας, ὅρρά τ' ἀέθλου
Παννύχιοι ἥρωες ἐϋφροσύνῃσιν ἔδαιον·
Ὀξείῃ δ' ἤπειτα διὰ κνέφας ὄρθια φωνῇ

Recordata amoris, ut tenebrosâ in nocte
Veneficia parares quietè; quæ tibi dilecta sunt opera.
At ipsa nunc similem sortita es calamitatem.
Deditque ut insanabili sit tibi cladi Jason,
Deus acerbus: vade igitur, sustine tamen
Vafra licèt sis, suspiriosum dolorem subire.
Sic dixit: hanc autem statim pedes ferebant properantem.
Ac cupidè litorales tumulos transcendit fluvii
Viso è regione ignis jubare, quem certaminis
Per totam noctem heroes lætitiâ accendebant.
Acutâ deinde per tenebras et elatâ voce

ἀλλ' ἐφ' ἑστίαν καλουμένη. οἱ γὰρ Ἀργοναῦται, κατ' ἐπιβουλὴν ἐνστάντος τοῦ τῆς ἀναιρέσεως αὐτῶν καιροῦ, συντρεχομένου δὲ τοῦ Αἰήτου ἐπὶ τὴν Εὐρυλύτης τῆς γυναικὸς συνουσίαν, Ἴδμονος ὑποθεμένου αὐτοῖς, ἀποδιδράσκουσιν, καὶ Μήδεια συνεκπλεῖ. Schol.

60. Μνησαμένη φιλότητος] τῆς τοῦ Ἐνδυμίωνος, διὰ τῶν σῶν ἐπῳδῶν. Σκοτίῃ δὲ, ἐν ἀσελήνῳ, διὰ τὴν ἐμὴν περὶ τὸν ἐρώμενον ἀσχολίαν. διαλαμβάνουσι δὲ ἔνιοι τὴν τῆς σελήνης ἔκλειψιν ὑπὸ φαρμακίδων γίνεσθαι καθαιρουμένης. διὸ καὶ οἱ παλαιοὶ καθαιρέσεις ἐκάλουν τὰς ἐκλείψεις. Ἄλλως. Ἦ θαμὰ δὴ, καὶ τὰ ἑξῆς, οὕτω συντακτέον. οὕτως θαμὰ ἐγὼ φοιτῶ εἰς τὸ ἄντρον, μνησαμένη τῆς τοῦ Ἐνδυμίωνος φιλότητος, καὶ σεῖο, ὦ κύον, μνησαμένη, ἵνα εὔκηλος φαρμάσσῃς ἐν σκοτίῃ νυκτὶ δολίαισιν ἀοιδαῖς, ἅ τοι φίλα ἔργα τέτυκται. Schol.

63. Ἀνιαρὸν] λέγει τὸν ἀθεράπευτον. Schol.

69. Ἔδαιον] Ἀντὶ τοῦ ἔκαιον, καὶ ἀνῆπτον. Schol.

70. Ὄρθια] ἐπιτεταμένως, μεγάλως. Schol.

Ὁπλότατον Φρίξοιο περαιόθεν ἤπυε παίδων
Φρόντιν. Ὁ δὲ ξὺν ἑοῖσι κασιγνήτοις ὄπα κούρης
Αὐτῷ τ' Αἰσονίδῃ τεκμαίρετο· σῖγα δ' ἑταῖροι
Θάμβεον, εὖτ' ἐνόησαν, ὃ δὴ καὶ ἐτήτυμον ἦε.
Τρὶς μὲν ἀνήϋσε, τρὶς δ', ὀτρύνοντος ὁμίλου,
Φρόντις ἀμοιβήδην ἀντίαχεν· οἱ δ' ἄρα τείως
Ἥρωες μετὰ τήνγε θοοῖς ἐλάεσκον ἐρετμοῖς.
Οὔπω πείσματα νηὸς ἐπ' ἠπείροιο περαίης
Βάλλον, ὁ δὲ κραιπνοὺς χέρσῳ πόδας ἧκεν Ἰήσων
Ὑψοῦ ἐπ' ἰκριόφιν· μετὰ δὲ Φρόντις τε καὶ Ἄργος,
Υἷε δύω Φρίξου, χαμάδις θόρον· ἡ δ' ἄρα τούς γε
Γούνων ἀμφοτέρῃσι περισχομένη προσέειπεν.
Ἔκ με, φίλοι, ῥύσασθε δυσάμμορον, ὡς δὲ καὶ αὐτοὺς
Ὑμέας, Αἰήταο· πρὸ γάρ τ' ἀναφανδὰ τέτυκται
Πάντα μάλ', οὐδέ τι μῆχος ἱκάνεται· ἀλλ' ἐπὶ νηῒ

Minimo natu Phrixi ex adverso inclamavit filiorum,
Phronti: ille verò suis cum fratribus vòcem puellæ esse conjecit
Ipsique Jasoni indicium fecit: silentio autem socii
Obstupebant, intellecto eo quod res erat.
Ter quidem exclamavit; ter, hortante cœtu,
Phrontis vicissim reclamavit: interim
Heroes ad illam velocibus remigabant remis.
Nondum retinacula navis terræ ulteriori
Injecerant, ipse tamen celeres terræ pedes immisit Jason
Altè ex tabulatis: postea Phrontis et Argus
Filii duo Phrixi in humum desilierunt: hos illa
Utrisque manibus complexa genua, affata est.
Eripite me, amici, fata habentem adversa, adeoque et vos ipsos
Ab Æetâ: nam in apertum prodita sunt
Omnia prorsus, neque consilium aliquod superest: in navi igitur

71. Περαιόθεν] γέγονε μὲν ἀπὸ τοῦ περαία καὶ πέρας καὶ τὸ περαιόθεν. ὅθεν καὶ ἤπειρος λέγεται πᾶσα γῆ καταχρηστικῶς· κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα. ὡς φανερὸν Εὐριπίδης πεποίηκεν. "Ἤπειρον ὡς ἄπειρον ἐκβάλλων χθόνα." Schol.

Φεύγωμεν, πρὶν τόνδε θοῶν ἐπιβήμεναι ἵππων.
Δώσω δὲ χρύσειον ἐγὼ δέρος, εὐνήσασα
Φρουρὸν ὄφιν· τύνη δὲ θεοὺς ἐπὶ σοῖσιν ἑταίροις
Ξεῖνε, τεῶν μύθων ἐπιΐστορας, οὕς μοι ὑπέστης,
Ποίησαι· μηδ' ἔνθεν ἑκαστέρω ὁρμηθεῖσαν
Χήτεϊ κηδεμόνων ὀνοτὴν καὶ ἀεικέα θείης.
Ἴσκεν ἀκηχεμένη· μέγα δὲ φρένες Αἰσονίδαο
Γήθεον· αἶψα δέ μιν περὶ γούνασι πεπτηυῖαν
Ἦκ' ἀναειρόμενος προσπτύξατο, θάρσυνέν τε.

Fugiamus, priusquam veloces ille conscendat equos.
Dabo autem ipsa vellus aureum, sopito
Custode serpente: tu verò Deos præter socios tuos
Hospes, verborum tuorum testes, quæ mihi pollicitus es,
Fac; nec hinc longius progressam
Orbitate amicorum infamem turpemque reddas.
Dixit tristata: summoperè autem mens Jasonis
Gaudebat; statimque eam genibus circumvolutam
Placidè sublatam amplexus est, animavitque.

86. Φεύγωμεν, πρὶν τόνδε θοῶν.] ὁ μὲν Ἀπολλώνιος νυκτός φησι πεφευγέναι τὴν Μήδειαν ἐπὶ τὴν ναῦν, Αἰήτου συνέδριον ἔχοντος Κόλχων περὶ διαφθορᾶς τῶν ἡρώων. ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκώς, ὑπὸ Ἀφροδίτης φησὶ τὸν Αἰήτην κατακοιμηθῆναι, ἐπιθυμήσαντα τῇ αὑτοῦ γυναικὶ συγγενέσθαι, δεδειπνηκότων παρ' αὐτῷ τῶν Κόλχων καὶ κοιμωμένων· διὰ τὸ βουλεύεσθαι αὐτὸν τὴν ναῦν ἐμπρῆσαι. "Δὴ τότ' ἄρ' Αἰήτῃ πόθον ἔμβαλε δῖ' Ἀφροδίτη, Εὐρυλύτης φιλότητι μιγήμεναι, ἧς ἀλόχοιο· Κηδομένη φρεσὶν ᾗσιν ὅπως μετ' ἄεθλον Ἰήσων Νοστήσῃ οἶκόνδε σὺν ἀγχεμάχοις ἑτάροισιν." ὁ δὲ Ἴδμων συνῆκε τὸ γεγονός, καί φησι. "Φευγέμεναι μεγάροιο θοὴν διὰ νύκτα μέλαιναν." τὴν δὲ Μήδειαν τὴν ποδοψοφίαν ἀκούσασαν, ἀναστῆναι ἐξορμῆσαι. λέγει δὲ ὁ Ἡρόδωρος ταῦτα. Schol.

87. Δώσω δὲ χρύσειον] ὁ μὲν Ἀπολλώνιος μετὰ τὸ φυγεῖν τὴν Μήδειαν ἐκ τοῦ Αἰήτου οἴκου πεποίηται ὑπισχνουμένην τὸ κῶας τῷ Ἰάσονι· ὁ δὲ τὰ Ναυπακτικὰ γράψας συνεκφέρουσαν αὐτὴν ποιεῖ τὸ κῶας μετὰ τὴν φυγήν, ἐν τῷ οἴκῳ κείμενον τοῦ Αἰήτου. ὁ δὲ Ἡρόδωρος, μετὰ τὴν ἀνάζευξιν τῶν Ἀργοναυτῶν ἀποσταλῆναι τὸν Ἰάσονα ὑπὸ τοῦ Αἰήτου ἐπὶ τὸ κῶας, τὸν δὲ προσελθόντα φονεῦσαί τε τὸν δράκοντα, καὶ τὸ κῶας ἀπενεγκεῖν πρὸς Αἰήτην. τὸν δὲ δόλῳ καλέσαι αὐτοὺς ἐπὶ δεῖπνον. Schol.

89. Ἐπιΐστορας] μάρτυρας. Schol.

91. Ὀνοτὴν] μεμπτήν. Schol.

94. Προσπτύξατο] περιέλαβεν. Schol.

Δαιμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω,
Ἥρη τε ζυγίη, Διὸς εὐνέτις, ἦ μὲν ἐμοῖσιν
Κουριδίην σε δόμοισιν ἐνιστήσασθαι ἄκοιτιν,
Εὖτ' ἂν ἐς Ἑλλάδα γαῖαν ἱκώμεθα νοστήσαντες.
Ὣς ηὔδα, καὶ χεῖρα παρασχεδὸν ἤραρε χειρὶ
Δεξιτερήν· ἡ δέ σφιν ἐς ἱερὸν ἄλσος ἀνώγει
Νῆα θοὴν ἐλάαν αὐτοσχεδὸν, ὄφρ' ἔτι νύκτωρ
Κῶας ἑλόντες ἄγοιντο παρὲκ νόον Αἰήταο.
Ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισιν.
Εἰς γάρ μιν βήσαντες ἀπὸ χθονὸς αὐτίκ' ἔωσαν
Νῆα· πολὺς δ' ὀρυμαγδὸς ἐπειγομένων ἐλάτῃσιν
Ἦεν ἀριστήων· ἡ δ' ἔμπαλιν ἀΐσσουσα,
Γαίῃ χεῖρας ἔτεινεν ἀμήχανος· αὐτὰρ Ἰήσων
Θάρσυνεν τ' ἐπέεσσι καὶ ἴσχανεν ἀσχαλόωσαν.
Ἦμος δ' ἀνέρες ὕπνον ἀπ' ὀφθαλμῶν ἐβάλοντο

Cariſſima, Jupiter ipſe Olympius ſit teſtis,
Et Juno nuptialis, Jovis conjux, me pro certo meis
Puellarem te ædibus præpoſiturum uxorem
Quamprimum in terram Græciam veniamus reverſi.
Sic dixit; ac dextram illicò adjunxit dextræ.
Atque ea ipſos in ſacrum nemus juſſit
Navem citam ſtatim agere, ut adhuc noctu
Vellus arreptum abducerent, neſciente Æetâ.
Tunc dictum factumque ſimul erat properantibus.
In ipſam enim ingreſſi à terrâ illico detruſerunt
Navem, ingens autem fragor incumbentium remis
Oriebatur heroum: ipſa retrò verſa
Ad terram manus extendit inops conſilii; at Jaſon
Animavit verbis detinuitque triſtatam.
Quando verò ſomnum ab oculis excutiunt

97. Ἐνιστήσασθαι. Magis placet H. Stephano ἐνιστήσεσθαι.

102. Παρὲκ νόον] παρὰ τὴν βουλήν. Schol.

103. Ἔνθ' ἔπος καὶ ἔργον. *Dictum factum.* Terent. Upton.

106. Ἔμπαλιν ἀΐσσουσα] εἰς τοὐπίσω ὁρμῶσα. Schol.

Ἀγρόται

Ἀγρόται, οἵτε κύνεσσι πεποιθότες, οὔποτε νύκτα
Ἄγχαυρον κνώσσουσιν, ἀλευάμενοι φάος ἠοῦς,
Μὴ πρὶν ἀμαλδύνῃ θηρῶν στίβον ἠδὲ καὶ ὀδμὴν
Θηρείην, λευκῇσιν ἐνισκίμψασα βολῇσι·
Τῆμος ἄρ' Αἰσονίδης κούρη τ' ἀπὸ νηὸς ἔβησαν
Ποιήεντ' ἀνὰ χῶρον, ἵνα κριοῦ καλέονται
Εὐναί, ὅθι πρῶτον κεκμηότα γούνατ' ἔκαμψε
Νώτοισιν φορέων Μινυήιον υἷ' Ἀθάμαντος.
Ἐγγύθι δ' αἰθαλόεντα πέλεν βωμοῖο θέμεθλα,
Ὅν ῥά ποτ' Αἰολίδης Διῒ Φυξίῳ εἵσατο Φρίξος
Ῥέζων κεῖνο τέρας παγχρύσεον, ὥς οἱ ἔειπεν
Ἑρμείας πρόφρων ξυμβλήμενος· ἔνθ' ἄρα τούς γε

Venatores, qui canibus fisi nunquam profundum
Stertunt diluculum, vitantes jubar Auroræ,
Ne prius deleat ferarum vestigia et odorem
Ferinum, si cum lucidis incubuerit radiis,
Tunc sane Jason virgoque è nave exierunt
Virentem in locum, ubi arietis perhibentur
Cubilia; quò primum defessa genua inflexit
Postquam vexisset tergo Minyæum filium Athamantis.
Prope autem fuliginosa erant aræ fundamenta,
Quam olim Æolides Jovi exulum fautori extruxit Phrixus
Immolans portentum illud aureum, uti eum admonuerat
Mercurius benevolè obviam factus: ubi utique istos

111. Ἄγχαυρον] τὸν καιρὸν τὸν πλησίον καὶ ἐγγὺς τῆς ἡμέρας, ὥσπερ τὸ καλούμενον λυκόφως. περὶ γὰρ τὸν τοιοῦτον καιρὸν αἱ αὖραι πνέουσι. καὶ τοῦτο δὲ ἐκ τοῦ ποιητοῦ. "Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πέλει ἠῶθι πρό." Κνώσσειν, τὸ ὑπνώττειν. Schol.

115. Ἵνα κριοῦ] ἐν Κόλχοις, ὅπου πρῶτον τὸν Φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο. Schol.

116. Εὐναί] εὐνὰς δέ φησι κριοῦ, ὅπου πρῶτον τὸν Φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο. Schol.

119. Ὅν ῥά ποτ' Αἰολίδης] Διονύσιος ἐν τοῖς Ἀργοναυτικοῖς λέγει κριὸν γεγονέναι Φρίξῳ παιδαγωγόν· ὃν πρῶτον αἰσθόμενον τὴν ἐκ τῆς μητρυιᾶς ἐπιβουλὴν, ὑποθέσθαι φυγεῖν· ὑφ' οὗ καὶ πεισθέντος τοῦ νεανίσκου διαδεδόσθαι ὡς ἄρα ἐπὶ κριοῦ μέχρι Κόλχων διασωθείη ὁ Φρίξος.

121. Ἑρμείας. Arietem illum Phryxus immolâsse dicitur ab Hygino *matris* præceptis. Vid. fab. III. atque ibi interpretes. Upt.

Ἄργου

Ἄργου φραδμοσύνῃσιν ἀριστῆες μεθέηκαν.
Τὼ δὲ δι' ἀτραπιτοῖο μεθ' ἱερὸν ἄλσος ἵκοντο,
Φηγὸν ἀπειρεσίην διζημένω· ᾗ ἔπι κῶας
Βέβλητο, νεφέλῃ ἐναλίγκιον, ἥτ' ἀνιόντος
Ἠελίου φλογεροῖσιν ἐρεύθεται ἀκτίνεσσιν.
Αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνετο δειρὴν
Ὀξὺς ἀΰπνοισι προϊδὼν ὄφις ὀφθαλμοῖσι
Νεισομένους· ῥοίζει δὲ πελώριον· ἀμφὶ δὲ μακραὶ
Ἠιόνες ποταμοῖο καὶ ἄσπετον ἴαχεν ἄλσος.
Ἔκλυον οἳ καὶ πολλὸν ἑκὰς Τιτηνίδος αἴης

Argi conſiliis dimiſerunt principes.
Illi verò per ſemitam ſacrum ad nemus venerunt
Fagum ingentem inquirentes, in quâ vellus
Poſitum erat, nubi ſimile, quæ orientis
Solis flammeis rubeſcit radiis.
Ipſe autem ex adverſo prælongum extendebat collum
Ferox inſomnibus prius conſpicatus draco luminibus
Advenientes: horrendum verò ſibilabat: circumque longa
Litora fluvii et ingens reſonuit lucus.
Exaudierunt etiam qui longè à Titaniâ terrâ

125. Νεφέλῃ ἐναλίγκιον, &c.
Cujus adhuc rutilam ſervabant brachia pellem
Nubibus accenſis ſimilem, aut cum veſte recinćta
Labitur ardenti Thaumantias obvia Phœbo.
Val. Flacc. VIII. 114.

ΦΗΓΟΝ, ſuper *fagum* pellis erat poſita: at infra v. 162. ἀπὸ ΔΡΥΟΣ, a *quercu* ſublatam tradit. *Ornum* vocat Valerius Flaccus VII. 535. VIII. 113. Species autem pro genere ponitur. Upt.

129. Ἀμφὶ δὲ μακραὶ, &c.
—— protinus omne
Contremuit nemus, et ſylvæ intonuere profundæ:
Audiit et Triviæ longè lacus, audiit amnis
Sulphurea Nar albus aqua, fonteſque Velini.
*Et trepidæ matres preſſere ad pectora natos.*
Æn. VII. 514.

131. Ἔκλυον οἳ καὶ πολλὸν] ὑπερβολῇ κέχρηται περὶ ποσότητα. ἄγαν φησὶ τὴν τοῦ δράκοντος φωνὴν τοῖς μὲν μακρὰν οὖσι τῶν Κόλχων ἀκούεσθαι, αὐτοῖς δὲ μή.

Ἑκὰς Τιτηνίδος αἴης. τοῦ Τιτῆνος ποταμοῦ, ἀφ' οὗ καὶ ἡ χώρα Τιτηνὶς κέκληται, μνημονεύει Ἐρατοσθένης ἐν γεωγραφίᾳ.

ὁ δὲ Λύκος ποταμὸς ἀπὸ Ἀράξου φερόμενος συγκιρνᾶται Φάσιδι· καὶ οὕτως ἀπολέσας τὸ ἴδιον ὄνομα, ἐκδίδωσιν εἰς θάλασσαν. τὸ δὲ αὐτὸ τοῦτο γίνεται ἐπί τι

Κολχίδα

Κολχίδα γῆν ἐνέμοντο, παραὶ προχοῇσι Λύκοιο,
Ὅς τ' ἀποκιδνάμενος ποταμοῦ κελάδοντος Ἀράξεω,
Φάσιδι συμφέρεται ἱερὸν ῥόον· οἱ δὲ σὺν ἄμφω
Καυκασίην ἅλαδ' εἰς ἓν ἐλαυνόμενοι προχέουσιν.
Δείματι δ' ἐξέγροντο λεχωΐδες· ἀμφὶ δὲ παισὶ
Νηπιάχοις, οἵ τέ σφιν ὑπ' ἀγκαλίδεσσιν ἴαυον,
Ῥοίζῳ παλλομένοις χεῖρας βάλον ἀσχαλόωσαι.
Ὡς δ' ὅτε τυφομένης ὕλης ὕπερ αἰθαλόεσσαι
Καπνοῖο στροφάλιγγες ἀπείριτοι εἱλίσσονται,
Ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται αἰὲν ἐπιπρὸ
Νειόθεν εἰλίγγοισιν ἐπήορος ἐξανιοῦσα·
Ὡς τότ' ἐκεῖνο πέλωρον ἀπειρεσίας ἐλέλιξε

Colchicam colebant terram juxta oſtia Lyci,
Qui divertens à ſonoro flumine Araxe
Cum Phaſide commiſcet ſacrum fluxum; illique unà ambo
In Caucaſeum mare in unum cumpulſi profluunt.
Præ timore inſuper expergefactæ puerperæ circà liberos
Infantulos, qui ſub earum ulnis dormiebant,
Sibilo exterritos manus obtendebant, exanimatæ.
Sicut verò quando ſupra incenſam ſylvam flammeoli
Fumi volumina plurima globantur,
Aliudque ſtatim poſt aliud mittitur, ſemper ulterius
Ab imo vorticibus in ſublime erumpens,
Sic tunc ſanè monſtrum illud innumeros volvebat

Ὀνοχώνου τοῦ κατὰ Θεσσαλίαν, καὶ Παμίσου καὶ Σπερχειοῦ. ὅταν γὰρ εἰς ταὐτὸ συῤῥεύσωσι πάντες, Σπερχειὸς καλοῦνται. Ὁ δὲ Ἀράξης ποταμὸς Σκυθίας. Μητρόδωρος δὲ ἐν πρώτῳ τῶν περὶ Τιγράνην, τὸν Θερμώδοντα Ἀράξην φησὶ λέγεσθαι. Schol.

135. Καυκασίην] Καυκασίαν δὲ θάλασσαν τὴν Κασπίαν φησὶ, διὰ τὸ συνάπτειν τῷ Καυκάσῳ. Ἄλλως. βέλτιον Καυκασίαν θάλασσαν νῦν τὸν Εὔξεινον νοεῖν, τὸν πλησιάζοντα τῷ Καυκάσῳ. οὐ γὰρ ἐς τὴν Καυκασίαν, ἀλλ' εἰς τὸν Εὔξεινον ἐκδίδωσιν ὁ Φᾶσις.

140. Καπνοῖο στροφάλιγγες] αἱ τοῦ σφοδροῦ καπνοῦ εἱλήσεις, καὶ ἀναφοραί. Schol.

141. Ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται] δηλοῖ τὸ συνεχὲς τῆς ἐπαναφορᾶς. Schol.

142. Εἰλίγγοισιν] εἰλίγγοις, ταῖς εἱλήσεσι τοῦ σφοδροῦ καπνοῦ. Ἐπήορος, μετέωρος. Schol.

143. Ἀπειρεσίας ἐλέλιξε] πολλάς. ὑπερβολικῶς καὶ τοῦτο εἴρηκε, διαγράφων τὸ τερατῶδες μέγεθος τοῦ δράκοντος. Schol.

Ῥυμβόνας

Ῥυμβόνας ἀζαλέησιν ἐπηρεφέας φολίδεσσι.
Τοῖο δ' ἑλισσομένοιο κατόμματον εἴσατο κούρη,
Ὕπνον ἀοσσητῆρα Θεῶν ὕπατον καλέουσα
Ἡδείῃ ἐνοπῇ θέλξαι τέρας· αὖε δ' ἄνασσαν
Νυκτιπόλον, χθονίην, εὐαντέα δοῦναι ἐφορμήν.
Εἵπετο δ' Αἰσονίδης πεφοβημένος· αὐτὰρ ὅγ' ἤδη
Οἴμῃ θελγόμενος δολιχὴν ἀνελύετ' ἄκανθαν
Γηγενέος σπείρης, μήκυνε δὲ μυρία κύκλα·
Οἷον ὅτε βληχροῖσι κυλινδόμενον πελάγεσσι
Κῦμα μέλαν κωφόν τε καὶ ἄβρομον. Ἀλλὰ καὶ ἔμπης
Ὑψοῦ σμερδαλέην κεφαλὴν μενέαινεν ἀείρας
Ἀμφοτέρους ὀλοῇσι περιπλίξαι γενύεσσιν.

Tortus, arentibus conteсtos ſquamis.
Hujus autem circumvoluti in conſpectum ruit virgo,
Somnum potiſſimum deorum opitulatorem invocans
Suavi voce ut ſopiret monſtrum; invocavit etiam reginam
Noctivagam, ſubterraneam, ut fauſtum redderet inceptum.
Sequebatur Æſonis filius, timeſcens: jam autem draco
Incantamentis delinitus longam laxavit ſpinam
Reptilis ſpiræ, ſeque produxit in innumeros orbes;
Veluti in magno volutus æquore
Fluctus ater, ſurdus, et fremitu caſſus: ſed tamen
Altè terribile caput cupiebat attollens
Ambos lethalibus implicare maxillis.

144. Ῥυμβόνας] τὰς εἱλήσεις τῆς σπείρας, τὰς περιδινήσεις. καὶ Εὐριπίδης ἐν Πειρίθῳ. "σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ ῥύμβῳ." τοῦτ' ἐστι κινήσει. ὅθεν καὶ τὸ κινούμενον τροχίσκιον ὑπὸ τῶν φαρμακίδων, ῥυμβίον καλεῖται. οὕτω δὲ λέγουσι τὰς περιφερεῖς κινήσεις. καὶ παρ' Εὐπόλιδι. "ὦ ῥύμβοις μαστίξας ἐμέ."
Ἀζαλέαις, ξηραῖς. Ἐπηρεφέας. ἐσκεπασμένας. Schol.

145. Εἴσατο] ὥρμησε. Schol.

147. Θέλξαι] κοιμῆσαι. Schol.

148. Νυκτιπόλον] ὡς καὶ ὑπὸ γῆν διατρίβουσαν. Εὐαντέα δὲ, τὴν εὐάντητον καὶ εὐεξίλαστον· ἢ εὐαπάντητον. Schol.

150. Οἴμῃ θελγόμενος] τῇ ἐπῳδῇ πεπεισμένος. Ἄκανθαν. τὰ τῶν ὄφεων ὀστᾶ ἄκανθαι λέγεται. Schol.

Ibid. ——— δολιχὴν ἀνελύετ', &c.
Virgilius de Cerbero, Æn. VI.

*——— immania terga reſolvit*
*Fuſus humi, totoque ingens extenditur antro.*

151. Γηγενέος] κατὰ κοινοῦ δὲ τὸ γηγενέος, ὡς καὶ ἄλλων ἑρπετῶν, Schol.

155. Περιπλίξαι] περιλαβεῖν. Schol.

Ἡ δὲ

Ἡ δέ μιν ἀρκεύθοιο νέον τετμηότι θαλλῷ
Βάπτουσ', ἐκ κυκεῶνος ἀκήρατα φάρμακ' ἀοιδαῖς
Ῥαῖνε κατ' ὀφθαλμῶν· περί τ' ἀμφί τε νήριτος ὀδμὴ
Φαρμάκου ὕπνον ἔβαλλε· γένυν δ' αὐτῇ ἐνὶ χώρῃ
Θῆκεν ἐρεισάμενος· τὰ δ' ἀπείρονα πολλὸν ὀπίσω
Κύκλα πολυπρέμνοιο διὲξ ὕλης τετάνυστο.
Ἔνθα δ' ὁ μὲν χρύσειον ἀπὸ δρυὸς αἴνυτο κῶας,
Κούρης κεκλομένης· ἡ δ' ἔμπεδον ἑστηυῖα
Φαρμάκῳ ἔψηχεν θηρὸς κάρη, εἰσόκε δέ μιν
Αὐτὸς ἑὴν ἐπὶ νῆα παλιντροπάασθαι Ἰήσων
Ἤνωγεν, λεῖπεν δὲ πολύσκιον ἄλσος Ἄρηος.
Ὡς δὲ σεληναίην διχομήνιδα παρθένος αἴγλην

Hæc autem ipſum juniperi recens exciſo ramo
Attingens, ex potione efficacia venena cum carmine
Deſtillabat in oculos: undiquaque plurimus odor
Veneni ſomnum offudit: maxillas eodem in loco
Demiſit innixus; et innumeri longè retrorſum
Orbes per denſam ſtipitibus ſylvam extenſi ſunt.
Tunc ſane Jaſon aureum a quercu deripuit vellus,
Puellâ adhortante: hæc verò firmiter aſtans
Cum medicamento adfricabat feræ caput, donec illi
Ipſe ſuam ad navem revertere Jaſon
Juſſit, liquitque umbroſum nemus Martis.
Sicut verò lunarem plenum virgo ſplendorem

156. Ἡ δέ μιν] ἐν τούτοις καὶ τοῖς ἐφεξῆς φησὶ τὴν Μήδειαν ἐπιῤῥαίνουσαν ἀρκεύθῳ τὸ φάρμακον κοιμίσαι τὸν δράκοντα, ἐπᾴδουσαν, καὶ οὕτω τὸ κῶας ἀνελέσθαι· καὶ χωρῆσαι ἀμφοτέρους ἐπὶ τὴν ναῦν, κοιμωμένου τοῦ θηρίου· συμφώνως Ἀντιμάχῳ. Φερεκύδης δέ φησιν ἐν ἑβδόμῳ, φονευθῆναι τὸν δράκοντα ὑπὸ Ἰάσονος. ἡ δὲ Ἄρκευθος, δένδρον τι ἀκανθῶδες, Ἀπόλλωνος ἴδιον, ὡς ἱστορεῖται ἐν τρίτῳ τῶν εἰς Μουσαῖον ἀναφερομένων. Schol.

157. Βάπτουσ', &c.
Ecce Deus ramum Lethæo rore madentem
Vique ſoporatum Stygia ſuper utraque quaſſat
Tempora. Æn. V. Confer etiam Ovidium de eadem re. Met. VII.

158. Νήριτος] ἡ πολλή. Schol.

161. Πολυπρέμνοιο] πολύπρεμνος, ὁ πολυστέλεχος. Schol.

Ὑψόθεν ἐξανέχουσαν ὑπωρόφιον θαλάμοιο
Λεπταλέῳ ἑανῷ ὑποΐσχεται· ἐν δέ οἱ ἦτορ
Χαίρει δερκομένη καλὸν σέλας· ὣς τότ᾽ Ἰήσων
Γηθόσυνος μέγα κῶας ἑαῖς ἐναείρατο χερσί.
Καί οἱ ἐπὶ ξανθῇσι παρηΐσιν ἠδὲ μετώπῳ
Μαρμαρυγῇ ληνέων φλογὶ εἴκελον ἷζεν ἔρευθος.
Ὅσση δὲ ῥινὸς βοὸς ἤνιος ἢ ἐλάφοιο
Γίγνεται, ἥντ᾽ ἀγρῶσται ἀχαιινέην καλέουσιν·
Τόσσον ἔην πάντη χρύσεον ἐφύπερθεν ἄωτον.
Βεβρίθει λήνεσσιν ἐπηρεφές· ἤλιθα δὲ χθὼν
Αἰὲν ὑπὸ πρὸ ποδῶν ἀμαρύσσετο νισσομένοιο.
Ἤιε δ᾽ ἄλλοτε μὲν λαιῷ ἐπιειμένος ὤμῳ,
Αὐχένος ἐξ ὑπάτοιο ποδηνεκές, ἄλλοτε δ᾽ αὖτε

Ex alto conſurgentem ſub tecto thalami
Veſte tenui excipit, intuſque ei cor
Gaudet intuitæ pulchrum jubar; ſic tunc Jaſon
Lætabundus largum vellus ſuis ſuſtulit manibus:
Eique in flavas genas et frontem
Fulgore lanarum flammæ ſimilis inſedit rubor.
Quanta verò pellis bovis anniculæ, aut cervæ
Patet, quam venatores Achæineam vocant,
Tantum erat undiquaque deſuper aureum vellus:
Graveſcebat lanis obſitum: nec rarò terra
Ante pedes largiter præfulgebat incedentis.
Ibat autem ille interdum quidem lævo impoſitum gerens humero,
A cervice ſummâ ad pedes uſque; interdum contrà

175. Ἀγρῶσται] οἱ κυνηγοί. ἀπὸ τοῦ ἀγρώσσω ῥήματος πέπλακεν. Ὅμηρος. "ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ." Ἀχαιινέην. Ἀχαΐα ἐστὶ τῆς Κρήτης πόλις, ἐν ᾗ γίνονται ἀχαιίνεαι λεγόμεναι ἔλαφοι· αἳ καὶ σταθιναῖαι καλοῦνται. οἱ δὲ κέρατα μεγάλα ἔχοντες ἔλαφοι, κεράσται. Schol.

177. Βεβρίθει λήνεσσιν] τοῖς ἐρίοις. ὅθεν καὶ λανάριαι καλοῦνται αἱ ποιμενίσαι. πολλοὶ δὲ χρυσοῦν τὸ δέρος ἱστορήκασιν, οἷς Ἀπολλώνιος ἠκολούθησεν. ὁ δὲ Σιμωνίδης ποτὲ μὲν λευκόν, ποτὲ δὲ πορφυροῦν. Διονύσιος δὲ ὁ Μιτυληναῖος ἄνθρωπόν φησι γεγονέναι παιδαγωγὸν τοῦ Φρίξου ὀνόματι Κριόν. Schol.

Εἰλεῖτ

Εἴλει ἀφασσόμενος· περὶ γὰρ δίεν ὄφρα ἑ μή τις
Ἀνδρῶν ἠδὲ θεῶν νοσφίσσεται ἀντιβολήσας.
Ἠὼς μὲν ῥ' ἐπὶ γαῖαν ἐκίδνατο, τοὶ δ' ἐς ὅμιλον
Ἷξον· θάμβησαν δὲ νέοι μέγα κῶας ἰδόντες
Λαμπόμενον, στεροπῇ ἴκελον Διός· ὦρτο δ' ἕκαστος
Ψαῦσαι ἐελδόμενος δέχθαι τ' ἐνὶ χερσὶν ἑῇσιν.
Αἰσονίδης δ' ἄλλους μὲν ἐρήτυε, τῷ δ' ἐπὶ φᾶρος
Κάββαλε νηγάτεον· πρύμνῃ δ' ἀνεείσατο κούρην
Ἀνθέμενος, καὶ τοῖον ἔπος μετὰ πᾶσιν ἔειπε.
Μηκέτι νῦν χάζεσθε, φίλοι, πάτρηνδε νέεσθαι.

Contrectatum circumvolvit: valde enim metuebat ne eum aliquis
Virorum aut Deorum privaret illo occurrens.
Aurora quidem in terram diffundebatur, illique ad cœtum
Redierunt: mirati autem ſunt juvenes, ingenti viſo vellere
Fulgido, fulguri Jovis ſimili: incitabatur etiam unuſquiſque
Attingere cupiens et recipere ſuis in manibus.
Jaſon autem alios cohibuit, eique tegumentum
Injecit recèns factum; ac in puppi collocavit puellam
Impoſitam, tali inter omnes habito ſermone.
Haud amplius ſoliciti ſitis, amici, de reditu in patriam.

181. Ἀφασσόμενος] ψηλαφῶν. Schol.

182. Νοσφίσσεται] ἀφαιρήσεται. Schol.

187. Ἄλλους. *Præter ſeſe.* Leviculum eſt hoc: ejus tamen ignoratione Jan. Rutgerſius ad ſiniſtram emendationem eſt delatus, Var. Lect. I. C. 3. Is igitur putat legendum libri, IV. 185. Ἄκαστος pro ἕκαστος. Atque addit, *credibile eſt ei potiſſimum hoc honoris a Jaſone habitum eſſe.* Scilicet contrectare volebat pellem Acaſtus, at Jaſon ei pellem ex abundanti injecit, aliquo forſitan portandam. Vult præterea Rutgerſius ut credamus φᾶρος & quidem φᾶρος νηγάτεον eſſe κῶας. Nec videt τὸ ἐπὶ τῷ, eſſe, ἐπὶ τῷ κωδίῳ. Hœl.

190. Μηκέτι νῦν χάζεσθε] ἀναχωρεῖτε καὶ μεριμνᾶτε περὶ τῆς εἰς τὴν πατρίδα ἀνακομιδῆς. τινὲς δὲ γράφουσι φράζεσθε. Schol.

Ibid. Χάζεσθε, *ſoliciti ſitis.* Carpitur hoc ab H. Stephano: ſed indoctè. Non enim adeo vilis eſt habenda Heſychii auctoritas, qui κεκαδὼν exponit φροντίσας. Nec multum prodeſt Stephano quòd à κήδω etiam cadere potuit illud κεκαδὼν, quia themata ſunt συγγενῆ. Eſt enim ἄχος, ἀχάζω, χάζω, ἐχάδον (unde χαδὼν Homericum) et Ἰωνικώτερον, κάδω, ἔκαδον, κάδω κήδω. Hinc evenit ut in Etymolog. κεκαδησόμεσθα Il. θ'. referretur ad χάζω. Atque huic fir-

Ἤδη γὰρ χρειώ, τῆς εἵνεκα τήνδ' ἀλεγεινὴν
Ναυτιλίην ἔτλημεν ὀϊζύϊ μοχθίζοντες,
Εὐπαλέως κούρης ὑπὸ δήνεσι κεκράανται.
Τὴν μὲν ἐγὼν ἐθέλουσαν ἀνάξομαι οἴκαδ' ἄκοιτιν
Κουριδίην· ἀτὰρ ὔμμες, Ἀχαιΐδος οἷά τε πάσης
Αὐτῶν θ' ὑμείων ἐσθλὴν ἐπαρωγὸν ἐοῦσαν,
Σώετε· δὴ γάρ που μάλ' ὀΐομαι εἶσιν ἐρύξων
Αἰήτης ὁμάδῳ Πόντον δ' ἴμεν ἐκ ποταμοῖο.
Ἄλλοι μὲν διὰ νηὸς ἀμοιβαδὶς ἀνέρος ἀνὴρ
Ἑζόμενος πηδοῖσιν ἐρέσσετε· τοὶ δὲ βοείας
Ἀσπίδας ἡμίσεες δηΐων θοὸν ἔχμα βολάων
Προχόμενοι, νόστῳ ἐπαμύνετε· νῦν δ' ἐνὶ χερσὶ

Jam enim negotium cujus causâ molestam hanc
Navigationem sustinuimus ærumnis afflicti,
Facilè puellæ astutiâ ad finem perductum est.
Hanc sanè ego volentem domum ducam uxorem
Puellarem; at vos eam tanquam totius Achaiæ
Vestrûmque ipsorum bonam existentem adjutricem
Servate: valde enim suspicor quòd jam aderit Æeta
Cum copiis cœtum cohibiturus ab ingrediendo Pontum ex flumine.
Alii quidem per navem alternè, viro vir
Assidens, remis remigate; alii verò bovina
Scuta dimidiati hostilium velox munimen ictuum,
Protendentes, reditum propugnate: nunc enim in manibus

mando eorum est utilis opinio, qui hìc putârunt legi oportere, φράζεσθε. Ignorato siquidem verbo asseruerunt verbi sensum: qui etiam ratione defendi potest. Nam qui solicitus est et dubius, cedit, et contra qui periculo cedit, de ejus eventu dubitat; ac sapienter copulantur à poetarum principe, φράζεο καὶ χάζεο. Il. ί. Hœl.

191. Ἤδη γὰρ χρειώ] ἡ γὰρ χρεία, φησὶν, ἧς χάριν τοῦτον τὸν πλοῦν ὑπέστημεν τὸ χαλεπὸν, εὐκόλως ταῖς βουλαῖς τῆς κόρης τετέλεσται. Schol.

200. Ἑζόμενος πηδοῖσιν] τοῖς πλάτεσι τῶν κωπῶν. δι' οὗ δηλοῖ τὰς κώπας ἀπὸ μέρους. πηδὸν γὰρ καλεῖται τὸ πλατὺ τῆς κώπης. Θεόφραστος δὲ, εἶδος ξύλου, τὸ πηδόν. Schol.

201. Ἡμίσεες] οἱ δὲ ἡμίσεις ὁπλισθέντες, ἀμύνεσθε τοὺς ἐπιόντας. Θοόν. ἀντὶ τοῦ θοῶς. ὄνομα ἀντὶ ἐπιρρήματος. Ἔχμα δὲ βολάων εἴρηκε τὰς ἀσπίδας. ὄχμα γὰρ τὸ κώλυμα. Schol.

Παῖδας

Παῖδας ἑοὺς, πάτρην τε φίλην, γεραρούς τε τοκῆας
Ἴσχομεν· ἡμετέρῃ δ' ἐπερείδεται Ἑλλὰς ἐφορμῇ,
Ἠὲ κατηφείην ἢ καὶ μέγα κῦδος ἀρέσθαι.
Ὣς φάτο· δῦνε δὲ τεύχε' ἀρήϊα· τοὶ δ' ἰάχησαν
Θεσπέσιον μεμαῶτες· ὁ δὲ ξίφος ἐκ κολεοῖο
Σπασσάμενος, πρυμναῖα νεὼς ἀπὸ πείσματ' ἔκοψεν.
Ἄγχι δὲ παρθενικῆς κεκορυθμένος ἰθυντῆρι
Ἀγκαίῳ παρέβασκεν· ἐπείγετο δ' εἰρεσίῃ νηῦς,
Σπερχομένων ἄμοτον ποταμοῦ ἄφαρ ἐκτὸς ἐλάσσαι.
Ἤδη δ' Αἰήτῃ ὑπερήνορι πᾶσί τε Κόλχοις
Μηδείης περίπυστος ἔρως καὶ ἔργ' ἐτέτυκτο.
Ἐς δ' ἀγορὴν ἀγέροντ' ἐνὶ τεύχεσιν· ὅσσα τε πόντου
Κύματα χειμερίοιο κορύσσεται ἐξ ἀνέμοιο,
Ἢ ὅσα φύλλα χαμᾶζε περικλαδέος πέσεν ὕλης

Liberos nostros, dilectam patriam, honoratosque parentes
Tenemus: nostro insuper innititur Græcia impetu,
Ut aut infamiam aut gloriam immensam reportet.
His dictis, induit arma bellica: illi fremuerunt
Valdè incensi: ipse verò, è vaginâ ense
Districto, retinacula navis puppi resecuit.
Tum propè virginem armatus gubernatori
Ancæo assedit: inurgebatur autem remigatione navis,
Indesinenter festinantibus iis ocius eam agere extra fluvium.
Jamque Æetæ superbo et omnibus Colchis
Medeæ omnino cognitus amor et facinora erant.
Ad concionem autem congregabantur in armis, et quotquot ponti
Fluctus hiberno attolluntur vento,
Vel quotquot folia in humum ramosæ decidunt sylvæ

207. — ὁ δὲ ξίφος ἐκ κολεοῖο, &c.
— vaginaque eripit ensem
Fulmineum, strictoque ferit retinacula ferro.
Æn. IV. 580.

213. Περίπυστος] ὁ περιβόητος. Schol.

214. Ἐς δ' ἀγορὴν ἀγέροντ'] συναθροίζοντο πρὸς μάχην. Καί φησιν, ὅτι ὅσα χειμῶνος τὰ κύματα τῆς θαλάσσης πεπλήρωται, οὕτως ἦν τὸ πλῆθος τῶν ὁπλισθέντων Κόλχων. Schol.

Φυλλοχόῳ

φυλλοχόῳ ἐνὶ μηνί· τίς ἂν τάδε τεκμήραιτο;
Ὣς οἱ ἀπειρέσιοι ποταμοῦ παρεμέτρεον ὄχθας,
Κλαγγῇ μαιμώοντες. Ὁ δ' εὐτύκτῳ ἐνὶ δίφρῳ
Αἰήτης ἵπποισι μετέπρεπεν, οὕς οἱ ὄπασσεν
Ἠέλιος, πνοιῇσιν ἐειδομένους ἀνέμοιο·
Σκαιῇ μέν ῥ' ἐνὶ χειρὶ σάκος δινωτὸν ἀείρων,
Τῇ δ' ἑτέρῃ πεύκην περιμήκεα· πὰρ δέ οἱ ἔγχος
Ἀντικρὺ τετάνυστο πελώριον· ἡνία δ' ἵππων
Γέντο χεροῖν Ἄψυρτος. Ὑπεκπρὸ δὲ πόντον ἔταμνε
Νηῦς, ἤδη κρατεροῖσιν ἐπειγομένη ἐρέτῃσιν,
Καὶ μεγάλου ποταμοῖο καταβλώσκοντι ῥεέθρῳ.
Αὐτὰρ ἄναξ ἄτῃ πολυπήμονι χεῖρας ἀείρας

Menſe foliorum tonſore; horum verò quis numerum conjiciendo ſupputet?
Sic ſane hi innumeri fluvii prænavigârunt ripas
Cum clangore et impetu ruentes: ipſe verò in fabrè compacto curru
Æeta equis præcellebat quos ei dederat
Sol flatibus ſimiles venti:
Lævâ quidem manu verſatile ſcutum tenens,
Alterâ verò prælongam ex piceâ facem; juxtáque ipſum hasta
Omnino extenſa erat immenſa: habenas equorum
Manibus tenebat Abſyrtus. Longè autem pontum proſindebat
Navis jam fortibus impulſa remigibus,
Magnique fluvii præcipiti impetu.
At rex, præ ærumnoſâ calamitate ſublatis manibus,

218. Παρεμέτρεον] παρέπλεον. Schol.

223. Πεύκην περιμήκεα] τὴν λαμπάδα· ὡς ἐμπρήσων τὴν ναῦν. ὁ μὲν Ἀπολλώνιος ἄπρακτον ἀναχωρῆσαι φησὶ τὸν Αἰήτην σὺν ὀχήματι, ἡνιοχοῦντος Ἀψύρτου· Διονύσιος δὲ ὁ Μιλήσιος φησὶν ὅτι καταλαβὼν τὴν ναῦν ὁ Αἰήτης, παραταξαμένων τῶν ἀρίστων, Ἶφιν ἀνεῖλεν Εὐρυσθέως ἀδελφὸν, καὶ αὐτὸς πολλοὺς ἀπέβαλε. Φερεκύδης δὲ ἐν ἑβδόμῳ, τὴν Μήδειαν φησὶν ἆραι τὸν Ἄψυρτον ἐκ τῆς κοίτης, Ἰάσονος εἰπόντος αὐτῇ, καὶ συνεγκεῖν πρὸς τοὺς Ἀργοναύτας. ἐπεὶ δὲ ἐδιώχθησαν, σφάξαι, καὶ μελίσαντας ἐκβαλεῖν εἰς τὸν ποταμόν. ἐν δὲ τοῖς Σκύθαις ὁ Σοφοκλῆς ἑτερομήτορα τῆς Μηδείας τὸν Ἄψυρτον λέγει. "οὐ γὰρ ἐκ μιᾶς κοίτης ἔβλαστον· ἀλλ' ὁ μὲν Νηρηΐδος τέκνον ἄρτι βλαστάνισκε, τὴν δ' Εἰδυῖα πρίν ποτ' ὠκεανοῦ κόρη τίκτεν." Schol.

226. Νηῦς, ἤδη κρατεροῖσιν] ἡ ναῦς, φησὶν, βιαίᾳ ὁρμῇ τὸν πλοῦν ἤνυεν, τῇ τε τῶν ἐρετῶν δυνάμει βιαζομένη, καὶ τῷ τοῦ ποταμοῦ καθέλκοντι καὶ καταφόρῳ ῥεύματι. Schol.

228. Αὐτὰρ ἄναξ] ὁ δὲ Αἰήτης, φησὶν,

Ἠέλιον

Ἠέλιον καὶ Ζῆνα κακῶν ἐπιμάρτυρας ἔργων
Κέκλετο· δεινὰ δὲ παντὶ παρασχεδὸν ἤπυε λαῷ,
Εἰ μή οἱ κούρην αὐτάγρετον, ἢ ἀνὰ γαῖαν
Ἢ πλωτῆς εὑρόντες ἔτ' εἰν ἁλὸς οἴδματι νῆα,
Ἄξουσι, καὶ θυμὸν ἐπιπλήσει μενεαίνων
Τίσασθαι τάδε πάντα, δαήσονται κεφαλῇσι
Πάντα χόλον, καὶ πᾶσαν ἑὴν ὑποδέγμενοι ἄτην.
Ὣς ἔφατ' Αἰήτης· αὐτῷ δ' ἐνὶ ἤματι Κόλχοι
Νῆάς τ' εἰρύσαντο καὶ ἄρμενα νηυσὶ βάλοντο·
Αὐτῷ δ' ἤματι πόντον ἀνήιον· οὐδέ κε φαίης
Τόσον νηίτην στόλον ἔμμεναι, ἀλλ' οἰωνῶν
Ἰλαδὸν ἄσπετον ἔθνος ἐπιβρομέειν πελάγεσσιν.

Solem Jovemque atrocium testes facinorum
Invocavit; ac dirissima quæque jam jamque universo denunciavit populo
Nî sibi puellam, ultrò oblatam, vel per terram
Vel navigabilis in maris fluctibus inventâ navi,
Reducerent, (seque animum expleturum cupidine
Ulciscendi hæc omnia) ut experirentur capitibus
Omnem iram, omnemque suam subirent cladem.
Sic dixit Æeta; et eodem die Colchi
Naves deduxerunt, et vela navibus imposuerunt:
Eodemque die ingressi sunt æquor: nec diceres
Tantas navales esse çopias, sed avium
Turmatim innumeram gentem infremere æquoribus.

ἐν πολλοῖς κακοῖς γεγονὼς ... τὸν ἥλιον καὶ τὸν Δία μάρτυρας τῶν πεπραγμένων ἐπεκαλεῖτο. φησὶ δὲ ὁ Ἀπολλώνιος διὰ τούτων, τὸν Αἰήτην ἄπρακτον ὑποστρέψαι. διὰ δὲ τῶν ἑξῆς φησὶ τὸν Ἄψυρτον νέον ὄντα ἡνιοχεύειν παραβεβηκότα τῷ πατρί. Διονύσιος δὲ ὁ Μιλήσιος φησὶν ὅτι Αἰήτης ἐδίωξεν αὐτούς· οἱ δὲ ἀριστεῖς ἠγωνίζοντο ἀκοντίζοντες, οἱ δὲ περὶ τὸν Αἰήτην ἔπεσον. ἔνθα καὶ Ἶφιν τελευτῆσαι τὸν Σθενέλου μὲν υἱὸν, Εὐρυσθέως δὲ ἀδελφόν. καταλαβόντα γὰρ δύο τῶν περὶ Αἰήτην ἱππέων, περικατάληπτον γενέσθαι ὑπὸ τοῦ Αἰήτου περιστάντος αὐτὸν βρόχῳ. ἐν δὲ τοῖς ἑξῆς φησὶν ὡς οἱ Κόλχοι εἰς φυγὴν ἐτράπησαν. Φερεκύδης δὲ ἐν ἑβδόμῳ διαχρησαμένους ἀναβιβάσαι ἐπὶ τὴν ναῦν τὸν Ἄψυρτον, καὶ μελίσαντας, ῥίψαι εἰς τὸν ποταμόν. Σοφοκλῆς δὲ ἐν Κολχίσι φησὶ κατὰ τὸν οἶκον τοῦ Αἰήτου τὸν παῖδα σφαγιάσαι. ἑξῆς δὲ Ἀπολλώνιος τὴν ἀπειλὴν τίθησι τὴν πρὸς τοὺς Κόλχους. Schol.

Οἱ

Οἱ δ', ἀνέμου λαιψηρὰ Θεῆς βουλῆσιν ἀέντος
Ἥρης, ὄφρ' ὤκιστα κακὸν Πελίαο δόμοισιν
Αἰαίη Μήδεια Πελασγίδα γαῖαν ἵκηται,
Ἠοῖ ἐν τριτάτῃ πρυμνήσια νηὸς ἔδησαν
Παφλαγόνων ἀκταῖσι, πάροιθ' Ἅλυος ποταμοῖο.
Ἣ γάρ σφ' ἐξαποβάντας ἀρέσσασθαι θυέεσσιν
Ἠνώγει Ἑκάτην. Καὶ δὴ τὰ μὲν ὅσσα θυηλῇ
Κούρη πορσανέουσα τιτύσκετο, μήτε τις ἴστωρ
Εἴη, μήτ' ἐμὲ θυμὸς ἐποτρύνειεν ἀείδειν.
Ἅζομαι αὐδῆσαι· τό γε μὴν ἕδος ἐξέτι κείνου
Ὅρρα Θεᾷ ἥρωες ἐπὶ ῥηγμῖσιν ἔδειμαν,
Ἀνδράσιν ὀψιγόνοισι μένει καὶ τῆμος ἰδέσθαι.
Αὐτίκα δ' Αἰσονίδης ἐμνήσατο, σὺν δὲ καὶ ὧλλοι
Ἥρωες, Φινῆος, ὃ δὴ πλόον ἄλλον ἔειπεν
Ἐξ Αἴης ἔσσεσθαι· ἀνώϊστος δὲ τέτυκτο

Illi verò, celeriter Junonis consiliis afflante
Vento, ut citissimè Peliæ exitio ædibus,
Æsæa Medea Pelasgicam terram attingeret,
Tertiâ Aurorâ retinacula navis alligârunt
Paphlagonum litoribus, ante Halyn fluvium.
Hæc enim ut egressi placarent sacris
Hecaten, jubebat: quotquot verò sacris
Virgo parans destinavit, nemo hæc
Sciat, nec me animus impulerit canere.
Religio est effari. Templum tamen ex illo usque
Quod Deæ heroes in litoribus extruxerunt,
Viris posteris manet in hodiernum visu.
Statim autem Æsonides recordatus est, nec non cæteri
Heroes, Phinei, qui alium cursum dixerat
Ex Æâ fore: incognitus tamen erat

247. Καὶ δὴ τὰ μὲν ὅσσα θυηλῇ] ἐν τούτῳ βούλεται δηλῶσαι ὅτι τοιαύτην θυσίαν ἐβούλετο τελέσαι, ὁποίαν αἱ φαρμακίδες εἰώθασι. Νύμφις δὲ ἐν τῷ ἕκτῳ περὶ Ἡρακλείας, Ἑρμήτης φησὶν ἱερὸν εἶναι ἐν τῇ Παφλαγονίᾳ, Μηδείας ἱδρυσαμένης. κατὰ δὲ τὴν ἀποσιώπησιν ἐμφάσει κέχρηται, τὴν ταῖς φαρμακίσι πλασμένην θυσίαν μὴ ἐπεξεργάζεσθαι. Schol.

Πᾶσιν

Πᾶσιν ὁμῶς· Ἄργος δὲ λιλαιομένοις ἀγόρευσε·
Νεύμεθ' ἐς Ὀρχομενὸν, τὴν ἔχραεν ὔμμι περῆσαι
Νημερτὴς ὅδε μάντις, ὅτῳ ξυνέβητε πάροιθεν.
Ἔστι γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες
Πέφραδον, οἳ Θήβης Τριτωνίδος ἐκγεγάασιν.
Οὔπω τείρεα πάντα τά τ' οὐρανῷ εἱλίσσονται,
Οὐδέ τι πω Δαναῶν ἱερὸν γένος ἦεν ἀκοῦσαι

Omnibus æquè; sed Argus desiderantibus inquit,
Redibimus Orchomenum eâ viâ quam vaticinatus est vobis transeundam
Veridicus ille vates in quem incidistis antea.
Est enim alius cursus quem deorum sacerdotes
Monstrârunt; qui Thebâ Tritoniâ orti sunt.
Nondum omnia quæ in cœlo volvuntur astra
Neque adhuc Danaorum sacrum genus licebat audire

257 Νεισόμεθ' Ὀρχομενὸν] Διὰ τούτων φησὶν ὁ Ἄργος ἀληθῆ αὐτοῖς εἰρῆσθαι ὑπὸ Φινέως. εἶναι γὰρ πλοῦν ἕτερον ἔξω φέροντα, ὃν Αἰγύπτιοι ἱερεῖς ἐσημειώσαντο. ἐγίνωσκε γὰρ τὰ μέρη ἐκεῖνα ὁ Ἄργος. διό φησιν, ὄντως δὴ τῇ ἐσχάτῃ ὁδῷ κεχρημένοι, ἣ καὶ ἡμᾶς εἰς Ὀρχομενὸν ἐπορευόμεθα, πορεύεσθε. Schol.

Ibid. Νεύμεθ'. Sic in Florentino: in Gallicano νεισόμεθ', ut ipse legit Scholiastes.

259 Ἔστι γὰρ πλόος ἄλλος] Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις φησὶ διὰ τῆς αὐτῆς θαλάσσης ἐπανελθεῖν δι' ἧς καὶ ἐπορεύθησαν εἰς Κόλχους. Ἑκαταῖος δὲ ὁ Μιλήσιος, ἐκ τοῦ Φάσιδος διελθεῖν εἰς τὸν ὠκεανὸν, εἶτα ἐκεῖθεν εἰς τὸν Νεῖλον. ὅθεν εἰς τὴν ἡμετέραν θάλασσαν. τοῦτο δὲ ὁ Ἐφέσιος Ἀρτεμίδωρος ψεῦδος φησὶν εἶναι. τὸν γὰρ Φᾶσιν μὴ συμβάλλειν τῷ ὠκεανῷ, ἀλλ' ἐξ ὀρέων καταφέρεσθαι. τὸ αὐτὸ καὶ Ἐρατοσθένης ἐν γ γεωγραφικῶν φησίν. Τιμάγητος δὲ ἐν α' περὶ λιμένων, τὸν Ἴστρον φησὶ καταφέρεσθαι ἐκ τῶν Κελτικῶν ὀρῶν· εἶτα ἐκδιδόναι ἐς Κελτικὴν λίμνην· μετὰ δὲ ταύτην εἰς δύο σχίζεσθαι τὸ ὕδωρ, καὶ τὸ μὲν εἰς τὸν Εὔξεινον πόντον ἐσβάλλειν, τὸ δὲ εἰς τὴν Κελτικὴν θάλασσαν. διὰ δὲ τούτου τοῦ στόματος πλεῦσαι τοὺς Ἀργοναύτας, καὶ ἐλθεῖν εἰς Τυρρηνίαν. κατηκολούθησε δὲ αὐτῷ καὶ Ἀπολλώνιος. Ἡσίοδος δὲ, καὶ Πίνδαρος ἐν Πυθιονίκαις, καὶ Ἀντίμαχος ἐν Λυδῇ, διὰ τοῦ ὠκεανοῦ φασὶν ἐλθεῖν αὐτοὺς εἰς Λιβύην, καὶ βαστάσαντας τὴν Ἀργὼ, εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι. Schol.

Ibid. Ἔστι γὰρ πλόος ἄλλος. Scribit Scholiastes Apollonium hìc sequi Timagetum, qui statuit alterum Istri ῥεῖθρον exonerari in mare Celticum: quod apertè falsum est, quoniam nautæ ab Apollonio in mare quidem Celticum ducuntur, sed per Eridanum & Rhodanum, idque præter votum Argi, IV. 552. & seq. Neque enim Celticum mare vocari continuo credam sinum Adriæ, si qui cum Celtæ accolant. Hœl.

262 Οὐδέ τι πω Δαναῶν] τοὺς Αἰγυπτίους παλαιοτάτους εἶναι φησὶν, Ἡρόδοτος δὲ Φρύγας. Κόσμης δὲ ἐν πρώτῳ Αἰγυπτιακῶν, καὶ Λέων ἐν πρώτῳ τῶν πρὸς τὴν

Πευθομένοις· οἶοι δ' ἔσαν Ἀρκάδες Ἀπιδανῆες,
Ἀρκάδες, οἳ καὶ πρόσθε σεληναίης ὑδέονται
Ζώειν φηγὸν ἔδοντες ἐν οὔρεσιν· οὐδὲ Πελασγὶς
Χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο Δευκαλίδῃσιν

Sciſcitantibus; ſed ſoli ex Apidanenſibus exiſtebant
Arcades, qui etiam ante lunam feruntur
Vixiſſe glande comeſâ in montibus; nec Pelaſgica
Terra glorioſis tunc regnabatur Deucalidis;

μητέρα, καὶ Κνωσσὸς ἐν α' γεωγραφικῶν τῆς Ἀσίας, πάντων ἀρχαιοτάτους Αἰγυπτίους φασί· καὶ ἐν Αἰγύπτῳ πρώτην κτισθῆναι πόλιν Θήβας. καὶ Νικάνωρ δὲ τούτοις συμφωνεῖ, καὶ Ἀρχέμαχος ἐν ταῖς μετωνυμίαις, καὶ Ξεναγόρας ἐν πρώτῳ χρόνων. καὶ Ἵππυς δὲ τοὺς Αἰγυπτίους ἀρχαιοτάτους γεγονέναι λέγει, καὶ πρώτους σταχάσασθαι τῆς τοῦ ἀέρος κράσεως· καὶ γονιμώτατον εἶναι τὸ τοῦ Νείλου ὕδωρ. γεγονέναι δὲ αὐτοὺς φησὶν ὁ Ἀπολλώνιος πρὸ τοῦ πάντα τὰ ἄστρα φανῆναι· καθὸ τήν τε φύσιν κατανοῆσαι αὐτῶν δοκοῦσι καὶ τὰ ὀνόματα θεῖναι. καὶ τὰ μὲν δώδεκα ζώδια, θεοὺς βουλαίους προσηγόρευσαν· τοὺς δὲ πλανήτας, ῥαβδοφόρους. Ἡρόδοτος δέ φησι Φρύγας πρώτους γεγενῆσθαι. Ψαμμίτιχον γὰρ τὸν Αἰγυπτίων βασιλέα, βουλόμενον διαγνῶναι τίνες τῶν ἀνθρώπων πρεσβύτεροι, παραδοῦναι ποιμένι δύο βρέφη· κελεύσαντα μηδένα μηδὲν αὐτοῖς φθέγγεσθαι, μόνον δὲ αὐτοῖς αἰγὸς θηλὴν διδόναι. οἱ δὲ, δύο ἐτῶν διελθόντων, πρώτην φωνὴν ἀφῆκαν τὸ βέκ. οὕτω δὲ λέγεται παρὰ Φρυξὶν ὁ ἄρτος. ἐγνώσθησαν οὖν ἀπὸ τούτου οἱ Φρύγες γενναιότεροι. οἱ δέ φασιν ὅτι εὔηθές ἐστιν ὑπολαμβάνειν τοῦτο. ἀκούοντες γὰρ οἱ παῖδες βληχωμένων τῶν προβάτων, ὡς ἂν ὑπὸ τῆς φύσεως ἐνεργούμενοι, πρὸς τὸ ἔναρθρον τὴν φωνὴν ἀπέστρεψαν. Schol.

263 Οἶοι δ' ἔσαν Ἀρκάδες] μόνοι δὲ ἦσαν Ἀρκάδες, φησὶν, τῶν Ἑλλήνων ἀρχαιότεροι. Ἀπιδανήων δὲ, τῶν Πελοποννησίων, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως. Schol.

Ibid. Ἀπιδανῆες. Legiſſe videtur Scholiaſtes Ἀπιδανήων.

264. Ἀρκάδες, οἳ καὶ πρόσθε] οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι, ὡς καὶ Εὔδοξος ἐν τῇ περιόδῳ. Θεόδωρος δὲ ἐν εἰκοστῷ ἐνάτῳ, ὀλίγῳ πρότερον φησὶ τοῦ πρὸς τοὺς γίγαντας πολέμου Ἡρακλέους, τὴν σελήνην φανῆναι. καὶ Ἀρίστων ὁ Χῖος ἐν ταῖς θέσεσι, καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν πρώτῳ κτίσεως τὰ αὐτά φασι· καὶ ἔθνος δὲ Ἀρκαδίας Σεληνίτας εἶναι. Μνασέας δέ φησι πρὸ σελήνης Ἀρκάδας βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησὶν ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν Ἀρκάδων ἐπιθεμένων αὐτοῖς, πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην. διὸ καὶ ὠνομάσθησαν προσέληνοι. Δοῦρις δὲ ἐν πέμπτῳ καὶ δεκάτῳ τῶν Μακεδονικῶν Ἀρκάδα φησὶν, ἀφ' οὗ ἡ Ἀρκαδία καλεῖται, Ὀρχομενὸν υἱόν. διὸ καὶ πόλιν τῆς Ἀρκαδίας Ὀρχομενόν. τινὲς δέ φασιν Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους καὶ τοὺς ἀριθμοὺς τῆς σελήνης. ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι. Ἀρκὰς γὰρ ὁ Ἐνδυμίων. ἔνιοι δὲ ὑπὸ τοῦ Τυφῶνος. ὑπὸ δὲ Ἄτλαντος, Ξεναγόρας εἴρηκεν. Schol.

Ibid. ἐν ταῖς ΘΕΣΕΣΙ. J. Rutgerſius in var. lect. L. IV. C. 18. legit ἐν ταῖς ΚΤΙΣΕΣΙ. Scripſit etiam Ariſto Chius de coloniis. Conſule etiam Voſſium de Græcis hiſtoricis. L. II. C. 4. Upt.

266. Ἀνάσσετο Δευκαλίδῃσιν] οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος

Ημος

Ἠμος ἔτ' ἠερίη πολυλήϊος ἐκλήϊςο
Μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν·
Καὶ ποταμὸς Τρίτων καλλίῤῥοος, ᾧ ὑπὸ πᾶσα
Ἄρδεται ἠερίη· Διόθεν δέ μιν οὔποτε δεύει
Ὄμβρος ἅλις, προχοαῖσι δ' ἀνασταχύουσιν ἄρουραι.
Ἔνθεν δή τινά φασι πέριξ διὰ πᾶσαν ὁδεῦσαι

Quando adhuc nigra frumentaria celebraretur
Mater Ægyptus priorum hominum;
Et fluvius Triton pulchrifluus, à quo tota
Rigatur nigra: à Jove autem nunquam pluit
Largus imber, sed inundationibus frugem submittunt arva.
Inde aliquem perhibent circumcirca totam obiisse

δος. ἡ Θεσσαλία δὲ Πελασγία ἐκαλεῖτο, ἀπὸ Πελασγοῦ τοῦ βασιλεύσαντος. Schol.

269. Καὶ ποταμὸς Τρίτων] περὶ τῆς τοῦ Νείλου ἀναδόσεως διάφοροι αἰτίαι παρὰ τοῖς παλαιοῖς ἐλέγοντο. Ἀναξαγόρας μὲν γάρ φησι διὰ τὴν τῆξιν τῆς χιόνος πληθύειν αὐτόν. ᾧ ἕπεται καὶ Εὐριπίδης, λέγων, "ἀλουμένη δὲ καλλιπάρθενος ῥοὴ λευκῆς τακείσης χιόνος ὑγραίνει γύην." καὶ Αἰσχύλος δὲ καὶ Σοφοκλῆς ὑπέλαβον τοὺς κατ' Αἴγυπτον χιονίζεσθαι τόπους, καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν Νεῖλον ἐκδιδόναι. Νικαγόρας δέ φησιν ἀπὸ τῶν ἀντοίκων αὐτὸν ῥεῖν. Δημόκριτος δὲ ὁ φυσικὸς, ἀπὸ τοῦ κατὰ μεσημβρίαν ὑπερκειμένου πελάγους λαμβάνειν τὸν Νεῖλον τὴν ἐπίχυσιν· ἀπογλυκαίνεσθαι δὲ τὸ ὕδωρ, διὰ τὸ διάστημα καὶ τὸ μῆκος τοῦ πόρου, καὶ ὑπὸ τοῦ καύματος ἀφεψόμενον· δι' ὃ καὶ ἐναντίαν, φησὶν, ἔχει τὴν γεῦσιν. Ἀρίστων δὲ ὁ Χῖος, ὅτι χειμῶνος ὢν ὑπὸ γῆν ὁ ἥλιος ἀναπέμπει τὸ ὕδωρ· τοῦ δὲ θέρους γινόμενος ὑπὲρ γῆν, οὐκ ἔτι, διὰ τὸ μᾶλλον θερμαίνεσθαι αὐτήν. διὸ καὶ χαλωμένη ἡ γῆ πλεῖον ὕδωρ ἀναδίδωσιν. Ἔφορος δὲ ποταμόχωστον εἶναί φησι τὴν Αἴγυπτον. ῥηγνυμένης δὲ τῆς γῆς ὑπὸ τοῦ ἡλίου τῷ ἔαρι ἀναπηδᾶν τὸ ὕδωρ, καὶ ἐπαύξεσθαι τὸ ῥεῦμα. Θαλῆς δὲ ὁ Μιλήσιος φησὶν ὑπὸ τῶν ἐτησίων συνελαυνόμενα τὰ νέφη κατὰ τὰ ὄρη τῆς Αἰθιοπίας, αὐτόθι ῥήγνυσθαι. ὅταν γὰρ τοῦ ποταμοῦ ἐξεναντίας συστῶσιν αἱ πνοαὶ προσαντίπτουσαι τῇ θαλάσσῃ ἐκ τῆς ἀντιπεμπομένης πλήμμυρης, τὰς ὑπερχύσεις ἀναδέχεσθαι τὸν Νεῖλον. Διογένης δὲ Ἀπολλωνιάτης, ὑπὸ ἡλίου ἁρπάζεσθαι τὸ ὕδωρ τῆς θαλάσσης, ὃ τότε εἰς τὸν Νεῖλον καταφέρεσθαι. οἴεται γὰρ πληροῦσθαι τὸν Νεῖλον ἐν τῷ θέρει διὰ τὸ τὸν ἥλιον εἰς τοῦτον τὰς ὑπὸ γῆς ἰκμάδας τρέπειν. ὁ δὲ Νεῖλος οὕτω τὸ πρότερον ἐκαλεῖτο, Τρίτων· μετωνομάσθη δὲ ἀπὸ Νείλου τοῦ Κύκλωπος, τοῦ Ταντάλου, βασιλεύσαντος τῆς χώρας, ὡς Ἕρμιππος φησίν. Schol.

271. Ὄμβρος ἅλις] ἀμφιβολία περὶ τὴν σύνταξιν. σημαίνει γὰρ ἤτοι ἅλις ἀνασταχύουσιν, ἢ ὅτι οὐ δεύει ὄμβρος ἅλις. ἐπεὶ οὐ βρέχει συνεχῶς κατ' Αἴγυπτον. Schol.

272. Ἔνθεν δή τινα] Σεσόγχωσις Αἰγύπτου πάσης βασιλεὺς, μετὰ Ὧρον τὸν Ἴσιδος καὶ Ὀσίριδος παῖδα, τὴν μὲν Ἀσίαν ὁρμήσας πᾶσαν κατεστρέψατο, ὁμοίως καὶ τὰ πλεῖστα τῆς Εὐρώπης. ἀκριβέστερον δέ ἐστι τὰ περὶ αὐτοῦ παρὰ Ἡροδότῳ. Θεόπομπος δὲ ἐν τρίτῳ Σέσωστριν αὐτὸν καλεῖ. Ἡρόδοτος δὲ προστίθησιν ὅτι, ἃ μὲν τινας πολέμῳ κατέστρεψεν, στήλας ἐτίθει πᾶς

Εὐρώπην Ἀσίην τε, βίῃ καὶ κάρτεϊ λαῶν
Σφωϊτέρων θάρσει τε πεποιθότα· μυρία δ' ἄστη
Νάσσατ' ἐποιχόμενος, τὰ μὲν ἤ ποθι ναιετάουσιν
Ἠὲ καὶ οὔ· πουλὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών.
Αἶα γε μὴν ἔτι νῦν μένει ἔμπεδον, υἱωνοί τε
Τῶνδ' ἀνδρῶν, οὓς ὅγε καθίσσατο ναιέμεν Αἶαν.
Οἳ δή τοι γράπτυς πατέρων ἕθεν εἰρύονται

Europam et Asiam, vi et robore militum
Suorum et fortitudine confisum: is perplurimas urbes
Subegit invasas, quæ aut incoluntur alicubi,
Aut minus: satis enim longa interfuit annorum series.
Æa tamen in hodiernum manet firma, nepotesque
Virorum illorum quos ille collocavit habitandum Æam.
Illi sane scriptas patrum suorum servant

ἐκτίκασιν. οἱ δὲ περιχώρων, γυναικεῖον ταῖς στήλαις αἰδοῖον προσετίθει, σύμβολον τῆς μαλακίας. περὶ δὲ τῶν χρόνων καθ' οὓς ἐγένετο Σεσόγχωσις, ὁ μὲν Ἀπολλώνιος τοῦτο μόνον φησὶ, "πολὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών." φησὶ δὲ Δικαίαρχος ἐν δευτέρῳ, καὶ Ἑλληνικοῦ βίου Σεσογχώσιδι μεμελημέναι· καὶ νόμους αὐτὸν θέσθαι λέγει, ὥστε μηδένα καταλιπεῖν τὴν πατρῴαν τέχνην. τοῦτο γὰρ ᾤετο ἀρχὴν εἶναι πλεονεξίας. καὶ πρῶτον φασὶν αὐτὸν εὑρηκέναι ἵππον ἄνθρωπον ἐπιβαίνειν. οἱ δὲ ταῦτα εἰς Ὦρον ἀναφέρουσιν. Schol.

Ibid. Τινὰ] Σεσόγχωσιν, Schol. Σέσωστριν Aristot. Polit. VII. 10. ubi etiam de Ægyptiorum antiquitate, οὗτοι ἀρχαιότατοι δοκοῦσιν εἶναι· Σεσόωσιν. Diod. Siculus, qui multa de eo commemorat lib. I. Cur verò regis istius nomen tacitè habuit Apollonius? Quia priscum Europæ populatorem oderit; vel quòd hæc diligentia historicos magis deceat: vel quia nomen est barbarius et ἀμετρότερον. Hœl.

276. Ἠὲ καὶ οὔ] ἢ γὰρ ἐκλελοίπασι τινὲς τῶν πόλεων, ἢ μετονομασθεῖσαι ἀγνοοῦνται ὑφ' οὗ τυγχάνουσιν ἐκτισμέναι. τούτου δὲ τὸν χρόνον αἴτιον γεγονέναι. Δικαίαρχος ἐν δευτέρῳ, μετὰ τὸν Ἴσιδος καὶ Ὀσίριδος Ὦρον, βασιλέα γεγονέναι Σεσόγχωσιν λέγει. ὥστε γίγνεσθαι ἀπὸ τῆς Σεσογχώσιδος βασιλείας μέχρι τῆς Νείλου ἔτη δισχίλια φ. ἀπὸ δὲ τῆς Νείλου βασιλείας μέχρι τῆς πρώτης Ὀλυμπιάδος, ἔτη υλς. εἶναι τὰ πάντα ὁμοῦ ἔτη δισχίλια ἐνακόσια, λς. Schol.

277. Αἶα γε μὴν] τὴν Αἶαν φησὶν ἀπὸ τῶν Σεσογχώσιδος χρόνων μέχρις αὐτοῦ μένειν ἄθραυστον. καὶ τοὺς ἐκείνων ἀπογόνους τοὺς ἀπὸ Σεσογχώσιδος κατοικισθέντας. τούτους γὰρ υἱωνοὺς εἴρηκε καταχρηστικῶς. ὡς Ἡρακλεῖδαι λέγονται οὐ μόνον οἱ Ἡρακλέους παῖδες, ἀλλὰ καὶ οἱ ἐκείνων ἀπόγονοι. ὅτι δὲ Κόλχοι Αἰγυπτίων ἄποικοι, ὥς φησιν Ἀπολλώνιος, καὶ Σκύμνος ἐν τοῖς περὶ Ἀσίας λέγει· καὶ Ἡρόδοτος βεβαιοῖ, ὅσγε καὶ αὐτῶν τῶν αἰδοίων τῆς περιτομῆς μέμνηται, καὶ τῆς τῶν λίνων ὑφῆς, καὶ νόμοις αὐτοὺς χρῆσθαι τοῖς Αἰγυπτίων λέγει. Schol.

278. Ὄγε. An non potius ὅσγε.

279. Οἳ δή τοι γράπτυς] γράπτυς τοὺς

Κύρβιας,

Κύρβιας, οἷς ἐνὶ πᾶσαι ὁδοὶ καὶ πείρατ' ἔασιν
Ὑγρῆς τε τραφερῆς τε πέριξ ἐπινισσομένοισιν.
Ἔστι δέ τις ποταμὸς, ὕπατον κέρας ὠκεανοῖο,
Εὐρύς τε προβαθύς τε καὶ ὁλκάδι νηὶ περῆσαι.
Ἴστρον μιν καλέοντες ἑκὰς διετεκμήραντο

Tabulas, in quibus omnes viæ et limites
Maris terræque ſunt circumquaque profecturis.
Eſt autem fluvius quidam, ultimum cornu oceani,
Latus et profundus, ut vel onerariâ navi trajiciatur.
Iſtrum eum dixerunt, et longè affluere conjecerunt :

νόμους λέγει. εἰσὶ δὲ, φησὶ, καὶ νόμοι παρ' αὐτοῖς τῶν προγόνων, καὶ στῆλαι, ἐν αἷς γῆς καὶ θαλάσσης ἀναγραφαί εἰσι. Schol.

280. Κύρβιας] στήλας. λέγει δὲ τοὺς ἄξονας ἐν οἷς οἱ νόμοι γράφονται. ὡς Ἀριστοφάνης ὁ κωμικός. Ἀπολλόδωρος δέ φησι πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους, κύρβεις καλεῖσθαι· ὅτι οἱ ἀρχαῖοι λίθους ἱστῶντες εἰώθεισαν τὰ δόξαντα ἐν αὐτοῖς ἀναγράφειν. κύρβεις, οἱονεὶ κορύφεις, κατὰ συγκοπὴν, καὶ μεταθέσει καὶ τροπῇ τοῦ φ εἰς β, κύρβεις. ὕστερον δὲ ξύλα λελευκωμένα γράφοντες, κύρβεις ὁμοίως ἐκάλεσαν καὶ αὐτά. κύρβεις μὲν οὖν, αἱ περιέχουσαι τὰς ἱερὰς ἀναγραφάς. κύρβεις λέγουσιν, ὡς Ἐρατοσθένης φησὶ, καὶ τοὺς ἄξονας καλουμένους Ἀθήνησιν, ἐν οἷς οἱ νόμοι περιέχονται. οἱ δὲ ἀκριβέστεροι, ἄξονας μὲν, τετραγώνους λίθους· κύρβεις δὲ, τριγώνους. ἐν ἀμφοτέροις δὲ νόμοι ἦσαν γεγραμμένοι Ἀθήνησι. Schol.

Ibid. Κύρβιας, *tabulas*. Sed erat hìc ἀρχαϊσμὸν. Scholia in νεφέλας, ἀρχαῖοι λίθους ἱστάντες τὰ δόξαν ἀναγράφοντες, οὓς μὲν ἀπὸ τῆς στάσεως στήλας, κύρβεις δὲ ἀπὸ τῆς εἰς ὕψος ἀναβάσεως ἐκάλεσαν. Ipſe quoque Deus ſcripſit legum ſuarum לחתיאבן tabulas lapideas. Nec tamen κύρβεις dici νόμους ipſe poëtæ ſenſus teſtatur. Reſtat itaque ut ſint hoc loco, quæ πινάκια Æliano dicuntur, l. 3. tabulæ ſcilicet geographicæ, aut columnæ lapideæ, calce oblitæ et ſic pictæ. Hœl.

282. Κέρας] κέρατα γὰρ λέγουσι τοῦ ὠκεανοῦ πάντας τοὺς ποταμοὺς ἀπ' αὐτοῦ καταφερομένους. ὁ δὲ Ἴστρος, ποταμὸς Σκυθίας. ὁ δὲ λόγος. μακρόθεν ὄντα διετεκμήραντο τὸν ποταμὸν, καὶ ἔγνωσαν. Schol.

284. Ἴστρον μιν καλέοντες] τὸν Ἴστρον φησὶν ἐκ τῶν Ὑπερβορέων καταφέρεσθαι, καὶ τῶν Ῥιπαίων ὀρῶν (οὕτω δὲ εἶπεν ἀκολουθῶν Αἰσχύλῳ ἐν λυομένῳ Προμηθεῖ, λέγοντι τοῦτο) φερόμενον δὲ μεταξὺ Σκυθῶν καὶ Θρακῶν, σχίζεσθαι· καὶ τὸ μὲν εἰς τὴν καθ' ἡμᾶς θάλασσαν ἐκβάλλειν ῥεῖθρον· τὸ δὲ, εἰς τὴν Ποντικὴν θάλασσαν ἐκπίπτειν· τὸ δὲ, εἰς τὸν Ἀδριατικὸν κόλπον. Σκύμνος δὲ ἐν τῇ ἐκκαιδεκάτῃ περὶ Εὐρώπης, αὐτὸν μόνον φησὶν ἀπὸ ἐρήμου φέρεσθαι τὸν Ἴστρον. Ῥίπαια δὲ ὄρη ἐν ταῖς ἀνατολαῖς, ὡς Καλλίμαχος. "Ῥιπαίου πέμπουσιν ἀπ' οὔρεος, ἦχι μάλιστα." Ἐρατοσθένης δὲ ἐν τρίτῳ γεωγραφικῶν, ἐξ ἐρήμων τόπων ῥεῖν, περιβάλλειν δὲ νῆσον Πεύκην. οὐδεὶς δὲ ἱστορεῖ διὰ τούτου τοὺς Ἀργοναύτας εἰσπεπλευκέναι εἰς τὴν ἡμετέραν θάλασσαν, ἔξω Τιμαγήτου. ᾧ ἠκολούθησεν Ἀπολλώνιος. ὁ μὲν γὰρ Σκύμνος, αὐτοὺς διὰ Τανάϊδος πεπλευκέναι ἐπὶ τὴν μεγάλην θάλασσαν, ἐκεῖθεν δὲ εἰς τὴν ἡμετέραν θάλασσαν ἐληλυθέναι. καὶ παρεκβολεύεται, ὡς ἄρα ἐλθόντες ἐπὶ τὴν ἤπειρον οἱ Ἀργο-

Ὃς

Ὅς δή τοι τείως μὲν ἀπείρονα τέμνετ' ἄρουραν 285
Εἷς οἶος (πηγαὶ γὰρ ὑπὲρ πνοιῆς Βορέαο

Qui fane interim immenfam fecat terram 285
Unus folufque (fontes enim ultrà Aquilonis flatus

ναῦται ἐπὶ σταυρωτήρων ἀνόμισαν τὴν Ἀργὼ μέχρις ἐπὶ θάλασσαν παραγίνοντο. Ἡσίοδος δέ φησι διὰ Φάσιδος αὐτοὺς πεπλευκέναι. Ἑκαταῖος δὲ ἐλέγχων αὐτὸν, ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδ' ὡς διὰ Ταναΐδος ἐπλεύσαν, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ' ὃν καὶ πρότερον· ὡς Σοφοκλῆς ἐν Σκύθαις ἱστορεῖ, καὶ Καλλίμαχος. ὅθεν καὶ τῶν Σκυθῶν τοὺς μὲν εἰς τὸν Ἀδρίαν πεπλευκότας, μὴ εὑρεῖν τοὺς Ἀργοναύτας· τοὺς δὲ διὰ τῶν Κυανέων, εὑρεῖν ἐπὶ τὴν Κέρκυραν καταπεπλευκότας. ὁ δὲ Ἴστρος, καταφερόμενος ἐξ Ὑπερβορέων, ὅταν φθάσῃ ἐπὶ τὸν μεταξὺ Σκυθίας καὶ Θρᾴκης τόπον, σχίζεται εἰς δύο· καὶ τὸ μὲν αὐτοῦ εἰς τὸν Εὔξεινον πόντον βάλλει, τὸ δὲ ἕτερον εἰς τὴν Τυρρηνικὴν θάλασσαν. Schol.

Ibid. Σκύμνος δὲ ἐν τῇ ἑκκαιδεκάτῃ περὶ Εὐρώπης. Hic librorum numerus perfpicuè falfus. Neque Scymni Chii περιήγησις in libros divifa fuit, tantum abeft ut de fola Europa fedecim libros fcripferit. Extat enim nunc magna ejus opufculi pars, quæ hactenus fub falfo Marciani Heracleotæ nomine delituit. Quod hujus auctoritate et indicio primus omnium vero auctori vindicavi in notis meis ad Porphyrium. In. M. S. fuerat ἐν τοῖς περὶ Εὐρώπης, ficuti in Schol. ad v. 277. ἐν τοῖς περὶ Ἀσίας idem Scymnus laudatur. Inde imperiti librarii fecere ἐν τῇ ις pro ἐν τοῖς, quod deinde voce expanfâ editum ἐν τῇ ἑκκαιδεκάτῃ. Neque minus corrupta funt quæ ex Scymno de Iftri curfu affert. Nam pro illo ἀπὸ ἐρήμων φέρεσθαι τὸν Ἴστρον, fcribendum ἀπὸ ἑσπέρων. Quod fequentia Callimachi verba evincunt, quæ Ripæos montes ad ortum ponunt, contra ac Scymnus: cujus hæc verba de Iftro: κατέρχεται ἀπὸ τῶν ἑσπερίων τόπων, &c. L. Holftenius.

286. Ὑπὲρ πνοιῆς βορέαο. Cautus fermo: non enim gentes nominat Hyperboreas; ne fabulæ Pindaricæ (quam legimus Pyth. X.) communione fufpiciatur veritas. Nec verò cenfendum eft fontes Iftri exactè feptentrionales effe Græciæ, aut πρὸς δυσμὰς ἰσημερινὰς, ut eft Meteorol. I. 12. Sunt enim versùs occafum brumalem fiti, fi a Græciâ fpectentur. Neque anxiè eft trutinandum quod ibidem Ῥίπαι, hoc eft, Riphæi montes collocantur ὑπ' αὐτὴν τὴν Ἄρκτον, qui iidem funt cum Alpibus. Cælius Rhodig. L. VIII. C. 28. ut pari jure Virgilius dixerit Boream Alpinum. Quinetiam aliqua poëticæ fapientiæ pars eft συνασαφεῖν τοῖς πολλοῖς, ac ultro veritatem, ne clare luceat, obnubilare fabulis. Atque hanc ob rem Apollonius has periculofiores dicendi partes detrufit in Argum ipfofque Ægyptios. Vigilantius loquitur Ariftoteles in θαυμασίοις ἀκούσμασι, φασὶ, τὸν Ἴστρον ῥέοντα ἐκ τῶν Ἑρκυνίων καλουμένων δρυμῶν, &c. Non filvam dixit, fed filvas: propterea quòd ejus fit incredibilis vaftitas. Se autem ipfe explicat in Meteorologicis, dum memorat ὄρη Ἑρκύνια. Fontem enim Danubii effe in Albis Germaniæ regione compererunt, montofâ illâ quidem & Alpibus dependente. Quem fic generatim monftravit Joh. Guil. Stuckius in fcho-

Ῥιπαίοις

Ῥιπαίοις ἐν ὄρεσσιν ἀπόπροθι μορμύρουσιν)
Ἀλλ' ὁπότεν Θρηΐκων Σκυθέων τ' ἐπιβήσετ') ὅρους,
Ἔνθα διχῆ τὸ μὲν ἔνθα μετ' Ἰονίην ἅλα βάλλει
Τῇδ' ὕδωρ, τὸ δ' ὄπισθε βαθὺν διὰ κόλπον ἵησι
Σχιζόμενος πόντου Τρινακρίου εἰσανέχοντα,
Γαίῃ ὃς ἡμετέρῃ παρακέκλιται)· εἰ ἐτεὸν δὴ

Riphæis in montibus de longinquo murmurant)
Sed quando Thracum et Scytharum inſcendit oras,
Tunc bifariam quidem hanc illuc in Ionium mare mittit
Aquam, hùc verò illam per profundum fundit ſinum,
Fiſſus, mari Trinacrio imminentem,
Terræ quod noſtræ adjacet: ſi modò verè

liis ad Arriani περίπλουν. Cum igitur negat Jul. Scaliger Iſtrum naſci in Pyrenæis montibus, Stuckius Pyrenæ nomine Ariſtotelem Germaniæ montem ſignificare, & Riphæos dici ab Apollonio juga Rhætica contendit, quæ vel æmulentur Alpium conditiones, vel earundem ſint appendices. Hœl.

291. Τρινακρίου] τὸ Τυῤῥηνικὸν πέλαγος παράκειται τῇ Σικελίᾳ. ἐκαλεῖτο δὲ Τρινακρία τὸ πρότερον, διὰ τὸ τρεῖς ἄκρας ἔχειν, Πάχυνον, Λιλύβαιον, Πέλωρον. βουλόμενος δὲ ὁ Ἀπολλώνιος καινότερόν τι περὶ τοῦ Ἴστρου εἰπεῖν, τὸ εἰς τὸν Ἀδρίαν καταφερόμενον ῥεῦμα αὐτοῦ ὑποδιαιρεῖ αὖθις εἰς δύο· καὶ τὸ μὲν εἰς τὸν Ἀδρίαν φέρεσθαι, τὸ δὲ εἰς Τυῤῥηνικὸν πέλαγος λέγει· ὅπερ καταχρώμενος, Τρινάκριον εἶπε. Schol.

292. Γαίῃ ὃς ὑμετέρῃ] ἐὰν μὲν οὕτω γράφηται, γαίῃ ὃς ὑμετέρῃ, ἔστι, τῆς Ἑλλάδος· ἐὰν δὲ ἡμετέρῃ, ἔστι, τοῦ Ἴστρου. παράκειται γὰρ τοῖς Κόλχοις οὗτος. Schol.

Ibid. Ἡμετέρῃ. Græcia. Nam et Argus ſe Græcis accenſet. Vel eſt hoc à mente Apolloniana, vel υ utroque in verſu eſt perſcribendum. Neque enim admittam quod in Scholiis Iſter hic dicitur, ſi legatur ἡμετέρῃ, ad Colchidem eſſe referendus. Nam repugnant quæ ſequuntur, εἰ ἐτεὸν δή. Et ſic mare Siculum eſſet in Sarmatia.

Εἰ ἐτεὸν δή. Permira hìc leguntur Scholiaſtæ verba, φησὶν ἐν τὸν Ἴστρον εἰς τὸν Ἀχελῷον εἰσβάλλειν διὰ τὸ τὰς πηγὰς αὐτοῦ παρέχεσθαι, ea, uti exiſtimo, ratione, qua Alpheum et Eurotam, δύοντας ὑπὸ γῆν ἐπὶ συχνοὺς σταδίους ἀνατέλλειν πάλιν Strabo ſcripſit. Ac ποταμῶν ἀφανιζομένων mentio libris IV. et V. Arriani, Meteorolog. II. 4. Verum iſtas Apollonio in mentem fuiſſe argutias aut ad ſcopum Argi quicquam pertinere nego. Oſtendit enim ille δεύτερον πλοῦν dari per Iſtrum in Græciam; et quidem, quòd hic ſedulo obſervandum, *bifariam*. Quanquam verò hic ejus in Adriam illapſus controverſus eſt, tamen præter magnos ſcriptores, Scylacem habet defenſorem; cujus hæc leguntur de eodem uno Iſtro verba: οὗτος ὁ ποταμὸς καὶ εἰς τὸν Πόντον ἐκβάλλει ἐνδιασχιζόμενος εἰς Αἴγυπτον. Τῷ καὶ concedit Iſtro alveum in Adriam. Sed de tota re accuratè Cluverius lib. I. Italiæ

Ὑμετέρης

Ὑμετέρης γαίης Ἀχελώϊος ἐξανίησιν.
Ὣς ἄρ' ἔφη· τοῖσιν δὲ θεὰ τέρας ἐγγυάλιξεν
Αἴσιον· ᾧ καὶ πάντες ἐπευφήμησαν ἰδόντες
Στέλλεσθαι τήνδ' οἶμον· ἐπιπρὸ γὰρ ὁλκὸς ἐτύχθη
Οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ μόρσιμον ἦεν.
Γηθόσυνοι δὲ, Λύκοιο καταυτόθι παῖδα λιπόντες,
Λαίφεσι πεπταμένοισιν ὑπεὶρ ἅλα ναυτίλλοντο,
Οὔρεα Παφλαγόνων θηεύμενοι· οὐδὲ Κάραμβιν
Γνάμψαν, ἐπεὶ πνοιαί τε καὶ οὐρανίου πυρὸς αἴγλη

Vestrâ terrâ Acheloius erumpit.
Sic dixit: illis verò Dea omen præbuit
Faustum, quo viso, omnes secundâ acclamatione assenserunt
Hanc ineundam esse viam; coram enim tractus apparuit
Flammæ cœlestis, quo fatatum erat *ut irent.*
Læti igitur, relicto ibi Lyci filio,
Velis passis, trans mare navigârunt,
Montes Paphlagonum conspicientes: nec ad Carambin
Diverterunt, quoniam flatus et ignis cœlestis splendor

antiquæ, cap. 21. Hîc verò nulla fit mentio, ut inconsideratus existimat scholiastes, ejus quod in Pontum influit, ῥεύματος (illud enim tanquam notum omittitur) sed id præstruitur quod dicetur, IV. 329. sive rei veritas hoc permittat, sive tenor fabulæ poscat. Hoc jam firmiter stabilito, concidit illud χολιογράφου de Acheloo somnium. Si enim Ister Adriatico influit sinui, vicit Argus quod volebat: nam inde in mare venitur Siculum, quod Græciæ παρακέκλιται. Quo itidem effluit Achelous Græciæ ejusdem fluvius. Nimirum imposuit scholiastæ ignoratio λέξεως, ἐξανίησι, quod falso putat esse ἀναπηδύει, aut, me corrigente, ἀναπηδύσει. Nam illud Maro mihi videtur in animo habuisse, cum lib. VIII. scriberet, *quocunque solo pulcherrimus exis.* Ubi Donatus aptissimè ad Græcum, *Fluis per liberos exitus.* Hæc igitur poëtæ est διάνοια Logica: mare in quod exit Achelous, est ad Græciam: mare in quod exit Achelous est Siculum (aut vulgo Ionium) Siculum igitur mare est ad Græciam. Hœl.

293. Ὑμετέρης γαίης] ὁ Ἀχελῷος τῶν τῆς Ἑλλάδος ποταμῶν τῶν ἄλλων διαπρεπέστατος. τὸ δὲ Τρινάκριον πέλαγος παράκειται) τῇ τῶν Ἑλλήνων γῇ. εἰ οὖν ἐστιν ὁ Ἀχελῷος, παρ' ὑμῖν ἐστιν. τὸ γὰρ ὄνομα ἀκούομεν. ἀγνοεῖ γὰρ ὁ Ἄργος ὡς αὐτῆς διὰ τῆς χώρας ἀναπηδύει. φησὶν οὖν τὸν Ἴστρον εἰς τὸν Ἀχελῷον εἰσβάλλειν διὰ τὸ τὰς πηγὰς αὐτῷ παρέχεσθαι. Schol.

295. Αἴσιον] τὸ καθῆκον. Schol.

296. Ὀλκὸς] ὁλκὸν λέγει τὴν διαδρομὴν τοῦ ἀστέρος. Schol.

301. Ἐπεὶ πνοιαί τε] ἐπίμονον γὰρ

Μεῖνεν

Μεῖνεν, ἕως Ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο.
Κόλχοι δ᾽ αὖτ᾽ ἄλλοι μὲν ἐτώσια μαστεύοντες
Κυανέας Πόντοιο διὲκ πέτρας ἐπέρησαν·
Ἄλλοι δ᾽ αὖ ποταμὸν μετεκίαθον, οἷσιν ἄνασσεν
Ἄψυρτος· Καλὸν δὲ διὰ στόμα πεῖρε λιασθείς.
Τῷ καὶ ὑπέφθη τούς γε βαλὼν ὑπὲρ αὐχένα γαίης
Κόλπον ἔσω πόντοιο πανέσχατον Ἰονίοιο.
Ἴστρῳ γάρ τις νῆσος ἐέργεται, οὔνομα Πεύκη,
Τριγλώχιν, εὖρος μὲν ἐς αἰγιαλοὺς ἀνέχουσα,

Mansit, donec Istri magnum fluentum attigissent.
At Colchorum alii nequicquam inquirentes
Cyaneas per Pontum rupes penetrârunt:
Alii contrà flumen adierunt, quibus præerat
Absyrtus: is per os Calon transiit separatus,
Istos itaque prævenit, trajiciens cervicem terræ,
Intra sinum ponti novissimum Ionii.
Istro enim quædam insula obsepitur, nomine Peuca,
Triangularis, latitudinem quidem ad litora protollens,

αἱ αὐταὶ τῶν ἀνέμων πνοαί. καὶ ἡ φανεῖσα αὐτοῖς οὐρανία λαμπηδὼν ἡ τὸν ἐπὶ Ἴστρον διέκπλουν σημαίνουσα. διαφωνοῦσι δὲ οἱ περὶ τοῦ ἔκπλου τῶν Ἀργοναυτῶν καὶ τῶν Κόλχων γεγραφότες. Schol.

303. Κόλχοι δ᾽ αὖτ᾽ ἄλλοι] τῶν Κόλχων οἱ μὲν διὰ τῶν Κυανέων πετρῶν ἔπλευσαν, ὡς καὶ Καλλίμαχος (φησὶ δὲ Ἀπολλώνιος ὑποστρέψαι αὐτοὺς, ἐναντίως Καλλιμάχῳ) οἱ δὲ εἰς τὸν Ἴστρον μετὰ Ἀψύρτου ἦλθον. Schol.

306 Καλὸν δὲ διὰ στόμα] τρία στόματα ἔχει ὁ Ἴστρος· ὧν ἓν λέγεται Καλὸν στόμα, ὥς φησι Τιμάγητος ἐν τῷ περὶ λιμένων· εἰς ὅ φησι πλεῦσαι τὸν Ἄψυρτον. Schol.

308 Πανέσχατον Ἰονίοιο] τὸ Ἰόνιον πέλαγος τῆς Ἰταλίας, εἰς ὃ ἐκδίδωσιν ὁ Ἀδρίας. διὸ καί τινες αὐτὸ Ἀδρίαν ὀνομάζουσι, κατὰ μετάδοσιν τοῦ ὀνόματος. ἐπεὶ γὰρ συνάπτει ὁ Ἀδρίας τῷ Ἰονίῳ, διὰ τοῦτο ποτὲ μὲν τὸν Ἀδρίαν, Ἰόνιον, ποτὲ δὲ τὸν Ἰόνιον, Ἀδρίαν καλοῦσιν. ὠνομάσθη δὲ ἀπὸ Ἰονίου τὸ γένος Ἰλλυριοῦ· ὥς φησι Θεόπομπος ἐν ἀκοστῷ πρώτῳ. Ἰόνιον πέλαγος πρὸς τῇ Ἰταλίᾳ οὕτω καλούμενον ἀπὸ Ἰονίου ἀνδρὸς Ἰλλυριοῦ. τινὲς δὲ, ἀπὸ τῆς γενομένης πλάνης τῇ Ἰοῖ. Schol.

310. Τριγλώχιν] Ἐρατοσθένης ἐν γ γεωγραφικῶν, νῆσον εἶναι ἐν τῷ Ἴστρῳ φησὶ τρίγωνον, ἴσην τῇ Ῥόδῳ· ἣν Πεύκην λέγει διὰ τὸ πολλὰς ἔχειν πεύκας. καὶ τὴν μὲν κορυφὴν τοῦ τριγώνου αὐτῆς πρὸς τὸ ῥεῦμα οὖσαν τοῦ ποταμοῦ, ἀγκῶνα ἐκάλεσε· τὴν δὲ βάσιν τὴν πρὸς τὴν θάλασσαν, εὖρος. Schol.

Στεινὸν δ᾽ αὖτ᾽ ἀγκῶνα ποτὶ ῥόον· ἀμφὶ δὲ δοιαὶ
Σχίζονται προχοαὶ, τὴν μὲν καλέουσιν Ἄρηκος,
Τὴν δ᾽ ὑπὸ τῇ νεάτῃ, Καλὸν στόμα· τῇ δὲ διαπρὸ
Ἄψυρτος Κόλχοι τε θοώτερον ὡρμήθησαν.
Οἱ δ᾽ ὑψοῦ νήσοιο κατ᾽ ἀκροτάτης ἐνέοντο
Τηλόθεν· εἱαμενῇσι δ᾽ ἐν ἄσπετα πώεα λεῖπον
Ποιμένες ἀγραυλοι, νηῶν φόβῳ, οἷά τε θῆρας
Ὀσσόμενοι πόντου μεγακήτεος ἐξανιόντας.
Οὐ γάρ πω ἁλίας γε πάρος ποθὶ νῆας ἴδοντο.
Οὔτ᾽ οὖν Θρήϊξι μιγάδες Σκύθαι, οὔτε Σίγυννοι,
Οὔτ᾽ οὖν Γραυκένιοι, οὔθ᾽ οἱ περὶ Λαύριον ἤδη

Cubitum verò anguſtum ad flumen: circumque gemini
Separantur effluxus, quorum alterum vocant Aracis,
Alterum ſub imâ parte, Calon oſtium: iſtôc prorſus
Abſyrtus Colchique velocius eruperunt.
Illi verò altius præter ſummam inſulam tendebant,
Procul: in paluſtribus autem locis innumeras liquerunt oves
Paſtores agreſtes, navium metu, utpote qui belluas
Se videre putarent Ponto cetis ſcatente erumpentes.
Nunquam enim antea marinas naves conſpexerant.
Neque enim Thracibus unquam commiſti Scythæ, nec Sigunni,
Nec Graucenii, nec qui circà Latmium

311. Ἀμφὶ δὲ δοιαὶ] περὶ τὸν περὶ τὴν Πεύκην ἀγκῶνα δύο εἶναι φησὶ στόματα τοῦ Ἴστρου· ὧν τὸ μὲν καλεῖται Ἄρηκος, τὸ δὲ, Καλὸν στόμα· ἐν ᾧ τάχιον οἱ Κόλχοι σὺν Ἀψύρτῳ ἔπλευσαν. Schol.

315. Οἱ δ᾽ ὑψοῦ νήσοιο] οἱ περὶ τὸν Ἰάσονα ἄνωθεν τῆς νήσου διὰ τοῦ Ἄρηκος στόματος ἔπλευσαν. Schol.

316. Εἱαμενῇσι] εἱαμεναί, οἱ κάθυγροι τόποι καὶ πηγανώδεις. δεῖ δὲ ἀκούειν ἑκατέρωθεν τοὺς νομεῖς πεφευγότας. Schol.

317. Ποιμένες] οἱ δὲ νομεῖς (πάντως ἀκουστέον) δόξαντες τὰς ναῦς θαλάσσια θηρία εἶναι, δείσαντες εἰς φυγὴν ἐτράπησαν. Schol.

Ibid. Ποιμένες, &c. Confer Ciceronem de Natura Deorum. II. 35. ibique vide Daviſium. Upt.

319. Ἴδοντο. Tollit hìc omninò interpunctionem H. Stephanus; facitque ut verbo ἴδοντο nominativi ſint, Scythæ, Sigunni, et qui deinceps recenſentur. Reddit enim (ait ille) rationem Apollonius cur paſtores ad conſpectum navium fugiſſent, belluas marinas eſſe putantes quæ mari emergerent, quoniam omnes hi populi nunquam naves viderant, *neque Scythæ, qui Thracibus ſunt permixti*, &c.

321. Οὔθ᾽ οἱ περὶ Λαύριον] Λαύριον πεδίον τῆς Σκυθίας. τῆς δὲ Σκυθίας ἔθνη

Σίνδοι

Σίνδοι ἐρημαῖον πεδίον μέγα ναιετάοντες.
Αὐτὰρ ἐπεί τ' Ἄγγουρον ὄρος καὶ ἄπωθεν ἐόντα
Ἀγγούρου ὄρεος σκόπελον παρὰ Καυλιακοῖο
(Ὧι πέρι δὴ σχίζων Ἴστρος ῥόον ἔνθα καὶ ἔνθα
Βάλλει ἁλὸς) πεδίον τε Ταλαύριον ἠμείψαντο·
Δή ῥα τότε Κρονίην Κόλχοι ἅλαδ' ἐκπρομολόντες,
Πάντῃ, μή σφε λάθοιεν, ὑπετμήξαντο κελεύθους.
Οἱ δ' ὄπιθεν ποταμοῖο κατήλυθον· ἐκ δ' ἐπέρησαν
Δοιὰς Ἀρτέμιδος Βρυτηΐδας ἀγχόθι νήσους·
Τῶν δ' ἤτοι ἑτέρῃ μὲν ἐν ἱερὸν ἔσκεν ἔδεθλον,

Sindi desertum vastumque campum inhabitabant.
Postquam autem ad Angurum montem, et procul existentem
Ab Anguro monte scopulum Cauliacum,
Quem propter diffindens Istrus fluctum huc, illuc,
Mittit in mare, campumque Talaureum prætererant,
Tunc sanè Saturnium Colchi ad mare progressi,
Undiquaque, ne eos alicubi laterent, præciderunt vias.
Illi verò à tergo fluvii secuti sunt, ac transierunt
Geminas Dianæ Brygéas propè insulas,
In quarum quidem alterâ sacrum erat delubrum,

πεπλήρωνται. Τιμώναξ ἀναγράφει ἐν πρώτῳ περὶ Σκυθῶν. κατὰ δὲ τὸ τῶν Σίνδων πεδίον σχίζεται ὁ ποταμὸς Ἴστρος· καὶ τὸ μὲν αὐτοῦ ῥεῦμα εἰς τὸν Ἀδρίαν, τὸ δὲ εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλει. Schol.

322. Σίνδοι] τὸ Σίνδοι Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου, βαρυτονεῖν φησὶ δεῖν· τινὲς δὲ ὀξυτόνουσιν, οὐκ εὖ. καὶ Ἱππῶναξ δὲ μνημονεύει, πρὸς τὸ Σινδικὸν διάσφαγμα. Ἑλλάνικος δὲ ἐν τῷ περὶ ἐθνῶν φησί, "Βόσπορον δὲ πλησίον οἰκοῦσι Σίνδοι· ἄνω δὲ τούτων Μαλιῶται Σκύθαι." ἔστι δὲ καὶ σίγυνος ὀνόματι δόρατος, παρώνυμον τῷ ἔθνει. Schol.

Ibid. Μαλιῶται Σκύθαι. Scribendum monet L. Holstenius Μαιῶται.

324. Ἀγγούρου ὄρεος] πλησίον Ἴστρου ποταμοῦ. μνημονεύει δὲ αὐτοῦ Τιμάγητος ἐν λιμέσιν. ὁ δὲ Καυλιακὸς σκόπελος τῆς Σκυθίας, πλησίον τοῦ Ἴστρου, οὗ μνημονεύει Πολέμων ἐν κτίσει Ἰταλικῶν καὶ Σικελικῶν. πολλοὶ γράφουσιν Ἄγγουρον ὄρος, καὶ Ἄγγουρον ὄρος, καὶ Ἀγγούρου ὄρεος· ἀντὶ δὲ τοῦ Καυκασίου, Καυλιακοῖο. φησὶ δὲ κατὰ τοῦτο τὸ ὄρος τὸν Ἴστρον διαχαζόμενον, τῇ μὲν εἰς τὸν Ἀδρίαν, τῇ δὲ, εἰς τὸν Εὔξεινον εἰσβάλλειν. Schol.

327. Κρονίην ἅλα] τὸν Ἀδρίαν φησί. ἐνταῦθα γὰρ τὸν Κρόνον κατῳκηκέναι. Schol.

330. Βρυτηΐδας. Legendum monent Stephanus & Hoelzlinus Βρυγηΐδας. Vide hujus libri v. 471. et Schol. ad vers. 1002.

Ἐν δ' ἑτέρῃ πληθὺν πεφυλαγμένοι Ἀψύρτοιο
Βαῖνον· ἐπεὶ κείνας πολλὸν λίπον ἔνδοθι νήσους,
Αὔτως ἁζόμενοι κούρην Διός· αἱ δὲ δὴ ἄλλαι
Στεινόμεναι Κόλχοισι πόρους εἴρυντο θαλάσσης.
Ὣς δὲ καὶ εἰς ἄλλας πληθὺν λίπον ἀγχόθι νήσους
Μέσφα Σαλαγκῶνος ποταμοῦ καὶ Νέστιδος αἴης·
Ἔνθα κε λευγαλέῃ Μινύαι τότε δηϊοτῆτι
Παυρότεροι πλεόνεσσιν ὑπείκαθον, ἀλλὰ πάροιθε
Συνθεσίῃ μέγα νεῖκος ἀλευάμενοι ἐτάμοντο.
Κῶας μὲν χρύσειον ἐπὶ σφίσιν αὐτὸς ὑπέστη
Αἰήτης, εἰ κεῖνοι ἀναπλήσειαν ἀέθλους,
Ἔμπεδον εὐδικίῃ σφέας ἑξέμεν, εἴτε δόλοισιν,
Εἴτε καὶ ἀμφαδίην αὔτως ἀέκοντος ἀπηύρων·

In alterâ autem ad copias Abſyrti vitandas
Fecerunt exſcenſum; multis illis relictis in medio inſulis,
Adeo Jovis venerabantur natam: reliquæ verò
Colchis refertæ obvallabant maris itinera.
Similiter etiam in aliis copias reliquerunt inſulis,
Uſque ad Salanconem fluvium, Neſtidaque terram.
Ibi ſane triſti Minyæ prælio
Pauciores pluribus ſuccubuiſſent, niſi ante
Fœdere ſancito periculoſum certamen vitando incidiſſent.
Aureum quidem vellus ipſe pollicitus fuerat
Æeta, ſi illi implerent certamina,
Se jure firmo bonoque habituros, ſive dolo
Seu apertè penitus invito arreptum;

338. Ἔνθα κε] κατ' ἐκεῖνον τὸν τόπον φησὶ τοὺς Ἀργοναύτας τὸ πλῆθος τῶν Κόλχων φοβηθέντας εἴκειν αὐτοῖς. καὶ βούλεσθαι μὲν τὸ κῶας ἔχειν καὶ μὴ παρασχεῖν. Schol.

341. Κῶας μὲν χρύσειον ἐπὶ, &c. Suadet Stephanus ut interpungatur poſt χρύσειον, et legatur ἐπεὶ: ut conſtructio ſit, κῶας μὲν ἑξέμεν, ἐπεὶ αὐτὸς Αἰήτης ὑπέστη (ſubaud. αὐτὸ) vel δώσειν αὐτὸ) εἰ κεῖνοι, &c. Idem monet Hœlzlinus. Quare verò hicce verſus aliquam ſubeat mutationem fateor me neſcire. Αὐτὸς μὲν Αἰήτης ὑπέστη ἑξέμεν ἐπὶ σφίσι κῶας χρύσειον, &c. *Ipſe quidem Æeta promiſerat ſe habituros in ſua poteſtate vellus aureum,* &c.

Αὐτὰρ

Αὐτὰρ Μήδειαν (τὸ τε γὰρ πέλεν ἀμφήριστον)
Παρθέσθαι κούρῃ Λητωΐδι νόσφιν ὁμίλου,
Εἰσόκε τὶς δικάσῃσι θεμιστούχων βασιλήων,
Εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν,
Εἴτε μετ' ἀφνειοῦ θείου πόλιν Ὀρχομενοῖο,
Εἴτε μεθ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕπεσθαι.
Ἔνθα δ' ἐπεὶ τὰ ἕκαστα νόῳ πεμπάσσατο κούρη,
Δή ῥά μιν ὀξεῖαι κραδίην ἐλέλιξαν ἀνίαι
Νωλεμές· αἶψα δὲ νόσφιν Ἰήσονα μοῦνον ἑταίρων
Ἐκπροκαλεσσαμένη ἄγεν ἄλλυδις, ὄφρ' ἐλίασθεν
Πολλὸν ἑκάς· στονόεντα δ' ἐνωπαδὶς ἔκφατο μῦθον.
Αἰσονίδη, τίνα τήνδε συναρτύνασθε μενοινὴν

At Medeam (hoc enim erat jam causa contentionis)
*Pactum erat* ut deponerent apud filiam Latonæ seorsim à concilio,
Donec aliquis decerneret regum, justa curantium,
Oporteretne eam ad patris domum redire,
An ad opulenti divini urbem Orchomeni,
An in terram Græciam proceres comitari.
Hìc ubi cuncta mente expendisset puella,
Tunc sane ejus acuti cor exercebant dolores
Indesinenter: statimque seorsim Jasonem solum à sociis
Sevocatum duxit aliò donec separati essent
Valdè longè; flebilemque coràm edidit sermonem.
Æsonides, quamnam hanc struitis sententiam

345. Μήδειαν] τὴν δὲ μηδέαν (ἣν γὰρ τὸ καθ' αὑτὴν δίκαιον ἀμφήριστον) παραθέσθαι τῇ Ἀρτέμιδι ἐν τῷ αὐτῆς ἱερῷ, ἕως τὶς δικάσῃ πότερον αὐτὴν ἀποδοτέον τῷ πατρὶ ἢ τοῖς Ἀργοναύταις. Schol.

356. Αἰσονίδη τίνα τήνδε, &c.

Dissimulare etiam sperâsti, perfide, tantum
Posse nefas? Æn. IV. 305.

Hunc etiam Apollonii locum in animo fortasse habuit Catullus, qui in epithalamio Thetidis et Pelei Ariadnem ita querelas effundentem inducit.

Siccine me patriis abductam, perfide, ab oris,
Perfide, &c.

Hunc verò sequentem Apollonii versum penè a Catullo translatum nemo non agnoscet.

—— ποῦ τοι Διὸς ἱκεσίοιο
Ὅρκια, ποῦ δὲ ΜΕΙΛΙΧΡΑΙ ΥΠΟΣΧΕΣΙΑΙ ΒΕΒΑΑΣΙΝ.

*At non hæc quondam blanda promissa dedisti?*

Ἀμφ'

Ἄμφ' μοί; ἦέ σε πάγχυ λαθιφροσύναις ἐνέηκαν
Ἀγλαΐαι; τῶν δ' οὔτι μετατρέπῃ ὅσσ' ἀγόρευες
Χρειοῖ ἰσχόμενος; ποῦ τοι Διὸς ἱκεσίοιο
Ὅρκια, ποῦ δὲ μελιχραὶ ὑποσχεσίαι βεβάασιν;
Αἷς γὼ οὐ κατὰ κόσμον ἀναιδήτῳ ἰότητι
Πάτρην τε, κλέα τε μεγάρων, αὐτούς τε τοκῆας
Νοσφισάμην, τά μοι ἦεν ὑπέρτατα· τηλόθι δ' οἴη
Λυγρῇσιν κατὰ πόντον ἅμ' ἀλκυόνεσσι φορεῦμαι,
Σῶν ἕνεκεν καμάτων, ἵνα μοι σόος ἀμφί τε βουσὶν,
Ἀμφί τε γηγενέεσσιν ἀναπλήσειας ἀέθλους.
Ὕστατον αὖ καὶ κῶας, ἐφ' ᾧ πλόος ὔμμιν ἐτύχθη,
Εἷλες ἐμῇ ματίῃ· κατὰ δ' οὐλοὸν αἶσχος ἔχευα
Θηλυτέραις· τῷ φημὶ τεὴ κούρη τε δάμαρ τε
Αὐτοκασιγνήτη τε μεθ' Ἑλλάδα γαῖαν ἕπεσθαι.
Πάντῃ νῦν προφέρων ὑπερίστασο, μηδέ με μούνην

De me? an tibi omnino oblivionem immisit
*Fortunæ* splendor? nec horum aliquid curas, quæ dixeris
Necessitate circumventus? quò nunc Jovis, supplicum patroni
Juramenta, quò blandæ promissiones abierunt?
Quibus ego indecenter inverecundo animo
Patriam, splendorem ædium, ipsosque parentes
Deserui, quæ mihi erant summa: ac procul sola
Luctuosis in pontum cum halcyonibus feror
Tuorum causâ laborum, ut mihi salvus, cum bobus
Et cum gigantibus ad finem perduceres certamina.
Postremò vellus etiam, cujus causâ navigatio vobis suscepta est,
Adeptus es meâ temeritate: ingens autem dedecus superinfudi
Fœminis; eò quòd dicor tua puella et conjux
Ac soror in Græciam terram sequi.
Quacunquè igitur promovens præsta operam; nec me orbam

367. Pro his verbis ἐφ' ᾧ πλόος ὔμμιν ἐτύχθη habet ed. Flor. ἐπεὶ τ' ἀστοῖσιν ἐτύχθη. At illam lectionem habent Aldina et Parisina: sed in Ald. perperam est ἐτύχθην pro ἐτύχθη. Stephanus.

Σεῖο

Σεῖο λίπῃς ἀπάνευθεν ἐποιχόμενος βασιλῆος·
Ἀλλ' αὔτως εἴρυσο· δίκη δέ τοι ἔμπεδος ἔστω,
Καὶ θέμις ἣν ἄμφω συναρέσσαμεν· ἢ σύ γ' ἔπειτα
Φασγάνῳ αὐτίκα τόνδε μέσον διὰ λαιμὸν ἀμῆσαι,
Ὄφρ' ἐπίηρα φέρωμαι ἐοικότα μαργοσύνῃσι.
Σχέτλιε, εἴκεν δή με κασιγνήτοιο δικάσσῃ
Ἔμμεναι οὗτος ἄναξ, ᾧ ἐπίσχετε τάσδ' ἀλεγεινὰς
Ἄμφω συνθεσίας, πῶς ἵξομαι ὄμματα πατρός;
Ἦ μάλ' ἐυκλειής. τίνα δ' οὐ τίσιν ἠὲ βαρεῖαν
Ἄτην οὐ σμυγερῶς, δεινῶν ὕπερ οἷα τ' ἔοργα,
Ὀτλήσω; οὐ κεν θυμηδέα νόστον ἕλοιο.
Μὴ τόγε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις,
Ἧι ἔπι κυδιάεις· μνήσαιο δέ καί ποτ' ἐμεῖο
Στρευγόμενος καμάτοισι· δέρος δέ τοι ἶσον ὀνείροις
Οἴχοιτ' εἰς ἔρεβος μεταμώνιον· ἐκ δέ σε πάτρης

Tui relinquas, accedens ad regem *consulendum*;
Sed quocunque modo tuere: firma tibi maneat justitia,
Legesque in quas consensimus: vel tu deinde
Gladio protinus medium mihi disseca jugulum,
Ut præmia feram debita stultitiæ.
Improbe, si me fratris pronunciaverit
Esse rex ille cui committitis hæc tristia
Utrique pacta, quomodo in conspectum veniam patris?
Multâ scilicet cum gloriâ: quam verò pœnam vel gravem
Calamitatem non ærumnosè ob quæ patravi facinora
Perferam? non sanè jucundum reditum habueris.
Nec hoc regina Jovis et matrona ratum fecerit,
Ob quam superbè te geris: memineris verò mei *necesse est*
Malis distractus: vellus, somnii ad instar,
Evanescat in inanem caliginem; te verò ex patriâ

375. Φασγάνῳ] Ὀνειδίζουσα τῷ Ἰάσονι φησὶ ξίφει αὐτὸν αὐτὴν διαχειρίσασθαι, ἵνα ἀξίαν ἀπολάβῃ χάριν τοῦ πρὸς αὐτὸν ἔρωτος. ἐν ἤθει δὲ τοῦτο εἶπεν. Schol.

385. Στρευγόμενος] ἀντὶ τοῦ καταπονούμενος ἢ τρυχόμενος. Schol.

Αὐτίκ'

Αὐτίκ' ἐμαί σ' ἐλάσειαν Ἐρινύες· οἷα καὶ αὐτὴ
Σῇ πάθον ἀτροπίῃ: τὰ μὲν οὐ θέμις ἀκράαντα
Ἐν γαίῃ πεσέειν· μάλα γὰρ μέγαν ἤλιτες ὅρκον
Νηλεές· ἀλλ' οὐ θήν μοι ἐπιλλίζοντες ὀπίσσω
Δὴν ἔσσεσθε ἔκηλοι ἕκητί γε συνθεσιάων.
Ὣς φάτ', ἀνιάζουσα βαρὺν χόλον· ἵετο δ' ἥγε
Νῆα καταφλέξαι, διά τ' ἔμπεδα πάντα κεάσσαι·
Ἐν δὲ πεσεῖν αὐτὴ μαλερῷ πυρί. Τοῖα δ' Ἰήσων
Μειλιχίοις ἐπέεσσιν ὑποδδείσας προσέειπεν,
Ἴσχεο, δαιμονίη· τὰ μὲν ἀνδάνει οὐδ' ἐμοὶ αὐτῷ.
Ἀλλά τιν' ἀμβολίην διζήμεθα δηιοτῆτος·
Ὅσσον δυσμενέων ἀνδρῶν νέφος ἀμφιδέδηεν
Εἵνεκα σεῦ· πάντες γὰρ ὅσοι χθόνα τήνδε νέμονται,
Ἀψύρτῳ μεμάασιν ἀμυνέμεν, ὄφρα σε πατρὶ,
Οἷά τε ληισθεῖσαν, ὑπότροπον οἴκαδ' ἄγοιντο·

Meæ repentè abegerint Furiæ; qualia et ipſa
Tuâ paſſa ſum temeritate: hæc non fas ſit irrita
Humi cadere: præ cæteris enim magnum violâſti juramentum,
Crudelis: ſed non mihi diu in poſterum
Inſultabitis quieti pactorum cauſâ.
Sic dixit, triſtitiâ affecta gravique irâ: cupiebat illa
Navem comburere, et quicquid in eâ firmi erat disjicere;
Ipſa igni furenti incidere. Talia autem Jaſon
Blandis verbis, ſubmetuens, reſpondit.
Contineas teipſam, cariſſima: hæc nec mihi ipſi placent;
Sed moram aliquam quærimus pugnæ;
Tanta hoſtium nubes circum undique accenſa eſt
Tui cauſâ: omnes enim quotquot terram incolunt
Abſyrto cupiunt auxiliari, ut te ad patrem,
Tanquam captivam, reducem domum reducant.

388. Ἀτροπίῃ] τῇ σῇ κακοτροπίᾳ καὶ ἀβουλίᾳ, ὅτι ἐπιώρκησας. Schol.

393. Νῆα καταφλέξαι, &c.
*Impleſſemque foros flammis* —— et paulo poſt —— *memet ſuper ipſa dediſſem.* Æn. IV. 605.

Αὐτοὶ

Αὐτοὶ δὲ στυγερῷ κεν ὀλοίμεθα πάντες ὀλέθρῳ
Μίξαντες δαῒ χεῖρας· ὅ, τι καὶ ῥίγιον ἄλγος
Ἔσσεται, εἴ σε θανόντες ἕλωρ κείνοισι λίποιμεν.
Ἥδε δὲ συνθεσίη κρανέει δόλον, ᾧ μιν ἐς ἄτην
Βήσομεν· οὐδ' ἂν ὁμῶς περιναιέται ἀντιόωσι,
Κόλχοις ἦρα φέροντες ὑπὲρ σέο νόσφιν ἄνακτος,
Ὅς τοι ἀοσσητήρ τε κασίγνητός τε τέτυκται·
Οὐδ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξωμαι πολεμίζειν
Ἀντιβίην, ὅτε μή με διεξείργωσι νέεσθαι.
Ἴσκεν ὑποσσαίνων· ἡ δ' οὐλοὸν ἔκφατο μῦθον.
Φράζεο νῦν· χρειὼ γὰρ ἀεικελίοισιν ἐπ' ἔργοις
Καὶ τόδε μητίσασθαι· ἐπεὶ τοπρῶτον ἀάσθην
Ἀμπλακίῃ, θεόθεν δὲ κακὰς ἤνυσσα μενοινάς.
Τύνη μὲν κατὰ μῶλον ἀλέξεο δούρατα Κόλχων·
Αὐτὰρ ἐγὼ κεῖνόν γε τεὰς ἐς χεῖρας ἱκέσθαι

Nos autem ipsi tristi omnes periamus interitu,
Consertis prælio manibus, quo atrocior erit
Dolor, si te mortui illis pro capturâ relinquamus.
Hoc verò pactum perficiet dolum, quo ipsum in exitium
Ducemus: nec nobis simul finitimi adversabuntur,
Colchis gratificantes, tuâ causâ, absque rege;
Qui tibi adjutor et frater existit;
Nec ego Colchis cessero contrà
Pugnando, cum me non cohibuerint à reditu.
Dixit subblandiens: illa perniciosum protulit verbum.
Adverte nunc; (necesse enim est præter alia atrocia facinora
Et hoc quoque moliri, quandoquidem primùm peccaverim
Dementiâ, Deorumque voluntate mala perfecerim consilia)
Tu quidem in prælio hastas vita Colchorum,
Ipsa verò illum, ut in tuas manus veniat,

412. Ἀεικελίοισιν] ἐπὶ γὰρ τοῖς κακοῖς, φησί, κακὰ δεῖ βουλεύεσθαι. προσειρήσεται ἂν καὶ τὸν Ἄψυρτον ἀναιρεῖν ἐπὶ τοῖς προηγησαμένοις ἁμαρτήμασιν ὑπ' αὐτῆς. Schol.

Μειλίξω (σὺ δέ μιν φαιδροῖς ἀγαπάζεο δώροις)
Εἴ κέν πως κήρυκας ἀπερχομένους πεπίθοιμι
Οἰόθεν οἶον ἐμοῖσι συναρθμῆσαι ἐπέεσσιν.
Ἔνθ᾽ εἴ τοι τόδε ἔργον ἐφανδάνει, οὔτι μεγαίρω·
Κτεῖνέ τε, καὶ Κόλχοισιν ἀείρεο δηϊοτῆτα.
Ὣς τώγε ξυμβάντε μέγαν δόλον ἠρτύναντο
Ἀψύρτῳ, καὶ πολλὰ πόρον ξεινήια δῶρα·
Οἷς μέτα καὶ πέπλον δόσαν ἱερὸν Ὑψιπυλείης
Πορφύρεον· τὸν μὲν ῥα Διωνύσῳ κάμον αὐταὶ
Δίῃ ἐν ἀμφιάλῳ Χάριτες θεαί· αὐτὰρ ὁ παιδὶ
Δῶκε Θόαντι μέτ᾽ αὖτις· ὁ δ᾽ αὖ λίπεν Ὑψιπυλείῃ·
Ἡ δ᾽ ἔπορ᾽ Αἰσονίδῃ πολέσιν μέτα καὶ τὸ φέρεσθαι
Γλήνεσιν εὐεργὲς ξεινήιον. οὔ μιν ἀφάσσων,
Οὔτε κεν εἰσορόων, γλυκὺν ἵμερον ἐμπλήσειας.

Demulcebo; (tu autem ipsum splendidis saluta donis,)
Si quomodo præconibus abeuntibus persuasero
Seorsim meis solius verbis calculum adjicere.
Tum si tibi hoc institutum placuerit, nihil recuso;
Et interfice, et cum Colchis ini prælium.
Sic hi postquam convenissent infandum struxerunt dolum
Absyrto, multaque dederunt hospitalia dona.
Inter quæ et peplum dederunt eximium Hypsipylæ
Purpureum, quem sane Baccho elaboraverant ipsæ
In Diâ mari circumdatâ Charites Deæ: ille verò filio
Donavit Thoanti; qui iterum dedit Hypsipylæ:
Hæc rursus dedit Æsonis filio, ut cum multis hoc quoque asportaret
Variis gemmis affabrè factum hospitale munus; quod nec contrectando
Nec inspiciendo dulce desiderium implêsses.

418. Εἰ κέν πως] εἴπως, φησὶ, πείσαιμι τὸν Ἄψυρτον μόνον πρὸς μόνην ἥκειν, φιλίαν πρὸς αὐτὸν συνθεμένη. Schol.

426. Δίῃ] ἐν τῇ Νάξῳ. Καλλίμαχος. "ἐν Δίῃ. τὸ γὰρ ἔσκε παλαίτερον οὔνομα Νάξῳ." Schol.

429. Γλήνεσιν] ποικίλμασιν. Οὔ μιν ἀφάσσων. οὐδαμῶς ἂν τὸν πέπλον ἐκεῖνον ψηλαφῶν, ἢ καθορῶν, τὴν ἐπιθυμίαν πληρώσειας. Schol.

Τοῦ ῥα καὶ ἀμβροσίη ὀδμὴ πέλεν ἐξ ἔτι κείνου,
Ἐξ οὗ ἄναξ αὐτὸς Νυσήιος ἐγκατέλεκτο
Ἀκροχάλιξ οἴνῳ καὶ νέκταρι, καλὰ μεμαρπὼς
Στήθεα παρθενικῆς Μινωίδος· ἥν ποτε Θησεὺς,
Κνωσσόθεν ἑσπομένην Δίῃ ἔνι κάλλιπε νήσῳ.
Ἡ δ᾽ ὅτε κηρύκεσσιν ἐπεξυνώσατο μύθους,
Θελγέμεν, εὖτ᾽ ἂν πρῶτα θεᾶς περὶ νηὸν ἵκηται
Συνθεσίῃ, νυκτός τε μέλαν κνέφας ἀμφιβάλῃσιν,
Ἐλθέμεν· ὄφρα δόλον συμφράσσεται, ὥς κεν ἑλοῦσα
Χρύσειον μέγα κῶας, ὑπότροπος αὖτις ὀπίσσω
Βαίη ἐς Αἰήταο δόμους· περὶ γάρ μιν ἀνάγκη
Υἱῆες Φρίξοιο δόσαν ξείνοισιν ἄγεσθαι.
Τοῖα παραιφαμένη, θελκτήρια φάρμακ᾽ ἔπασσεν
Αἰθέρι καὶ πνοιῇσι, τά κεν καὶ ἄπωθεν ἐόντα
Ἄγριον ἠλιβάτοιο κατ᾽ οὔρεος ἤγαγε θῆρα.

Hujus etiam ambrosius erat odor ex illo tempore
Quo rex ipse Nyseïus indormiit
Madidus vino et nectare, nivea amplexus
Pectora virginis Minoidis, quam olim Theseus
E Gnosso secutam Diâ reliquit in insulâ.
Ea verò postquam præconibus sermonem communicâsset,
Ut delinirent *Absyrtum* quamprimùm ad Deæ templum venisset
Ex pacto, circumjectâ noctis densâ caligine,
Ad eundum, ut dolum unà meditaretur, quo, arrepto
Magno aureo vellere, redux rursum
Eat ad Æetæ ædes; quòd enim se vi
Filii Phrixi dederant hospitibus abducendam:
Hæc cum admonuisset, deliniendi vim habentia inspersit medicamina
Aëri ventisque, quæ longè licet existentem
Immitem excelso de monte abduxissent feram.

433. Ἀκροχάλιξ] ἄκρως μεθύων ἀκράτῳ ἢ νέκταρι. Schol.

434. Μινωίδος] τῆς Ἀριάδνης. Schol.

Σχέτλι' ἔρως, μέγα πῆμα, μέγα στύγος ἀνθρώποισιν
Ἐκ σέθεν οὐλόμεναί τ' ἔριδες στοναχαί τε γόοι τε,
Ἄλγεά τ' ἄλλ' ἐπὶ τοῖσιν ἀπείρονα τετρήχασι.
Δυσμενέων ἐπὶ παισὶ κορύσσεο δαῖμον ἀερθεὶς,
Οἷος Μηδείῃ στυγερὴν φρεσὶν ἔμβαλες ἄτην.
Πῶς γὰρ δὴ μετιόντα κακῷ ἐδάμασσεν ὀλέθρῳ
Ἄψυρτον; τὸ γὰρ ἧμιν ἐπισχερὼ ἦεν ἀοιδῆς.
Ἦμος ὅτ' Ἀρτέμιδος νήσῳ ἔνι τήνγ' ἐλίποντο
Συνθεσίῃ, τοὶ μέν ῥα διάνδιχα νηυσὶν ἔκελσαν
Σφωϊτέραις κρινθέντες· ὁ δ' ἐς λόχον ἦεν Ἰήσων,
Δέγμενος Ἄψυρτόν τε καὶ οὓς ἐξαῦτις ἑταίρους.
Αὐτὰρ ὅγ' αἰνοτάτῃσιν ὑποσχεσίῃσι δολωθεὶς,
Καρπαλίμως ᾗ νηὶ δι' ἐξ ἁλὸς οἶδμα περήσας,
Νύχθ' ὑπὸ λυγαίην ἱερῆς ἐπεβήσετο νήσου.
Οἰόθι δ' ἀντικρὺ μετιὼν πειρήσατο μύθοις

Improbe amor! magna calamitas, ingens odium hominibus.
Ex te perniciosæ lites, gemitus, luctusque,
Doloresque alii præter hos innumeri asperè incubuerunt.
Hostium contra natos armare Deus elevatus,
Qualis Medeæ tristem animo injecisti noxam.
Quomodo enim accedentem sævo perdidit exitio
Absyrtum? hùc enim nobis tendebat ordo carminis.
Posteaquam Dianæ in insulâ illam reliquerant
Ex pacto, cæteri quidem divisim navibus solverunt
Suis separati; ipse verò in insidias ivit Jason
Excepturus Absyrtum et suos insuper socios.
Ille igitur turpissimis promissis deceptus,
Postquam suâ celeriter navi maris fluctum trajecisset,
Nocte sub obscurâ sacram ingressus est insulam.
Ibi solus contrà conventam tentavit verbis

446. Μέγα στύγος] τὸν ἔρωτα εἶναι μέγα στύγημα τοῖς ἀνθρώποις λέγει. Schol.

Ibid. Σχέτλι' ἔρως, &c. Improbe amor, quid non mortalia pectora cogis! Æn. IV. 412.

460. Οἰόθι δ' ἀντικρὺ] μόνος δὲ

Ἐπὶ

Εἶο κασιγνήτης ἀταλὸς πάϊς (οἷα χαράδρης
Χειμερίης, ἣν ὐδὲ δι' αἰζηοὶ περόωσιν)
Εἴ κε δόλον ξείνοισιν ἐπ' ἀνδράσι τεχνήσαιτο.
Καὶ τὼ μὲν τοὶ ἕκαστα συνήνεον ἀλλήλοισιν·
Αὐτίκα δ' Αἰσονίδης πυκινοῖο ἐπᾶλτο λόχοιο,
Γυμνὸν ἀνασχόμενος παλάμῃ ξίφος· αἶψα δ' ἡ κούρη
Ἔμπαλιν ὄμματ' ἔνεικε, καλυψαμένη ὀθόνῃσι,
Μὴ φόνον ἀθρήσειε κασιγνήτοιο τυπέντος.
Τὸν δ' ὅγε, βουτύπος ὥστε μέγαν κερεαλκέα ταῦρον,
Πλῆξεν ὀπιπτεύσας, νηῦ σχεδὸν, ὃν ποτ' ἔδειμαν
Ἀρτέμιδι Βρυγοὶ περιναιέται ἀντιπέρηθε.
Τοῦ ὅγ' ἐνὶ προδόμῳ γνὺξ ἤριπε· λοίσθια δ' ἥρως
Θυμὸν ἀναπνείων χερσὶν μέλαν ἀμφοτέρῃσιν

Sororem ſuam ſimplex puer (tanquam torrentem
Hybernum, quem ne juvenes quidem tranſirent)
Anne dolum aliquem in viros peregrinos moliretur.
Et hi quidem de ſingulis conſenſerunt mutuò.
Subitò autem Æſonides è denſis exiliit inſidiis
Nudo altè elato manu gladio ; ac ſtatim puella
Retrò avertit oculos, obtecta velamine,
Ne cædem aſpiceret percuſſi fratris.
Hunc ille, veluti bovis interfector magnum cornibus confiſum taurum,
Percuſſit, oculis luſtrans propè templum, quod olim extruxerant
Dianæ Brygi accolæ ex adverſo.
Ejus ille in veſtibulo in genua cecidit : extremam autem heros
Animam exhalans manibus nigrum utriſque

περὶ τὴν Μήδειαν μετιὼν ὁ Ἄψυρτος πεῖραν ἐλάμβανεν, ὡς ἔτι ὢν ἀταλὸς καὶ δόλων ἄπειρος, εἰ βουληθείη προδοῦναι τοὺς Ἀργοναύτας, τὸν καθ' αὐτοῦ δόλον οὐκ ἐπιστάμενος. Schol.

467. Ἔμπαλιν ὄμματ' ἔνεικε] ἡ Μήδεια ἀπεστράφη τοῦ Ἀψύρτου ἀναιρουμένου, ἵνα μὴ τὸν φόνον αὐτοῦ ἴδῃ. Schol.

469. Τὸν δ' ὅγε] τὸν δὲ Ἄψυρτον ὁ Ἰάσων ἔπληξεν, ὥσπερ βοῦς καταβάλλων. Schol.

471. Βρυγοὶ] ἔθνος Ἰλλυρίας. Schol.

472. Προδόμῳ] καταχρηστικῶς προδόμῳ εἶπε τὸν πρόναον. Schol.

Αἷμα

Αἷμα κατ' ὠτειλὴν ὑποΐσχετο· τῆς δὲ καλύπτρην
Ἀργυφέην καὶ πέπλον ἀλευομένης ἐρύθηνεν.
Ὀξὺ δὲ πανδαμάτωρ λοξῷ ἴδεν οἷον ἔρεξαν
Ὄμματι νηλειὴς ὀλοφώϊον ἔργον Ἐριννύς.
Ἥρως δ' Αἰσονίδης ἐξάργματα τάμνε θανόντος·
Τρὶς δ' ἀπέλειξε φόνου, τρὶς δ' ἐξ ἄγος ἔπτυσ' ὀδόντων,
Ἣ θέμις αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι.
Ὑγρὸν δ' ἐν γαίῃ κρύψεν νέκυν· ἔνθ' ἔτι νῦν περ
Κεῖαται ὀστέα κεῖνα μετ' ἀνδράσιν Ἀψυρτεῦσιν.
Οἱ δ' ἄμυδις πυρσοῖο σέλας προπάροιθεν ἰδόντες
Τό σφιν παρθενικὴ τέκμαρ μετιοῦσιν ἄειρε,
Κολχίδος ἀγχόθι νηὸς ἑὴν παρὰ νῆα βάλοντο

Sanguinem circa vulnus excepit, ejúſque calyptram
Niveam peplumque averſæ rubefecit.
Acutè verò quæ omnia domat obliquo cernebat quale patraverant
Oculo immiſericors dirum facinus Erynnis.
Tum verò heros Æſonides primitias execuit mortui.
Ter delinxit ſanguinem; ter ſcelus expuit dentibus,
Prout fas eſt percuſſoribus clandeſtinas expiare cædes.
Madens deinde in terrâ ſepeliit cadaver, ubi etiamnum
Jacent oſſa illa apud viros Abſyrtenſes.
Ipſi autem ſimul ac ignis jubar ante ſe conſpexerunt,
Quod illis virgo ſignum acceſſuris extulerat,
Colchicam prope navem ſuam adegerunt

474. Τῆς δὲ καλύπτρην] τῆς δὲ Μηδείας ὁ Ἄψυρτος ἀποθνήσκων τὴν καλύπτραν καὶ πέπλον ἐρύθηνε τῷ ἑαυτοῦ αἵματι. Schol.

478. Ἐξάργματα ταμνε] τῶν ἀποθανόντων οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρεθέντος· καὶ ταῦτα λαβόντες ἐξῆρτων τοῦ τραχήλου αὐτῶν. τῶν δὲ καλουμένων ἀκρωτηριασμάτων ἄπειρα καὶ πολλὰ ἐξάργματα. ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες, τρὶς εἰς τὸ στόμα ἔπτυον. τοῦτο δὲ ἐποίουν πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν. Schol.

Ibid. Ἐξάρſματα. Tanquam mactatæ ad aram pecudis. Veteres tam anili maduerunt ſuperſtitione, ut à cædis pœna tutos ſe ſperarent, ſi ἀκρωτήρια, hoc eſt extremas corporis interfecti particulas reſectas axillis ſuis appendiſſent, quod eſt νεκρὸν μασχαλίζειν, in Soph. Electra. Hoel.

482. Ἀψυρτεῦσιν] ἔθνος ἀπὸ Ἀψύρτου εἰρημένον. Schol.

Ibid. Ἀψυρτεῦσιν. De oppido illo Abſyrti nomine appellato conſule Apollodorum: Euſtath. in Dionyſ. περιήγην. et Strabonem L. VII. p. 367. Ups.

Ἥρωες·

Ἥρωες· Κόλχων δ' ὄλεκον στόλον, ἠΰτε κίρκοι
Φῦλα πελειάων, ἠὲ μέγα πῶϋ λέοντες
Ἀγρότεροι κλονέουσιν ἐνὶ σταθμοῖσι θορόντες.
Οὐδ' ἄρα τὶς κείνων θάνατον φύγε, πάντα δ' ὅμιλον
Πῦρ ἅτε δηϊόωντες ἐπέδραμον· ὀψὲ δ' Ἰήσων
Ἤντησεν μεμαὼς ἐπαμυνέμεν, οὐ μάλ' ἀρωγῆς
Δευομένοις· ἤδη δὲ καὶ ἀμφ' αὐτοῖο μέλοντο.
Ἔνθα δὲ ναυτιλίης πυκινῆς πέρι μητιάασκον
Ἑζόμενοι βουλήν· ἐπὶ δέ σφισιν ἤλυθε κούρη
Φραζομένοις· Πηλεὺς δὲ παροίτατος ἔκφατο μῦθον.
Ἤδη νῦν κέλομαι νύκτωρ ἔτι νῆ' ἐπιβάντας
Εἰρεσίῃ περάαν πλόον ἀντίον ᾧ ἐπέχουσι
Δήιοι· ἠῶθεν γὰρ ἐπαθρήσαντας ἕκαστα
Ἔλπομαι οὐχ ἕνα μῦθον, ὅτις προτέρωσε δίεσθαι
Ἡμέας ὀτρυνέει, τοὺς πεισέμεν· οἷα δ' ἄνακτος
Εὔνιδες, ἀργαλέῃσι διχοστασίῃς κεδόωνται.

Heroes; Colchorumque peremerunt claſſem, ut accipitres
Columbarum agmina, aut magnum gregem leones
Immites perturbant, cum in ſtabula irruperint.
Nec illorum aliquis mortem effugit, ſed in omnem turbam
Ignis ad inſtar vaſtantes incurſârunt. Jaſon tandem
Acceſſit auxiliandi cupidus non admodum ope
Indigentibus; jam enim de ipſo ſoliciti erant.
Tunc ſane de navigatione cautâ conſuluerunt
Sedentes in concilio: ipſis verò ſupervenit puella
Deliberantibus; primuſque ſermonem protulit Peleus.
Jam nunc jubeo, nocte adhuc exiſtente, ut conſcenſâ navi
Remigio trajiciamus curſum contrarium illi quem obtinent
Hoſtes; manè enim ſingula intuitis
Nullum exiſtimo ſermonem, qui ulterius perſequi
Nos impellat, illis perſuaſurum; ſed tanquam rege
Orbi, diris diſſidiis diſperſi erunt.

495. Πηλεὺς] ὁ Πηλεὺς ξυμβουλεύει γὰρ λόγους, φησὶ, πλὴν τοὺς Κόλχους διὰ μετὰ τὸν Ἀψύρτου θάνατον ἀποπλεῖν. οὐδεὶς ἕξει ἡμᾶς, ἰδόντας τὸ πεπραγμένον. Schol.

Ῥηϊδίη

Ῥηϊδίη δέ κεν ἄμμι, κεδασθέντων δίχα λαῶν,
Ἤδ᾽ εἴη μετέπειτα κατερχομένοισι κέλευθος.
Ὣς ἔφατ᾽· ἤνησαν δὲ νέοι ἔπος Αἰακίδαο·
Ῥίμφα δὲ νῆ᾽ ἐπιβάντες ἐπερρώοντ᾽ ἐλάτῃσι
Νωλεμές· ὄφρ᾽ ἱερὴν Ἠλεκτρίδα νῆσον ἵκοντο,
Ἀλλάων ὑπάτην, ποταμοῦ σχεδὸν Ἠριδανοῖο.
Κόλχοι δ᾽, ὁππότ᾽ ὄλεθρον ἐπεφράσθησαν ἄνακτος,
Ἤτοι μὲν δίζεσθ᾽ ἐπέχραον ἔνδοθι πάσης
Ἀργὼ καὶ Μινύας Κρονίης ἁλός· ἀλλ᾽ ἀπέρυκεν
Ἥρη σμερδαλέῃσι κατ᾽ αἰθέρος ἀστεροπῇσιν
Ὕστατον· αὐτοὶ δ᾽ αὖτε Κυταιΐδος ἤθεα γαίης
Στύξαν, ἀτυζόμενοι χόλον ἄγριον Αἰήταο·
Ἔμπεδα δ᾽ ἄλλυδις ἄλλοι ἐφορμηθέντες ἔνασθεν.
Οἱ μὲν ἐπ᾽ αὐτάων νήσων ἔβαν, ᾗσιν ἐπέσχον
Ἥρωες, ναίουσι δ᾽ ἐπώνυμοι Ἀψύρτοιο·

Facilis autem nobis, diſperſo bifariam populo,
Ipſa fuerit poſtea redeuntibus via.
Sic dixit: approbârunt autem juvenes ſententiam Æacidæ.
Statim igitur, inſcenſâ navi, incubuerunt remis
Indeſinenter, donec ſacram Electrida inſulam attigiſſent,
Aliarum poſtremam, flumen propè Eridanum.
At Colchi, comperto regis interitu,
Veſtigare furebant per totum mare
Saturnium Argo Minyaſque: ſed prohibuit
Juno diris ab æthere fulguribus,
Ultimum: ipſi verò rurſus Colchicæ ſedes terræ
*Adire* reformidârunt, vitantes ſævam iram Æetæ,
Tutóque alii aliò appulſi habitârunt.
Hi quidem ipſas inſulas ingreſſi ſunt, quas tenuerunt
Heroes, inhabitantque Abſyrto cognomines.

506. Ἠλεκτρίδα] αὕτη ἡ Ἠλεκτρὶς ἐγγύς ἐστι τοῦ Ἠριδανοῦ ποταμοῦ. Schol.

508. Κόλχοι] Κόλχοι ἀφορμηθέντες τῆς Ἀργοῦς οὐκ ἐπανῆλθον, φοβούμενοι τὸν Αἰήτην. ἀλλὰ οἱ μὲν αὐτῶν ᾤκησαν ὅπου ὁ Ἄψυρτος ἐδολοφονήθη, μετὰ τῶν κληθέντων ἀπ᾽ αὐτοῦ Ἀψυρτίων· οἱ δὲ, ἐν Ἰλλυρίᾳ, ὅπου οἱ Ἐγχέλυες, περὶ τὰ Κεραύνια ὄρη. Schol.

Οἱ

Οἱ δ' ἄρ' ἐπ' Ἰλλυρικοῖο, μελαμβαθέος ποταμοῖο,
Τύμβος ἵν' Ἁρμονίης Κάδμοιό τε, πύργον ἔδειμαν,
Ἀνδράσιν Ἐγχελέεσσιν ἐφέστιοι· οἱ δ' ἐν ὄρεσσιν
Ἐνναίουσιν ἅπερ τε Κεραύνια κικλήσκονται,
Ἐκ τοῦθεν ἐξότε τούς γε Διὸς Κρονίδαο κεραυνοὶ
Νῆσον ἐς ἀντιπέραιαν ἀπέτραπον ὁρμηθῆναι.
Ἥρωες δὲ, ὅτε δή σφιν ἐείσατο νόστος ἀπήμων,
Δή ῥα τότε προμολόντες ἐπὶ χθονὶ πείσματ' ἔδησαν
Ὑλλήων· νῆσοι γὰρ ἐπιπρούχοντο θαμειαὶ
Ἀργαλέην πλώουσιν ὁδὸν μεσσηγὺς ἔχουσαι.
Οὐδέ σφιν ὡς καὶ πρὶν ἀνάρσια μητιάασκον
Ὑλλῆες· πρὸς δ' αὐτοὶ ἐμηχανόωντο κέλευθον,
Μισθὸν ἀειρόμενοι τρίποδα μέγαν Ἀπόλλωνος.
Δοιοὺς γὰρ τρίποδας τηλοῦ πόρε Φοῖβος ἄγεσθαι
Αἰσονίδῃ περόωντι κατὰ χρέος, ὁππότε Πυθὼ

Hi juxtà Illyricum nigrum profundum fluvium,
Ubi Harmoniæ Cadmique monumentum, turrim condiderunt,
Viris Enchelibus accolæ; hi denique montes
Incolunt qui Ceraunii vocantur,
Ex quo eos Jovis Saturnii fulmina
In insulam adversam averterunt ut appellerent.
At heroes, quando jam ipsis tutus videretur reditus,
Tunc sane ulterius progressi in terrâ retinacula alligârunt
Hyllensium; frequentes enim prominebant insulæ
Difficilem navigantibus viam habentes mediam.
Nec illis, sicut antea, hostilem tenebant animum
Hyllenses; sed ipsi *unà cum iis* consulebant de itinere,
Pro mercede accepto ingenti Apollinis tripode:
Duos enim tripodas procul avehendos dedit Apollo
Æsonis filio, transeunti ad oraculum *consulendum*, quando ad Pythum

525. Ὑλλήων] ἔθνος περὶ τὴν Ἰλλυρίαν, ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους καὶ Μελίτης ὀνομασμένον. Schol.

Ἱρὴν πευσόμενος μετεκίαθε τῆσδ' ὑπὲρ αὐτῆς
Ναυτιλίης· πέπρωτο δὲ, ὅπη χθονὸς ἱδρυθεῖεν,
Μήποτε τὴν δηΐοισιν ἀναστήσεσθαι ἰοῦσι.
Τοὔνεκεν εἰσέτι νῦν κείνη ὅδε κεύθεται αἴῃ
Ἀμφὶ πόλιν ἀγανὴν Ὑλληΐδα, πολλὸν ἔνερθεν
Οὔδεος, ὥς κεν ἄφαντος ἀεὶ μερόπεσσι πέλοιτο.
Οὐ μὲν ἔτι ζώοντα κατ' αὐτόθι πέτμον ἄνακτα
Ὕλλον, ὃν εὐειδὴς Μελίτη τέκεν Ἡρακλῆϊ,
Δήμῳ Φαιήκων· ὁ γὰρ οἰκία Ναυσιθόοιο
Τυτθὸς ἐὼν ποτ' ἔναιεν· ἀτὰρ λίπε νῆσον ἔπειτα
Μάκριν τ' εἰσαφίκανε Διωνύσοιο τιθήνην,
Νιψόμενος παίδων ὀλοὸν φόνον· ἔνθ' ὅγε κούρην
Αἰγαίου ἐδάμασσεν ἐρασσάμενος ποταμοῖο

Sacram oraculum consulturus accessit de hâc ipsâ
Navigatione; fatoque sancitum erat, quocunque terrarum deposuerint,
Nunquam hanc *terram* hostibus vastandam esse irrumpentibus.
Quapropter etiam nunc in eâ ille occultatur tellure
Circà urbem inclytam Hyllensium, longè infrà
Sub solo, ut invisibilis semper hominibus sit.
Nec tamen amplius viventem ibi offenderunt regem
Hyllum, quem formosa Melite peperit Herculi,
In populo Phæacum: is enim in Nausithoi ædibus
Parvus cum esset olim habitavit: sed reliquit insulam postea
Macrinque pervenit, Bacchi nutricem,
Expiaturus liberorum miserabilem cædem; ubi ille natam
Ægæi fluminis amore captus compressit

532. Πευσόμενος] πεύσων, χρησμὸν αἰτησόμενος παρὰ τοῦ Ἀπόλλωνος. Schol.

533. Ὅπη χθονὸς] οἱ Ὑλλεῖς λαβόντες μισθὸν παρὰ Ἰάσονος τρίποδα τῆς μηνύσεως τῆς ὁδοῦ, ἔκρυψαν ὑπὸ γῆν. ἐπεὶ ὁ χρησμὸς ἐκέλευσεν, ἔνθα ἂν ὁ τρίπους ᾖ, ἀπόρθητον εἶναι τὴν πόλιν. Schol.

535. Κεύθεται] τὸ ὄν, ὅδε κεύθεται, οὗτος ὁ τρίπους. Schol.

542. Μάκριν τ' εἰσαφίκανε] Μάκρις τὸ παλαιὸν ἐλέγετο ἡ Σχερία, ὠνομάσθη δὲ μάκρις ἀπὸ τῆς Διονύσου τροφοῦ. ἔνθα φησὶ τὸν Ἡρακλέα παραγενόμενον τὸν τῶν παίδων αὐτοῦ φόνον καθαρθησόμενον, Μελίτην τὴν Αἰγαίου τοῦ ποταμοῦ θυγατέρα γεγαμηκέναι. ἐξ ἧς ἔσχε τὸν Ὕλλον, ὃς ἀνδρωθεὶς οὐκ ἠθέλησε τῷ Ναυσιθόῳ ὑποταγῆναι· ἀλλὰ τινὰς τῶν Φαιάκων συναγαγὼν, εἰς τὴν Κρονίαν θάλασσαν κατῴκησε. Schol.

544. Ποταμοῖο. *Maris.* Hesiodus

Νηϊάδα Μελίτην· ἡ δὲ σθεναρὸν τέκεν Ὕλλον.
Οὐδ' ἄρ' ὅγ' ἡβήσας αὐτῇ ἐνεέλδετο νήσῳ.
Ναίειν, κοιρανέοντος ἐπ' ὀφρύσι Ναυσιθόοιο·
Βῆ δ' ἅλαδε Κρονίην, αὐτόχθονα λαὸν ἀγείρας
Φαιήκων· σὺν γάρ οἱ ἄναξ πόρσυνε κέλευθον
Ἥρως Ναυσίθοος· τόθι δ' εἵσατο· καί μιν ἔπεφνον
Μέντορες ἀγραύλοισιν ἀλεξόμενον περὶ βουσίν.
Ἀλλὰ, Θεαὶ, πῶς τῆσδε παρὲξ ἁλὸς, ἀμφί τε γαῖαν
Αὐσονίην, νήσους τε Λιγυστίδας, αἳ καλέονται
Στοιχάδες, Ἀργῴης περιώσια σήματα νηὸς

Naiada Meliten, quæ validum peperit Hyllum.
Nec ille adultus in illâ voluit insulâ
Habitare, dominantis ad nutum Nausithoi;
Sed ad mare ivit Saturnium, ex eâdem terrâ collecto populo
Phæacum; simulque rex ei instructum reddidit iter
Heros Nausithous: ibi igitur consedit: ac peremerunt eum
Mentores, agrestibus vim depellentem à bobus.
At, o deæ, quomodo hoc extra mare, circáque terram
Ausoniam et insulas Ligustidas, quæ vocantur
Stœchades, Argoæ ingentia insignia navis

in Theog. similiter ὠκεανὸν dixit ποταμὸν, et Μελίτην Nerei filiam. Ægæus autem sinus Nerei domus, IV. 772. Hœl.

547. Ἐπ' ὀφρύσι. Ut ἐπὶ sit potestatis. Monet Hœlzlinus haud ineleganter legi posse ὑπ' ὀφρύσι.

552. Ἀλλὰ, Θεαὶ, πῶς] πυνθάνεται τῆς Μούσης ὁ ποιητὴς πῶς τὴν πλάνην ἐποίησαν οἱ Ἀργοναῦται μετὰ τὸν Ἀψύρτου θάνατον, καὶ πῶς εἰς θάλασσαν ἦλθον. Schol.

553. Αὐσονίην] μέμφονται δέ τινες τὸν Ἀπολλώνιον, ὡς περὶ τούτους τοὺς χρόνους εἰρηκότα τὴν Ἰταλίαν, Αὐσονίαν. ὑστέροις γὰρ χρόνοις τῶν Ἀργοναυτῶν οὕτω κέκληται, ἀπὸ Αὔσονος τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς. ἐροῦμεν δὲ ὅτι εἰ καὶ μὴ κατὰ χρόνους ἐκείνους Αὔσονες ὠνομάζοντο, ἀλλὰ τοῖς τοῦ ποιητοῦ χρόνοις ἐκαλοῦντο οὕτως. Νήσους τε Λιγυστίδας. περὶ τὴν Ἰταλίαν εἰσὶ τρεῖς Λιγυστίδες, καλούμεναι Στοιχάδες, διὰ τὸ στοίχῳ τετάχθαι· αὗται οἰκοῦνται ὑπὸ τῶν Λιγύων. Schol.

Ibid. Αὐσονίην. Si fragili nitimur tritæ notationis fundamento, est hic ἀναχρονισμὸς vel πρόληψις. Scilicet prævidit Apollonius non defore qui reprehendant has itinerum ambages. Quæ tamen haud paulo plus fidei merentur quàm quæ Homerus et Virgilius de Ulysse et Ænea scripserunt; quos decennali aut septennali navigatione circumducunt, quo tempore aliquoties orbis terrarum circumnavigari poterat. Hœl.

Νημερτὲς πέφανθ᾽; τίς ἀπόπροθι τόσσον ἀνάγκη
Καὶ χρειώ σφ᾽ ἐκόμισσε; τίνες σφέας ἤγαγον αὖραι;
Αὐτόν που μεγαλωστὶ, δεδουπότος Ἀψύρτοιο,
Ζῆνα Θεῶν βασιλῆα χόλος λάβεν, οἷον ἔρεξαν.
Αἰαίης δ᾽ ὀλοὸν τεκμήρατο δήνεσι Κίρκης
Αἷμ᾽ ἀπονιψαμένους, πρό τε μυρία πημανθέντας
Νοστήσειν· τὸ μὲν οὔτις ἀριστήων ἐνόησεν·
Ἀλλ᾽ ἔθεον γαίης Ὑλληίδος ἐξανιόντες
Τηλόθι, τὰς δ᾽ ἀπέλειπον ὅσαι Κόλχοισι πάροιθεν
Ἑξείης πλήθοντο Λιβυρνίδες εἰν ἁλὶ νῆσοι,
Ἴσσα τε δυσκέλαδός τε καὶ ἱμερτὴ Πιτύεια.
Αὐτὰρ ἔπειτ᾽ ἐπὶ τῇσι παραὶ Κέρκυραν ἵκοντο,
Ἔνθα Ποσειδάων Ἀσωπίδα νάσσατο κούρην

Verè apparuerunt? quæ eos in longinquum adeo neceſſitas
Quæve cauſa depulit? quæ eos deduxerunt auræ?
Ipſum utique vehementer, occiſo Abſyrto,
Jovem Deorum regem corripuit ira; adeo nefandum patraverant.
Iiſque ſignificavit ut impium Ææeæ conſiliis Circes
Sanguinem abluerent, multis læſi malis
Antequam reverterent: quod quidem nullus principum intellexit.
Currebant igitur ex terrâ Hylleïde egreſſi
Longè, eaſque reliquerunt quotquot antea Colchis
Ex ordine erat confertæ Liburnides in mari inſulæ:
Iſſamque horriſonam, amabilemque Pityæam.
Poſt has deinde juxta Corcyram venerunt
Ubi Neptunus Aſopo natam habitare fecerat puellam

557. Αὐτόν που] μετὰ τὴν πεῦσιν ἐμπεδωθεὶς, ἐντεῦθεν ἄρχεται τοῦ διηγήματος. Schol.

564. Ἑξείης πλήθοντο] Λίβυρνοι, ἔθνος οἰκοῦντες ταύτας τὰς νήσους. Ἴσσαν τε δυσκέλαδον καὶ Πιτύειαν. μεθ᾽ ἃς εἰς Κέρκυραν ἦλθον. Schol.

565. Πιτύεια] τὴν δὲ Πιτυοῦσσαν καλουμένην, Πιτύειαν εἶπεν, Ὁμήρῳ ἑπόμενος. Schol.

Ibid. Legiſſe videtur Scholiaſtes Ἴσσαν δυσκέλαδόν τε καὶ ἱμερτὴν Πιτύειαν.

566. Κέρκυραν. Multum eſt confuſionis in ſcriptoribus circa hanc inſulam. Duas eſſe hujus nominis conſortes fatetur Euſtathius ad Dionyſium: quarum altera, Phæacia nempe, πρὸς τῷ Ἰονίῳ κόλπῳ: altera ἐντὸς τοῦ Ἰονίου. De hac ſunt iſta capienda carmina, quam ſæpius ſcripſerunt per μικρὸν ο. Ut Scylax, et lib. II. Strabo. Hœl.

Ἠὔκομον

Ἠΰκομον Κέρκυραν, ἑκὰς Φλειουντίδος αἴης
Ἁρπάξας ὑπ᾽ ἔρωτι· μελαινομένην δέ μιν ἄνδρες
Ναυτίλοι ἐκ πόντοιο κελαινῇ πάντοθεν ὕλῃ
Δερκόμενοι, Κέρκυραν ἐπικλείουσι Μέλαιναν.
Τῇ δ᾽ ἔπι καὶ Μελίτην, λιαρῷ περιγηθέες οὔρῳ
Αἰπεινήν τε Κερωσσὸν, ὕπερθε δὲ πολλὸν ἐοῦσαν
Νυμφαίην παράμειβον· ἵνα κρείουσα Καλυψὼ
Ἀτλαντὶς ναίεσκε· τὰ δ᾽ ἠεροειδέα λεύσσειν
Οὔρεα δοιάζοντο Κεραύνια. Καὶ τότε βουλὰς
Ἀμφ᾽ αὐτοῖς Ζηνός τε μέγαν χόλον ἐφράσαθ᾽ Ἥρη.
Μηδομένη δ᾽ ἄνυσιν τοῖο πλόου, ὦρσεν ἀέλλας
Ἀντικρύ· τοὶ δ᾽ αὖτις ἀναρπάγδην φορέοντο
Νήσου ἔπι κραναῆς Ἠλεκτρίδος· αὐτίκα δ᾽ ἄφνω
Ἴαχεν ἀνδρομέῃ ἐνοπῇ μεσσηγὺ θεόντων
Αὐδῆεν γλαφυρῆς νηὸς δόρυ, τόῤῥ᾽ ἀνὰ μέσσην

Pulchricomam Cercyram, procul a terrâ Phliuntide
Præ amore arreptam: quam quidem nigrantem
Nautæ ex mari caliginosâ undiquaque sylvâ
Cernentes, Cercyram nominârunt nigram.
Post hanc et Meliten, secundo pergaudentes vento,
Excelsamque Cerossum, ac desuper multùm existentem
Nymphæam præteribant; ubi regina Calypso
Atlantis filia habitabat: ac se aërios videre
Montes putabant Ceraunios. Tum verò de ipsis consilia
Jovisque gravem iram intellexit Juno.
Solicita verò de perfectione hujus itineris, excitavit procellas
Contrà: illi inde abreptim ferebantur
Ad asperam insulam Electrida; statimque de subito
Ingemuit humanâ voce, inter currendum,
Cavo sono navis lignum, quod quidem mediæ

568. Φλιουντίδος. Forsan Φλειουντίδος. Nam Φλείας fuit I. 115. Vide ibi Schol.

576. Δοιάζοντο] ἐστοχάζοντο. Schol.

577. Χόλον ἐφράσαθ᾽ Ἥρη] ἡ Ἥρα, φησὶ, τὴν Διὸς ὀργὴν ἐπισταμένη πρὸς τοὺς Ἀργοναύτας, σφοδροὺς ἀνέμους ἐποίησε κατ᾽ ἐκείνους τοὺς τόπους· ὅπως ἀποστρέψῃ μὲν αὐτῶν, φέρων δὲ εἰς τὴν Ἠλεκτρίδα νῆσον. Schol.

Στεῖραν

Στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
Τοὺς δ' ὀλοὸν μεσσηγὺ δέος λάβεν εἰσαΐοντας
Φθογγήν τε Ζηνός τε βαρὺν χόλον· οὐ γὰρ ἀλύξειν
Ἔννεπεν οὔτε πόρους δολιχῆς ἁλὸς, οὔτε θυέλλας
Ἀργαλέας, ὅτε μὴ Κίρκη φόνον Ἀψύρτοιο
Νηλέα νίψειεν. Πολυδεύκεα δ' εὐχετάασθαι
Κάστορά τ' ἀθανάτοισι θεοῖς ἤνωγε κελεύθους
Αὐσονίης ἔμπροσθε πορεῖν ἁλός· ᾗ ἔνι Κίρκην
Δήουσιν Πέρσης τε καὶ ἠελίοιο θύγατρα.
Ὡς Ἀργὼ ἰάχησεν ὑπὸ κνέφας· οἱ δ' ἀνόρουσαν
Τυνδαρίδαι, καὶ χεῖρας ἀνέσχεθον ἀθανάτοισιν
Εὐχόμενοι τὰ ἕκαστα· κατηφείη δ' ἔχεν ἄλλους
Ἥρωας Μινύας. Ἡ δ' ἔσσυτο πολλὸν ἐπιπρὸ
Λαίφεσιν· ἐς δ' ἔβαλον μύχατον ῥόον Ἠριδανοῖο

Carinæ Minerva è Dononeâ adaptaverat quercu.
Hos interea immenſus corripuit metus audientes
Vocemque Joviſque gravem iram: non enim evaſuros
Dixit *navis* nec maris longinqui meatus, nec procellas
Ineluctabiles, niſi Circe cædem Abſyrti
Crudelem ablueret. Polluci inſuper orare
Deos Caſtorique immortales juſſit, ut vias
Auſonii coram aperirent maris, in quo Circen
Inventuri erant Perſes ſoliſque filiam.
Sic ſub crepuſculum inclamavit Argo: ipſi exilierunt
Tyndaridæ, Diiſque manus attulerunt
Singula precantes: triſtitia autem alios corripuit
Heroas Minyas. Ipſa procurrit longè ulterius
Velis, penetrâruntque in intimum ſinum Eridani,

585. Οὐ γὰρ ἀλύξειν] ἡ στεῖρα τῆς Ἀργοῦς, φησὶ, φωνὴν ἔχουσα ξύλον, μεταδίδωκεν αὐτοῖς τὸν Διὸς χόλον φεύγειν, καὶ πρὸς Κίρκην ἀφικέσθαι, τὸν Ἀψύρτου θάνατον καθαρθησομένους. Schol.

591. Δήουσι] εὑρήσουσιν. ἀεὶ γὰρ ἐπὶ μέλλοντος κεῖται. Schol.

596. Ἠριδανοῖο] εἰς δὲ τὸν Ἠριδανὸν εἰσέβαλλον, ὅς ἐστι τῆς Κελτικῆς ποταμός. εἰς ὃν λέγουσι πεπλωκέναι τὸν Φαέθοντα. Schol.

Ἔνθα

Ἔνθα ποτ' αἰθαλόεντι τυπεὶς πρὸς στέρνα κεραυνῷ
Ἡμιδαὴς Φαέθων πέσεν ἅρματος ἠελίοιο
Λίμνης ἐς προχοὰς πολυβενθέος· ἡ δ' ἔτι νῦν περ
Τραύματος αἰθομένοιο βαρὺν ἀνακηκίει ἀτμόν.
Οὐδέ τις ὕδωρ κεῖνο διὰ πτερὰ κοῦφα τανύσας
Οἰωνὸς δύναται βαλέειν ὕπερ· ἀλλὰ μεσηγὺς
Φλογμῷ ἐπιθρώσκει πεποτημένος· ἀμφὶ δὲ κοῦραι
Ἡλιάδες ταναῇσιν ἐφήμεναι αἰγείροισιν
Μύρονται κινυρὸν μέλεαι γόον· ἐκ δὲ φαεινὰς
Ἠλέκτρου λιβάδας βλεφάρων προχέουσιν ἔραζε,
Αἳ μέν τ' ἠελίῳ ψαμάθοις ἐπιτερσαίνονται.
Εὖτ' ἂν δὲ κλύζωσι κελαινῆς ὕδατα λίμνης
Ἠιόνας πνοιῇ πολυηχέος ἐξ ἀνέμοιο,
Δὴ τότ' ἐς Ἠριδανὸν προκυλίνδεται ἀθρόα πάντα
Κυμαίνοντι ῥόῳ. Κελτοὶ δ' ἐπὶ βάξιν ἔθεντο,

Ubi olim ardenti percussus pectora fulmine
Semiustus Phaethon cecidit de curru solis,
In lacus profundi alveum, qui in hodiernum usque
E vulnere ardenti gravem emittit vaporem.
Nec aliqua aquam istam, pennis levibus extensis,
Avis potest supervolare, sed in mediam
Flammam insilit inter volandum: circum autem filiæ
Solis, proceris indutæ populis,
Lamentantur querulo miseræ luctu; lucidasque
Electri guttas è palpebris profundunt in humum,
Quæ in arenis quidem siccantur sole.
Quando verò inundaverint nigri aquæ lacus
Ripas, flatibus multum resonantis venti,
Tunc sane in Eridanum provolvuntur confertim omnes
Æstuante fluxu. Celti autem famam addiderunt

603. Ἀμφὶ δὲ κοῦραι] λέγεται, τῶν Ἡλιάδων θρηνουσῶν τὸν Φαέθοντα καὶ εἰς αἰγείρους μεταβεβλημένων, τὸ ἀποστάζον δάκρυον εἶναι ἤλεκτρον. Schol.

611. Κελτοὶ δ' ἐπὶ] οἱ Κελτοὶ ἐφήμισαν τὸ ἤλεκτρον εἶναι μὴ τῶν Ἡλιάδων, ἀλλὰ δάκρυον εἶναι Ἀπόλλωνος, ἡνίκα διὰ τὸν Ἀσκληπιοῦ θάνατον ἀνιαθεὶς εἰς τοὺς

Ὡς

Ὣς ἄρ' Ἀπόλλωνος τάδε δάκρυα Λητοΐδαο
Ἐμφέρεται δίναις, ἅτε μυρία χεῦε πάροιθεν,
Ἦμος Ὑπερβορέων ἱερὸν γένος εἰσαφίκανεν,
Οὐρανὸν αἰγλήεντα λιπὼν, ἐκ πατρὸς ἐνιπῆς·
Χωόμενος περὶ παιδὶ, τὸν ἐν λιπαρῇ Λακερείῃ
Δῖα Κορωνὶς ἔτικτεν ἐπὶ προχοῇς Ἀμύροιο.
Καὶ τὰ μὲν ὧς κείνοισι μετ' ἀνδράσι κεκλήισται.
Τοὺς δ' οὔτε βρώμης ᾕρει πόθος οὐδὲ ποτοῖο,
Οὔτ' ἐπὶ γηθοσύνας τράπετο νόος· ἀλλ' ἄρα τοίγε
Ἤματα μὲν στρεύγοντο περιβληχρὸν βαρύθοντες
Ὀδμῇ λευγαλέῃ, τήν ῥ' ἄσχετον ἐξανίεσκον
Τυφομένου Φαέθοντος ἐπιῤῥοαὶ Ἠριδανοῖο·
Νυκτὸς δ' αὖ γόον ὀξὺν ὀδυρομένων ἐσάκουον
Ἡλιάδων λιγέως· τὰ δὲ δάκρυα μυρομένῃσιν
Οἷον ἐλαιηραὶ στάγες ὕδασιν ἐμφορέοντο.

Quòd Apollinis hæ lachrymæ Latonii
Inferantur vorticibus, quæ frequentes fluebant antea,
Quando Hyperboreorum sacrum advenit populum,
Relicto splendido cœlo, ob patris objurgationem;
Iratus filii causâ, quem in divite Laceræâ
Diva Coronis peperit ad ostia Amyri.
Et hæc quidem ita illos apud viros celebrantur.
Hos autem nec cibi nec potûs corripuit desiderium,
Nec ad lætitias vertebatur animus; sed
Interdiu angebantur ad languorem usque gravati
Odore tristi, quem intolerabilem emiserunt
Ex fumante Phaethonte fluxus Eridani:
Noctu verò acutum luctum flentium exaudiebant
Heliadum argutè: lachrymæ autem lamentantium
Ad instar olearium guttarum, inferebantur aquis.

Ὑπερβορέους ἀφίκετο, διὰ τὴν τοῦ πατρὸς ἐπιτίμησιν. ἢ ὅτι ἐκελεύσθη θητεύειν ἐπὶ τῷ φόνῳ τῶν Κυκλώπων. Schol.

625. Μυρομένῃσιν] θρηνουσῶν δὲ τῶν Ἡλιάδων τὸ δάκρυον ἀναμίσγεται τοῖς ὕδασιν, ὥσπερ σταγόνες ἐλαίου. στάγες, ὡς ἀπὸ τοῦ στὰξ σταγός. Schol.

Ἐκ

Ἐκ δὲ τόθεν Ῥοδανοῖο βαθὺν ῥόον εἰσεπέρησαν,
Ὅς τ' εἰς Ἠριδανὸν μεσσηνείσεται· ἄμμιγα δ' ὕδωρ
Ἐν ξυνοχῇ βέβρυχε κυκώμενον· αὐτὰρ ὁ γαίης
Ἐκ μυχάτης, ἵνα τ' εἰσὶ πύλαι καὶ ἐδέθλια νυκτὸς,
Ἔνθεν ἀπορνύμενος, τῇ μέν τ' ἐπερεύγεται ἀκτὰς
Ὠκεανοῦ, τῇ δ' αὖτε μετ' Ἰονίην ἅλα βάλλει,
Τῇ δ' ἐπὶ Σαρδόνιον πέλαγος καὶ ἀπείρονα κόλπον
Ἑπτὰ διὰ στομάτων ἱεὶς ῥόον. Ἐκ δ' ἄρα τοῖο
Λίμνας εἰσέλασαν δυσχείμονας, αἵτ' ἀνὰ Κελτῶν
Ἤπειρον πέπτανται ἀθέσφατον· ἔνθα κεν οἵγε
Ἄτῃ ἀεικελίῃ πέλασαν· φέρε γάρ τις ἀποῤῥὼξ
Κόλπον ἐς ὠκεανοῖο, τὸν οὐ προδαέντες ἔμελλον
Εἰσβαλέειν· τόθεν οὔ κεν ὑπότροποι ἐξεσάωθεν·
Ἀλλ' Ἥρη σκοπέλοιο καθ' Ἑρκυνίου ἰάχησεν

Exinde Rhodani profundos fluctus trajecerunt,
Qui in Eridanum illabitur: commiſtim autem aqua
In anguſtiis reboavit confuſa: ille terrâ
Ex intimâ, ubi ſunt portæ et cubilia noctis,
Inde deruens, hâc quidem parte irructatur litoribus
Oceani, illâ in Ionium mare ſe immittit,
Alterâ in Sardonium pelagus et infinitum ſinum
Septem per oſtia mittit fluctus: ex hoc igitur
Paludes intrârunt procelloſas, quæ per Celtarum
Tellurem patent immenſam: quò ſanè illi
In calamitatem miſeram incidiſſent: (ferebat enim brachium quoddam
In ſinum Oceani, in quem imprudentes erant
Illapſuri; unde non ſane reduces ſervati fuiſſent)
Verùm Juno ab Hercynio ſcopulo inclamavit

627. Ῥοδανοῖο] Ῥοδανὸς, ποταμὸς τῆς Κελτικῆς, τῷ Ἠριδανῷ συμμιγνύμενος, καὶ ῥιζόμενος, τῇ μὲν εἰς ὠκεανὸν φέρεται· τῇ δὲ, εἰς τὸν Ἰόνιον κόλπον· τῇ δὲ, εἰς τὸ Σαρδόνιον πέλαγος. Schol.

Ibid. Ῥοδανοῖο. De hac tota nominum confuſione, quæ et aliis communis eſt ſcriptoribus Græcis, videndus Cluverius L. I. Italiæ. C. 34. Atque hic de Rhodani in Adriam influxu error eſt ἀδελφὸς ei qui erat de Iſtro. Hœl.

640. Ἑρκυνίου] Ἑρκύνιον ὄρος Κελτῶν, ἢ δρυμός. Schol.

Hhh Οὐρανόθεν

Οὐρανόθεν προθοροῦσα· φόβῳ δ' ἐτίναχθεν αὐτῆς
Πάντες ὁμῶς· δεινὸν γὰρ ἐπὶ μέγας ἔβραχεν αἰθήρ.
Ἂψ δὲ παλιντροπόωντο θεᾶς ὕπο· καί ῥ' ἐνόησαν
Τήνδ' οἶμον τῇπέρ τε καὶ ἔπλετο νόστος ἰοῦσι.
Δηναιοὶ δ' ἀκτὰς ἁλιμυρέας εἰσαφίκοντο,
Ἥρης αἰνεσίῃσι, δι' ἔθνεα μυρία Κελτῶν
Καὶ Λιγύων περόωντες ἀδήιοι· ἀμφὶ γὰρ αἰνὴν
Ἠέρα χεῦε θεὰ πάντ' ἤματα νεισσομένοισι.
Μεσσότατον δ' ἄρα τοίγε διὰ στόμα νηὶ βαλόντες
Στοιχάδας εἰσαπέβαν νήσους σόοι, εἵνεκα κούρων
Ζηνός· ὃ δὴ βωμοί τε καὶ ἱερὰ τοῖσι τέτυκται
Ἔμπεδον· οὐδ' οἶον κείνης ἐπίκουροι ἕποντο
Ναυτιλίης, Ζεὺς δέ σφι καὶ ὀψιγόνων πόρε νῆας.
Στοιχάδας αὖτε λιπόντες ἐς Αἰθαλίην ἐπέρησαν
Νῆσον, ἵνα ψηφῖσιν ἀπωμόρξαντο καμόντες

Cœlitùs proruens : timore perculsi sunt vocis
Omnes simul ; horrificè enim ingens insonuit æther.
Retrò autem urgebantur à deâ, et invenerunt
Illam viam, quâ erat reditus proficiscentibus.
Longo post tempore litora mari circumluta attigerunt,
Junonis consiliis, per infinitas gentes Celtarum,
Et Ligurum trajicientes ignoti : circum enim densam
Nebulam fuderat Dea quotidie pergentibus.
Intimum autem illi ostium nave trajicientes
In Stœchadas evaserunt insulas salvi, propter filios
Jovis : quapropter aræ et sacra illis structa sunt
Ritè : nec illius solùm sequebantur opitulatores
Navigationis, sed Jupiter illis et posterorum dedit naves.
Relictis porro Stœchadibus, in Æthaliam delati sunt
Insulam, ubi lapillulis abstergebant fessi

647. Ἀδήιοι] ἄγνωστοι. ἀζήτητοι. ἀνενόχλητοι. Schol.
650. Κούρων] τῶν Διοσκούρων, οἵτινες ηὔξαντο ὑπὲρ αὐτῶν. Schol.
652. Ἐπίκουροι] Potius ἐπίκοροι.
653. Πόρε νῆας] σώζειν δηλονότι. ὁ τρόπος ἔλλειψις. Schol.
655. Ψηφῖσιν. Idem de lapidibus

Ἱδρῶ

Ἱδρῶ ἅλις· χροιῇ δὲ κατ' αἰγιαλοῖο κέχυνται)
Εἴκελοι· ἐν δὲ σόλοι καὶ τεύχεα θέσκελα κείνων·
Ἐν δὲ λιμὴν Ἀργῷος ἐπωνυμίην πεφάτισται.
Καρπαλίμως δ' ἐνθένδε δι' ἐξ ἁλὸς οἶδμα νέοντο
Αὐσονίης, ἀκτὰς Τυρσηνίδας εἰσορόωντες·
Ἶξον δ' Αἰαίης λιμένα κλυτόν· ἐκ δ' ἄρα νηὸς
Πείσματ' ἐπ' ἠιόνων σχεδόθεν βάλον· ἔνθα δὲ Κίρκην
Εὗρον ἁλὸς νοτίδεσσι κάρη ἐπιφαιδρύνουσαν.
Τοῖον γὰρ νυχίοισιν ὀνείρασιν ἐπτοίητο.
Αἵματί οἱ θάλαμοί τε καὶ ἕρκεα πάντα δόμοιο
Μύρεσθαι δόκεον· φλὸξ δ' ἀθρόα φάρμακ' ἔδαπτεν,
Οἷσι πάρος ξείνους θέλγ' ἀνέρας, ὅστις ἵκοιτο.
Τὴν δ' αὐτὴ φονίῳ σβέσεν αἵματι πορφύρουσαν,

Sudorem largum, qui in litus fusi sunt
Colore similes: in eâ disci et arma insignia illorum;
In eâ portus Argous cognomine dictus celebratur.
Celeriter exinde per maris fluctum navigârunt
Ausonii, litora Tyrrhena conspicientes:
Appuleruntque in inclytum Ææææ portum, navisque retinacula
Litoribus in propinquo injecerunt: ibi verò Circen
Invenerunt maris fluctibus caput nitidum reddentem.
In hunc enim modum somniis nocturnis attonita erat.
Sanguine illi thalami cunctaque mœnia domûs
Manare videbantur, flammaque frequentia devorabat pharmaca
Quibus antea hospites demulserat viros, quicunque venisset.
Illam ea cruento restinxit sanguine rubentem

Æthaliæ sive Ilvæ insulæ scripsit Aristoteles libro Θαυμ. ἀκουσ. vestigia sudoris in eis conspici. Et ipse ante annos duodecim, cum metu piratarum aliquot dies in nobilissimo ejus insulæ portu quem Ferrarium vocant commorarer, guttatos istos lapides cum summa admiratione in litore conspexi. L. Holstenius.

661. Αἰαίης λιμένα] ἔοικεν Ἀπολλώνιος ἐκδεδέχθαι τὴν Ὀδυσσέως πλάνην περὶ Τυῤῥηνίαν καὶ Ἰταλίαν. ἐκεῖ γὰρ ὑποτίθεται τὴν Κίρκην οἰκεῖν. Schol.

662. Κίρκην] ἡ Κίρκη, φησὶ, κατελήφθη ἐπὶ θαλάσσης ἡμέρας λουομένη, ἀποτρεπομένη φοβερὸν ὄνειρον, ὃ νυκτὸς εἶδεν, αἵματι τὸν οἶκον αὐτῆς μεμολυσμένον. Schol.

Χερσὶν ἀφυσσαμένη· λῆξεν δ' ὀλοοῖο φόβοιο.
Τῷ καὶ, ἐπιπλομένης ἠοῦς, νοτίδεσσι θαλάσσης
Ἐγρομένη πλοκάμους τε καὶ εἵματα φαιδρύνεσκε.
Θῆρες δ' οὐ θήρεσσιν ἐοικότες ὠμηστῇσιν,
Οὐδὲ μὲν οὐδ' ἄνδρεσσιν ὁμὸν δέμας, ἄλλο δ' ἀπ' ἄλλων
Συμμιγέες μελέων κίον ἀθρόοι, ἠΰτε μῆλα
Ἐκ σταθμῶν ἅλις εἶσιν ὀπηδεύοντα νομῆϊ.
Τοίους καὶ προτέρους ἐξ ἰλύος ἐβλάστησε
Χθὼν αὐτὴ μικτοῖσιν ἀρηρεμένους μελέεσσιν,
Οὔπω διψαλέῳ μάλ' ὑπ' ἠέρι πιληθεῖσα,
Οὐδέ πω ἀζαλέοιο βολαῖς τόσον ἠελίοιο
Ἰκμάδας αἰνυμένη· τὰ δ' ἐπὶ στίχας ἤγαγεν αἰὼν
Συγκρίνας· τὼς οἵγε φυὴν ἀΐδηλοι ἕποντο.
Ἥρωας δ' ἕλε θάμβος ἀπείρητον· αἶψα δ' ἕκαστος
Κίρκης εἴς τε φυὴν, εἴς τ' ὄμματα παπταίνοντες,
Ῥεῖα κασιγνήτην φάσαν ἔμμεναι Αἰήταο.

Manibus hausto, cessavitque ab ingenti metu.
Idcirco, superveniente Aurorâ, liquore marino
Experrecta crines vestesque fecit nitescere.
Attamen feræ, haud feris similes crudivoris,
Neque quidem viris pares corpore, sed aliis ab aliis
Commistæ membris ibant frequentes, sicut oves
E stabulis gregatim eunt sequentes pastorem.
Tales et priores è luto protulit
Terra ipsa commistis adaptatas membris,
Nondum sitibundo admodum sub aëre coarctata,
Nondum torridi radiis usque adeo solis
Humoribus orbata: hæc tamen in ordinem redegit ætas,
Facto discrimine: sic illæ incertâ formâ sequebantur.
Heroas autem metus corripuit ingens; statimque omnes
In Circes vultum oculosque aspicientes,
Facilè sororem conjecerunt esse Æetæ.

670. Τῷ καὶ, &c. De hoc more nempe sese abluendi post tristia somnia, vide Aristoph. Ran. v. 1379. atque ibi Schol. et Kusteri notas. Upt.

Ἡ δ'

Ἡ δ' ὅτε δὴ νυχίων ἀπὸ δείματα πέμψεν ὀνείρων,
Αὐτίκ' ἔπειτ' ἄψορρον ἀπέστιχε· τοὺς δ' ἅμ' ἕπεσθαι
Χειρὶ καταῤῥέξασα δολοφροσύνῃσιν ἄνωγεν.
Ἔνθ' ἤτοι πληθὺς μὲν ἐφετμαῖς Αἰσονίδαο
Μίμνεν ἀπηλεγέως, ὁ δ' ἐρύσατο Κολχίδα κούρην.
Ἄμφω δ' ἑσπέσθην αὐτὴν ὁδὸν, ἔστ' ἀφίκοντο
Κίρκης ἐς μέγαρον· τοὺς δ' ἐν λιπαροῖσι κέλευεν
Ἥ γε θρόνοις ἕζεσθαι, ἀμηχανέουσα κιόντων.
Τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφ' ἑστίῃ ἀΐξαντες
Ἵζανον (ἥτε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται)
Ἡ μὲν ἐπ' ἀμφοτέραις θεμένη χείρεσσι μέτωπα,
Αὐτὰρ ὁ κωπῆεν μέγα φάσγανον ἐν χθονὶ πήξας,
Ὧιπερ τ' Αἰήταο πάϊν κτάνεν· οὐδέ ποτ' ὄσσε
Ἰθὺς ἐνὶ βλεφάροισιν ἀνέσχεθον. Αὐτίκα δ' ἔγνω
Κίρκη φύξιον οἶτον, ἀλιτροσύνας τε φόνοιο.

Illa verò, quando nocturnorum timores disperserat somniorum,
Statim deinde retrò cessit; illosque simul sequi
Manu prehensos vafritie suâ impulit.
Tunc sane cohors jussu Æsonidæ
Mansit audacter; ille verò unà trahebat Colchicam puellam,
Amboque sequebantur eâdem viâ, donec pervenissent
In Circes regiam: illos ea ut nitidis insiderent
Jussit soliis, animi suspensa hoc adventu.
Illi sine sonitu et voce in foco properantes
Sederunt (prout mos est miseris supplicibus;)
Hæc quidem, fronti manu utrâque impositâ,
Ille verò, ingenti ansato gladio in terrâ defixo,
Quocum Æetæ interemit puerum: nec unquam oculos
Rectos inter palpebras sustulerunt. Statim autem cognovit
Circe cædem ob quam effugerant, et piaculum cædis.

693. Τὼ δ' ἀνέῳ, &c. Haud aliter Ulysses advena in Alcinoi ædibus. Odyss. IV. 153.

—— ἵζετ' ἐσχάρῃ ἐν κονίῃσι
Πὰρ πυρί· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.

694. Ἥτε δίκη λυγροῖς] ὡς νόμος ἐστὶ τοῖς ἱκέταις, ὥστε αὐτοὺς ἐπὶ τῆς ἑστίας καθημένους μὴ φθέγγεσθαι. Schol.

Τῷ

Τῷ καὶ ὀπιζομένη Ζηνὸς θέμιν ἱκεσίοιο,
Ὃς μέγα μὲν κοτέει, μέγα δ' ἀνδροφόνοισιν ἀρήγει,
Ῥέζε θυηπολίην, οἵη τ' ἀπολυμαίνονται
Νηλειεῖς ἱκέται, ὅτ' ἐφέστιοι ἀντιόωσιν.
Πρῶτα μὲν ἀτρέπτοιο λυτήριον ἧγε φόνοιο
Τειναμένη καθύπερθε, συὸς τέκος, ἧς ἔτι μαζοὶ
Πλήμμυρον λοχίης ἐκ νηδύος, αἵματι χεῖρας
Τέγγεν, ἐπιτμήγουσα δέρην· αὖτις δὲ καὶ ἄλλοις
Μείλισσεν χύτλοισι καθάρσιον ἀγκαλέουσα
Ζῆνα παλαμναίων τιμήορον ἱκεσιάων.
Καὶ τὰ μὲν ἀθρόα πάντα δόμων ἐκ λύματ' ἔνεικαν
Νηϊάδες πρόπολοι, ταί οἱ πόρσυνον ἕκαστα.
Ἡ δ' εἴσω πελάνους μείλικτρά τε νηφαλίῃσι

Reverita igitur jus Jovis, supplicum antistitis,
Qui vehementer quidem irascitur, valdè tamen homicidis auxiliatur,
Sacra fecit, quibus expiantur
Cæde polluti supplices quando in focum advenerint.
Primò quidem immutabilis lustramentum produxit cædis
Desuper extensum, suis prolem, cujus adhuc ubera
Scatebant effœto ab utero; cruore manus
Tinxit, inciso collo, statimque et aliis
Placabat piaculis, lustralem invocans
Jovem, qui cædem commiserint patronum supplicum.
Et hæc quidem affatim omnia ex domibus purgamenta tulerunt
Naiades famulæ quæ illi administrabant singula.
Sed ipsa intus molas et placamina sobriis

699. Φύξιον] Φύξιος μὲν Ζεὺς, ὁ βοηθῶν τοῖς φυγάσι, καὶ πρὸς ὃν καταφεύγουσι· φύξιος δὲ οὗτος ἐνταῦθα, ὁ θάνατος, δι' ὃν καταφεύγουσιν. ἔγνω δὲ, φησὶν, ἡ Κίρκη τὸν Ἰάσονα φόνον δεδρακότα. Schol.

704. Λυτήριον] τὸ καθάρσιον λέγει· ὅ ἐστι χοιρίδιον μικρὸν, ὅπερ οἱ ἀγνίζοντες θύσαντες, τὰς χεῖρας τοῦ ἀγνιζομένου τῷ αἵματι αὐτοῦ βρέχουσιν. Schol.

708. Ἀγκαλέουσα] ἐπικαλουμένη. Schol.

709. Παλαμναίων] Παλαμναῖος λέγεται ὁ φόνον εἰργασμένος. ἐνταῦθα δὲ παλαμναίας ἱκεσίας λέγει τὰς ὑπὲρ φόνου γενομένας. ὧν τὸν Δία τιμήορον, ἤγουν τιμωρὸν, φησίν. Schol.

712. Ἡ δ' εἴσω] ἡ δὲ Κίρκη πέμματά τινα ἐπίκαιεν, ὕδωρ ἐπιχέουσα, κατὰ τὸν νόμον. Schol.

Δαῖεν

Δαῖεν ἐπ' εὐχωλῇσι παρέστιος, ὄφρα χόλοιο
Σμερδαλέας παύσῃσιν Ἐρινύας, ἠδὲ καὶ αὐτὸς
Εὐμειδής τε πέλοιτο καὶ ἤπιος ἀμφοτέροισιν,
Εἴτ' οὖν ὀθνείῳ μεμιασμένοι αἵματι χεῖρας,
Εἴτε καὶ ἐμφυλίῳ προσκηδέες ἀντιόωσιν.
Αὐτὰρ ἐπεὶ μάλα πάντα πονήσατο, δὴ τότ' ἔπειτα
Εἷσεν ἐπὶ ξεστοῖσιν ἀναστήσασα θρόνοισι·
Καὶ δ' αὐτὴ πέλας ἷζεν ἐνωπαδίς· αἶψα δὲ μύθοις
Χρειὼ, ναυτιλίην τε διακριδὸν ἐξερέεινεν,
Ἠδ' ὁπόθεν μετὰ γαῖαν ἐὴν καὶ δώματ' ἰόντες
Αὔτως ἱδρύνθησαν ἐφέστιοι· ἦ γὰρ ὀνείρων
Μνῆστις ἀεικελίη δῦνεν φρένας ὁρμαίνουσαν.
Ἵετο δ' αὖ κούρης ἐμφύλιον ἴδμεναι ὀμφὴν
Αὐτίχ' ὅπως ἐνόησεν ἀπ' οὔδεος ὄσσε βαλοῦσαν.
Πᾶσα γὰρ ἠελίου γενεὴ ἀρίδηλος ἰδέσθαι

Cremavit votis ante focum, ut ab irâ
Terribiles ceſſare faceret Furias, et ipſe
Placabilis ſimul et facilis fieret ambobus;
Sive externo polluti ſanguine manus
Sive conſanguineo, ſoliciti venirent.
Poſtquam autem omnia elaboraverat, tunc ſanè
Locavit eos in politis ſurgere juſſos ſoliis;
Et prope conſedit ex adverſo: ſtatimque ſermonibus
De negotio et navigatione diverſè inquiſivit:
Et unde ad terram ſuam et domum euntes
Sic in foco deſederant; ſomniorum enim
Recordatio triſtis ſubiit animum, commovitque.
Cupiebat inſuper puellæ gentilitiam noſcere linguam,
Simul atque eam ab humo oculos attollere vidit;
Omne enim ſolis genus inſigne viſu

720. Ἐνωπαδὶς] κατ' ἄντα, ἐξ ἐναντίας· ἐπεὶ ἀφιεῖσα αὐτοὺς ἐκάθισεν ἐπὶ θρόνων, καὶ αὐτὴ ἐναντίον αὐτῶν ἐκαθέσθη. Schol.

725. Ἵετο δ' αὖ] ἐπεθυμεῖτο φωνῆς ἀκοῦσαι, συμβάλλουσα ὅτι ἀπὸ ἡλίου ἐστὶν, ἀπό τε τῶν ὀφθαλμῶν διαυγάσματος. Schol.

Ἠεν·

Ἦεν· ἐπεὶ βλεφάρων ἀποτηλόθι μαρμαρυγῇσιν
Οἷόν τε χρυσέην ἀντώπιον ἵεσαν αἴγλην.
Ἡ δ' ἄρα τῇ τὰ ἕκαστα διειρομένῃ κατέλεξε,
Κολχίδα γῆρυν ἱεῖσα, βαρύφρονος Αἰήταο
Κούρη, μειλιχίως, ἠμὲν στόλον ἠδὲ κελεύθους
Ἡρώων, ὅσα τ' ἀμφὶ θοοῖς ἐμόγησαν ἀέθλοις·
Ὥς τε κασιγνήτης πολυκηδέος ἤλιτε βουλαῖς,
Ὥς τ' ἀπονόσφιν ἄλυξεν ὑπέρβια δείματα πατρὸς
Σὺν παισὶν Φρίξοιο· φόνον δ' ἀλέεινεν ἐνισπεῖν
Ἀψύρτου· τὴν δ' οὔτι νόῳ λάθεν· ἀλλὰ καὶ ἔμπης
Μυρομένην ἐλέαιρεν, ἔπος δ' ἐπὶ τοῖσιν ἔειπε.
Σχετλίη, ἦ ῥα κακὸν καὶ ἀεικέα μήσαο νόστον.
Ἔλπομαι οὐκ ἐπιδήν σε βαρὺν χόλον Αἰήταο
Ἐκφυγέειν· τάχα δ' εἶσι καὶ Ἑλλάδος ἤθεα γαίης,
Τισόμενος φόνον υἷος, ὅτ' ἄσχετα ἔργα τέλεσσας.

Erat; quippe oculorum de longinquo fulgoribus
Quasi aureum contra miserunt splendorem.
Ipsa omnia disquirenti blandè recensuit,
Colchicam emittens vocem, furibundi Æetæ
Filia, tum classem tum itinera
Heroum, et quot dura perpessi sunt per acuta certaminis:
Et quomodo sororis multis exercitatæ curis per consilia peccaverat,
Et quomodo separatim effugerat terribiles minas patris,
Unà cum filiis Phrixi: cædem tamen noluit edicere
Absyrti: hujus tamen nequaquam mentem latuit: attamen
Lamentantem miserata est; responsumque post hæc protulit.
Misera! malum certè et indignum molita es discessum.
Existimo sanè te non diu gravem iram Æetæ
Effugituram: mox veniet usque ad sedes terræ Græciæ
Ulturus necem filii, quoniam intolerabilia facinora perfeceris.

728. Ἐπεὶ βλεφάρων] ἐπεὶ πάνυ πόρρω ἀπὸ τῶν ὀμμάτων ἔλαμπον ταῖς λαμπηδόσιν. Schol.

730. Κατέλεξε] ἐπλάσατο ἡ Μήδεια, λέγουσα διὰ τοῦτο πεφευγέναι, διὰ τὸ φοβεῖσθαι τὸν πατέρα· ὅτι ἐσώθησαν τοῦ Ἰάσονος κατ' ἔλεον τῆς ἀδελφῆς Χαλκιόπης. Schol.

Ἀλλ'

Ἀλλ᾽ ἐπεὶ οὖν ἱκέτις καὶ ὁμόγνιος ἔπλευ ἐμοῖο
Ἄλλο μὲν οὔτι κακὸν μητίσομαι ἐνθάδ᾽ ἰούσῃ·
Ἔρχεο δ᾽ ἐκ μεγάρων ξείνῳ συνοπηδὸς ἐοῦσα,
Ὅντινα τοῦτον ἄϊστον ἀνείραο πατρὸς ἄνευθε.
Μηδέ με γουνάσσαιο ἐφέστιος· οὐ γὰρ ἔγωγε
Αἰνήσω βουλάς τε σέθεν καὶ ἀεικέα φύξιν.
Ὣς φάτο· τὴν δ᾽ ἀμέγαρτον ἄχος λάβεν· ἀμφὶ δὲ πέπλον
Ὀφθαλμοῖσι βαλοῦσα, γόον χέεν· ὄφρα μιν ἥρως
Χειρὸς ἐπισχόμενος μεγάρων ἐξῆγε θύραζε,
Δείματι παλλομένην· λεῖπον δ᾽ ἀπὸ δώματα Κίρκης.
Οὐδ᾽ ἄλοχον Κρονίδαο Διὸς λάθον· ἀλλά οἱ Ἶρις
Πέφραδεν, εὖτ᾽ ἐνόησεν ἀπὸ μεγάροιο κιόντας.
Αὐτὴ γάρ μιν ἄνωγε δοκευέμεν ὁππότε νῆα
Στείχοιεν· τὸ καὶ αὖτις ἐποτρύνουσ᾽ ἀγόρευεν.
Ἶρι φίλη, νῦν, εἴ ποτ᾽ ἐμὰς ἐτέλεσσας ἐφετμάς,

Quoniam verò ſupplex et cognata mei ſis,
Nihil tibi aliud mali machinabor hùc profectæ:
Vade autem ex ædibus peregrino comes exiſtens
Quemcunque hunc ignotum adſciviſti tibi, invito patre.
Nec me prehenſis genibus ores apud focum; non enim ego
Auxiliabor conſiliis tuis, turpique fugæ.
Sic dixit: hanc autem immenſus corripuit dolor, peploque
Oculis impoſito, effudit lacrymas; donec eam heros
Manu prehenſam ex ædibus eduxit foràs,
Pavore tremiſcentem: reliqueruntque regiam Circes.
Nec uxorem Jovis Saturnii latuerunt: ſed illi Iris
Nunciavit, quàm citò vidiſſet ex ædibus euntes.
Illa enim hanc juſſerat ut obſervaret quando ad navem
Reverterent: ideo et rurſum inſtimulans locuta eſt.
Dilecta Iri, nunc, ſi unquam mea perfeceris mandata,

746. Ἄϊστον] ἀφανῆ, ἄγνωστον. Schol.
747. Ἐφέστιος] ἐφέστιον, ἐπὶ τῇ ἑστίᾳ ὄντα. Schol.

Ibid. Ἐφέστιος. Delirare videtur Scholiaſtes qui legit ἐφέστιον, et ſupplet ὄντα.

Εἰ δ' ἄγε λαιψηροῖσι μεταιχομένη πτερύγεσσι,
Δεῦρο Θέτιν μοι ἄνωχθι μολεῖν ἁλὸς ἐξανιοῦσαν.
Κείνης γὰρ χρειώ με κιχάνεται. Αὐτὰρ ἔπειτα
Ἐλθεῖν εἰς ἀκτὰς ὅθι τ' ἄκμονες Ἡφαίστοιο
Χάλκειοι στιβαρῇσιν ἀράσσονται τυπίδεσσιν·
Εἰπὲ δὲ κοιμῆσαι φύσας πυρὸς, εἰσόκεν Ἀργὼ
Τάσγε παρεξελάσῃσιν. Ἀτὰρ καὶ ἐς Αἴολον ἐλθεῖν,
Αἴολον ὅστ' ἀνέμοις αἰθρηγενέεσσιν ἀνάσσει·
Καὶ δὲ τῷ εἰπέμεναι τὸ ἐμὸν νόον, ὥς κεν ἀήτας
Πάντας ἀπολλήξειεν ὑπ' ἠέρι, μηδέ τις αὔρη
Τρηχύνοι πέλαγος. Ζεφύρου γε μὲν οὖρος ἀήτω,

Age, citis ablata pennis,
Thetidi manda ut hùc mihi adſit, ex mari emerſa:
Ejus enim neceſſitas me tenet: ſtatim deinde
Contende ad oras, ubi incudes Vulcani
Ferreæ duriſſimis tunduntur malleis:
Eique dic ut requieſcere faciat flatus ignis, donec Argo
Has prætervecta fuerit: prætereà ad Æolum perge,
Æolum, qui ventis vel frigus vel ſerenitatem inducentibus imperat,
Illique expone mentem meam, ut ventos
Omnes ſilere faciat ſub æthere; nec aura ulla
Aſperum reddat mare. Zephyri tamen ſpiret ventus

761. Ἐλθεῖν εἰς ἀκτὰς] Ἀγαθοκλῆς ἐν τοῖς ὑπομνήμασι περὶ τῶν χαλκείων τοῦ Ἡφαίστου ἱστορῶν, φησὶ κατὰ Σικελίαν δύο εἶναι νήσους· ὧν ἡ μὲν καλεῖται Ἱερὰ· ἡ δὲ, Στρογγύλη. αἵτινες ἡμέρας καὶ νυκτὸς πῦρ ἀφιᾶσιν. ὁ δὲ αὐτός φησιν ἐν ἑβδόμῳ. ἐν Σικελίᾳ νῆσοι ὑπάρχουσιν. τούτων δύο πῦρ ἀφιᾶσι. καλεῖται δὲ ἡ μὲν, Αἰόλου· ἡ δὲ, Ἡφαίστου, ἐν ᾗ πυρὸς ποταμοὺς φασὶν ἀνιέναι. Ὅθι τ' ἄκμονες Ἡφαίστοιο. ἐν τῇ Λιπάρᾳ καὶ Στρογγύλῃ (τῶν Αἰόλου δὲ νήσων αὗται) δοκεῖ ὁ Ἥφαιστος διατρίβειν. δι' ὃ καὶ πυρὸς βρόμον ἀκούεσθαι καὶ ἦχον σφοδρόν. τὸ δὲ παλαιὸν ἐλέγετο, τὸν βουλόμενον ἀργὸν σίδηρον ἀποφέρειν, καὶ ἐπὶ τὴν αὔριον ἐλθόντα λαμβάνειν ἢ ξίφος, ἢ ὅτι ἄλλο ἤθελε κατασκευάσαι, καταβαλόντα μισθόν. ταῦτα φησὶ Πυθέας ἐν γῆς περιόδῳ, λέγων καὶ τὴν θάλασσαν ἐκεῖ ζεῖν. Schol.

765. Αἰθρηγενέεσσιν ἀνάσσει] τοῖς αἴθραν καὶ ψῦχος ποιοῦσιν. ὅτι δὲ Αἴολος ἐξουσίαν εἶχεν ἀνέμων, καὶ Ὅμηρος φησί. "κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων." ὅτι δὲ αἴθραν τὸ ψῦχος λέγουσιν, ὁ αὐτός φησι ποιητής. "αἰθρῇ καὶ καμάτῳ δεδμημένον." καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν ὕπαιθρα, τὰ ὑπὸ ἀνέμου καταπνεόμενα. Schol.

Ὄφρ'

Ὄφρ' οἵγ' Ἀλκινόου Φαιηκίδα νῆσον ἵκωνται.
Ὣς ἔφατ'· αὐτίκα δ' Ἶρις ἀπ' Οὐλύμποιο θοροῦσα,
Τέμνε τανυσσαμένη κοῦφα πτερά· δῦ δ' ἐνὶ πόντῳ
Αἰγαίῳ, τόθι πέρ τε δόμοι Νηρῆος ἔασιν.
Πρώτην δ' εἰσαφίκανε Θέτιν, καὶ ἐπέφραδε μῦθον
Ἥρης αἰνεσίης· ὦρσέν τέ μιν εἰς ἓ νέεσθαι.
Δεύτερα δ' εἰς Ἥφαιστον ἐβήσατο· παῦσε δὲ τόνγε
Ῥίμφα σιδηρείων τυπίδων· ἔσχοντο δ' ἀϋτμῆς
Αἰθαλέοι πρηστῆρες. Ἀτὰρ τρίτον εἰσαφίκανεν
Αἴολον Ἱππότεω παῖδα κλυτόν· ὄφρα ᾗ καὶ τῷ
Ἀγγελίην φαμένη θοὰ γούνατα παῦσεν ὁδοῖο,
Τόφρα Θέτις Νηρῆα κασιγνήτας τε λιποῦσα
Ἐξ ἁλὸς Οὔλυμπόνδε θεὰν μετεκίαθεν Ἥρην.
Ἡ δέ μιν ἆσσον ἑοῖο παρεῖσέ τε, φαῖνέ τε μῦθον.
Κέκλυθι νῦν, Θέτι δῖα, τά τοι ἐπέλδομ' ἐνισπεῖν.
Οἶσθα μὲν ὅσσον ἐμῇσιν ἐνὶ φρεσὶ τίεται ἥρως
Αἰσονίδης, ἠδ' ἄλλοι ἀοσσητῆρες ἀέθλου·

Ut illi in Alcinoi Phæacida insulam perveniant.
Sic dixit: statim autem Iris ab Olympo desiliens,
Scindebat *ætherem* extensis levibus alis, subiitque pontum
Ægæum, ubi sanè domus Nerei sunt.
Primamque accessit ad Thetin, et nuncium exposuit
Junonis mandato; eámque impulit ut illi adesset.
Deinde ad Vulcanum ivit, eumque facilè
Fecit requiescere à ferreis malleis: tenebantur autem à flatu
Fuliginosi folles: postremò accessit
Ad Æolum Hippotæ filium inclytum; dumque huic
Nuncium referens quietem à viâ velocibus indulgebat genibus,
Interim Thetis, Nereo sororibusque relictis,
E mari in Olympum ad Deam profecta est Junonem.
Illa hanc propè se locavit, declaravitque sententiam.
Audi nunc, Theti præclara, quæ tibi cupio dicere.
Nôsti sanè quantum meo honoratur animo heros
Æsonis filius, nec non alii adjutores certaminis;

Οἵη τέ σφ' ἐσάωσα διὰ Πλαγκτὰς περόωντας
Πέτρας, ἔνθα πυρὸς δειναὶ βρομέουσι θύελλαι,
Κύματά τε σκληρῇσι περιβλύει σπιλάδεσσι.
Νῦν δὲ παρὰ Σκύλλης σκόπελον μέγαν, ἠδὲ Χάρυβδιν
Δεινὸν ἐρευγομένην, δέχεται ὁδός. Ἀλλά σε γὰρ δὴ
Ἐξέτι νηπυτίης αὐτὴ τρέφον, ἠδ' ἀγάπησα
Ἔξοχον ἀλλάων, αἵτ' εἰν ἁλὶ ναιετάουσιν·
Οὕνεκεν οὐκ ἔτλης εὐνῇ Διὸς ἱεμένοιο
Λέξασθαι (κείνῳ γὰρ ἀεὶ τάδε ἔργα μέμηλεν,
Ἠὲ σὺν ἀθανάταις ἠὲ θνητῇσιν ἰαύειν)
Ἀλλ' ἐμέ τ' αἰδομένη καὶ ἐνὶ φρεσὶ δειμαίνουσα
Ἠλεύω· ὁ δ' ἔπειτα πελώριον ὅρκον ὄμοσσε,
Μήποτέ σ' ἀθανάτοιο θεοῦ καλέεσθαι ἄκοιτιν.
Ἔμπης δ' οὐ μεθίεσκεν ὀπιπτεύων ἀέκουσαν,

Et quemadmodum ipsos servaverim per Planctas trajicientes
Rupes; ubi igne fremunt horridæ procellæ,
Fluctusque rigidas cum sonitu circumluunt cautes.
Nunc autem ad Scyllæ scopulum ingentem, et Charybdin
Horrificè gurgites eructantem restat via. At te profecto
Ab infantiâ usque ipsa nutrivi, et amavi
Longè præ aliis quæ incolunt mare,
Quoniam noluisti Jovis cupientis in lecto
Concumbere, (illi enim semper hæc opera curæ sunt
Ut vel cum Deabus vel cum fœminis misceatur)
Sed me reverita, et ex animo metuens,
Profugisti: ille verò deinde ingens juramentum juravit,
Fore ut nunquam immortalis Dei vocareris uxor.
Non tamen omisit oculis lustrare invitam,

786. Πλαγκτὰς] Πλάγκται πέτραι ἐν τῷ πορθμῷ εἰσὶν, ὡς Τίμαιος καὶ Πεισίστρατος ὁ Λιπαραῖος· νῦν δὲ τὰς Κυανέας λέγει. ἐν ὑπερβατῷ δὲ ἀναγνωστέον. ἔστι γὰρ διαπερῶντας. Schol.

Ibid. Οἵη. Gallic. οἵας. De Planctis ita vocatis consule Eustath. ad Dionys. περιηγ. 144. et Heins. ad Ov. Met. VII. 162.

788. Περιβλύει] περικλύζει, μετὰ μελμησιν ἤχου. Σπιλάδες δὲ αἱ πέτραι, ἀπὸ τοῦ συμπεπλῆχθαι. Schol.

Εἰσότε

Εἰσότε οἱ πρέσβειρα Θέμις κατέλεξεν ἅπαντα·
Ὡς δή τοι πέπρωτο, ἀμείνονα πατρὸς ἑοῖο
Παῖδα τεκεῖν· τῷ καί σε λιλαιόμενος μεθέηκε,
Δείματι, μή τις ἑοῦ ἀντάξιος ἄλλος ἀνάσσοι
Ἀθανάτων, ἀλλ' αἰὲν ἑὸν κράτος εἰρύοιτο.
Αὐτὰρ ἐγὼ τὸν ἄριστον ἐπιχθονίων πόσιν εἶναι
Δῶκά τοι, ὄφρα γάμου θυμηδέος ἀντιάσειας,
Τέκνα δὲ φυτήσαιο· θεοὺς δ' εἰς δαῖτα κάλεσσα
Πάντας ὁμῶς· αὐτὴ δὲ σέλας χείρεσσιν ἀνέσχον
Νυμφίδιον, κείνης ἀγανόφρονος εἵνεκα τιμῆς.
Ἀλλ' ἄγε καί τινά τοι νημερτέα μῦθον ἐνίψω.
Εὖτ' ἂν ἐς Ἠλύσιον πεδίον τεὸς υἱὸς ἵκηται,
Ὃν δὴ νῦν Χείρωνος ἐν ἤθεσι κενταύροιο

Donec illi veneranda Themis nunciavit omnia:
Quòd ſcilicet fato ſancitum erat, ut præſtantiorem patre ſuo
Filium pareres: idcirco te, licèt cupidus, reliquit,
Metu, ne alius aliquis, contrariâ dignitate, imperaret
Immortalibus, nec uſque ſuum retineret imperium.
At ego tibi mortalium optimum pro marito
Dedi, ut lætas haberes nuptias,
Liberoſque ederes: Deoſque in convivium vocavi
Omnes ſimul: ipſa inſuper facem manibus ſuſtuli
Nuptialem, illius læti cauſâ honoris.
Age verò, tibique verum edicam verbum:
Quando in Elyſium campum filius tuus venerit,
Quem nunc Chironis in ædibus Centauri

805. Ἄριστον. Peleum nempe: de cujus temperantia Ariſtoph. Νεφ. ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο (διὰ τὸ σωφρονεῖν) τὴν μάχαιραν. Quæ in ſcholiis verboſè fabula explicatur. Hœl.

807. Φυτήσαιο] φυτῆσαι. φυτεῦσαι. βλαστῆσαι. Schol.

808. Αὐτὴ δὲ σέλας] ὅτι τὸ παλαιὸν τὰς μητέρας τῶν γαμούντων ἐν τοῖς γάμοις δᾳδουχεῖν ἔθος ἦν, καὶ Εὐριπίδης ἐν Φοινίσσαις φησίν. "ἐγὼ δὲ οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις, ὡς πρέπει μητρὶ μακαρίᾳ." Ἥρα οὖν φησὶ δᾳδουχῆσαι τῇ Θέτιδι, διὰ τὴν πρὸς αὐτὴν εὔνοιαν μητρὸς ἔργον ἐπιτελοῦσα. Schol.

Νηϊάδες

Νηϊάδες κομέουσι, τεοῦ λίπτοντα γάλακτος,
Χρειώ μιν κούρης πόσιν ἔμμεναι Αἰήταο
Μηδείης· σὺ δ' ἄρηγε νυῷ ἑκυρή περ ἐοῦσα,
Ἠδ' αὐτῷ Πηλῆϊ. Τί τοι χόλος ἐστήρικται;
Ἀάσθη· καὶ γάρ τε Θεοὺς ἐπινείσεται ἄτη.
Ναὶ μὲν ἐφημοσύνῃσιν ἐμαῖς Ἥφαιστον ὀΐω
Λωφήσειν πρήσοντα πυρὸς μένος, Ἱπποτάδην δὲ

Naiades nutriunt, tui lactis desiderantem,
Necesse est ipsum maritum esse Æetæ filiæ
Medeæ: tu igitur opitulare nurui socrus existens,
Ipsique Peleo. Quare tibi ira obfirmata est?
Deliquit; etenim ad Deos etiam pervenit Ate.
Profectò jussu meo Vulcanum puto
Cessaturum ab inflando vim ignis, ac Hippotæ filium

813. Νηϊάδες κομέουσι] τὴν Χαρικλὼ λέγει καὶ τὴν Φιλύραν, ὑφ' ὧν ἐτράφη ὁ Ἀχιλλεύς. ὧν ἡ μὲν Χαρικλὼ, γυνὴ Χείρωνος. Φιλύρα δε, μήτηρ. Λίπτοντα, ἐπιθυμοῦντα. Schol.

814. Χρειώ μιν] Ἀναξαγόρας φησὶν ὅτι ταῖς ἀληθείαις Ἀχιλλέα τιμῶσι τοῖς περὶ Λακωνικὴν ταῦτα πέπλασται. οἱ δὲ φασιν ὅτι συμπαθήσαντες οἱ θεοὶ τῇ Θέτιδι ἀπαθανάτισαν αὐτόν. ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος εἴρηκε· μεθ' ὃν Σιμωνίδης. Schol.

815. Ἄρηγε] ἀρήγειν, βοηθεῖν. Sch.

816. Ἠδ' αὐτῷ Πηλῆϊ] ὁ τὸν Αἰγίμιον ποιήσας, ἐν δευτέρῳ φησὶν ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλλε τοὺς ἐκ Πηλέως γενομένους αὐτῇ παῖδας, βουλομένη εἰδέναι εἰ θνητοί εἰσιν· ἑτέρους δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιος φησί. καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα, καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησὶν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τρίτῳ τῶν περὶ Θεσσαλίαν ἱστορεῖ Χείρωνα, σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διασπεῖραι ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεὺς, Διὸς διδόντος αὐτῷ· οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν εἰς τὸν γάμον. ταῦτα φημίσας, παρετήρει τὸν χρόνον ἐν ᾧ ὁ χειμὼν ἔμελλεν ἔσεσθαι ἐπομβρίας, καὶ πνεύματα ἐξαίσια· καὶ δίδωσι Πηλεῖ Φιλομήλαν, καὶ οὕτως ἐπικράτησεν ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημεν. Schol.

817. Ἀάσθη. Conveniret fortasse nota interrogationis post ἀάσθη. Hoc sensu, illam ἀασθῆναι dices? At hoc illi cum Diis commune est. Utitur autem eodem verbo de illa et ver. 1080.

ΑΑΣΘΗ ὅσσ' ἀρρῶτα βροῖν θαλερήρια δὲ ἄνει.

Et Medea ipsa in ἄτην cæteros quoque mortales esse proclives dicit, 1016, et 1017. Steph.

Ἐπινείσεται. Gall. ἐπινίσεται, quod in Homero duplici σ.

Αἰόλου

Αἴολον ὠκείας ἀνέμων ἄϊκας ἐρύξειν,
Νόσφιν ἐϋσταθέος ζεφύρου, τείως κεν ἵκωνται
Φαιήκων λιμένας· σὺ δ᾽ ἀκηδέα μήδεο νόστον.
Δεῖμα δέ τοι πέτραι καὶ ὑπέρβια κύματ᾽ ἔασι
Μοῦνον, ἅ κεν τρέψαιο κασιγνήτῃσι σὺν ἄλλαις.
Μηδὲ σύ γ᾽ ἠὲ Χάρυβδιν ἀμηχανέοντας ἐάσῃς
Ἐσβαλέειν, μὴ πάντας ἀναβρόξασα φέρῃσιν·
Ἠὲ παρὰ Σκύλλης στυγερὸν κευθμῶνα νέεσθαι,
Σκύλλης Αὐσονίης ὀλοόφρονος, ἣν τέκε Φόρκυν,

Æolum celeres ventorum turbines cohibiturum,
Excepto tranquillo Zephyro, uſque dum venerint
In Phæacum portus: tu igitur tutum molire reditum.
Unico autem tibi timori ſunt petræ et violenti
Fluctus, quos tamen avertes cum aliis ſororibus.
Nec tu eos vel in Charybdin inopes conſilii ſinas
Allidere, ne omnes reſorptu ſuo devoret,
Nec ad Scyllæ horrendum receſſum appellere,
Scyllæ Auſoniæ, pernicioſæ, quam peperit Phorcyn,

820. Ἀΐκας] ἀΐκες, αἱ ἐν τῷ πολέμῳ ἐφ᾽ ἑκάτερα κινήσεις καὶ ὁρμαί· ὁ δὲ Ἀπολλώνιος τὰς ἀντιπνοὰς τῶν ἀνέμων εἴρηκεν. Schol.

825. Μηδὲ σύ γ᾽ ἠὲ Χάρυβδιν] ἡ Σικελία ἀντικρὺ κεῖται τῆς Ἰταλίας. ἔστι δὲ τούτων μέσον πορθμὸς, ἀπέχων σταδίους ἑπτὰ ἀπὸ Σικελίας εἰς Ἰταλίαν. τῶν δὲ τριῶν αὐτῆς ἀκρωτηρίων, ἀφορᾷ πρὸς Ἰταλίαν ἡ Πελωρίς· ὑπόκειται δὲ αὐτῇ Χάρυβδις· ἡ δὲ Σκύλλα ἐν τῇ Ἰταλίᾳ ἀντικρὺ ταύτης. ἀκρωτήριον δέ ἐστιν ἡ Σκύλλα, ἐξέχον εἰς θάλασσαν, ὁμοίωμα καὶ πρόσωπον ἔχον γυναικός. κάτω δὲ τοῦ ἀκρωτηρίου εἰσὶ πέτραι πολλαὶ καὶ μεγάλαι, ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς θαλάσσια θηρία μένουσιν. ὅσα μὲν οὖν τῶν πλοίων τὰς πέτρας ἐκκλίνονται ὑπὸ τοῦ κλύδωνος εἰς τὴν Χάρυβδιν ἀπωθοῦσιν, ἀναρροφοῦνται ὑπ᾽ αὐτῆς συγκαταφερόμενα τῇ θαλάσσῃ. ὅσα δ᾽ αὖ ὑπὸ τῆς ἐν Χαρύβδει θαλάσσης εἰς τὰς πέτρας τῆς Σκύλλης ὑφάλους καὶ τραχείας οὔσας ἀπωθῶσι, συγκατακλῶνται καὶ διαφθείρονται. εἶτα ἐξιόντες θαλάσσιοι κύνες καὶ ἕτερα διάφορα θηρία ἐσθίουσι τοὺς ἐκ τῶν νεῶν ἄνδρας. δοκεῖ δὲ ἡ Σκύλλα καὶ λέγεται παρὰ τοῖς ποιηταῖς ἔχειν κύνας ἐξέχοντας ἀπὸ τῶν πλευρῶν καὶ τοῦ στήθους, καὶ ἀναιρεῖν τοὺς δι᾽ αὐτῆς πλέοντας. ἐπεὶ κάτωθεν ἐκ τῶν κοίλων μερῶν τῶν πετρῶν, ἐφ᾽ ὧν μένουσιν, ἄνω ἀνιόντες ὑπονοοῦνται καὶ ὁρῶνται, ὡς ἐξιόντες ἐκ τοῦ στήθους αὐτῆς ἔσωθεν καὶ τῶν πλευρῶν. καὶ τὴν ἐν τῷ Μινωταύρῳ δὲ κατάστασιν Χάρυβδιν ἤδη τινὲς τῶν ποιητῶν ὠνομάκασι. Schol.

828. Σκύλλης Αὐσονίης] τὸ σπήλαιον τῆς Σκύλλης ἐλέγετο εἶναι περὶ τὴν Ἰταλίαν, ὅ ἐστιν ἐν τῷ πορθμῷ. Ἣν τέκε Φόρκυν. Ἀκουσίλαος Φόρκυνος καὶ Ἑκάτης τὴν Σκύλλαν λέγει. Ὅμηρος δὲ τὴν Σκύλλης μητέρα Κράταιϊν καλεῖ. ἀμφοτέροις οὖν Ἀπολλώνιος κατηκολούθησεν. ἐν

Νυκτιπόλος

Νυκτιπόλος θ' Ἑκάτη, τήντε κλείουσι Κραταιΐν·
Μή πως σμερδαλέῃσιν ἐπαΐξασα γένυσσι,
Λεκτοὺς ἡρώων δηλήσεται· ἀλλ' ἔχε νῆα
Κεῖσ' ὅθι περ τυτθή γε παραίβασις ἔσσετ' ὀλέθρου.
Ὧς φάτο· τὴν δὲ Θέτις τοίῳ προσελέξατο μύθῳ.
Εἰ μὲν δὴ μαλεροῖο πυρὸς μένος ἠὲ θύελλαι
Ζαχρηεῖς λήξουσιν ἐτήτυμον, ἦτ' ἂν ἔγωγε
Θαρσαλέη φαίην, καὶ κύματος ἀντιόωντος,
Νῆα σαωσέμεναι, ζεφύρου λίγα κινυμένοιο.
Ἀλλ' ὥρη δολιχήν τε καὶ ἄσπετον οἶμον ὁδεύειν,
Ὄφρα κασιγνήτας μετελεύσομαι, αἵ μοι ἀρωγοὶ
Ἔσσονται, καὶ νηὸς ὅθι πρυμνήσι' ἀνῆπται·

Noctivagaque Hecate, quamque vocant Crataïn,
Ne quo modo horrendis irruens faucibus,
Selectos heroas vastet: sed dirige navem
Illuc, ubi minimus licèt, sit tamen à periculo transitus.
Sic dixit: hanc autem Thetis tali allocuta est sermone.
Si quidem consumentis ignis vires et procellæ
Impetuosæ reverà quiescent, ego certè
Audacter pollicear, vel adversante fluctu,
Fore ut servetur navis, leniter spirante Zephyro.
Jam verò tempus est, ut longum et immensum iter proficiscar,
Donec sorores conveniam, qui mihi auxiliatrices
Erunt, et *ut illuc eam* ubi navis retinacula alligata sunt,

ταῖς μεγάλαις ἠοίαις Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα. Στησίχορος δὲ ἐν τῇ Σκύλλῃ Λαμίας τὴν Σκύλλαν φησὶ θυγατέρα εἶναι. Schol.

829. Κραταιΐν. Vide Hom. Od. λ'. 596.

τοι' ἀποστρέψασκε ΚΡΑΤΑΙΣ.

ibique interpretes. Upt.

834. Εἰ μὲν δὴ μαλεροῖο] περὶ τὸν πορθμὸν ἐν τῇ θαλάσσῃ πυρὸς ἀναφυσήματα γίνεται· ὥστε καὶ τὴν θάλασσαν θερμαίνεσθαι, ὥς φησι καὶ Μητρόδωρος ἐν πρώτῳ περὶ ἱστορίας. καὶ Θεόφραστος ἐν ἱστορικοῖς ὑπομνήμασι φησὶ τὸν βρόμον τοῦ πυρὸς τὸν ἀπὸ τῶν τοῦ Αἰόλου νήσων ἀκούεσθαι ἕως χίλια στάδια. περὶ Ταυρομένιον οὖν ἀκούεσθαι βροντῇ παραπλήσιον ψόφον. Schol.

838. Ἀλλ' ὥρη δολιχὴν] ἀπέρχομαι, ὅπου τὰ ἀπόγεια χοινία τῆς Ἀργοῦς δέδεται, ὅπως ἐωθινοὶ τὴν ἐπανόδου μνήμην ποιήσωνται· ὅπως αὐτοὺς ἔξωθεν ποιήσω ἀποπλεῦσαι ἐκ τῆς γῆς τῶν Τυρσηνῶν. Schol.

Ὧς

Ὥς κεν ὑπηῷοι μνησαίατο νόστον ἑλέσθαι.
Ἦ, καὶ ἀναΐξασα κατ' αἰθέρος ἔμπεσε δίναις
Κυανέου πόντοιο· κάλει δ' ἐπαμυνέμεν ἄλλας
Αὐτοκασιγνήτας Νηρηΐδας· αἱ δ' ἀΐουσαι
Ἤντεον ἀλλήλῃσι· Θέτις δ' ἀγόρευεν ἐφετμὰς
Ἥρης· αἶψα δ' ἴαλλε μετ' Αὐσονίην ἅλα πάσας.
Αὐτὴ δ' ὠκυτέρη ἀμαρύγματος, ἠὲ βολάων
Ἠελίου, ὅτ' ἄνεισι περαίης ὑψόθι γαίης,
Σεύατ' ἴμεν λαιψηρὰ δι' ὕδατος· ἐς τ' ἀφίκανεν
Ἀκτὴν Αἰαίην Τυρσηνίδος ἠπείροιο.
Τοὺς δ' εὗρεν παρὰ νηῒ σόλῳ ῥιπῇσί τ' ὀϊστῶν
Τερπομένους· ἡ δ' ἆσσον ὀρεξαμένη χερὸς ἄκρης
Αἰακίδεω Πηλῆος· ὁ γάρ ῥά οἱ ἦεν ἀκοίτης,
Οὐδέ τις εἰσιδέειν δύνατ' ἔμπεδον· ἀλλ' ἄρα τῷγε

*Ad hortandum eos* ut primâ cum luce reminiſcantur moliri reditum.
Dixit; et per aërem irrumpens incidit vorticibus
Cœrulei maris, vocavitque alias, ut auxiliarentur,
Sorores Nereïdas: illæ audientes
Convenerunt mutuò: tum Thetis nunciavit iis mandata
Junonis, ſtatimque ablegavit in Auſonium mare cunctas.
Ipſa deinde fulgure ocyor, aut radiis
Solis, quando oritur extremâ de terrâ,
Incitata eſt ire celeriter per fluctus, donec attigit
Litus Ææum Tyrrhenæ terræ.
Hos verò apud navem invenit diſco jactibuſque ſagittarum
Se delectantes: ipſa celeriter, arreptâ ſummâ manu
Pelei Æaco nati, (hic enim ei erat maritus,
Neque aliquis videre poterat reverà, ſed huic

841. Ὑπηῷοι] κατὰ τὸν καιρὸν τῆς ἠοῦς. ἤγουν ἕωθεν. ὄνομα ἀντὶ ἐπιρρήματος. Schol.

847. Αὐτὴ δ' ὠκυτέρη] ὑπερβολικῶς. οὐδὲν γὰρ ἀκτίνων βολὴν ὑπερβαλέσθαι δύναται· οὔτε τὴν λεγομένην μαρμαρυγὴν, ἥτις ἐστὶ λαμπηδόνος συνεχὴς ὅρμησις, καὶ ἀμάρυγμα λεγομένη. Τυρσηνίαν δ' εἴρηκε τὴν τῆς Κίρκης νῆσον, διὰ τὸ πρόσχωρον αὐτῇ εἶναι. Schol.

852. Ὀρεξαμένη] ἐπιδραξαμένη. Schol.

Οἴῳ ἐν ὀφθαλμοῖσιν ἐείσατο, φώνησέν τε.
Μηκέτι νῦν ἀκταῖς Τυρσηνίσιν ἧσθε μένοντες·
Ἠῶθεν δὲ θοῆς πρυμνήσια λύετε νηὸς,
Ἥρῃ πειθόμενοι ἐπαρηγόνι· τῆς γὰρ ἐφετμαῖς
Πασσυδίῃ κοῦραι Νηρηΐδες ἀντιόωσι
Νῆα διὲκ πέτρας αἵτε Πλαγκταὶ καλέονται,
Ῥυσόμεναι· κείνη γὰρ ἐναίσιμος ὔμμι κέλευθος.
Ἀλλὰ σὺ μή τῳ ἐμὸν δείξῃς δέμας, εὖτ' ἂν ἴδηαι
Ἀντομένην σὺν τῇσι· νόῳ δ' ἔχε· μή με χολώσῃς
Πλεῖον ἔτ' ἢ τοπάροιθεν ἀπηλεγέως ἐχόλωσας.
Ἦ, καὶ ἔπειτ' ἀΐδηλος ἐδύσατο βένθεα πόντου.
Τὸν δ' ἄχος αἰνὸν ἔτυψεν· ἐπεὶ πάρος οὐκ ἔτ' ἰοῦσαν

Soli oculis apparuit) locuta est.
Haud amplius in Tyrrhenis litoribus commoremini manentes,
Manè autem celeris funes solvite navis
Junoni opiferæ morigeri: illius enim jussu
Omnes simul filiæ Nereides conveniunt,
Navem per petras quæ Planctæ appellantur,
Liberaturæ: illa enim destinata vobis est via.
Tu tamen nemini meum ostendas corpus, quando videris
Cum illis obviam factam; et hoc mente serva; ne me irrites
Plus, quàm antea pertinaciter irritâsti.
Dixit: et invisibilis subiit profunda maris.
Hunc autem dolor gravis corripuit, quoniam antea non amplius convenientem

855 Ἐείσατο] ἐφάνη. ἀντιόωσιν. Schol.

856. Μηκέτι νῦν ἀκταῖς] μηκέτι καθέζεσθε ἐν ταῖς ἀκταῖς τῆς Αἰαίης νήσου ταῖς οὔσαις πλησίον τῶν Τυρσηνῶν, ἀμελοῦντες καὶ ὑπερτιθέμενοι τὸν πλοῦν ὑμῶν. Schol.

859. Πασσυδίῃ κοῦραι] πᾶσαι ὁμοῦ ἀπαντῶσι τὴν ναῦν φυλάξουσαι ἐκ τῶν πετρῶν αἵτινες καλοῦνται Πλαγκταί. Schol.

861. Κείνη γὰρ ἐναίσιμος] ἐναίσιμος γὰρ ὑμῖν ὁ πλοῦς αἴσιμος καὶ καθήκων ἐστὶν ὁ διὰ τῶν Πλαγκτῶν πετρῶν. Schol.

862. Ἀλλὰ σὺ μή τῳ] μή τινι τῶν Ἀργοναυτῶν ἀποδείξῃς με, ἡνίκα με ἴδῃς σὺν ταῖς Νηρηΐσιν ὑπαντησάσαις σοι. Schol.

864. Ἀπηλεγέως] ἀναμφιλέκτως. Schol.

865. Ἀΐδηλος] ἀφανὴς γενομένη κατέδυ εἰς τὸ βάθος τῆς θαλάσσης. Schol.

866. Τὸν δ' ἄχος] τὸν δὲ Πηλέα δεινῶς ἡ λύπη ἔπληξεν. Schol.

Ἔδρακεν,

Ἔδρακεν, ἐξότε πρῶτα λίπεν θάλαμόν τε καὶ εὐνήν,
Χωσαμένη Ἀχιλῆος ἀγαυοῦ νηπιάχοντος.
Ἡ μὲν γὰρ βροτέας αἰεὶ περὶ σάρκας ἔδαιεν
Νύκτα διὰ μέσσην φλογμῷ πυρός· ἤματα δ᾽ αὖτε
Ἀμβροσίῃ χρίεσκε τέρεν δέμας, ὄφρα πέλοιτο
Ἀθάνατος, καί οἱ στυγερὸν χροῒ γῆρας ἀλάλκοι.
Αὐτὰρ ὅγ᾽ ἐξ εὐνῆς ἀναπάλμενος εἰσενόησε
Παῖδα φίλον σπαίροντα διὰ φλογός· ἧκε δ᾽ ἀϋτὴν
Σμερδαλέην ἐσιδών, μέγα νήπιος· ἡ δ᾽ ἀΐουσα
Τὸν μὲν ἄρ᾽ ἁρπάγδην χαμάδις βάλε κεκληγῶτα
Αὐτὴ δὲ πνοιῇ ἰκέλη δέμας, ἠΰτ᾽ ὄνειρος,
Βῆ ῥ᾽ ἴμεν ἐκ μεγάροιο θοῶς, καὶ ἐσήλατο πόντον
Χωσαμένη· μέτα δ᾽ οὔτι παλίσσυτος ἵκετ᾽ ὀπίσσω.

Viderat, ex quo primùm reliquit thalamum lectumque,
Irata Achillis causâ inclyti, infantuli.
Hæc enim mortales usque carnes comburebat
Noctem per mediam flammâ ignis, per diem autem contrà
Ambrosiâ ungebat tenerum corpus, ut esset
Immortalis, et odiosam senectutem ab ejus corpore arceret.
Ille verò è lecto prosiliens animadvertit
Filium dilectum inter flàmmas palpitantem, emisitque clamorem
Horrendum intuitus, valdè stultus: hæc audiens
Istum quidem raptim in terram projecit clamantem,
Ipsa verò vento similis corpore, somnii ad instar
Perrexit ire ex ædibus celeriter, subiitque pontum
Indignata, nec retrò versa iterum accessit.

868. Νηπιάχοντος] νηπιάχειν, τὸ νηπιάζειν. Schol.

871. Ἀμβροσίῃ χρίεσκεν] θειοτάτῳ ἐλαίῳ ἀλείφεσκε τὸ ἁπαλὸν αὐτοῦ σῶμα. Schol.

872. Καί οἱ στυγερὸν] καὶ αὐτοῦ τὸ μισητὸν γῆρας ἀπὸ τοῦ σώματος ἀποσοβοίη. Ἀλάλκοι. ἀποβάλλειν. Schol.

874. Σπαίροντα διὰ φλογός] ἀλλόμενον καὶ σαλεύοντα ἐπὶ τοῦ πυρός. Schol.

876. Τὸν μὲν ἄρ᾽ ἁρπάγδην] ἀπὸ τοῦ πυρὸς ἀναρπάξασα ἔρριψεν ἐπὶ τοῦ ἐδάφους κεκραγότα. Schol.

879. Παλίσσυτος] μετὰ δὲ ταῦτα οὐκέτι ἐξ ὑποστροφῆς παρεγένετο πρὸς τὸν Πηλέα. ὅθεν τὰς φρένας αὐτοῦ κατέδησεν ἡ ὀλιγωρία. Schol.

Τῷ μιν ἀμηχανίη δῆσεν φρένας· ἀλλὰ καὶ ἔμπης
Πᾶσαν ἐφημοσύνην Θέτιδος μετέειπεν ἑταίροις.
Οἱ δ' ἄρα μεσσηγὺς λῆξαν, καὶ ἔπαυσαν ἀέθλους
Ἐσσυμένως, δόρπον τε χαμεύνας τ' ἀμφεπένοντο·
Τῆς ἔνι δαισάμενοι, νύκτ' ἄεσαν ὡς τοπάροιθεν.
Ἦμος δ' ἄκρον ἔβαλλε φαεσφόρος οὐρανὸν ἠώς,
Δὴ τότε λαιψηροῖο κατηλυσίῃ ζεφύροιο
Βαῖνον ἐπὶ κληῗδας ἀπὸ χθονός· ἐκ δὲ βυθοῖο
Εὐναίας εἷλκον περιγηθέες· ἄλλα τε πάντα
Ἄρμενα μηρύοντο κατὰ χρέος· ὕψι δὲ λαῖφος
Εἴρυσαν τανύσαντες ἐν ἱμάντεσσι κεραίης.
Νῆα δ' εὐκραὴς ἄνεμος φέρεν· αἶψα δὲ νῆσον
Καλὴν, ἀνθεμόεσσαν ἐσέδρακον, ἔνθα λίγειαι

Idcirco illius ſane obſtrinxit animum dolor: attamen
Omnia mandata Thetidis expoſuit ſociis.
Illi ergo interim quiêrunt, miſſaque fecerunt certamina
Feſtinanter; circum autem cœnam et ſtrata occupabantur,
In quibus epulati noctem dormiverunt, ſicut antea.
Quando verò ſummum radiis percuſſerat cœlum lucifera Aurora,
Tunc tranquilli deſcenſu Zephyri
Conſcenderunt tranſtra de terrâ, et ex profundo
Anchoras traxerunt læti admodum; aliaque omnia
Arma pro rei exigentiâ expedierunt; deinde velum altè
Suſtulerunt, intendentes funibus antennarum cornua.
Navem verò benè temperata ferebat aura, citóque inſulam
Pulchram, floriferam conſpexerunt, ubi argutæ

880. Ἀμηχανίη] ἀπορία. λύπη. Schol.

884. Τῆς ἔνι δαισάμενοι] ἐν ταύταις δὲ εὐωχηθέντες καὶ δειπνήσαντες, ἐκοιμήθησαν τὴν νύκτα ὡς καὶ πρότερον· οἷον ὡς τὴν ἑτέραν νύκτα. Ἄεσαν. ἐκοιμήθησαν. Schol.

886. Κατηλυσίῃ] καθόδῳ. Schol.

887. Βαῖνον ἐπὶ κληῗδας] ἀνέβαινον ἐπὶ τὰ συνδέσματα τῆς νηὸς καὶ τὰς ἑαυτῶν καθέδρας. Ἐκ δὲ βυθοῖο εὐναίας. ἐκ δὲ τοῦ βυθοῦ ἀνέφερον ἢ ἀνεῖλκον τὰ σίδηρα, χαίροντες τῇ ἐλεύσει τοῦ ζεφύρου· καὶ τὰ ἄρμενα δὲ ὡς ἔδει ἐσώρευον καὶ εὐτρέπιζον. Schol.

890. Τανύσαντες ἐν ἱμάντεσσι· ἀπλώσαντες τοῖς ἱμᾶσι κέρας, καὶ ἀναγαγόντες αὐτὸ σὺν τῷ ἀρμένῳ. Schol.

892. Καλὴν, ἀνθεμόεσσαν] ἠκολούθησεν Ἡσιόδῳ, οὕτως ὀνομάζοντι τὴν νῆσον

Σειρῆνες

Σειρῆνες σίνοντ' Ἀχελωΐδες, ἡδείῃσι
Θέλγουσαι μολπῇσιν ὅτις παρὰ πεῖσμα βάλοιτο.
Τὰς μὲν ἄρ' εὐειδὴς Ἀχελωΐῳ εὐνηθεῖσα
Γείνατο Τερψιχόρη, Μουσέων μία· καί ποτε Δηοῦς
Θυγατέρ' ἰφθίμην ἀδμῆτ' ἔτι πορσύνεσκον
Ἄμμιγα μελπόμεναι· τότε δ' ἄλλο μὲν οἰωνοῖσιν,
Ἄλλο δὲ παρθενικῇς ἐναλίγκιαι ἔσκον ἰδέσθαι.
Αἰεὶ δ' εὐόρμου δεδοκημέναι ἐκ περιωπῆς,
Ἦ θαμὰ δὴ πολέων μελιηδέα νόστον ἕλοντο,
Τηκεδόνι φθινύθουσαι· ἀπηλεγέως δ' ἄρα καὶ τοῖς
Ἵεσαν ἐκ στομάτων ὄπα λείριον· οἳ δ' ἀπὸ νηὸς
Ἤδη πείσματ' ἔμελλον ἐπ' ἠιόνεσσι βαλέσθαι,
Εἰ μὴ ἄρ' Οἰάγροιο πάϊς Θρηΐκιος Ὀρφεὺς
Βιστονίην ἐνὶ χερσὶν ἑαῖς φόρμιγγα τανύσσας,

Sirenes Acheloi filiæ illi melleis nocebant
Demulcentes cantibus, quicunque funes injecisset.
Has quidem formosa Acheloo commista
Peperit Terpsichore, Musarum una: ac fuit cum Cereris
Filiam nobilem adhuc jugi impatientem oblectarent
Simul canentes: tunc verò alterâ ex parte avibus,
Alterâ virginibus similes erant visu:
Semperque ex commodâ excelsâ speculâ observantes
Frequenter à multis dulcem reditum ademerunt,
Tabe eos consumentes: quin imo indesinenter et his
Miserunt ex oribus suavem vocem, qui a nave
Jam funes erant litoribus injecturi,
Nisi Oeagri filius Thracius Orpheus
Bistoniâ manibus extensâ citharâ,

τῶν Σειρήνων. νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων. ὀνόματα δὲ αὐτῶν, Θελξιόπη, ἢ Θελξινόη, Μολπή, Ἀγλαόφωνος. Schol.

897. Πορσύνεσκον] ἔτρεφον. ἐπιμελείας ἠξίουν καὶ ηὔξανον, παρθένον ἔτι οὖσαν καὶ ἄζυγον. Schol.

900. Αἰεὶ δ' εὐόρμου] αἰεὶ δὲ ἀποσκοπούμεναι καὶ θεωροῦσαι ἀπὸ τοῦ ὑψηλοῦ καὶ εὐόρμου τόπου πολλῶν παριόντων τὴν ἐπάνοδον ἥρπαζον, τῇ τηκεδόνι φθίνειν ποιοῦσαι. Schol.

Κραιπνὸν

Κραιπνὸν εὐτροχάλοιο μέλος κανάχησεν ἀοιδῆς,
Ὄφρ' ἄμυδις κλονέοντος ἐπιβρομέωνται ἀκουαὶ
Κρεγμῷ· παρθενίην δ' ἐνοπὴν ἐβιήσατο φόρμιγξ.
Νῆα δ' ὁμοῦ ζέφυρός τε καὶ ἠχῆεν φέρε κῦμα
Πρυμνόθεν ὀρνύμενον· ταὶ δ' ἄκριτον ἵεσαν αὐδήν.
Ἀλλὰ καὶ ὧς Τελέοντος ἐῢς πάϊς, οἶος ἑταίρων
Προφθάμενος ξεστοῖο κατὰ ζυγοῦ ἔνθορε πόντῳ
Βούτης, Σειρήνων λιγυρῇ ὀπὶ θυμὸν ἰανθείς.
Νῆχε δὲ πορφυρέοιο δι' οἴδματος, ὄφρ' ἐπιβαίη,
Σχέτλιος· ἦ τέ οἱ αἶψα καταυτόθι νόστον ἀπηύρων·
Ἀλλά μιν οἰκτείρασα θεὰ Ἔρυκος μεδέουσα
Κύπρις, ἔτ' ἐν δίναις ἀνερέψατο, καί ῥ' ἐσάωσε

Celerem volubilis modum magno cum sonitu cecinisset cantilenæ,
Adeo ut omnium pulsantis tinnirent aures
Clangore: virgineam verò vocem vicit cithara.
Navem autem simul Zephyrus ac resonans ferebat fluctus
A puppi inurgens: illæ tamen indistinctam misere vocem.
Sed et sic Teleontis strenuus filius solus de sociis
Præventus, polito de jugo insiliit in mare
Butes, Sirenum suavi voce animum tabescens;
Natavitque nigros per fluctus, ut attingeret
Miser; certè ei citò ibi reditum abstulissent,
Nisi illum miserata Dea Erycis regina,
Cypris, adhuc in vorticibus *existentem* avertisset, servâssetque

907. Εὐτροχάλοιο] τῆς τροχαλῆς ᾠδῆς τὸ μέλος ἐκίνησεν. Κανάχησε. ἤχησεν, ἐκίνησε. Schol.

Ibid. Κραιπνὸν, &c. Hic versus ex dactylis omnino confectus, verbisque quæ Onomatopœiam sonant, celeres et audaces numeros, quibus usus est Orpheus ad vincendam Sirenum mollem et illecebrosam vocem mirum in modum exprimit. Upt.

909. Κρεγμῷ] τῇ κρούσει. ὑπὸ τοῦ κρούματος. κρέκειν γὰρ τὸ κρούειν. Schol.

917. Ἔρυκος μεδέουσα] Ἔρυξ ὄνομα πόλεως ἔνθα τιμᾶται ἡ Ἀφροδίτη. οἱ δὲ τὴν Σικελίαν. Schol.

Ibid. Ἔρυκος. Hujus fabulæ soboles est ea, quam persequitur Diodorus L. IV. de Eryce Veneris marito, Butæ filio. Eryx tamen mons apud Polybium est inter Drepanum et Panormum. Hœl.

Πρόφρων

Πρόφρων ἀντομένη Λιλυβηΐδα ναιέμεν ἄκρην.
Οἱ δ' ἄχεϊ σχόμενοι, τὰς μὲν λίπον, ἄλλα δ' ὄπιζον
Κύντερα μιξοδίῃσιν ἁλὸς ῥαιστήρια νηῶν.
Τῇ μὲν γὰρ Σκύλλης λισσὴ προὐφαίνετο πέτρη,
Τῇ δ' ἄμοτον βοάασκεν ἀναβλύζουσα Χάρυβδις·
Ἄλλοθι δὲ Πλαγκταὶ μεγάλῳ ὑπὸ κύματι πέτραι
Ῥόχθεον, ἧχι πάροιθεν ἀπέκλυεν αἰθομένη φλὸξ
Ἄκρων ἐκ σκοπέλων, πυριθαλπέος ὑψόθι πέτρης.
Καπνῷ δ' ἀχλυόεις αἰθὴρ πέλεν· οὐδέ κεν αὐγὰς
Ἔδρακες ἠελίοιο· τότ' αὖ λήξαντος ἀπ' ἔργων
Ἡφαίστου, θερμὴν ἔτι κήκιε πόντος ἀϋτμήν.
Ἔνθα σφιν κοῦραι Νηρηΐδες ἄλλοθεν ἄλλαι
Ἤντεον· ἡ δ' ὄπιθεν πτέρυγος θίγε πηδαλίοιο
Δῖα Θέτις, Πλαγκτῇσιν ἐνὶ σπιλάδεσσιν ἐρύσσαι.
Ὡς δ' ὁπόταν δελφῖνες ὑπ' ἐξ ἁλὸς εὐδιόωντες

Lubenter obviam facta, euns ad habitandum Lilybæum promontorium.
Illi autem dolore correpti, has quidem liquerunt, alias verò
Diriores in compitis marinis pestes navium inveniebant.
Hàc enim Scyllæ glabra eminebat petra,
Illàc indesinenter reboabat rebulliens Charybdis;
Alibi Planctæ sub ingenti fluctu petræ
Murmurabant, quà modò ardens exibat flamma
Summis è scopulis, igni calentem suprà petram.
Fumo insuper tenebrosus erat æther, nec radios
Aspicere liceret solis: quin jam feriato ab operibus
Vulcano, calidum adhuc submittebat mare vaporem.
Hoc rerum statu puellæ Nereides aliunde aliæ
Occurrunt: ipsaque à tergo temonem attigit clavi
Diva Thetis, ut Planctis è petris liberaret.
Sicut autem quando Delphines è mari lascivientes,

921. Μιξοδίῃσιν ἁλὸς] μιξοδίαν καλεῖ τὸν τόπον καθ' ὃν ἦν ἡ Σκύλλα καὶ ἡ Χάρυβδις, διὰ τὸ ἀντικρὺ εἶναι ἀλλήλων. Schol.

923. Ἄμοτον] ἀκαταπαύστως. Schol.

926. Πυριθαλπέος] πυριθαλπῆ εἴρηκεν λέγει τὴν ὑπὸ πυρὸς καιομένην. Schol.

Σπερχομένη

Σπερχομένην ἀγεληδὸν ἑλίσσονται περὶ νῆα.
Ἄλλοτε μὲν προπάροιθεν ὁρώμενοι, ἄλλοτ' ὄπισθεν,
Ἄλλοτε παρβολάδην· ναύτῃσι δὲ χάρμα τέτυκται·
Ὣς αἱ ὑπεκπροθέουσαι ἐπήτριμοι εἱλίσσοντο
Ἀργώῃ περὶ νηΐ, Θέτις δ' ἴθυνε κέλευθον.
Καί ῥ' ὅτε δὴ Πλαγκτῇσιν ἐνιχρίμψεσθαι ἔμελλον,
Αὐτίκ' ἀνασχόμεναι λευκοῖς ἐπὶ γούνασι πέζας,
Ὑψοῦ ἐπ' αὐτάων σπιλάδων καὶ κύματος ἀγῆς
Ῥώοντ' ἔνθα καὶ ἔνθα διασταδὸν ἀλλήλῃσι.
Τὴν δὲ παρηορίην κόπτεν ῥόος· ἀμφὶ δὲ κῦμα
Λάβρον ἀειρόμενον πέτραις ἐπικαγχλάζεσκεν.
Αἱ δ' ὅτε μὲν κρημνοῖς ἐναλίγκιαι ἠέρι κῦρον,
Ἄλλοτε δὲ βρύχιαι, νεάτῳ ὑπὸ πυθμένι πόντου
Ἠρήρεινθ', ὅθι πολλὸν ὑπείρεχεν ἄγριον οἶδμα.

Celerem gregatim glomerantur circà navem ;
Nunc quidem ante confpecti, nunc à tergo,
Nunc à lateribus: nautis autem funt gaudio:
Sic fane hæ procurrentes confertim glomerabantur
Argoam circà navem : Thetis verò dirigebat cursum.
Et quando jam Planctis appropinquaturi erant,
Statim illæ, fublatis ufque ad marmorea genua limbis,
Altè in ipfos fcopulos, et fluctuum fracturam,
Commovebantur hinc, illinc, vacante inter ipfas fpatio.
Hanc fublimem ferebat fluctus, circumque unda
Infana fublata fcopulis infremuit.
Illæ verò interdum in præcipitia aëri pares incidebant,
Interdum verò merfæ imo fub fundo ponti,
Subfidebant, ubi multa fuperabat fæva unda.

936. Παρβολάδην] παραβεβλημένως. οἱονεὶ παραπλέοντες. Schol.

937. Ἐπήτριμοι] ἐκ πλαγίων, ἢ ὁμοῦ πρὸς ἀλλήλας καταπυκνούμεναι ἑκατέρωθεν. Schol.

940. Αὐτίκ' ἀνασχόμεναι] εὐθέως ἀνελκύσασαι ἐπὶ τῶν λευκῶν γονάτων τὰ ἱμάτια ἄνωθεν τοῦ ζωναρίου, καὶ ἀνασύρασαι αὐτὰ, ἐρρωμένως ἄνωθεν τῶν πετρῶν καὶ τῆς τοῦ κύματος ἀνακλάσεως ἐκινοῦντο. Schol.

943. Τὴν δὲ παρηορίην] μετέωρον. ἐβάσταζον γὰρ αὐτὴν αἱ Νηρηΐδες ἄνωθεν τῶν πετρῶν ἀλλήλαις ὡς σφαῖραν ἀκοντίζουσαι. Schol.

947. Ἠρήρειντο] ἐπλησίαζον καὶ ἐδράζοντο. Schol.

Αἱ

Αἱ δ', ὥς τ' ἠμαθόεντος ἐπισχεδὸν αἰγιαλοῖο
Παρθενικαὶ δίχα κόλπον ἐπ' ἰξύας εἱλίξασαι,
Σφαίρῃ ἀθύρουσιν περιηγέϊ· τὴν μὲν ἔπειτα
Ἄλλη ὑπ' ἐξ ἄλλης δέχεται, καὶ ἐς ἠέρα πέμπει
Ὕψι μεταχρονίην· ἡ δ' οὔποτε πίλναται οὔδει·
Ὣς καὶ νῆα θέουσαν ἀμοιβαδὶς ἄλλοθεν ἄλλη
Πέμπε διηερίην ἐπὶ κύμασιν, αἰὲν ἄπωθε
Πετράων· περὶ δέ σφιν ἐρευγόμενον θέεν ὕδωρ.
Τὰς δὲ καὶ αὐτὸς ἄναξ κορυφῆς ἐπὶ λισσάδος ἄκρης
Ὀρθὸς ἐπὶ στελεῇ τυπίδος βαρὺν ὦμον ἐρείσας
Ἥφαιστος θηεῖτο, καὶ αἰγλήεντος ὕπερθεν
Οὐρανοῦ ἑστηυῖα Διὸς δάμαρ· ἀμφὶ δ' Ἀθήνῃ
Βάλλε χέρας· τοῖόν μιν ἔχεν δέος εἰσορόωσαν.
Ὅσση δ' εἰαρινοῦ μηκύνεται ἤματος αἶσα,

Illæ igitur, quemadmodum arenoſum propè litus
Virgines, ſinum dupliciter uſque ad ilia conſtringentes,
Pilâ ludunt orbiculari, quam deinde
Alia ab aliâ excipit, et in aëra mittit
Altè ſublimem, illa verò nunquam appropinquat ſolo:
Ita navem currentem viciſſim aliunde alia
Mittebat aëriam ſuper fluctus, ſemper longè
A ſaxis, ipſaſque fremens circumluit unda.
Has autem et ipſe rex ſummo lævis ſcopuli vertice
Erectus, mallei capulo ſuffultus gravem humerum,
Vulcanus admirabatur, et ſplendido ſupernè
Cœlo ſtans Jovis uxor; ac Minervæ
Circumjecit manus, tantus eam timor corripuit aſpicientem.
Quanta verò verni extenditur diei pars

949. Δίχα κόλπον, &c. Vid. Span. in Call. Dian. v. 11.

952. Μεταχρονίην. In hâc lectione conſentiunt omnes editiones; ſed haud injuriâ jam ante admonuit Stephanus, ut in libri ſecundi v. 300. ſic et in hoc loco legamus, μεταχθονίην. Schol.

957. Στελεῇ] τῇ λαβῇ. Τυπίδος ἤ, τῆς σφύρας. ἐπὶ τῆς τοῦ ξύλου ἐπερειδθεὶς σφύρας. Schol.

961. Ὅσση δ' εἰαρινοῦ] ὅσον ἐστὶ διάστημα ἡμέρας ἐαρινῆς, ἤγουν δώδεκα ὡρῶν διαστήματος μοῖρα. ἐαρινὴν δὲ ἄρχουσιν ἡμέραν τὴν τῆς ἰσημερίας. Schol.

Ibid. Αἶσα. Schol. διαστήματος μοῖρα. Probroſum ſane deabus, nî ſig-

Τοσσάτιον μογέεσκον ἐπὶ χρόνον ὀχλίζουσαι
Νῆα δι' ἐκ πέτρας πολυηχέας. Οἱ δ' ἀνέμοιο
Αὖτις ἐπαυρόμενοι προτέρω θέον· ὦκα δ' ἄμειβον
Θρινακίης λειμῶνα, βοῶν τροφὸν ἠελίοιο.
Ἔνθ' αἱ μὲν κατὰ βένθος ἀλίγκιαι αἰθυίῃσι
Δῦνον, ἐπεί ῥ' ἀλόχοιο Διὸς πόρσυνον ἐφετμάς.
Τοὺς δ' ἄμυδις βληχή τε δι' ἠέρος ἵκετο μήλων,
Μυκηθμός τε βοῶν αὐτοσχεδὸν οὖατ' ἔβαλλε.
Καὶ τὰ μὲν ἑρσήεντα κατὰ δρία ποιμαίνεσκεν
Ὁπλοτέρη Φαέθουσα θυγατρῶν ἠελίοιο,
Ἀργύρεον χαῖον παλάμῃ ἔνι πηχύνουσα·

Tantum laborabant ad tempus, impellentes
Navem ex multum reſonantibus ſcopulis: illi ventum
Rurſus adepti procucurrerunt longius, ac ocyus tranſierunt
Trinacriæ pratum boum Solis nutritium,
Ubi illæ quidem in profundum mergis ſimiles
Subierunt, poſtquam uxoris Jovis perfecerant mandata.
Hos autem ſimul balatus per aërem attigit ovium,
Mugituſque boum illico aures feriebat,
Quas roſcida per prata paſcebat
Natarum ſolis minima Phaethuſa,
Argenteum manu protendens pedum:

nificare poëta rei arduitatem velit: ut ſit portio altera νυχθημέρου, ſeu dies vernus artificialis. Nec tamen video quid impediat, quin trihorium vernum poſſit intelligi, hoc eſt, una ex quatuor diei verni partibus, aut hora etiam una de duodecim. Quæ enim hic extra hoc ſpatium fieri memorantur, IV. 979. ea quatuor horarum intervallum videntur excedere. Hœl.

Fortaſſe intelligendum per ἤματος αἶσα, *ipſa dies*, ut Ὀδ. τ'. 84. ἐλπίδος αἶσα, *ſpei fatum*, i. e. *ipſa ſpes*.

965. Θρινακίης λειμῶνα] Τίμαιος Θρινακίαν φησὶ καλεῖσθαι τὴν Σικελίαν, ὅτι τρεῖς ἄκρας ἔχει. οἱ δὲ ἱστορικοὶ Θρινακὴν φασὶν ἄρξαι τῆς Σικελίας. Μύλας δὲ, χερρόνησον Σικελίας, ἐν ᾗ αἱ τοῦ ἡλίου βόες ἐνέμοντο. Schol.

972. Ἀργύρεον χαῖον] χαῖον ἐστὶ καμπύλη βακτηρία, ᾗ οἱ ποιμένες χρῶνται. Ἀμερίας δὲ ψιλὴν ἀπέδωκε ῥάβδον. Καλλίμαχος. "ἔπρεπέ τοι προέχουσα πέρης εὐρεῖα καλύπτρη, Ποιμενικὸν πίλημα, καὶ ἐν χερὶ χαῖον ἔχουσα." καὶ τὸ παρ' Ἀλκμᾶνι δὲ λεγόμενον ἐρυσίχαιον, τοιοῦτόν ἐστι. σημαίνει γὰρ τοὺς χαῖον ἐρύοντας, ἤγουν ποιμαίνοντας. Πηχύνουσα δὲ, ἀντὶ τοῦ τῷ πήχει τῆς χειρὸς προσπεριεχοῦσα. Schol.

Λαμπετίη

Λαμπετίη δ' ἐπὶ βουσὶν ὀρειχάλκοιο φαεινοῦ
Πάλλεν ὀπηδεύουσα καλαύροπα· τὰς δὲ καὶ αὐτοὶ
Βοσκομένας ποταμοῖο παρ' ὕδασιν εἰσορόωντο
Ἀμπεδίον καὶ ἕλος λειμώνιον· οὐδέ τις ἦεν
Κυανέη μετὰ τῇσι δέμας, πᾶσαι δὲ γάλακτι
Εἰδόμεναι, χρυσέοισι κεράεσσι κυδιάασκον.
Καὶ μὲν τὰς παράμειβον ἐπ' ἤματι· νυκτὶ δ' ἰούσῃ
Πεῖρον ἁλὸς μέγα λαῖτμα κεχαρμένοι· ὄφρα καὶ αὖτις
Ἠὼς ἠριγενὴς φέγγος βάλε νεισομένοισιν.
Ἔστι δέ τις πορθμοῖο παροιτέρη Ἰονίοιο
Ἀμφιλαφὴς πίειρα Κεραυνίη εἰν ἁλὶ νῆσος,

Lampetia verò boves ſequebatur, ex orichalco fulgenti
Vibrans baculum: has etiam ipſi
Paſcentes fluminis ad aquas conſpexerunt
In campo et pratis paluſtribus: nec aliqua erat
Inter eas fuſco corpore, ſed omnes lacti
Similes, aureis cornibus adornabantur.
Et has quidem præternavigârunt uno die: nocte autem inſequenti
Magnum maris æquor tranſierunt læti, donec iterum
Aurora matutina lucem infudit pergentibus.
Eſt autem quædam fretum ante Ionium
Ampla, opulenta, Ceraunia in mari inſula,

973. Ὀρειχάλκοιο] ὀρείχαλκος, εἶδος χαλκοῦ, ἀπὸ Ὀρείου τινὸς γενομένου Εὑρετοῦ ὀνομασμένος. Ἀριστοτέλης δὲ ἐν πολιτείαις φησὶ μηδὲ ὑπάρχειν τὸ ὄνομα, μηδὲ τὸ τούτου εἶδος. τὸ γὰρ ὀρείχαλκον ἔνιοι ὑπολαμβάνουσι λέγεσθαι μὲν, μὴ εἶναι δέ. τὸν δὲ εἰκῆ διαδεδομένον καὶ τοῦτο. οἱ γὰρ πολυπραγμονέστεροι φασὶν αὐτὸν ὑπάρχειν. μνημονεύει καὶ Στησίχορος καὶ Βακχυλίδης· καὶ Ἀριστοφάνης δὲ ὁ γραμματικὸς σημειοῦται τοῦτο· ἄλλοι δὲ ἀνδριαντοποιοῦ λέγουσιν ὄνομα, ὡς Σωκράτης, καὶ Θεόπομπος ἐν εἰκοστῷ πέμπτῳ. οὕτως ἦν ἐν τῇ κωμικῇ λέξει τῇ συμμίκτῳ. Schol.

974. Καλαύροπα] οἱονεὶ καλλὴν ῥάβδον. ἔστι γὰρ καλαύροψ ἡ βουκολικὴ ῥάβδος. Ὅμηρος. καλαύροπα βουκόλος. Παροιτέρη δὲ (v. 982.) ἀντὶ τοῦ ἔμπροσθεν. ὄνομα ἀντὶ ἐπιῤῥήματος. Schol.

982. Ἔστι δέ τις πορθμοῖο] τούτων δὲ νῆσος οὗτός ἐστιν. εἰς τὸν Ἰόνιον κόλπον εἰσπλέουσι, νῆσος εὐλίμενος καὶ λιπαρὰ, ὑφ' ἣν κεῖσθαι τὸ δρέπανον τοῦ Κρόνου φασὶν, ᾧ τὰ τοῦ πατρὸς αἰδοῖα ἀπέτεμεν. οἱ δὲ φασὶ Δήμητρος εἶναι τοῦτο, ᾧ τοὺς Τιτᾶνας ἐδίδαξε σταχυοτομεῖν. κατῴκησε γὰρ ἡ θεὸς ποτὲ τὴν νῆσον ἐκείνην, ἀγαπήσασα Μάκριν τὴν τοῦ Διονύσου τροφόν. ταύτην Φαίακες κατῴκουν, ἀπὸ θεῶν ὄντες τὸ γένος. Schol.

983. Ἀμφιλαφὴς] ἀμφοτέρωθεν ἐπι-

 Hi

Ἧι ὕπο δὴ κεῖσθαι δρέπανον φάτις (ἵλατε, Μοῦσαι·
Οὐκ ἐθέλων ἐνέπω προτέρων ἔπος) ᾧ ἄπο πατρὸς
Μήδεα νηλειῶς ἔταμε Κρόνος· οἱ δέ ἑ Δηοῦς
Κλείουσι χθονίης καλαμητόμον ἔμμεναι ἅρπην.
Δηὼ γὰρ κείνῃ ἐνὶ δή ποτε νάσσατο γαίῃ·
Τιτῆνας δ' ἔδαεν στάχυν ὄμπνιον ἀμήσασθαι,
Μάκριδα φιλαμένη. Δρεπάνη τόθεν ἐκλήϊσται
Οὔνομα Φαιήκων ἱερὴ τροφός· ὣς δὲ καὶ αὐτοὶ
Αἵματος οὐρανίοιο γένος Φαίηκες ἔασι.

Sub quâ positam esse falcem fama est (ignoscite, Musæ,
Non volens dico priorum fabulam) quâcum patris
Genitalia crudeliter abscidit Saturnus: alii eam Cereris
Perhibent terrestris messoriam esse falcem:
In illâ enim Ceres olim habitavit terrâ,
Titanasque docuit spicas fertiles demetere,
Amore Macridis. Drepane exinde dicta est
Nomine Phæacum sacra nutrix; sicut et ipsi
Sanguinis cœlestis genus Phæaces sunt.

πηδαίως περὶ τὸν ὅρμον ἔχουσι. Καλλίμαχος δὲ ἀμφίδυμον εἶπε τὸν ἀμφιλαφῆ λιμένα. ἱστορικῶς δὲ Ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησίν. ἱστορεῖ δὲ περὶ τοῦ λιμένος τῶν Φαιάκων Ἀπολλωνίδης ἐν τῷ περίπλῳ τῆς Εὐρώπης. τινὲς δὲ τὸ ἀμφιλαφὲς ἀντὶ τοῦ ξυλώδης ἀπέδωκαν. ᾧ οἰκείως ἐπισυνάπτει τὸ Πίειρα, δηλονότι λιπαρὰ καὶ εὔδιος. ἡ δὲ Κέρκυρα πρότερον μὲν Δρεπάνη ἐκαλεῖτο, εἶτα Σχερία. ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ· φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος, ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι. Δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὸ τὴν Δήμητρα, αἰτησαμένην δρέπανον παρ' Ἡφαίστου, τοὺς Τιτᾶνας διδάξαι θερίζειν. εἶτα αὐτὸ κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου· προσκλυζούσης δὲ τῆς θαλάσσης, ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ. Τίμαιος δὲ ἐκ τοῦ δρεπάνου, ᾧ ἐξέτεμεν τοῦ Οὐρανοῦ τὰ αἰδοῖα ὁ Κρόνος, ἢ ὁ Ζεὺς τὰ τοῦ Κρόνου. τοῦτο γὰρ αὐτοῦ κεκρύφθαι φησί. Μάκρις δὲ ὠνομάσθη ἀπὸ Μάκριδος τῆς Διονύσου τροφοῦ· Κερκύρα, ἀπὸ Κερκύρας τῆς Ἀσωποῦ θυγατρός. Schol.

989. Στάχυν ὄμπνιον] πολλοῦ. δαψιλῆ. Φιλητᾶς ἐν ἀτάκτοις γλώσσαις ἀπέδωκε ὄμπνιον στάχυν, τὸν εὔχυλον καὶ τρόφιμον. Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον καλοῦσιν. ἄμεινον δὲ τὸν φερέσβιον εἰπεῖν, οἱονεὶ ἔμπνεόν τινα ὄντα καὶ ὄμπνιον. Schol.

990. Ἐκλήϊσται] πεφήμισται. νενόμισται. Schol.

992. Αἵματος οὐρανίοιο] Ἀκουσίλαος ἐν τῇ τρίτῃ φησὶ, ὅτι ἐκ τῆς ἐκτομῆς τοῦ Οὐρανοῦ ῥανίδας ἐνεχθῆναι συνέπεσιν, τουτέστι σταγόνας, κατὰ τῆς γῆς· ἐξ ὧν γεννηθῆναι τοὺς

Τοὺς

Τοὺς Ἀργὼ πολέεσσιν ἐνισχομένη καμάτοισιν
Θρινακίης αὔρῃς ἵκετ' ἐξ ἁλός· οἱ δ' ἀγανοῖσιν
Ἀλκίνοος λαοί τε θυηπολίῃσιν ἰόντες
Δειδέχατ' ἀσπασίως· ἐπὶ δὲ σφίσι καγχαλάασκε
Πᾶσα πόλις· φαίης κεν ἑοῖς ἐπὶ παισὶ γάνυσθαι.
Καὶ δ' αὐτοὶ ἥρωες ἀνὰ πληθὺν κεχάροντο,
Τῷ ἴκελοι οἷόν τε μεσαιτάτῃ ἐμβεβαῶτες
Αἱμονίῃ· μέλλον δὲ βοῇ ἔνι θωρήξεσθαι·
Ὧδε μάλ' ἀγχίμολον στρατὸς ἄσπετος ἐξεφαάνθη
Κόλχων, οἳ Πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας
Κυανέας, μαστῆρες ἀριστήων ἐπέρησαν.

Ad hos Argo innumeris obſeſſa periculis
E Trinacrio auris venit mari, ipſique eos ſplendidis
Alcinous populuſque ſacris advenientes
Læti exceperunt; eorumque cauſâ ſummo perfundebatur gaudio
Civitas univerſa: diceres ſane eam de ſuis ipſius liberis gaudere.
Et ipſi verò heroes inter populum gaudebant
Pari gaudio ac ſi in intimam ingreſſi eſſent
Hæmoniam: erant tamen in prælium armaturi,
Tam prope immenſus exercitus apparuit
Colchorum, qui Ponti per os et ſaxa
Cyanea, heroum inveſtigatores penetrârunt.

Φαίακας. οἱ δὲ, τοὺς γίγαντας. καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ Ἀκουσιλάῳ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῆς σταγόνος τοῦ οὐρανοῦ. Ὅμηρος δὲ οἰκείους τοὺς Φαίακας τοῖς θεοῖς φησὶ, διὰ τὴν ἀπὸ Ποσειδῶνος γένεσιν. Schol.

993. Τοὺς Ἀργὼ πολέεσσι] ἡ Ἀργὼ, φησὶ, πολλὰ κακοπαθήσασα κατηνέχθη ἐκ τοῦ Σικελικοῦ πελάγους. Schol.

1002. Κόλχων, οἱ Πόντοιο] τῶν Κόλχων οἱ μετὰ Ἀψύρτου ὄντες κατῴκησαν ἐν ταῖς Βρυγηΐσιν, αἵτινές εἰσι τῆς Ἰλλυρίδος. οἱ δὲ διὰ τῶν Κυανέων πετρῶν ἐξελθόντες, ᾤκησαν Κέρκυραν. τῶν γὰρ διωκόντων τοὺς ἀριστεῖς Κόλχων οὐ κατὰ ταυτὸν τὸν πλοῦν στειλαμένων, οἱ μὲν διὰ τοῦ Ἴστρου, καθάπερ προείρηται, τὸν πλοῦν ἐποιήσαντο, ὧν ἦρχεν Ἄψυρτος, διὰ τὸ κάτωθεν ἐμβαλόντες εἰς τὸν διειλημμένον ποταμόν· καὶ κατέλαβον τοὺς ἥρωας περὶ τὰς καλουμένας Βρυγηΐδας νήσους· οἱ δὲ διὰ τῶν Κυανέων νήσων τὸν ἔκπλουν ποιησάμενοι Κόλχοι, κατηνέχθησαν εἰς τὴν Κερκύραν νῆσον, ἐν ᾗ καὶ οἱ Ἀργοναῦται ἔτυχον ὄντες. Schol.

1003. Μαστῆρες] ζητηταί. Schol.

Μήδειαν

Μήδειαν δ' ἔξαιτον ἑοῦ ἐς πατρὸς ἄγεσθαι
Ἵεντ' ἀπροφάτως· ἠὲ στονόεσσαν ἀϋτὴν
Νωμήσειν χαλεπῇσιν ὁμόκλεον ἀτροπίῃσιν
Αὖθί τε, καὶ μετέπειτα σὺν Αἰήταο κελεύθῳ.
Ἀλλὰ σφέας κατέρυκεν ἐπειγομένους πολέμοιο
Κρείων Ἀλκίνοος· λελίητο γὰρ ἀμφοτέροισι
Δηιοτῆτος ἄνευθεν ὑπέρβια νείκεα λῦσαι.
Κούρη δ' οὐλομένῳ ὑπὸ δείματι πολλὰ μὲν αὐτοὺς
Αἰσονίδεω ἑτάρους μειλίσσετο, πολλὰ δὲ χερσὶν
Ἀρήτης γούνων ἀλόχου θίγεν Ἀλκινόοιο.
Γουνοῦμαι, βασίλεια· σὺ δ' ἵλαθι, μηδέ με Κόλχοις
Ἐκδώῃς ᾧ πατρὶ κομιζέμεν· εἴ νυ καὶ αὐτὴ
Ἀνθρώπων γενεῆς μία φέρβεαι, οἷσιν ἐς ἄτην
Ὠκύτατος κούφαισι θέει νόος ἀμπλακίῃσιν·

Medeam verò præcipuè arreptam ſui ad patris ædes reducere
Poſtulabant ullo abſque prætextu: aliter luctuoſam pugnam
Moturos ſe acerbo interminabantur rigore
Ibique, et poſtea cum Æetæ claſſe.
Verùm ipſos inhibuit ad bellum feſtinantes
Rex Alcinous; cupiebat enim utriſque
Abſque pugnâ violenta jurgia dirimere.
Puella verò ingenti præ metu, ſæpe quidem ipſos
Æſonidæ ſocios demulcebat, ſæpe etiam manibus
Aretes genua uxoris prendidit Alcinoi.
Supplico tibi, ô regina, tu verò ſis propitia, nec me Colchis
Tradas ad patrem meum reducendam, ſi modò et tu ipſa
De hominum genere una vivis, quibus in noxam
Ociſſima incurrere ſolet mens in leves errores,

1004. Ἔξαιτον] ἐξαίρετον. κατὰ συγκοπήν. Schol.

1005. Ἀπροφάτως] χωρὶς προφάσεως, ἀντιῤῥήσεως. Schol.

1015. Εἴ νυ καὶ αὐτὴ] περὶ Ἀρήτης ἡ Μήδεια. καὶ σὺ ἄνθρωπος εἶ, οἷς τὸ ἁμαρτάνειν γίνεται ῥᾳδίως. τούτοις δὲ σφόδρα πρὸς συμπάθειαν ἕλκει τὴν Ἀρήτην ἡ Μήδεια. καὶ γὰρ διὰ τὸ τῆς αὐτῆς ἡμᾶς εἶναι φύσεως, ἀλλήλους ἐλεεῖν χρή. καὶ διὰ τοῦτο ὀξυῤῥοπεῖς εἶναι πρὸς τὰ πάθη. Schol.

Ως

Ὡς ἐμοὶ ἐκ πυκιναὶ ἔπεσον φρένες, οὐ μὲν ἕκητι
Μαργοσύνης· ἴστω δ' ἱερὸν φάος ἠελίοιο,
Ἴστω νυκτιπόλου Περσηΐδος ὄργια κούρης,
Μὴ μὲν ἐγὼν ἐθέλουσα σὺν ἀνδράσιν ἀλλοδαποῖσι
Κεῖθεν ἀφωρμήθην· στυγερὸν δέ με τάρβος ἔπεισε
Τῆσδε φυγῆς μνήσασθαι, ὅτ' ἤλιτον· οὐδέ τις ἄλλη
Μῆτις ἔην· ἔτι μοι μίτρη μένει, ὡς ἐνὶ πατρὸς
Δώμασιν, ἄχραντος καὶ ἀκήρατος· ἀλλ' ἐλέαιρε
Πότνα, τεὸν ἢ πόσιν μειλίσσεο· σοὶ δ' ὀπάσειαν
Ἀθάνατοι βίοτόν τε τελεσφόρον, ἀγλαΐην τε,
Καὶ παῖδας, καὶ κῦδος ἀπορθήτοιο πόληος.
Τοῖα μὲν Ἀρήτην γουνάζετο δακρυχέουσα·
Τοῖα δ' ἀριστήων ἐπαμοιβαδὶς ἄνδρα ἕκαστον.
Ὑμέων, ὦ πέρι δὴ μέγα φέρτατοι, ἀμφί τ' ἀέθλοις

Sicut mihi catus elapsus est animus, non sane libidinis
Causâ (testor sacrum lumen solis,
Testor noctivagæ Perseo natæ mysteria puellæ,)
Me non volentem cum viris extraneis
Hinc discessisse; horribilem verò mihi timorem suasisse
Ut hujus fugæ meminerim, quando peccavi; nec aliud aliquod
Consilium erat: adhuc mihi mitra manet, ut in ædibus
Patris, incontaminata, integra; miserere igitur
Veneranda, tuum etiam emolli conjugem: ita tibi concedant
Dii vitam maturam, resque secundas,
Liberosque, et gloriam invictæ urbis.
Talibus sane Areten prehensis orabat genibus lachrymans;
Talibus etiam procerum vicissim unumquemque.
Ob vos, ô multò præstantissimi, et ob certamina

1020. Ἴστω] ὅρκος παρὰ Κόλχοις ἡ Ἑκάτη ταῖς φαρμακίσι. εὑρέτις γὰρ τῶν φαρμακειῶν ἡ θεός. Schol.

1031. Ὑμέων] ἕνεκα τῶν ὑμῶν ἄθλων ἐγὼ, ὦ φέρτατοι, ἐν μεγάλῃ ταραχῇ εἰμί. τῇ γὰρ ἐμῇ γνώμῃ, τούς τε ταύρους ἐζεύξατε, καὶ τοὺς γηγενεῖς ἐξεθηριώσατε· καὶ νῦν τὸ δέρος εἰς Θετταλίαν ἀπάγετε. Ἢ δὲ ἀεὶ, καὶ ἀμφὶ ἐκ παραλλήλου. Schol.

Οὕνεκεν

Οὕνεκεν ὑμετέροισιν ἀτύζομαι· ἧς ἰότητι
Ταύρους τ' ἐζεύξασθε, καὶ ἐκ θέρος οὐλοὸν ἀνδρῶν
Κείρετε γηγενέων· ἧς εἵνεκεν Αἱμονίηνδε
Χρύσεον αὐτίκα κῶας ἀνάξετε νοστήσαντες.
Ἥδ' ἐγὼ ἣ πάτρην τε καὶ οὓς ὤλεσα τοκῆας,
Ἣ δόμον, ἣ σύμπασαν ἐϋφροσύνην βιότοιο·
Ὕμμι δὲ καὶ πάτρην καὶ δώματα ναιέμεν αὖθις
Ἤνυσα· καὶ γλυκεροῖσιν ἔτ' εἰσόψεσθε τοκῆας
Ὄμμασιν· αὐτὰρ ἐμοὶ ἀπὸ δὴ βαρὺς εἵλετο δαίμων
Ἀγλαΐας· στυγερὴ δὲ σὺν ὀθνείοις ἀλάλημαι.
Δείσατε συνθεσίας τε καὶ ὅρκια, δείσατ' Ἐρινὺν

Vestra perturbor ego, cujus consilio
Et tauros adjugâstis, & horribilem messem virorum
Detondistis terrigenarum, cujus gratiâ in Hæmoniam
Auream mox pellem avecturi estis reversi.
Illa verò ego *sum* quæ et patriam et meos amisi parentes,
Quæ domum, quæ omnes vitæ lætitias,
Vobis autem ut patriam et domos iterum inhabitaretis
Dedi, lætisque iterum aspicietis parentes
Oculis: sed mihi gravis abstulit Deus
Quicquid erat splendoris, et odiosa cum extraneis divagor.
Revereamini pacta et juramenta; revereamini Erynnin

Ibid. Ὑμέων. Versum hunc ut mendo carere existimem facit alius ei similis qui est 1383. Ὑμέας ὦ πέρι δὴ μέγα φέρτατοι ἥες ἀνάκτων. Sed miram et quidem valde meis auribus duram verborum implicationem esse fateor, si ὕνεκεν, quod est initio versus sequentis cum ὑμέων jungere oporteat, et amborum versuum verba in hunc ordinem resolvere, ὦ πέρι δὴ μέγα φέρτατοι, ἀτύζομαι ὑμέων οὕνεκεν, ἀμφί τ' ἀέθλοις ὑμετέροισι. Quoniam tamen aliam nullam cerno viam qua elabi ex hoc loco possimus, tolerabilem esse illam implicationem mihi fingo. Scholiastes autem longè fallitur qui πέρι & ἀμφὶ tradit poni ἐκ παραλλήλου. Steph.

Σύγχυσιν hanc esse ait Hœlzlinus turbatæ mulieri haud inconvenientem. Si verò aliquid mutare omnino necesse ducerem, lubens legerem pro ὕνεκεν, ὕς ἔχετ', et referrem πέρι ad ὑμέων. Sed etiam sic implicatio est verborum paulo durior.

Ἱκεσίην, νέμεσίν τε Θεῶν, ἐς χεῖρας ἰοῦσαν
Αἰήτεω, λώβῃ πολυπήμονι δῃωθῆναι.
Οὐ νηοὺς, οὐ πύργον ἐπίρροθον, οὐκ ἀλεωρὴν
Ἄλλην, οἰόθι δὲ προτιβάλλομαι ὑμέας αὐτούς.
Σχέτλιοι ἀτροπίης καὶ ἀνηλέες· οὐδ' ἐνὶ θυμῷ
Αἰδεῖσθε ξείνης μ' ἐπὶ γούνασι χεῖρας ἀνάσσης
Δερκόμενοι τείνουσαν ἀμήχανον. Ἀλλά κε πᾶσι,
Κῶας ἑλεῖν μεμαῶτες, ἐμίξατε δούρατα Κόλχοις,
Αὐτῷ τ' Αἰήτῃ ὑπερήνορι· νῦν δ' ἐλάθεσθε
Ἠνορέης, ὅτε μοῦνοι ἀποτμηγέντες ἔασιν.
Ὣς φάτο λισσομένη· τῶν δ' ὅντινα γουνάζοιτο,

Supplicum ultricem, Deorumque indignationem, ne si in manus redeam
Æetæ, multiplici contumeliâ interficiar.
Non templa, non quæ auxilium afferat turrim, non tutamen
Aliud, solos verò respicio vos ipsos.
Immutabiliter rigidi et crudeles! nec animo
Reveremini me ad peregrinæ genua reginæ
Aspicientes manus tendentem, inopem consilii. Atqui vel cum omnibus
Colchis velleris avehendi cupidi conseruistis prælia,
Ipsoque Æetâ præferoci: nunc verò obliti estis
Fortitudinis, cum soli adsunt *à reliquis suis copiis* divulsi.
Sic dixit supplicans: illorum autem quemcunque oraret,

1043. Νέμεσίν τε Θεῶν] *τὴν ἰοῦσαν ἐς χεῖρας τῶν θεῶν Νέμεσιν. τοῦτ' ἔστι τὸ νεμεσητόν. τοῦτο δὲ λέγει ἐπειδὴ ἐνώπιον τῶν θεῶν ἱστάμενοι ἱκετεύομεν. διὸ καὶ αἰδούμεθα τοὺς ἱκετεύοντας.* Schol.

Ibid. Νέμεσίν τε θεῶν. Schol. *τὴν ἰοῦσαν ἐς χεῖρας τῶν θεῶν νέμεσιν.* Sed falsò. Interpungendum enim esse post θεῶν, et hunc esse sensum, *ἐμὲ ἰοῦσαν ἐς χεῖρας Αἰήτεω, δῃωθῆναι λώβῃ πολυπήμονι* (intelligendum verò *ἐπὶ τοῦ ἐμὲ*, aut *διὰ τὸ ἐμὲ δῃωθῆναι ἰοῦσαν*) &c. jam olim Stephanus admonuit.

1045. Οὐ νηοὺς] *οὐ γὰρ ναός μοι ἐστὶ βοηθὸς, οὔτε πύργος, οὔτε ἄλλη τις βοήθεια, ἀλλ' ὑμεῖς μοι ἀσφάλεια πᾶσι.* Schol.

1046. Οἰόθι δὲ προσβάλλομαι] *μόνους προσβάλλομαι ὑμᾶς βοηθούς.* Schol.

1047. Σχέτλιοι] *χαλεποὶ καὶ ἀνηλεεῖς οὐ μετατρέπεσθε, ὁρῶντές με γονυπετοῦσαν τῇ βασιλείᾳ.* Schol.

1049. Ἀλλά κε πᾶσι] *ὁ λόγος, ὅτι τὸ κῶδιον λαβεῖν ἠθέλετε, καὶ πᾶσι τοῖς Κόλχοις ἕτοιμοι ἦτε μάχεσθαι· νῦν δὲ ὀλίγους παρασχομένους ἐπὶ τὴν ἀπαίτησιν τὴν ἐμὴν φοβεῖσθε.* Schol.

Ὥς μιν θαρσύνεσκεν ἐρητύων ἀχέουσαν.
Σεῖον δ' ἐγχείας εὐήκεας ἐν παλάμῃσι
Φάσγανά τ' ἐκ κολεῶν· οὐδὲ σχήσεσθαι ἀρωγῆς
Ἔννεπον, εἴ κε δίκης ἀλιτήμονος ἀντιάσωσιν.
Στρευγομένοις δ' ἀν' ὅμιλον ἐπήλυθεν εὐνήτειρα
Νὺξ ἔργων ἄνδρεσσι, κατευκήλησε δὲ πᾶσαν
Γαῖαν ὁμῶς· τὴν δ' οὔτι μίνυνθά περ εὔνασεν ὕπνος·
Ἀλλά οἱ ἐν στέρνοις ἀχέων εἰλίσσετο θυμός.
Οἷον, ὅτε κλωστῆρα γυνὴ ταλαεργὸς ἑλίσσει
Ἐννυχίη· τῇ δ' ἀμφὶ κινύρεται ὀρφανὰ τέκνα
Χηροσύνῃ πόσιος· σταλάει δ' ὑπὸ δάκρυ παρειὰς
Μυρομένης· οἵη μιν ἐπὶ στυγερὴ λάβεν αἶσα·
Ὣς τῆς ἰκμαίνοντο παρηΐδες· ἐν δέ οἱ ἦτορ

Ille eam animavit vetans dolere.
Vibrabant autem haſtas acutas in manibus,
Eductoſque è vaginis enſes, nec defuturos ſe auxilio
Affirmabant, ſi cauſæ iniquæ obſtarent.
Curarum verò feſſis iis in cœtu ſupervenit ſoporem afferens
Nox viris et negotiis, et tranquillam omnem reddidit
Terrram ſimul: illam tamen ne tantillum quidem requieſcere fecit ſomnus;
Sed ei in pectoribus triſtatus verſabatur animus.
Veluti quando fuſum mulier laborioſa verſat
Nocturna, quam circum lamentantur orbi liberi
Viduitatem mariti, diſtillantque in genas lachrymæ
Flentis; adeo eam triſte obruit fatum:
Ita hujus madebant genæ; eique cor

1058. Στρευγομένοις] φθειρομένοις καὶ καταπονουμένοις. ἢ τοῖς ἀποδιαστρέβουσιν. ὅθεν καὶ στράγξ ἡ κατὰ βραχὺ ἀπόσταξις τοῦ ὕδατος. οὕτω Δίδυμος. ἐντεῦθεν καὶ ἡ στραγγουρία, ἀπὸ τοῦ κατὰ στράγγα οὐρεῖν. Schol.

1059. Κατευκήλησε] κατέπαυσε, εἰς ἡσυχίαν ἤγαγε. Schol.

1062. Κλωστῆρα] τὸν ἄτρακτον. Schol.

1064. Σταλάει] Στάζει. ὅθεν καὶ σταλαγμός. Schol.

1066. Ἰκμαίνοντο] ὑγραίνοντο. ἐμφαίνει δὲ τὸ πολὺ δάκρυον καταλείβεσθαι. Schol.

Ὀξέης

Ὀξείης εἰλεῖτο πεπαρμένον ἀμφ' ὀδύνῃσι.
Τὼ δ' ἔντοσθε δόμοιο κατὰ πτόλιν, ὡς τοπάροιθε,
Κρείων Ἀλκίνοος, πολυπότνιά τ' Ἀλκινόοιο
Ἀρήτη ἄλοχος κούρης πέρι μητιάασκον
Οἷσιν ἐνὶ λεχέεσσι διὰ κνέφας· οἷα δ' ἀκοίτην
Κουρίδιον θαλεροῖσι δάμαρ προσπτύσσετο μύθοις.
Ναὶ φίλος, εἰ δ' ἄγε μοι πολυκηδέα ῥύεο Κόλχων
Παρθενικήν, Μινύαισι φέρων χάριν· ἐγγύθι δ' Ἄργος
Ἡμετέρης νήσοιο, καὶ ἀνέρες Αἱμονιῆες·
Αἰήτης δ' οὔτ' ἄρ ναίει σχεδὸν, οὐδέ τι ἴδμεν
Αἰήτην, ἀλλ' οἶον ἀκούομεν· ἥδε δὲ κούρη
Αἰνοπαθὴς κατά μοι νόον ἔκλασεν ἀντιόωσα.
Μή μιν, ἄναξ, Κόλχοισι πόροις ἐς πατρὸς ἄγεσθαι.
Ἀάσθη, ὅτε πρῶτα βοῶν θελκτήρια δῶκε
Φάρμακά οἱ· σχεδόθεν δὲ κακῷ κακὸν (οἷά τε πολλὰ
Ῥέζομεν ἀμπλακίῃσιν) ἀκειομένη, ὑπάλυξε

Acuto versabatur transfixum dolore.
Ipsi verò in urbe intus domum, ut antea,
Rex Alcinous, et veneranda maximè Alcinoi
Arete conjux de puellâ consulebant
Suis in lectis per noctem; ac prout par erat, maritum
Juvenilem florentibus *faustis* uxor salutabat verbis.
At verò, ô dilecte, multis oppressam curis libera à Colchis
Virginem, Minyis gratiam ferens: prope enim Argus
Nostram ad insulam, virique Hæmonienses.
Æeta autem non prope habitat, neque quid novimus
Æetam, sed solùm audivimus: hæc verò puella
Gravia perpessa mihi offregit animum supplicans.
Noli eam, ô rex, Colchis tradere ad patris ædes abducendam:
Deliquit, quando primùm tauros ei demulcentia dedit
Medicamina; deinde autem malum malo (qualia multa
Facimus erroribus) sanans, effugit

1072. Προσπτύσσετο] ἐλιπάρει, παρεκάλει. Schol.

1082. Ῥέζομεν ἀμπλακίῃσιν] ἀντὶ τῶ ἁμαρτίαις. ἐὰν ᾗ χάριτι ἀτροπήσων,

Πατρὸς ὑπερφιάλοιο βαρὺν χόλον. Αὐτὰρ Ἰήσων,
Ὡς ἀΐω, μεγάλοισιν ἐνίσχεται ἐξ ἕθεν ὅρκοις,
Κουριδίην θήσεσθαι ἐνὶ μεγάροισιν ἄκοιτιν.
Τῷ, φίλε, μήτ' οὖν αὐτὸν ἑκὼν ἐπίορκον ὁμόσσαι
Θείης Αἰσονίδην, μήτ' ἄσχετα σεῖο ἕκητι
Παῖδα πατὴρ θυμῷ κεκοτηότι δηλήσαιτο.
Λίην γὰρ δύσζηλοι ἑοῖς ἐπὶ παισὶ τοκῆες.
Οἷα μὲν Ἀντιόπην εὐώπιδα μήσατο Νυκτεύς·
Οἷα δὲ καὶ Δανάη πόντῳ ἔνι πήματ' ἀνέτλη,

Patris ſupra modum furibundi gravem iram. At Jaſon
Prout audio, magnis obſtringitur ex ſe juramentis,
Ut juvenilem faciat in ædibus conjugem.
Quapropter, ô care, noli volens facere ut ipſe pejerans juraverit
Æſonides, nec ut indignè tui cauſâ
Filiam pater animo infenſo lædat.
Valdè enim acerbi in filias ſuas parentes.
Hujuſmodi ſunt, quæ in Antiopen formoſam molitus Nyĉteus,
Et quæ Danae in ponto mala perpeſſa eſt

ἀμετατρεπτίας. ἢ κακοβουλίας. ὁ δὲ νοῦς. ἀμεταστρέψασα δὲ τοπρῶτον ἡ Μήδεια, προΐδωκε τοὺς ἰδίους, καὶ ἐξημάρτησε φυγοῦσα. ἃ πολλάκις ποιοῦμεν δι' ἄνοιαν.
Ἀκεσομένη. ῥωννυμένη, ἢ θεραπεύουσα καὶ ἰωμένη. Schol.

1090. Οἷα μὲν Ἀντιόπην] Ἀντιόπη, Νυκτέως ἦν θυγάτηρ, ἣν ὁ Ζεὺς σατύρῳ ὁμοιωθεὶς φθείρει. καὶ φεύγουσα τὰς Νυκτέως τὰς ἀπειλὰς, καταφεύγει εἰς Σικυῶνα πρὸς Ἐπωπέα. τεκοῦσα δὲ Ἀμφίονα καὶ Ζῆθον, ἐξέθηκεν ἐν τῷ Κιθαιρῶνι παρὰ βουκόλῳ τινί. ὁ δὲ Νυκτεὺς διὰ τὴν τόλμαν τῆς παιδὸς λυπηθεὶς, τελευτᾷ, τοῦ ἀδελφοῦ Λύκου δεηθεὶς μὴ περιιδεῖν τὸν παῖδα, ἀλλ' ἑλεῖν ἀπελθόντα εἰς Σικυῶνα. στρατεύει δὲ ἐπὶ τὴν πόλιν Λύκος, καὶ κτείνει τὸν Ἐπωπέα· καὶ λαβὼν τὴν Ἀντιόπην αἰχμάλωτον, παραδίδωσι φυλάττειν Δίρκῃ τῇ ἑαυτοῦ γαμετῇ. ἡ δὲ φεύγει, καὶ ληφθεῖσα πάλιν, τοῖς ἑαυτῆς παισὶν ἐκδίδοται, Ἀμφίονι καὶ Ζήθῳ. ἐντεῦθεν δὲ ἐκκαλύπτει ὁ τροφεὺς βουκόλος τὸ γεγονός. οἱ δὲ τὴν μὲν Ἀντιόπην σώζουσι, τὴν δὲ Δίρκην ἐξ ἀγρίου ταύρου προσδήσαντες διαφθείρουσι. μεταπεμψάμενοι δὲ τὸν Λύκον, ὡς ἐκδώσοντες τὴν Ἀντιόπην, σφάττειν ἔμελλον· Ἑρμῆς δὲ ἐκώλυσε, τῷ Λύκῳ δὲ προσέταξε παραχωρῆσαι τῆς βασιλείας αὐτοῖς. Schol.

1091. Οἷα δὲ καὶ Δανάη] Φερεκύδης ἐν δωδεκάτῳ ἱστορεῖ, ὡς Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος· τῆς δὲ γίνεται Δανάη. χρωμένῳ δὲ αὐτῷ περὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην· ἐκ δὲ τῆς θυγατρὸς, πρὸς οὗ αὐτὸν δεῖ ἀπολέσθαι. ὁ δὲ, ἐπανελθὼν εἰς Ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ· ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ

Πατρὸς

Πατρὸς ἀτασθαλίῃσι. Νέον γε μὲν οὐδ' ἀποτηλοῦ
Ὑβριστὴς Ἔχετος γλήνῃσιν ἔνι χάλκεα κέντρα
Πῆξε θυγατρὸς ἑῆς· συνόεντι δὲ κάρφεται οἴτῳ,
Ὀρφναίῃ ἐνὶ χαλκὸν ἀλετρεύουσα καλιῇ.

Patris veſaniâ. Nuper ſane, nec procul hinc,
Sceleratus Echetus pupillis oculorum ferreos ſtimulos
Infixit filiæ ſuæ; quæ miſerabili torquetur cruciatu,
Tenebroſâ æs molens in caveâ.

αὐτῆς παῖς μὴ γένηται. ἐρασθεὶς δὲ Ζεὺς τῆς παιδὸς, ἐκ τοῦ ὀρόφου χρυσῷ παραπλήσιος ῥεῖ· ἡ δὲ ὑποδέχεται τῷ κόλπῳ. καὶ ἐκφήνας αὐτὸν ὁ Ζεὺς τῇ παιδὶ μίγνυται. τῆς δὲ γίνεται Περσεύς· καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη καὶ ἡ τροφὸς, κρύπτουσαι Ἀκρίσιον. ὅτε δὲ Περσεὺς τριέτης ἢ τετραέτης ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος· καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀναιρεῖ, Δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν ὑπὸ τοῦ ἑρκείου Διὸς βωμόν. μόνος δὲ αὐτὴν ἐρωτᾷ πόθεν εἴη αὐτῇ γεγονὸς ὁ παῖς. ἡ δὲ ἔφη, ἐκ Διός. ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδὸς, καὶ κλείσας καταποντοῖ. καὶ φερόμενοι ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον· καὶ αὐτοὺς ἐξέλκει Δίκτυς ὁ Περισθένους, δικτύῳ ἁλιεύων. εἶτα ἡ Δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα. ὁ δὲ, ἀνοίξας, καὶ μαθὼν οἵτινές εἰσιν, ἄγει εἰς τὸν οἶκον καὶ τρέφει ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας. ἦσαν γὰρ ὁ Δίκτυς καὶ ὁ Πολυδέκτης, Ἀνδροθόης τῆς Κάστορος, καὶ Περισθένους, τοῦ Δαμάστορος, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν δευτέρῳ. ἐν δὲ τοῖς ἑξῆς καὶ περὶ τοῦ θανάτου ἀφηγεῖται Φερεκύδης τοῦ Ἀκρισίου, ὅτι μετὰ τὴν ἀπολίθωσιν Πολυδέκτου τοῦ σὺν αὐτῷ ἐκ τῆς κεφαλῆς τῆς Γοργόνος ἐν Σερίφῳ, Δίκτυν μὲν Περσεὺς ἀπολείπει ἐν τῇ Σερίφῳ βασιλεύειν τῶν λειπομένων Σεριφίων· αὐτὸς δὲ ἔβη πλέων εἰς Ἄργος σὺν τοῖς Κύκλωψι, καὶ τῇ Δανάῃ, καὶ τῇ Ἀνδρομέδᾳ. καὶ ἐλθὼν, Ἀκρίσιον οὐχ εὑρίσκει ἐν Ἄργει (ὑπεχώρει γὰρ αὐτὸν δείσας εἰς τοὺς Πελασγοὺς εἰς Λάρισσαν) μὴ καταλαβὼν δὲ αὐτὸν, τὴν μὲν Δανάην καταλείπει παρὰ τῇ μητρὶ Εὐρυδίκῃ, καὶ τὴν Ἀνδρομέδαν, καὶ τοὺς Κύκλωπας· αὐτὸς δὲ ἔβη εἰς Λάρισσαν. καὶ ἀφικόμενος, Ἀκρίσιον ἀναγνωρίζει, καὶ σὺν αὐτῷ ἕπεσθαι εἰς Ἄργος πείθει. καὶ ὅτι δὲ ἔμελλον ἰέναι, συντυγχάνει ἀγῶνι νέων ἐν τῇ Λαρίσσῃ. καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα, καὶ λαβὼν τὸν δίσκον δισκεύει. τὸ δὲ πένταθλον οὔπω ἦν, ἀλλ' ἰδίᾳ ἕνα ἕκαστον τῶν ἄθλων ἤθλουν. ὁ δὲ δίσκος, προκυλισθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου, τιτρώσκει αὐτόν. καμὼν δὲ ἐκ τούτου Ἀκρίσιος, ἀποθνήσκει αὐτοῦ ἐν Λαρίσσῃ· καὶ αὐτὸν καταθάπτεται Περσεὺς καὶ οἱ Λαρισσαῖοι πρόσθεν τῆς πόλεως, καὶ αὐτοῦ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι. Περσεὺς δὲ ἀναχωρεῖ τοῦ Ἄργους. Schol.

1093. Ὑβριστὴς Ἔχετος] τοῦ Ἐχέτου Ὅμηρος ὡς ὠμοτάτου μέμνηται· ἡ δὲ Ἀρήτη ὡς κατ' αὐτὴν τοῦ πράγματος γεγενημένου λέγει. νέον γε μὲν οὐδ' ἀπὸ τηλοῦ. εὕρομεν δὲ τὸν μῦθον ἐν τῷ ἐπιγραφομένῳ Λυσίππου Ἠπειρώτου ἀσεβῶν καταλόγῳ. Schol.

1095. Ὀρφναίῃ ἐνὶ χαλκὸν] τὸ ἑξῆς. ἐν ὀρφναίῃ καλιῇ. Χαλκὸν ἀλετρεύουσα. γράφεται καὶ χαλκὸν ἀλιτρεύοντα. Schol.

Ὣς ἔφατ' ἀντομένη· τοῖο δὲ φρένες ἰαίνοντο
Ἧς ἀλόχου μύθοισιν· ἔπος δ' ἐπὶ τοῖον ἔειπεν.
Ἀρήτη, καί κεν σὺν τεύχεσιν ἐξελάσαιμι
Κόλχους, ἡρώεσσι φέρων χάριν, εἵνεκα κούρης·
Ἀλλὰ Διὸς δείδοικα δίκην ἰθεῖαν ἀτίσσαι.
Οὐδὲ μὲν Αἰήτην ἀθεριζέμεν, ὡς ἀγορεύεις,
Λώϊον· οὐ γάρ τις βασιλεύτερος Αἰήταο
Καί κ' ἐθέλων ἕκαθέν περ ἐφ' Ἑλλάδι νεῖκος ἄγοιτο.
Τῷ μ' ἐπέοικε δίκην, ἥτις μετὰ πᾶσιν ἀρίστη
Ἔσσεται) ἀνθρώποισι, δικαζέμεν· οὐδέ σε κεύσω.
Παρθενικὴν μὲν ἐοῦσαν, ἑῷ ἀπὸ πατρὶ κομίσσαι
Ἰθύνω· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν,
Οὔ μιν ἑοῦ πόσιος νοσφίσσομαι· οὐδὲ γενέθλην,
Εἴ τιν' ὑπὸ σπλάγχνοισι φέρει, δηΐοισιν ὀπάσσω.
Ὣς ἄρ' ἔφη· καὶ τὸν μὲν ἐπισχεδὸν εὔνασεν ὕπνος·
Ἡ δ' ἔπος ἐν θυμῷ πυκινὸν βάλετ'· αὐτίκα δ' ὦρτο

Sic dixit precans: illius verò mentes emolliebantur
Conjugis suæ verbis; responsumque tale reddidit.
Arete, vel cum armis repellerem
Colchos, heroibus gratificans, puellæ causâ,
Sed Jovis vereor justa jura contemnere.
Nec sane Æetam nihili facere, ut dicis,
Commodum erit; nemo enim potentior Æetâ,
Qui, si modò velit, de longinquo licèt, bellum Græciæ inferat.
Æquum est igitur ut sententiam, quæ inter omnes optima
Erit homines, feram; nec te celabo.
Virginem quidem existentem ut ad parentem suum deportent
Volo: si verò lectum cum viro participaverit,
Non eam à marito suo separabo; nec prolem,
Si quam sub visceribus gestat, hostibus concedam.
Sic dixit: eumque statim quiescere fecit somnus.
Illá verò consilium cautum animo infixit; statim surrexit

1100 Ἀτίσαι] ἀτιμάσαι, παραβῆναι. Schol.

Ἐκ

Ἐκ λεχέων ἀνὰ δῶμα· συνήιξαν δὲ γυναῖκες
Ἀμφίπολοι δέσποιναν ἑὴν μετὰ ποιπνύουσαι.
Σῖγα δ' ἑὸν κήρυκα καλεσσαμένη προσέειπεν,
Ἧισιν ἐπιφροσύνῃσιν ἐποτρυνέουσα μιγῆναι
Αἰσονίδην κούρῃ, μηδ' Ἀλκίνοον βασιλῆα
Λίσσεσθαι· τὸ γὰρ αὐτὸς ἰὼν Κόλχοισι δικάσσει,
Παρθενικὴν μὲν ἐοῦσαν, ἑοῦ ποτὶ δώματα πατρὸς
Ἐκδώσειν· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν,
Οὐκ ἔτι κουριδίης μιν ἀποτμήξειν φιλότητος.
Ὣς ἄρ' ἔφη· τὸν δ' αἶψα πόδες φέρον ἐκ μεγάροιο,
Ὥς κεν Ἰήσονι μῦθον ἐναίσιμον ἀγγείλειεν
Ἀρήτης, βουλάς τε θεουδέος Ἀλκινόοιο.
Τοὺς δ' εὗρεν παρὰ νηὶ σὺν ἔντεσιν ἐγρήσσοντας
Ὑλλικῷ ἐν λιμένι, σχεδὸν ἄστεος· ἐκ δ' ἄρα πᾶσαν
Πέφραδεν ἀγγελίην· γήθησε δὲ θυμὸς ἑκάστου
Ἡρώων· μάλα γάρ σφιν ἑαδότα μῦθον ἔειπεν.

E lecto per ædes; unà autem exilierunt mulieres
Famulæ heræ suæ subservientes.
Illa tacitè vocato præcone suo, allocuta est,
Vafritie suâ adhortans, ut misceretur
Cum puellâ Jason, neque *amplius* Alcinoum regem
Oraret, hanc enim illum solam Colchis sententiam laturum,
Ut, si virgo esset, sui ad ædes parentis
Reduceretur, si verò lectum cum viro participaverat,
Se non jam illam à matronali revulsurum amore.
Sic dixit; hunc autem statim pedes ferebant ex ædibus
Ut Jasoni lætum sermonem nunciaret
Aretes, et consilia pii Alcinoi.
Hos autem invenit apud navem cum armis excubantes,
In portu Hyllico, propè urbem; omniaque
Exposuit mandata: lætatus est autem singulus animo
Heroum, valdè enim ipsis gratum dixerat verbum.

1125. Ὑλλικῷ] Ὑλλικὸς λιμὴν, ἀπὸ Ὕλλου τοῦ Μελίτης καὶ Ἡρακλέους. Schol.

Αὐτίκα

Αὐτίκα δὲ κρητῆρα κερασσάμενοι μακάρεσσιν
Ἡ θέμις, εὐαγέως ἐπιβώμια μῆλ᾽ ἐρύσαντες,
Αὐτονυχὶ κούρῃ θαλαμήιον ἔντυνον εὐνὴν
Ἄντρῳ ἐν ἠγαθέῳ· τόθι δή ποτε Μάκρις ἔναιεν
Κούρη Ἀρισταίοιο μελίφρονος, ὅς ῥα μελισσέων
Ἔργα, πολυκμήτοιό τ᾽ ἀνεύρατο πῖαρ ἐλαίης.
Κείνη δὴ πάμπρωτα Διὸς Νυσήιον υἷα
Εὐβοίης ἔντοσθεν Ἀβαντίδος, ᾧ ἐνὶ κόλπῳ
Δέξατο, καὶ μέλιτι ξηρὸν περὶ χεῖλος ἔδευσεν·
Εὖτέ μιν Ἑρμείης φέρεν ἐκ πυρός· ἔδρακε δ᾽ Ἥρη,
Καί ἑ χολωσαμένη πάσης ἐξήλασε νήσου.
Ἡ δ᾽ ἄρα Φαιήκων ἱερῷ ἐνὶ τηλόθεν ἄντρῳ
Νάσσατο, καὶ πόρεν ὄλβον ἀθέσφατον ἐνναέτῃσιν.
Ἔνθα τότ᾽ ἐστόρεσαν λέκτρον μέγα· τοῖο δ᾽ ὕπερθε

Statim igitur, mifto cratere immortalibus,
Prout par erat, ritéque pecudibus in aram tractis,
Eâdem nocte genialem virgini parabant thalamum
Antro in facro, ubi fane olim Macris habitabat,
Filia Ariftæi mellarii, qui apum
Opera, multúmque elaboratæ invenit pinguetudinem olivæ.
Illa fane primùm Jovis Nyffeïum filium
Intus Eubœam Abantidem, fuo in finu
Excepit, et melle aridum labrum circumlevit,
Quando eum Mercurius eripuit ex igne. Vidit autem Juno,
Ipfamque indignata totâ expulit ex infulâ.
Illa igitur longè facro in Phæacum antro
Migravit ad habitandum, ac præbuit immenfas opes incolis.
Ibi tunc ftraverunt lectum magnificum, eique

1131. Ἄντρῳ ἐν ἠγαθέῳ] ἐν τῷ μεγάλῳ καὶ θείῳ, ἐν ᾧ Μάκρις κατῴκει. ἐν τούτῳ τῷ ἄντρῳ τὸν Διόνυσον ἔθρεψεν, ὃ καλεῖται Διθυρίτης. διὰ τοῦτο Διθύραμβος ὁ Διόνυσος ἐκλήθη, διὰ τὸ δύο θύρας ἔχειν τὸ ἄντρον. Schol.

1138. Καί ἑ χολωσαμένη] ἡ Ἥρα τὴν Μάκριν τῆς Εὐβοίας ἐξέβαλε, διὰ τὸ δέξασθαι παρὰ τοῦ Ἑρμοῦ τὸν Διόνυσον, καὶ θρέψαι. ἡ δὲ Εὔβοια ἱερά ἐστι τῇ Ἥρᾳ. Schol.

1141. Ἔνθα τότ᾽ ἐστόρεσαν] ἐν τῷ ἄντρῳ Μάκελλος φησὶ τὸν γάμον γεγονέναι Μηδείας καὶ Ἰάσονος· Φιλητᾶς δὲ ἐν Τηλέφῳ, ἐν τῇ Ἀλκινόου οἰκίᾳ. Schol.

Χρύσεον

Χρύσεον αἰγλῆεν κῶας βάλον, ὄφρα πέλοιτο
Τιμήεις τε γάμος καὶ ἀοίδιμος· ἄνθεα δέ σφι
Νύμφαι ἀμεργόμεναι λευκοῖς ἐνὶ ποικίλα κόλποις
Ἐσφόρεον· πάσας δὲ πυρὸς ὣς ἄμφεπεν αἴγλη·
Τοῖον ἀπὸ χρυσέων θυσάνων ἀμαρύσσετο φέγγος·
Δαῖε δ' ἐν ὀφθαλμοῖς γλυκερὸν πόθον· ἶσχε δ' ἑκάστην
Αἰδὼς, ἱεμένην περ ὅμως ἐπὶ χεῖρα βαλέσθαι.
Αἱ μέν τ' Αἰγαίου ποταμοῦ καλέοντο θύγατρες·
Αἱ δ' ὄρεος κορυφὰς Μελιτηΐου ἀμφενέμοντο·
Αἱ δ' ἔσαν ἐκ πεδίων ἀλσηΐδες· ὦρσε γὰρ αὐτὴ
Ἥρη Ζηνὸς ἄκοιτις, Ἰήσονα κυδαίνουσα.
Κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κλῄζεται ἄντρον

Fulgidam pellem auream ſuperimpoſuerunt, ut eſſent
Honoratæ nuptiæ celebreſque: flores inſuper ipſis
Nymphæ decerptos varios in niveis ſinibus
Ferebant, cunctas verò ignis inſtar ſequebatur ſplendor,
Tantum à villis aureis relucebat jubar;
Accenditque in oculis dulce deſiderium: prohibuit tamen ſingulam
Pudor cupientem licèt manu contrectare.
Nonnullæ verò ex iis Ægæi fluvii vocabantur filiæ,
Nonnullæ montis vertices Melitæi colebant,
Aliæ aderant ex campis nemorum cultrices: impulit enim ipſa
Juno Jovis uxor, ut Jaſoni plus afferret honoris.
Illud & in hodiernum ſacrum celebratur antrum

1147. Ἶσχε δ' ἑκάστην αἰδὼς] διὰ τούτων τὰς Νύμφας φησὶν ἐπιθυμούσας ἅψασθαι τοῦ μαλλοῦ, διὰ τὸ κάλλος, ὅμως αἰδουμένας ἀπέχεσθαι· διὰ τὸ ἐπ' αὐτοῦ μέλλειν γίνεσθαι τὴν μῖξιν. περὶ δὲ τοῦ δέρους, ὅτι ἦν χρυσοῦν, οἱ πλεῖστοι ἱστοροῦσιν. Ἀκουσίλαος δὲ ἐν τῷ περὶ γενεαλογιῶν, πορφυρωθῆναι φησὶν ἀπὸ τῆς θαλάσσης. Schol.

1149. Αἱ μέν τ' Αἰγαίου] Αἰγαῖος ποταμὸς περὶ Κέρκυραν. τούτου θυγάτηρ Μελίτη· ἧς καὶ Ἡρακλέους Ὕλλος. ἀφ' οὗ ἔθνος Ὑλλεῖς καὶ Ὑλλικὸς λιμὴν, παρὰ Φαίαξι. Πανύασις δέ φησιν ἐν Λυδίᾳ, νοσήσαντα Ἡρακλέα τυχεῖν ἰάσεως ὑπὸ Ὕλλου τοῦ ποταμοῦ· ὅς ἐστι τῆς Λυδίας. διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ὕλλους ὀνομασθῆναι. Schol.

1150. Μελιτηΐου] ὄρος Κερκύρας τὸ Μελίτειον. Schol.

1153. Κεῖνο καὶ εἰσέτι] τὸ Μάκριδος, ὃ νῦν ἱερὸν Μηδείας καλεῖται. ἰστέον ὅτι Τιμαίου λέγοντος ἐν Κερκύρᾳ τοὺς γάμους ἀχθῆναι, Διονύσιος ὁ Μιλήσιος ἐν δευτέρῳ τῶν Ἀργοναυτικῶν, ἐν Βυζαντίῳ φη-

Μηδείης, ὅθι τούσγε συν ἀλλήλοισιν ἔμιξαν,
Τεινάμεναι ἑανοὺς εὐώδεας. Οἱ δ' ἐνὶ χερσὶ
Δούρατα νωμήσαντες ἀρήϊα, μὴ πρὶν ἐς ἀλκὴν
Δυσμενέων ἀΐδηλος ἐπιβρίσειεν ὅμιλος·
Κράατα δ' εὐφύλλοις ἐστεμμένοι ἀκρεμόνεσσιν,
Ἐμμελέως, Ὀρφῆος ὑπαὶ λίγα φορμίζοντος,
Νυμφιδίαις ὑμέναιον ἐπὶ προμολῆσιν ἄειδον.
Οὐ μὲν ἐν Ἀλκινόοιο γάμον μενέαινε τελέσσαι
Ἥρως Αἰσονίδης, μεγάροις δ' ἐνὶ πατρὸς ἑοῖο,
Νοστήσας ἐς Ἰωλκὸν ὑπότροπος· ὡς δὲ καὶ αὐτὴ
Μήδεια φρονέεσκε· τότ' αὖ χρεὼ ἦγε μιγῆναι.
Ἀλλὰ γὰρ οὔποτε φῦλα δυηπαθέων ἀνθρώπων
Τερπωλῆς ἐπέβημεν ὅλῳ ποδί· σὺν δέ τις αἰεὶ
Πικρὴ παρμέμβλωκεν ἐϋφροσύνῃσιν ἀνίη.

Medeæ, ubi illos invicem copulârunt,
Obtenſo velamine ſuaviter olenti. Heroes autem in manibus
Haſtis vibratis bellicis, ne prius ad prælium
Hoſtium palam conſpectæ ingruerent copiæ,
Capitibuſque folioſâ redimitis fronde,
Aptis numeris, dum ſuaviter pulſaret citharam Orpheus,
Nuptialia hymenæum ante limina canebant.
Attamen non in Alcinoi agro in animo habuit nuptias perficere
Heros Æſonides, ſed in ædibus patris ſui
Reverſus in Iolcum redux: ita etiam et ipſa
Sentiebat Medea: ſed ut tunc convenirent, flagitabat tempus.
Verùm enimverò nunquam genus miſeriarum patientum hominum
Lætitiam adire ſolemus toto pede, ſed unà ſemper
Acerba aliqua intervenit lætitiis triſtitia.

σιν· Ἀντίμαχος ἐν Λυδῇ, πλησίον τοῦ ποταμοῦ μιγῆναι αὐτῇ φησὶ τὸν Ἰάσονα. Schol.

1160. Προμολῆσι] προμολὰς εἴρηκε τὰς ἐπτὸς τῶν ἄντρου τόπους. Schol.

1166. Τερπωλῆς ἐπέβημεν, &c.
—— uſque adeo nulla eſt ſincera voluptas,
Sollicitique aliquid lætis intervenit.
Ov. Met. VII. 454.

1167. Παρμέμβλωκεν] πάρεστι. Schol.

Τῷ

Τῷ καὶ σφῶϊν γλυκερῇ περ ἰαινομένοις φιλότητι
Δεῖμ' ἔχεν, εἰ τελέοιτο διάκρισις Ἀλκινόοιο.
Ἠὼς δ' ἀμβροσίῃσιν ἀνερχομένη φαέεσσι
Λῦε κελαινὴν νύκτα δι' ἠέρος· αἱ δ' ἐγέλασσαν
Ἠιόνες νήσοιο καὶ ἑρσήεσσαι ἄπωθεν
Ἀτραπιτοὶ πεδίων· ἐν δὲ θρόος ἔσκεν ἀγυιαῖς.
Κίνυντ' ἐνναέται μὲν ἀνὰ πτόλιν, οἱ δ' ἀπὸ τηλοῦ
Κόλχοι Μακριδίης ἐπὶ πείρασι χερνήσοιο.
Αὐτίκα δ' Ἀλκίνοος μετεβήσετο συνθεσίῃσιν,
Ὃν νόον ἐξερέων κούρης ὕπερ· ἔνθ' ὅγε χειρὶ
Σκῆπτρον ἔχεν χρυσοῖο δικασπόλον, ᾧ ὕπο πολλοὶ

Ideo et hos suavi licèt gaudentes amore
Metus corripuit, ratane esset sententia Alcinoi.
Jam verò Aurora immortalibus reversa radiis
Discussit atram noctem per aëra, riseruntque
Litora insulæ, et rorulentæ longè
Semitæ camporum, & in plateis fiebat strepitus.
Commovebantur per urbem incolæ, ipsique de longè
Colchi Macridiæ in finibus peninsulæ.
Statim verò Alcinous prodiit ex pacto,
Sententiam suam laturus de virgine: tum sane manu
Sceptrum tenebat ex auro judiciarium, sub quo multi

1170. Φαέεσσι] φαέεσσιν, ἀντὶ τοῦ φωτισμοῖς. φύσει γὰρ ὄντα σκοτεινὸν τὸν ἀέρα, τοῖς φωτισμοῖς ἐλάμπρυνε. γράφεται) φαέεσσιν. Schol.

1174. Ἀνὰ πτόλιν] ἡ τῶν Κερκυραίων ἐπὶ τῆς Χερσονήσου κεῖται. φησὶν οὖν ἱστορικῶς ὅτι μακρὰν τῆς πόλεως ἐπὶ τοῦ αἰγιαλοῦ τῆς χερρονήσου ἦσαν· ἐν ᾗ ἐστὶν ἡ πόλις, ὡς Ἀπολλωνίδης ἐν τῷ περίπλῳ τῆς Εὐρώπης. Schol.

1175. Χερνήσοιο] τὴν χερρόνησον χέρνησον εἴρηκεν, ὡς ἐν τῷ πρώτῳ. τὴν δὲ ἀντικρὺ τῆς Κερκύρας χώραν εἴρηκε Μακριδίαν· ἴσως διὰ τὸ φαίνεσθαι ἐκεῖ τοὺς Εὐβοεῖς. ἡ δὲ Εὔβοια, Μάκρις ἐκαλεῖτο τὸ πρότερον. ταύτην οὖν οἱ κατοικήσαντες μετὰ Ἰλίου ἅλωσιν Ἄβαντες Μάκριν ὠνόμασαν. Schol.

Ibid. Χερνήσου. Quam Scylax tradidit ὀλίγῳ ἐλάσσω εἶναι τῆς Πελοποννήσου, tanto mirius est aut tenue aut nullum ejus rei extare in tabulis vulgatis vestigium. In ea est, ut puto, Buthrotum, quod ut Strabo lib. VII. tradit ἱδρυμένον ἐν τόπῳ χερρονησίζοντι. Hœl.

Ἰθείας ἀνὰ ἄστυ διεκρίνοντο θέμιστας.
Τῷ δὲ καὶ ἑξείης πολεμήϊα τεύχεα δῦντες
Φαιήκων οἱ ἄριστοι ὁμιλαδὸν ἐστιχόωντο.
Ἥρωας δὲ γυναῖκες ἀολλέες ἔκτοθι πύργων
Βαῖνον ἐποψόμεναι· σὺν δ' ἀνέρες ἀγροιῶται
Ἤντεον εἰσαΐοντες· ἐπεὶ νημερτέα βάξιν
Ἥρη ἐπιπροέηκεν. Ἆγεν δ' ὁ μὲν ἔκκριτον ἄλλων
Ἀρνειὸν μήλων, ὁ δ' ἀεργηλὴν ἔτι πόρτιν.
Ἄλλοι δ' ἀμφιφορῆας ἐπισχεδὸν ἵστασαν οἴνου
Κίρνασθαι· θυέων τ' ἀποτηλόθι κήκιε λιγνύς.
Αἱ δὲ πολυκμήτους ἑανοὺς φέρον, οἷα γυναῖκες,
Μείλιά τε χρυσοῖο, καὶ ἀλλοίην ἐπὶ τοῖσιν
Ἀγλαΐην, οἵην τε νεόζυγες ἐντύνονται.
Θάμβεον δ' εἰσορόωσαι ἀριπρεπέων ἡρώων

Incorrupta per urbem dijudicabant jura.
Poſt hunc ex ordine bellicis armis induti
Phæacum præſtantiſſimi turmatim incedebant.
Heroas verò mulieres confertæ extra mœnia
Ibant viſendi ſtudio: unáque viri agreſtes
Occurrebant, re auditâ; (certum enim rumorem
Juno præmiſit) agebatque hic ſelectum ex aliis
Agnum ovibus, ille immunem adhuc aratri vitulam;
Alii amphoras propè ſtatuerunt vini
Ad miſcendum: à ſacris autem procul volavit fumus.
Illæ verò multâ arte laboratos peplos afferebant, prout fœminis par erat,
Muneraque ex auro, variaque ad hæc
Ornamenta, quibus recèns nuptæ adornantur.
Miratæ autem ſunt intuentes illuſtrium heroum

1187. Ἄλλοι δ' ἀμφιφορῆας. Θεόπομπος ἀμφιφορεῖς λέγεσθαί φησι τοὺς ὑπ' ἐνίων μετρητάς. Πausανίας δέ φησι τὸν ἀμφιφορέα ὑπὸ Ἀθηναίων ἀμφορέα καλεῖσθαι. Schol.

1188. Λιγνύς] ἡ καπνώδης ἀναφορά· ἢ τὸ τοῦ φωτὸς ἄκρον. ἄμεινον δὲ τὸ πρῶτον. Schol.

1191. Αγλαΐην] κόσμια. Schol.

Εἴδεα

Εἴδεα καὶ μορφάς· ἐν δὲ σφίσιν Οἰάγροιο
Υἱὸν ὑπαὶ φόρμιγγος εὐκρέκτου καὶ ἀοιδῆς
Ταρφέα σιγαλόεντι πέδον κροτέοντα πεδίλῳ.
Νύμφαι δ' ἄμμιγα πᾶσαι, ὅτε μνήσαιντο γάμοιο,
Ἱμερόενθ' ὑμέναιον ἀνήπυον· ἄλλοτε δ' αὖτε
Οἰόθεν οἶαι ἄειδον ἑλισσόμεναι περὶ κύκλον,
Ἥρη, σεῖο ἕκητι· σὺ γὰρ καὶ ἐπὶ φρεσὶ θῆκας
Ἀρήτης, πυκινὸν φάσθαι ἔπος Ἀλκινόοιο.
Αὐτὰρ ὅγ', ὡς τὰ πρῶτα δίκης ἀνὰ πείρατ' ἔειπεν
Ἰθείης, ἤδη δὲ γάμου τέλος ἐκλήϊστο
Ἔμπεδον, ὣς ἀλέγυνε διαμπερές· οὐδέ ἑ τάρβος
Οὐλοὸν, οὐδὲ βαρεῖαι ἐπήλυθον Αἰήταο
Μήνιες· ἀρρήκτοισι δ' ἐνὶ ζεύξας ἔχεν ὅρκοις.
Τῷ καὶ ὅτ' ἠλεμάτως Κόλχοι μάθον ἀντιόωντες,
Καί σφέας ἠὲ θέμιστας ἑὰς εἴρυσθαι ἄνωγεν,

Vultus, habitusque; interque ipsos Oeagri
Filium ad canoram citharam et cantum
Frequenter, levi adeò ut vix audiretur, solum pulsantem pede.
Nymphæ insuper simul cunctæ, nuptiarum memores,
Amabilem Hymenæum cecinerunt; interdum autem
Solæ per se cantabant in gyrum rotatæ,
Juno, tui causâ: tu enim animo injecisti
Aretes, ut sagacem diceret sententiam Alcinoi.
Ille verò ut initio sententiæ terminos pronunciaverat
Rectæ, jamque nuptiarum solennitas celebrata erat
Immutabiliter, sic usque tuebatur, nec eum metus
Gravis, nec horribiles moverunt Æetæ
Minæ; sed *fidem quam dederat*, inviolabilibus constrictam tenuit juramentis.
Quare quando Colchi stultè se contrà venisse intelligerent,
Ipseque illis vel sua tueri jura juberet,

1193. Εἴδεα καὶ μορφάς] τὸ μὲν εἶδος κυρίως ἐπὶ προσώπου τίθησιν ὁ Ἀπολλώνιος· μορφὴ δὲ τὸ σχῆμα. Schol.

1194. Εὐκρέκτου] εὔηχος κιθάρα. Schol.

Ἢ λιμένων

Ἠ λιμένων γαίης τ' ἀποτηλόθι νῆας ἐέργειν·
Δὴ τότε δὴ βασιλῆος ἑοῦ τρομέοντες ἐνιπὰς,
Δέχθαι μειλίξαντο συνήμονας· αὖθι δὲ νήσῳ
Δὴν μάλα Φαιήκεσσι μετ' ἀνδράσι ναιετάασκον·
Εἰσότε Βακχιάδαι, γενεὴν Ἐφύρηθεν ἐόντες,
Ἀνέρες ἐνάσσαντο μετὰ χρόνον· οἱ δὲ περαίην
Νῆσον ἔβαν· κεῖθεν δὲ Κεραύνια μέλλον Ἀβάντων
Οὔρεα, Νεσταίους τε καὶ Ὤρικον εἰσαφικέσθαι.
Ἀλλὰ τὰ μὲν, στείχοντος ἄδην αἰῶνος, ἐτύχθη.

Vel à portu terrâque procul naves abigere,
Tum demum regis ſui extimeſcentes minas,
Blandè orabant ut ſe reciperent ſocios; ibique in inſula
Diu admodum inter Phæacenſes viros habitabant,
Donec Bacchiadæ, genere ab Ephyrâ orti
Venerunt ad habitandum aliquandiu poſt: illi igitur in adverſam
Inſulam iverunt; illinc verò Ceraunios Abantum
Montes, Neſtæoſque et Oricum deventuri erant.
Verùm hæc, progreſſo longius ævo, evenerunt.

1210. Συνήμονας] τοὺς συνήθεις καὶ ἑταίρους. ἀπὸ τοῦ συνεῖναι. Schol.

1212. Εἰσότε Βακχιάδαι] Βάκχιος ἐγένετο υἱὸς Διονύσου· ἐν Κορίνθῳ δὲ διέτριβεν. ἦσαν δὲ εὐγενέστατοι οἱ ἀπ' αὐτοῦ τὸ γένος ἔχοντες· οἵτινες ἐξεβλήθησαν ἐκ Κορίνθου διὰ τὸν Ἀκταίωνος θάνατον. ἡ δὲ ἱστορία ἐστὶν ἥδε. Μέλισσος εὐεργετήσας τοὺς Κορινθίους (μέλλοντας γὰρ ὑπὸ Φείδωνος τοῦ τῶν Ἀργείων βασιλέως διαφθαρῆναι ἐῤῥύσατο) τιμῆς ἠξιώθη παρ' αὐτοῖς. καί ποτε οἱ Βακχιάδαι νυκτὸς ἐπελθόντες τῇ οἰκίᾳ τούτου, ἐβούλοντο ἀποσπᾶν τὸν παῖδα Ἀκταίωνα. τῶν δὲ γονέων ἀντεχόντων, συνέβη διασπαραχθῆναι αὐτόν. μελλόντων δὲ τῶν Ἰσθμίων ἄγεσθαι, στὰς ἐπὶ τοῦ βωμοῦ ὁ Μέλισσος, πολλὰ τοῖς Κορινθίοις κατηράσατο, ἢν μὴ τὸν τοῦ παιδὸς ἐκδικήσωσι θάνατον. ταῦτα εἰπὼν, εἰς τὸν ὑποκείμενον κρημνὸν ἑαυτὸν ἔβαλεν. οἱ δὲ Κορίνθιοι, εὐλαβούμενοι ἀνεκδίκητον λιπεῖν τὸν τοῦ Ἀκταίωνος θάνατον, ἅμα μὲν καὶ τοῦ θεοῦ κελεύοντος, ἐξέβαλον τοὺς Βακχιάδας. Χερσοκράτης δὲ, εἷς τῶν Βακχιαδῶν, ἔκτισε Κέρκυραν, ἐκβαλὼν τοὺς ἐνοικοῦντας Κόλχους. οἱ δὲ, ἐκβληθέντες, εἰς τὴν ἄπειρον παραγένοντο. Ἐφύρηθεν. Ἐφύρα ἡ Κόρινθος, ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέως θυγατρός. Εὔμηλος δὲ, ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ γενομένης Ἐπιμηθέως. Schol.

1215. Νεσταίους τε] τοὺς Νεσταίους Σκύλαξ φησὶν ἔθνος Ἰλλυρικόν. ἀπὸ τούτου παράπλους ἐστὶν εἰς τὸν κόλπον ἡμέρας μιᾶς. καὶ Ἐρατοσθένης ἐν γ' γεωγραφουμένων φησί. "μετὰ Ἰλλυριοὺς Νεσταῖοι, καθ' οὓς νῆσος Φάρος, Φαρίων ἄποικος." Schol.

Ibid. Εἰς τὸν κόλπον. Legendum εἰς τὸν κόλπον Μάνιον. Vide Scyl. p. 8. edit. Hudſon: et ibidem Voſſium. Lacunam alteram explevit Hœlzlinus verbis ἡμέρας μιᾶς, è Scylace. Upt.

1216. Ἀλλὰ τὰ μὲν, στείχοντος] ἀντὶ

Μοιράων

Μοιράων δ' ἔτι κεῖσε θύη ἐπέτεια δέχονται,
Καὶ Νυμφέων, Νομίοιο καθ' ἱερὸν Ἀπόλλωνος,
Βωμοὶ, τοὺς Μήδεια καθίσατο. Πολλὰ δ' ἰοῦσιν
Ἀλκίνοος Μινύαις ξεινήϊα, πολλὰ δ' ὄπασσεν
Ἀρήτη· μετὰ δ' αὖτε δυώδεκα δῶκεν ἕπεσθαι
Μηδείῃ δμωὰς Φαιηκίδας ἐκ μεγάροιο.
Ἤματι δ' ἑβδομάτῳ Δρεπάνην λίπον· ἤλυθε δ' οὖρος
Ἀκραὴς ἠῶθεν ὑπ' ἐκ Διός· οἱ δ' ἀνέμοιο
Πνοιῇ ἐπειγόμενοι προτέρω θέον· ἀλλὰ γὰρ οὔπω
Αἴσιμον ἦν ἐπιβῆναι Ἀχαιΐδος ἡρώεσσιν,

Parcarum tamen in hodiernum uſque ſacra anniverſaria fiunt,
Nympharumque Nomii in templo Apollinis
Aræ, quas Medea ſtatuerat. Cæterùm multa diſcedentibus
Alcinous Minyis dona hoſpitalia præbuit, multa etiam
Arete, quæ deinde duodecim dedit, ut ſequerentur,
Medeæ ſervas Phæacidas ex ædibus.
Jam verò die ſeptimo Drepanen liquerunt, venitque ventus
Leniter ſpirans manè à Jove: illi venti
Flatu propulſi ulterius cucurrerunt: ſed nondum
In fatis erat ut Achaiam attingerent heroes,

τὸ μετὰ πολλοὺς χρόνους. Τίμαιος δέ φησι μετὰ ἔτη ἑξακόσια τῶν Τρωϊκῶν, Χερσικράτη, ἀπόγονον τῶν Βακχιαδῶν, εἴτε ἐκπεσόντας τῆς Κορίνθου, εἴτε καὶ ἑκόντας ἀπελθεῖν, διὰ ἀτιμίαν, καὶ κατῳκηκέναι τὴν νῆσον. Κόλχοι δὲ, διαβάντες εἰς τὴν πλησίον νῆσον, μετὰ ταῦτα εἰς τὰ Κεραύνια ὄρη ὁρμήσαντες, ἕως τε τοὺς Ἄβαντας καὶ Νεσταίους καὶ Ὤρικον ἀπῳκίσθησαν. Schol.

1217. Μοιράων δ' ἔτι κεῖσε] Τιμώναξ ἐν πρώτῳ τῶν Σικελικῶν, ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι, Αἰήτου αὐτῷ ἐγγυήσαντος. ὁ δὲ αὐτός φησι. δείκνυνται παρὰ τὸν παράπλουν ἔνδον τοῦ πόντου κῆποι τινὲς Ἰάσονιοι καλούμενοι, καθ' ὧν τὴν ἀπόβασιν ἐποιήσατο· καὶ κατὰ τὴν αὐτὴν γυμνάσια καὶ δίσκοι, καὶ τῆς Μηδείας θάλαμος, καθ' ὃν τότε ἐνυμφεύθη· καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον Ἰάσονος, καὶ πρὸς τούτοις ἱερὰ πολλά. Τίμαιος δὲ, ἐν Κερκύρᾳ λέγων γενέσθαι τοὺς γάμους, καὶ περὶ τῆς θυσίας ἱστορεῖ, ἔτι καὶ νῦν λέγων ἄγεσθαι αὐτὴν κατ' ἐνιαυτὸν, Μηδείας πρῶτον θυσάσης ἐν τῷ Ἀπόλλωνος ἱερῷ. καὶ βωμοὺς δέ φησι μνημεῖα τῶν γάμων ἱδρύσασθαι, σύνεγγυς μὲν τῆς θαλάσσης, οὐ μακρὰν δὲ τῆς πόλεως. ὀνομάζουσι δὲ τὸν μὲν Νυμφῶν· τὸν δὲ Νηρηΐδων. ὁ γε μὴν Ἀπολλώνιος τὸν μέν φησι νυμφῶν εἶναι τὸν βωμόν· τὸν δὲ, τῶν μοιρῶν. Θύη δὲ ἐπέτεια λέγει τὰς ἐνιαυσιαίους θυσίας. Schol.

1218. Νομίοιο καθ' ἱερὸν] Διὰ τὸ κατὰ νόμον γενέσθαι τὴν κρίσιν τοῦ Ἀλκινόου, διὰ τοῦτο νομίου Ἀπόλλωνος ἱερὸν ἱδρύσασθαι τὴν Μήδειαν. Schol.

Ὄφρ'

Ὄφρ' ἔτι καὶ Λιβύης ἐπὶ πείρασιν ὀτλήσειαν.
Ἤδη μὲν ποτὶ κόλπον ἐπώνυμον Ἀμβρακιήων,
Ἤδη Κυρῆτιν ἔλιπον χθόνα πεπταμένοισι
Λαίφεσι, καὶ στεινὰς αὐτοῖς σὺν Ἐχινάσι νήσους
Ἑξείης· Πέλοπος δὲ νέον κατεφαίνετο γαῖα.
Καὶ τότ' ἀναρπάγδην ὀλοὴ Βορέαο θύελλα
Μεσσηγὺς πέλαγός τε Λιβυστικὸν ἐννέα πάσας
Νύκτας ὁμῶς καὶ τόσσα φέρ' ἤματα· μέχρις ἵκοντο
Προπρὸ μάλ' ἔνδοθι Σύρτιν· ἵν' οὐκ ἔτι νόστος ὀπίσσω
Νηυσὶ πέλει, ὅτε τόν γε βιώατο κόλπον ἱκέσθαι.
Πάντη γὰρ τέναγος, πάντη μνιόεντα βυθοῖο
Τάρφεα· κωφὴ δέ σφιν ἐπιβλύει ὕδατος ἄχνη.
Ἠερίη γ' ἄμαθος παρακέκλιται· οὐδέ τι κεῖσε

Priusquam in Lybiæ oris ærumnas pertulissent.
Jam sanè aliquando sinum ab Ambracensibus nomen habentem,
Jamque Curetum reliquerant terram passis
Velis, angustasque cum ipsis Echinadibus insulas
Ex ordine: Pelopis autem modò aspiciebatur terra,
Quando abreptim perniciosa Boreæ procella
Per medium pelagus Libysticum, novem integras
Noctes simul ferebat et dies, donec attigerant
Ulterius magis in Syrtin, ubi non amplius reditus retrò
Est navibus, quando in illum coactæ sunt sinum venire.
Undiquaque enim sunt loca palustria, undiquáque muscosæ profundi
Densitates, quibus surda innatat aquæ spuma.
Larga insuper arena propè jacet, nec aliquid illuc

1229. Κυρῆτιν. Melius censet Hœlzlinus legere Κυρήτων. Acarnaniam autem significari existimat, quò migrarunt Κυρῆτες Ætolia ejecti: quâ in re longus est Strabo et incertus. Lib. X. p. 320.

1235. Σύρτιν] δύο εἰσὶν ἐν τῇ Λιβύῃ Σύρτεις. εἰσὶ δὲ πηλώδεις. γίνονται δὲ ἀμπώτεις εἰς αὐτάς. καὶ ἐν τῷ ὠκεανῷ εἰσὶ τόποι ὅπου κατασύρονται οἱ πλέοντες, καὶ ἀπόλλυνται. Schol.

1237. Τέναγος] ὁ πηλώδης τόπος. Μνιόεντα, σύμφυτα. Schol.

1239. Ἠερίη] πᾶν τὸ πολὺ καὶ δασφαλὲς ἠερόεν λέγεται. Schol.

Ἐκπετὸν

Ἑρπετὸν οὐδὲ ποτητὸν ἀείρεται· ἔνθ' ἄρα τούς γε
Πλημμυρὶς (καὶ γάρ τ' ἀναχάζεται ἠπείροιο
Ἦ θαμὰ δὴ τόδε χεῦμα, καὶ ἂψ ἐπερεύγεται ἀκτὰς
Λάβρον ἐποιχόμενον) μυχάτῃ ἐνέωσε τάχιστα
Ἠιόνι, τρόπιος δὲ μάλ' ὕδασι παῦρον ἔλειπτο.
Οἱ δ' ἀπὸ νηὸς ὄρουσαν· ἄχος δ' ἕλεν εἰσορόωντας
Ἠέρα καὶ μεγάλης νῶτα χθονὸς, ἠέρι δ' ἶσα,
Τηλοῦ ὑπερτείνοντα διηνεκές· οὐδέ τιν' ἀρδμὸν,
Οὐ πάτον, οὐκ ἀπάνευθε κατηυγάσαντο βοτήρων
Αὔλιον, εὐκήλῳ δὲ κατείχετο πάντα γαλήνῃ.
Ἄλλος δ' αὖτ' ἄλλον τετιημένος ἐξερέεινεν.
Τίς χθὼν εὔχεται ἥδε; πόθι ξυνέωσαν ἄελλαι
Ἡμέας; αἴθ' ἔτλημεν, ἀφειδέες οὐλομένοιο
Δείματος, αὐτὰ κέλευθα διαμπερὲς ὁρμηθῆναι

Vel reptile vel volatile attollitur: ibi sane hos
Æstus (retrò enim cedit à terrâ
Frequenter admodum fluctus ille, et iterum irructatur in litus
Violenter irruens,) intimo adursit celeriter
Litori, ut perexigua carinæ pars relinqueretur in aquis.
Illi autem è navi desilierunt, dolorque corripuit intuentes
Aërem et vastæ dorsa telluris, sed aëri æqualia
Procul circumtensa serie continuâ; nec aquationis aliquid,
Nullum callem, nullam procul aspiciebant pastorum
Caulam, sed omnia tranquillum tenebat silentium.
Alius igitur tunc temporis alium malè affectus interrogavit.
Quænam hæc vocatur terra? ubi detruserunt procellæ
Nos? utinam ausi fuissemus, nihili habito pernicioso
Timore, ipsas per vias medias penetrâsse

1243. Ἐνέωσε] ἐνέωσεν, ὤθησεν. Τάχιστα. γράφεται ἄγχιστα. Schol.

1247. Ἀρδμὸν] ποτισμόν. Schol.

Ibid. Διηνεκές. Salustius, *ager in medio arenosus una specie; neque flumen neque mons erat qui fines eorum discerneret.*

1248. Πάτον] περίπατον. Schol.

Ibid. Οὐ πάτον, &c. *Ibi per loca æqualia et nuda gignentium ventus coortus arenam excitavit. Ea magna vi agitata ora oculosque implere solet: ita impedito prospectu morari iter.* Salust.

Πετράων· ἦ τ' ἂν καὶ ὑπὲρ Διὸς αἶσαν ἰοῦσιν
Βέλτερον ἦν, μέγα δή τι μενοινώωντας ὀλέσθαι.
Νῦν δέ τί κεν ῥέξαιμεν ἐρυκόμενοι ἀνέμοισιν
Αὖθι μένειν τυτθόν περ ἐπὶ χρόνον; οἷον ἐρήμη
Πέζα διωλυγίης ἀναπέπταται ἠπείροιο.
Ὣς ἄρ' ἔφη· μετὰ δ' αὐτὸς ἀμηχανίῃ κακότητος
Ἰθυντὴρ Ἀγκαῖος ἀκηχεμένοις ἀγόρευσεν.
Ὠλόμεθ' αἰνότατον δῆθεν μόρον· οὐδ' ὑπάλυξις
Ἔστ' ἄτης, πάρα δ' ἄμμι τὰ κύντατα πημανθῆναι
Τῇδ' ὑπ' ἐρημαίῃ πεπτηότας, εἴκεν ἀῆται
Χερσόθεν ἀμπνεύσειαν· ἐπεὶ τεναγώδεα λεύσσω
Τῆλε περισκοπέων ἅλα πάντοθεν· ἤλιθα δ' ὕδωρ
Ξαινόμενον πολιοῖσιν ἐπιτροχάει ψαμάθοισι.
Καί κεν ἐπισμυγερῶς διὰ δὴ πάλαι ἧδε κεάσθη
Νηῦς ἱερὴ χέρσου πολλὸν πρόσω· ἀλλά μιν αὐτὴ

Petrarum: certè vel contrà Jovis fatum proficiſcentibus
Satius eſſet magnum aliquod animo habentibus periiſſe.
Nunc verò quid agamus prohibiti ventis
Hùc manere vel ad exiguum tempus? deſerta adeo
Ora longè extenſæ panditur terræ.
Sic dixit: ipſe deinde inopiâ conſilii in re tam adverſâ perplexus
Gubernator Ancæus triſtatos allocutus eſt.
Periimus ſanè graviſſimo interitu, nec vitatio eſt aliqua
Calamitatis; non longè abeſt quin duriſſima perpetiamur
Hanc in ſolitudinem illapſi, ſi modò venti
De terrâ reſpirent; nam limoſum cerno
Procul circumſpectans mare undique, multumque aquæ
Repercuſſæ canis illiditur arenis.
At ſanè ærumnosè jamdiu diffiſſa fuiſſet
Navis ſacra longè admodum à terrâ, niſi eam ipſe

1258. Διωλυγίης] ἀντὶ τοῦ σκοτεινῆς· ἢ ἀντὶ τοῦ ἐπιπολὺ διηκούσης. Schol.

1260. Ἰθυντὴρ] κυβερνήτης. Schol.

1264. Τεναγώδεα] πηλώδη. τέναγος δέ ἐστι κυρίως γῆ ἐπιπόλαιον ὕδωρ ἔχουσα, ἢ πηλῶδες ὕδωρ. Schol.

Πλημμυρὶς

Πλημμυρὶς ἐκ πόντοιο μεταχθονίην ἐκόμισσε.
Νῦν δ' ἡ μὲν πέλαγόσδε μετέσσυται· οἰόθι δ' ἄλμη
Ἄπλοος εἰλεῖται γαίης ὕπερ ὅσσον ἔχουσα.
Τοὔνεκ' ἐγὼ πᾶσαν μὲν ἀπ' ἐλπίδα φημὶ κεκόφθαι
Ναυτιλίης νόστου τε· δαημοσύνην δέ τις ἄλλος
Φήνειεν· πάρα γάρ οἱ ἐπ' οἰήκεσσι θαάσσειν
Μαιομένῳ κομιδῆς· ἀλλ' οὐ μάλα νόστιμον ἦμαρ
Ζεὺς ἐθέλει καμάτοισιν ἐφ' ἡμετέροισι τελέσσαι.
Ὣς φάτο δακρυόεις· σὺν δ' ἔννεπον ἀσχαλόωντι
Ὅσσοι ἔσαν νηῶν δεδαημένοι· ἐν δ' ἄρα πᾶσι
Παχνώθη κραδίη, χύτο δὲ χλόος ἀμφὶ παρειάς.
Οἷον δ' ἀψύχοισιν ἐοικότες εἰδώλοισιν
Ἀνέρες εἱλίσσονται ἀνὰ πτόλιν, ἢ πολέμοιο
Ἢ λοιμοῖο τέλος ποτιδέγμενοι, ἠέ τιν' ὄμβρον
Ἄσπετον, ὅς τε βοῶν κατὰ μυρία ἔκλυσεν ἔργα·
Ἢ ὅταν αὐτόματα ξόανα ῥέῃ ἱδρώοντα

Æſtus ex ponto ſublimen exportâſſet.
Nunc ille in pelagus retrò ruit, ſolaque ſalſugo
Innavigabilis circumvolvitur vix ſupra terram eminens.
Ideo ego omnem ſpem reor abſciſſam eſſe
Navigationis reditûſque: artem verò alius aliquis
Exerceat; penes enim eum eſt ad clavum ſedere,
Si modò ambiat munus. Sed non facilè redeundi diem
Vult Jupiter laboribus noſtris finem imponere.
Sic dixit lachrymabundus: aſſenſerunt autem triſtanti
Quotquot erant navium periti: cunctis igitur
Diriguit cor, obfundebaturque pallor genis.
Sicut verò mortuis ſimiles ſpectris
Viri verſantur per urbem, vel belli
Vel peſtis eventum expectantes, vel imbrem aliquem
Immenſum, qui boum infinitos abluere ſolet labores;
Vel quando ſuâ ſponte ſimulachra defluxerint ſudantia

1279. Παχνώθη] ἀντὶ τοῦ ἐπάγη. ἐλευκώθη. ὁ τρόπος εἴληπται ἀπὸ τῆς πάχνης. Schol.

1284. Ἢ ὅταν αὐτόματα ξόανα] ὅταν μέλλῃ τι συμβαίνειν χαλεπὸν, [illegible]

Αἵματι, καὶ μυκαὶ σηκοῖς ἔνι φαντάζωνται·
Ἠὲ καὶ ἠέλιος μέσῳ ἤματι νύκτ᾽ ἐπάγῃσιν
Οὐρανόθεν, τὰ δὲ λαμπρὰ δι᾽ ἠέρος ἄστρα φαείνῃ·
Ὣς τότ᾽ ἀριστῆες δολιχοῦ πρόπαρ αἰγιαλοῖο
Ἤλυθον ἑρπύζοντες· ἐπήλυθε δ᾽ αὐτίκ᾽ ἐρεμνὴ
Ἕσπερος· οἱ δ᾽ ἐλεεινὰ χεροῖν σφέας ἀμφιβαλόντες,
Δακρυόειν ἀγάπαζον, ἵν᾽ ἄνδιχα δῆθεν ἕκαστος
Θυμὸν ἀποφθίσειαν ἐνὶ ψαμάθοισι πεσόντες.
Βὰν δ᾽ ἴμεν ἄλλυδις ἄλλος ἑκαστέρω αὖλιν ἑλέσθαι·
Ἐν δὲ κάρη πέπλοισι καλυψάμενοι σφετέροισιν,
Ἄκμηνοι καὶ ἄπαστοι ἐκείατο νύχθ᾽ ὑπὸ πᾶσαν,
Καὶ φάος, οἰκτίστῳ θανάτῳ ἔπι· νόσφι δὲ κοῦραι
Ἀθρόαι Αἰήταο παρεστενάχοντο θυγατρί.
Ὡς δ᾽ ὅτ᾽ ἐρημαῖοι πεπτηότες ἔκτοθι πέτρης

Sanguinem, mugitusque in templis audiri videantur;
Vel etiam sol medio die noctem induxerit
Cœlitus, ipsaque fulgentia per aërem astra apparuerint:
Ita tum optimates longum ante litus
Incedebant repentes, cum subitò supervenit tenebrosa
Vespera: illi miserabiliter manibus seipsos amplexantes,
Lachrymas effundere voluptati habebant, ut separatim quisque
Animum macerarent in arenis prolapsi.
Perrexerunt autem ire aliò alius longiùs cubile eligere,
Capitaque suis peplis obvoluti,
Jejuni esurientesque jacebant totam noctem
Diemque, miserabilis metu mortis: separatim verò puellæ
Confertæ Æetæ aggemebant filiæ.
Sicut autem quando deserti elapsi petræ

τὰ ἀγάλματα ἱδρῶν. ὥσπερ καὶ ἐν Θήβαις συνέβη, ὅτε συνίστατο ὁ περὶ Χαιρώνειαν πόλεμος Φιλίππῳ πρὸς Ἀθηναίους. Schol.

1285. Καὶ μυκαὶ σηκοῖς] καὶ ἦχοι ἐν τοῖς ναοῖς φαντασίαν ποιήσωσιν. ἢ ὅταν μυκήσεις δοκῶσι γίνεσθαι περὶ τὰ ἀγάλματα. Schol.

1297. Θυγατρί] τῇ θυγατρὶ τοῦ Αἰήτου συνάπτε. Schol.

Ibid. Κοῦραι] Illæ nimirum quas Medea ab Arete dono acceperat. Hartungus.

Χηραμοῦ

Χηραμοῦ ἀπτῆνες λιγέως κλάζουσι νεοσσοί·
Ἢ ὅτε καλὰ νάοντος ἐπ' ὀφρύσι Πακτωλοῖο
Κύκνοι κινήσωσιν ἑὸν μέλος, ἀμφὶ δὲ λειμὼν
Ἑρσήεις βρέμεται, ποταμοῖό τε καλὰ ῥέεθρα·
Ὣς αἱ ἐπὶ ξανθὰς θέμεναι κονίῃσιν ἐθείρας,
Παννύχιαι ἐλεεινὸν ἰήλεμον ὠδύροντο.
Καί νύ κεν αὐτοῦ πάντες ἀπὸ ζωῆς ἐλίασθεν
Νώνυμνοι καὶ ἄφαντοι ἐπιχθονίοισι δαῆναι
Ἡρώων οἱ ἄριστοι, ἀνηνύστῳ ὑπ' ἀέθλῳ·
Ἀλλὰ σφέας ἐλέηραν ἀμηχανίῃ μινύθοντας
Ἡρῷσσαι Λιβύης τιμήοροι· αἵ ποτ' Ἀθήνην,
Ἦμος ὅτ' ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα,
Ἀντόμεναι Τρίτωνος ἐφ' ὕδασι χυτλώσαντο.

Fissurâ involucres stridulè clamitant pulli,
Aut quando pulchrè fluentis ad marginem Pactoli
Cygni suum excitaverint melos, circáque pratum
Rorulentum adfremit, pratique pulchra fluenta,
Sic hæ, in pulverem flavis impositis comis,
Per totam noctem flebile lamentum lamentabantur.
Et sane ibi omnes è vitâ excidissent
Inglorii ignotique hominibus memoratu
Heroum præstantissimi, infecto certamine,
Nisi ipsos miseratæ fuissent rebus perplexis attenuatos
Heroinæ vindices Libyæ, quæ olim Minervam
Quando ex patris capite exiliit armis lucida,
Obviam factæ Tritonis ad aquas lavabant.

1299. Χηραμοῦ] χηραμὸς, κατάδυσις. Ἀπτῆνες. οἱ μὴ ἵπτασθαι δυνάμενοι. Schol.

1300. Πακτωλοῖο] Πακτωλὸς, ποταμὸς Λυδίας, ὁ νῦν Χρυσοῤῥόας λεγόμενος. Schol.

1304. Ἰήλεμον] ἀντὶ τοῦ θρῆνον. εἴρηται ἀπὸ Ἰαλέμου, τοῦ Μούσης παιδός. Schol.

1305. Ἐλίασθεν] ἀντὶ τοῦ ἀπέθανον, ἐστεῦθη. Schol.

1309. Ἡρῷσσαι] προπερισπωμένως. Ἡρωδιανὸς ἐν δεκάτῳ φησὶν, ἐκ συναλοιφῆς τοῦ ἡρωΐσσαι. τοῦ ἥρως γὰρ τὸ θηλυκὸν γίνεται ἡρῷσσα. ἢ ἀντὶ τοῦ ἡρωΐνας. Τιμήοροι δὲ, ἔκδικοι καὶ ἔφοροι τῆς Λιβύης. ἢ ἐν Λιβύῃ τιμώμεναι ἡρωΐναι. Schol.

1310. Ἦμος ὅτ' ἐκ πατρὸς] πρῶτος Στησίχορος ἔφη σὺν ὅπλοις ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν. Schol.

1311. Τρίτωνος] Τρίτων πόλις Λι-

Ἔνδιο

Ἔνδιον ἦμαρ ἔην, περὶ δ' ὀξύταται θέρον αὐγαὶ
Ἠελίου Λιβύην· αἱ δὲ σχεδὸν Αἰσονίδαο
Ἔσταν, ἕλον δ' ἀπὸ χερσὶ καρήατος ἠρέμα πέπλον.
Αὐτὰρ ὅγ' εἰς ἑτέρωσε παλιμπετὲς ὄμματ' ἔνεικε,
Δαίμονας αἰδεσθείς· αὐτὸν δέ μιν ἀμφαδὸν οἶον
Μειλιχίοις ἐπέεσσιν ἀτυζόμενον προσέειπον.
Κάμμορε, τίπτ' ἔπι τόσσον ἀμηχανίῃ βεβόλησαι;
Ἴδμεν ἐποιχομένους χρύσεον δέρας· ἴδμεν ἕκαστα
Ὑμετέρων καμάτων, ὅσ' ἐπὶ χθονὸς, ὅσσα τ' ἐφ' ὑγρὴν
Πλαζόμενοι κατὰ Πόντον ὑπέρβια ἔργα κάμεσθε.
Οἰοπόλοι δ' εἰμὲν, χθόνιαι θεαὶ, αὐδήεσσαι,

Medius erat dies, et undique acutiſſimi torrebant radii
Solis Libyam, quando illæ prope Jaſonem
Steterunt, et peplum à capite leniter manibus detraxerunt.
Sed ille aliò retrorsùm oculos detorſit,
Deas reveritus; ipſum autem palam ſolum
Blandis verbis triſtatum allocutæ ſunt.
Infelix, quare uſque adeo deſperatione perculſus es?
Scimus vos profectos ad *avehendum* aureum vellus, ſcimus omnes
Labores veſtros, quot terrâ, quot mari
Errantes in Ponto ingentia facinora patrâſtis.
Adſumus autem pecorariæ Deæ, terreſtres, familiares,

βύης. ἔστι δὲ καὶ Βοιωτίας. δοκεῖ δὲ ἡ Ἀθηνᾶ παρὰ θυγατέρα αὐτῶν γεγονέναι. ἀφ' οὗ καὶ Τριτογένεια λέγεται. οὕτω τινές. οἱ δὲ, ἢ τὸ τρεῖν, ἤγουν τὸ φοβεῖσθαι τοῖς ἐναντίοις ποιοῦσα. Schol.

Ibid. Χυτλώσαιτο.
—— ἢ κε τόκοιο
Λύματα ΧΥΤΛΩΣΑΙΤΟ, &c.
Call. Jov. 17. ubi vide doctiſſimum Spanhemium,

1312. Θέρον] ἐθέρμαινον, καὶ ἔκαιον. Schol.

1314. Πέπλον] πέπλος κυρίως ἐπὶ γυναικῶν. Schol.

1315. Παλιμπετὲς] παλιγκινές. ὡς τὸ ὀπίσω παλιγκομιστές. Schol.

1317. Ἀτυζόμενον] ἀτύζω, παρὰ τὴν ἄτην γίνεται ῥῆμα ἀτῶ, οὗ παράγωγον ἀτύω· ὡς ὀλῶ, ὀλύω καὶ ὀλλύω. πλεονάσαντος δὲ τοῦ ζ, ἀτύζω· ὡς καὶ παρὰ τὸ ἀτίω, ἀτίζω. Schol.

1318. Ἀμηχανίῃ] ἀπορίᾳ. Schol.

1322. Οἰοπόλοι] αἱ περὶ τοὺς οἶς πολοῦσαι. Χθονίας δὲ αὐτὰς εἶπε, διὰ τὸ θυγατέρας εἶναι τῆς Λιβύης. εἰσὶ δὲ αἱ ἐπιμηλίδες. ἢ χθόνιοι, γηγενεῖς. Αὐδήεσσαι δὲ, αἱ εἰς λόγον ἀνθρώποις ἐρχόμεναι. περὶ δὲ τῶν νυμφῶν μέμνηται Καλ-

Ἡρῷσσαι

Ἡρῶσσαι Λιβύης τιμήοροι, ἠδὲ θύγατρες.
Ἀλλ' ἄνα· μηδέ τι τοῖον ὀϊζύων ἀκάχησο,
Ἄνστησον δ' ἑτάρους· εὖτ' ἂν δέ τοι Ἀμφιτρίτη
Ἅρμα Ποσειδάωνος ἐΰτροχον αὐτίκα λύσῃ,
Δή ῥα τότε σφετέρῃ ἀπὸ μητέρι τίνετ' ἀμοιβὴν,
Ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ὔμμε φέρουσα.
Καί κεν ἔτ' ἠγαθέην ἐς Ἀχαιΐδα νοστήσαιτε.
Ὣς ἄρ ἔφαν· καὶ ἄφαντοι ἵν' ἕσταθεν, ἔνθ' ἄρα ταίγε
Φθογγῇ ὁμοῦ ἐγένοντο παρασχεδόν· αὐτὰρ Ἰήσων
Παπτήνας, ἀνά ῥ' ἕζετ' ἐπὶ χθονὸς, ὧδέ τ' ἔειπεν.
Ἵλατ', ἐρημονόμοι κυδραὶ θεαί· ἀμφὶ δὲ νόστῳ
Οὔτι μάλ' ἀντικρὺ νοέω φάτιν· ἦ μὲν ἑταίρους
Εἰς ἓν ἀγειράμενος μυθήσομαι, εἴ νύ τι τέκμωρ

Heroinæ, Libyæ vindices & filiæ.
Attamen ſurge, nec tali modo ærumnis temet conficito,
Suſcita etiam ſocios: quamprimum autem tibi Amphitrite
Currum Neptuni volubilem ſolverit,
Tunc matri veſtræ rependite mercedem
Eorum quæ pertulerit tamdiu vos in alvo geſtans.
Ita ſane adhuc divinam in Theſſaliam revertetis.
Sic locutæ ſunt, et inviſibiles *ex loco* ubi ſteterunt, ibi ſane hæ
Voce ſimul fiebant momento citiùs: at Jaſon
Poſtquam circumſpexiſſet, reſedit humi, et ita dixit.
Propitiæ eſtote, deſerta colentes, venerandæ deæ: de reditu tamen
Nequaquam planè admodum intelligo oraculum: ſocios ſane
In unum collectos alloquar, ſi fortè ſignum aliquod

λίμαχος οὕτω λέγων. "Δέσποιναι Λιβύης ἡρωΐδες, αἱ Νασαμώνων αὔλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε, μητέρα μοι ζώουσαν ὀφέλλετε." Schol.

1327. Σφετέρῃ ἀπὸ μητέρι] ἔδει εἰπεῖν ὑμετέρᾳ. λέγει δὲ, τῇ νηΐ. φέρει γὰρ αὐτοὺς ἐν τῷ κύτει, ὡς ἐν γαστρὶ μήτηρ. Schol.

1329. Ἀχαιΐδα] Ἀχαιΐδα λέγει ἢ τὴν Θεσσαλίαν, ἢ τὴν Ἑλλάδα. βέλτιον δὲ, τὴν Θεσσαλίαν. οἱ δὲ οἰκοῦντες, Ἀχαιοὶ λέγονται. Ὅμηρος. "νῦν αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον." εἶτα· "Μυρμιδόνες δὲ καλεῦντο, καὶ Ἕλληνες, καὶ Ἀχαιοί." Schol.

1333. Ἵλατ' ἐρημονόμοι] ἱλάσθητε αἱ νεμόμεναι ἐν τῇ ἐρήμῳ. Schol.

Δήωμεν

Δήωμεν κομιδῆς· πολέων δέ τε μῆτις ἀρείων.
Ἦ, καὶ ἀναΐξας ἑτάρους ἐπὶ μακρὸν ἀΰτει
Αὐσταλέος κονίῃσι· λέων ὥς, ὅς ῥά τ' ἀν' ὕλην
Σύννομον ἣν μεθέπων ὠρύεται· αἱ δὲ βαρείῃ
Φθογγῇ ὑποτρομέουσιν ἀν' οὔρεα τηλόθι βῆσσαι,
Δείματι δ' ἄγραυλοί τε βόες μέγα πεφρίκασι,
Βουπελάται τε βοῶν· τοῖς δ' οὔ νύ τι γῆρυς ἐτύχθη
Ῥιγεδανὴ ἑτάροιο φίλοις ἐπικεκλομένοιο.
Ἀγχοῦ δ' ἠγερέθοντο κατηφέες· αὐτὰρ ὁ τούς γε
Ἀχνυμένους ὅρμοιο πέλας μίγα θηλυτέρῃσιν
Ἱδρύσας, μυθεῖτο, πιφαυσκόμενος τὰ ἕκαστα.
Κλῦτε φίλοι· τρεῖς γάρ μοι ἀνιάζοντι θεάων,
Στέρφεσιν αἰγείοις ἐζωσμέναι ἐξ ὑπάτοιο
Αὐχένος, ἀμφί τε νῶτα καὶ ἰξύος, ἠΰτε κοῦραι,

Inveniamus reditûs: multorum enim consilium melius.
Dixit, et prosiliens sociis longè inclamavit
Squalidus pulvere, leonis instar, qui per sylvam
Compascuam suam quærens clamorem tollit; ipsique gravi
Voce subtremiscunt procul per montes saltus,
Metuque agrestes boves valdè horruerunt,
Nec non bubulci: his tamen nequaquam vox erat
Horribilis socii amicis inclamantis.
Propè autem congregati sunt demissis vultibus: verùm ille eos
Tristatos juxta stationem mistim cum mulieribus
Sedere jussos allocutus est, singula exponens.
Audite, amici: tres enim mihi tristato Deæ
Pellibus caprinis cinctæ ex summâ
Cervice, circaque terga et lumbos, puellarum more,

1339. Ὠρύεται] ἀντὶ τοῦ βοᾷ. ἔστι δὲ τὸ τῶν λεόντων φωνῆς. Schol.

1342. Βουπελάται] οἱ βουκόλοι. ἄρηται ἤτοι τοῦ τι πελαστεύοντος (βουλάται γάρ εἰσιν) ἢ παρὰ τὸ πέλας τῶν βοῶν εἶναι· ὃ καὶ βέλτιον. Schol.

1348. Στέρφεσιν αἰγέοις] τοῖς δέρμασιν. ἔνθεν καὶ στερφῶσαι. Ἴωνικὸς δὲ στερφωτῆρας στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. ὅθεν καὶ παρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν μελανοστέρφων γένος, οὐχ ὥς τινες, μελανοστέρνων. οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται. Schol.

Ἔστιν

Ἔσταν ὑπὲρ κεφαλῆς μάλ' ἐπισχεδόν· ἂν δ' ἐκάλυψαν
Πέπλον ἐρυσσάμεναι κούφῃ χερί· καί μ' ἐκέλοντο
Αὐτόν τ' ἔγρεσθαι, ἀνά θ' ὑμέας ὄρσαι ἰόντα·
Μητέρι δὲ σφετέρῃ μενοεικέα τίσαι ἀμοιβὴν
Ὧν ἔκαμεν, δηρὸν κατὰ νηδύος ἄμμε φέρουσα,
Ὁππότε κεν λύσῃσιν ἐΰτροχον Ἀμφιτρίτη
Ἅρμα-Ποσειδάωνος. Ἐγὼ δ' οὐ πάγχυ νοῆσαι
Τῆς γε θεοπροπίης ἴσχω πέρι· Φάν γε μὲν εἶναι
Ἡρῶσσαι Λιβύης τιμήοροι ἠδὲ θύγατρες.
Καὶ δ' ὁπόσ' αὐτοὶ πρόσθεν ἐπὶ χθονός, ἠδ' ὅσ' ἐφ' ὑγρὴν
Ἔτλημεν, τὰ ἕκαστα διίδμεναι εὐχετόωντο.
Οὐδέ τι τάσδ' ἀνὰ χῶρον ἐσέδρακον, ἀλλά τις ἀχλὺς
Ἠὲ νέφος μεσσηγὺ φαεινομένας ἐκάλυψεν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐθάμβεον εἰσαΐοντες.
Ἔνθα τὸ μήκιστον τεράων Μινύεσσιν ἐτύχθη.

Steterunt ſuprà caput propè admodum, relevâruntque
Peplum detractum levi manu, juſſeruntque
Ut et ipſe aſſurgerem, iremque ad vos excitandos.
Ut matri inſuper veſtræ gratam rependerem mercedem
Pro eo quem pertulerit labore, tamdiu nos in alvo geſtans,
Quandocunque ſolverit volubilem Amphitrite
Currum Neptuni. Ego autem non omnino intelligere
Poſſum de hoc vaticinio. Aiebant ſane ſe eſſe
Heroinas, Libyæ vindices filiaſque:
Et quæcunque nos antehac terrâ, quæcunque etiam mari
Perpeſſi ſumus, hæc ſingula ſe cognoſcere profitebantur.
Nec eas amplius in loco vidi, ſed caligo quæpiam
Vel nubes ne per medium apparerent cooperuit.
Sic dixit: illi verò omnes mirati ſunt audientes.
Tunc ſane maximum portentum Minyis oblatum fuit.

1364. Ἔνθα τὸ μήκιστον, &c. Quatuor hic, primum omen, equos in gramine vidi. Æn. III. 537.

Ἐξ ἁλὸς ἠπειρόνδε πελώριος ἔνθορεν ἵππος,
Ἀμφιλαφὴς, χρυσέῃσι μετήορος αὐχένα χαίταις.
Ῥίμφα δὲ σεισάμενος γυίων ἄπο νήχυτον ἅλμην,
Ὦρτο θέειν, πνοιῇ ἴκελος πόδας· αἶψα δὲ Πηλεὺς
Γηθήσας ἑτάροισιν ὁμηγερέεσσι μετηύδα.
Ἅρματα μὲν δὴ φημὶ Ποσειδάωνος ἔγωγε
Ἤδη νῦν ἀλόχοιο φίλης ὑπὸ χερσὶ λελύσθαι·
Μητέρα δ᾽ οὐκ ἄλλην προτιόσσομαι ἠέπερ αὐτὴν
Νῆα πέλειν· ἦ γὰρ κατὰ νηδύος ἄμμε φέρουσα
Νωλεμὲς ἀργαλέοισιν ὀϊζύει καμάτοισιν.
Ἀλλά μιν ἀστεμφεῖ τε βίῃ καὶ ἀτειρέσιν ὤμοις
Ὑψόθεν ἀνθέμενοι, ψαμαθώδεος ἔνδοθι γαίης
Οἴσομεν, ᾗ προτέρωσε ταχὺς πόδας ἤλασεν ἵππος.
Οὐ γὰρ ὅγε ξηρὴν ὑποδύσεται· ἴχνια δ᾽ ἡμῖν
Σημανέειν τιν᾽ ἔολπα μυχὸν καθύπερθε θαλάσσης.

E mari in terram ingens prosiliit equus,
Utrinque comatus, aureis arduus cervicem jubis,
Qui, celeriter excussâ à membris plurimâ salsugine,
Cœpit currere, vento similis pedes. Statim autem Peleus
Lætus socios frequentes allocutus est.
Currus sane Neptuni ego existimo
Jam nunc uxoris dilectæ manibus solutos.
Matrem verò non aliam auguror atque ipsam
Navem esse: reverà enim in utero nos gestans
Continuò ærumnosis ingemit laboribus.
Eam verò firmatis viribus in humeros indomitos
Altè sublatam, arenosam intus terram
Feremus, quà ulterius progressus est pedes velox equus.
Non enim ille terram subibit, vestigia autem nobis
Significatura spero sinum aliquem desuper mare.

1366. Ἀμφιλαφὴς] ἀντὶ τοῦ ποικίλος, ἢ μέγας. ἢ ἀμφοτέρωθεν θριξὶ σκιαζόμενος. Schol.

1367. Νήχυτον] νήχυτος, πολύχυτος. Schol.

1379. Μυχόν. H. Stephanus magis probat μυχῶν.

Ὡς

Ὣς ηὔδα· πάντεσσι δ' ἐπήβολος ἥνδανε μῆτις.
Μουσάων ὅδε μῦθος· ἐγὼ δ' ὑπακουὸς ἀείδω
Πιερίδων, καὶ τήνδε πανατρεκὲς ἔκλυον ὀμφὴν,
Ὑμέας, ὦ πέρι δὴ μέγα φέρτατοι υἷες ἀνάκτων,
Ἧι βίῃ, ἧ ἀρετῇ, Λιβύης ἀνὰ θῖνας ἐρήμους,
Νῆα μεταχθονίην, ὅσα τ' ἔνδοθι νηὸς ἄγεσθε,
Ἀνθεμένους ὤμοισι, φέρειν δυοκαίδεκα πάντα
Ἦμαθ' ὁμοῦ νύκτας τε. Δύην γε μὲν ἢ καὶ ὀϊζὺν
Τίς κ' ἐνέποι, τὴν κεῖνοι ἀνέτλησαν μογέοντες;
Ἔμπεδον ἀθανάτων ἔσαν αἵματος, οἷον ὑπέσταν
Ἔργον, ἀναγκαίῃ βεβιημένοι· αὐτὰρ ἐπιπρὸ
Τῆλε μάλ' ἀσπασίως Τριτωνίδος ὕδασι λίμνης

Sic locutus est: omnibus verò in quod incidit placuit consilium.
Musarum hic est sermo: Ego verò subminister cano
Pieridum, et hanc pro certo omnino audivi famam,
Vos, ô eximiè admodum præstantes filii regum,
Robore vestro et virtute, Libyæ per tumulos desertos
Navem sublimem, et quæcunque in navi vexistis,
Humeris imposita portâsse duodecim integros
Dies simul noctesque. Quis verò ærumnam, quis miseriam
Dicendo assequatur quam illi sustinuerunt laborantes?
Verè equidem ex immortalium sanguine sati sunt, tale sustinuerunt
Opus, necessitate coacti. Ut verò longiùs
Procul admodum lubenter Tritoniæ ad aquas paludis

1380. Ἐπήβολος] ἐπιβάλλουσα, ἐπιτυχής. Schol.

1381. Μουσάων ὅδε μῦθος] καθὰ πέπλασται, φησίν. Μουσάων ὅδε μῦθος. Ἐγὼ δ' ὑπηρέτης τῶν Μουσῶν. ἐμπιστεύομαι γὰρ πρὸς αὐτῶν, ὥστε διηγήσασθαι. Schol.

1384. Θῖνας] τοὺς τῆς ψάμμου σωρούς. Schol.

Ibid. Ἧι βίῃ ἧ ἀρετῇ, &c. Si jure reprehendi possit Virgilius quòd naves in Nymphas mutatas, et Didonis comam ab Iride abscissam memoraverit, utpote quæ vel ipsis poetis propter incredibilitatem non concessa, timeo sane Apollonio, qui nullum Deum Argonautis in re tam arduâ opitulantem introduxit (dignus enim hic est nodus Deo vindice) sed tantum eos facinus *sua vi suaque virtute* patrâsse narravit. Rem tamen mitigat dicendo Μουσάων ὅδε μῦθος, et paulo post, ἔμπεδον ἀθανάτων, &c. Upt.

Ὣς φέρον, ὥς εἰσβάντες ἀπὸ στιβαρῶν θέσαν ὤμων.
Λευγαλέοις δ' ἤπειτ' ἴκελοι κυσὶν ἀΐσσοντες,
Πίδακα μαστεύεσκον· ἐπὶ ξηρὴ γὰρ ἔκειτο
Δίψα δυηπαθίῃ τε καὶ ἄλγεσιν· οὐδ' ἐμάτησαν
Πλαζόμενοι· ἷξον δ' ἱερὸν πέδον, ᾧ ἔνι Λάδων

Portaverant, ibi ingreſſi à robuſtis depoſuerunt humeris.
Rabidis deinde canibus ſimiles incitati
Fontem quærebant (adjiciebatur enim arida
Sitis ærumnis doloribuſque:) nec perdiderunt operam
Errantes, ſed ad ſacrum venerunt campum, in quo Ladon

1394. In Flor. legitur —— ἐπὶ ξηρῇ γὰρ ἔκειτο

Δίψη δυηπαθίῃ τε, &c. Eadem lectio in Ald. niſi quod ἔκειτο ibi ſcriptum eſt. At in Pariſina legitur

—— ἐπεὶ ξηρῇ γὰρ ἔκειτο

Δίψα, &c. Equidem lectione Florentina melior hìc eſt Aldina, utraque melior Pariſina. Sed et Pariſina meliorem haberemus, ut opinor, ſi ſcriberemus

—— ἐπὶ ξηρὴ γὰρ ἔκειτο

Δίψα, &c. Ut ξηρὴ eſſet nominativus qui jungeretur cum δίψα, ut Latini poëtæ *ſitim aridam* dicunt. Præpoſitionem autem ἐπὶ jungo cum ἔκειτο. Steph.

1396. Ὧ ἔνι Λάδων] τὸν δράκοντα Λάδωνα ἐκάλουν. τοῦτον δὲ Πείσανδρος ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι. Ἡσίοδος δὲ ἐκ Τυφῶνος φησίν. Ἀγροίτας δὲ ἐν γ Λιβυκῶν, φησὶ μὴ μῆλα εἶναι, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη. ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ὠνομάσθαι. Φερεκύδης ἐν δεκάτῳ τῆς Ἥρας γαμουμένης φησὶ τὴν γῆν ἀναδοῦναι ἐν τῷ ὠκεανῷ μῆλα χρυσᾶ, ἢ μηλέας χρυσοῦν καρπὸν φερούσας. φυλάττειν δὲ αὐτὰ δράκοντα τὸν Τυφῶνος καὶ Ἐχίδνης, ἔχοντα κεφαλὰς ἑκατὸν, καὶ φωνὰς παντοίας, καὶ ὅτι αἱ Νύμφαι αἱ Διὸς καὶ Θέμιδος οἰκοῦσαι ἐν σπηλαίῳ περὶ τὸν Ἠριδανὸν, ὑπέθεντο Ἡρακλεῖ ἀπορέοντι, μαθεῖν παρὰ Νηρέως ποῦ ἂν εἴη τὰ χρύσεα μῆλα. λαβεῖν δὲ αὐτὸν βίᾳ, πρῶτον μὲν μεταμορφούμενον εἰς ὕδωρ καὶ πῦρ· εἶτα ἐς παλαιὰν ὄψιν καταστάντα, δηλῶσαι τὸν τόπον. ὁ δὲ ἔρχεται οὕτως ἐπὶ τὰ χρυσᾶ μῆλα. ἀφικόμενος δὲ εἰς Ταρτησσὸν, πορεύεται εἰς Λιβύην, ἔνθα ἀναιρεῖ Ἀνταῖον Ποσειδῶνος, ὑβριστὴν ὄντα. εἶτα ἀφικνεῖται ἐπὶ τὸν Νεῖλον εἰς Μέμφιν, παρὰ Βούσιριν τὸν Ποσειδῶνος· ὃν κτείνει, καὶ τὸν παῖδα αὐτοῦ Ἰφιδάμαντα, καὶ τὸν κήρυκα Χάλβην, καὶ τοὺς ὀπάονας, πρὸς τῷ βωμῷ τοῦ Διὸς, ἔνθα ἐξενοκτόνει. ἀφικόμενος δὲ εἰς Θήβας, καὶ διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω Λιβύην, ἣς ἐν τοῖς ἐρήμοις πολλὰ τῶν θηρίων τοξεύων ἀναιρεῖ. καθήρας δὲ τὴν Λιβύην, κατίσῃ ἐπὶ τὴν θάλασσαν τὴν ἔξω κειμένην· καὶ λαβὼν χρυσοῦν δέπας παρὰ ἡλίου, διαβαίνει ἐν αὐτῷ εἰς Περγην, διά τε τῆς ἔξω τῆς γῆς θαλάσσης, καὶ διὰ τοῦ ὠκεανοῦ πλέων. ἐπελθὼν δὲ παρὰ Προμηθέα, καὶ ὀφθεὶς ὑπ' αὐτοῦ, οἰκτείρας αὐτὸν ἱκετεύοντα· καὶ κτείνει τὸν ἀετὸν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιε. τοξεύσας προσπετόμενον. ἀντὶ δὲ τούτου Προμηθεὺς μὴ ἀπιέναι ἐπὶ τὰ μῆλα ὑποτίθεται· ἐλθόντα δὲ πρὸς Ἄτλαντα, κελεύειν ἐνεγκεῖν αὐτῷ καὶ ἀντὶ τοῦ Ἄτλαντος αὐτὸν ἀνέχειν τὸν οὐρανὸν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων. Ἡρακλῆς δὲ ἀκούσας ἔρχεται πρὸς Ἄτλαντα, καὶ κελεύει αὐτὸν ἐνεγκεῖν

Εἰσέτι

Εἰσέτι που χθιζὸν παγχρύσεα ῥύετο μῆλα
Χώρῳ ἐν Ἄτλαντος, χθόνιος ὄφις· ἀμφὶ δὲ Νύμφαι
Ἑσπερίδες ποίπνυον ἐφίμερον ἀείδουσαι.
Δὴ τότε γ' ἤδη κεῖνος ὑφ' Ἡρακλῆϊ δαϊχθεὶς,
Μήλειον βέβλητο ποτὶ στύπος· οἰόθι δ' ἄκρη
Οὐρῇ ἔτι σκαίρεσκεν· ἀπὸ κρατὸς δὲ κελαινὴν
Ἄχρις ἐπ' ἄκνηστιν κεῖτ' ἄπνοος· ἐκ δὲ λιπόντων
Ὕδρης Λερναίης χόλον αἵματι πικρὸν οἰστῶν
Μυῖαι πυθομένοισιν ἐφ' ἕλκεσι τερσαίνοντο.

In hodiernum uſque aurea cuſtodiit mala,
In Atlantis regione, terreſtris ſerpens; circà autem Nymphæ
Heſperides ei miniſtrabant amabiliter canentes:
Ille verò modò ab Hercule interfectus
Pomarium percuſſus eſt ad truncum: ſolùm autem ſumma
Cauda adhuc palpitabat, à capite verò uſque ad nigram
Spinam jacebat exanimis, et è linquentibus
Hydræ Lernææ bilem cruore amaram ſagittis
Muſcæ putreſcentia ad vulnera ſiccabant.

τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων, τρία λαβόντα· διηγησάμενος τὸν ἆθλον. δὺς δὲ Ἄτλας ἐπὶ τῶν ὤμων Ἡρακλεῖ τὸν οὐρανὸν, καὶ ἐλθὼν πρὸς τὰς Ἑσπερίδας, δεξάμενος παρ' αὐτῶν τὰ μῆλα, ἐλθών τε πρὸς τὸν Ἡρακλέα, τὰ μὲν μῆλα αὐτός φησιν ἀποίσειν Εὐρυσθεῖ, τὸν δὲ οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἔχειν ἀντ' αὐτοῦ. ὁ δὲ Ἡρακλῆς ὑποσχόμενος, δόλῳ ἀντεπέθηκεν αὐτὸν τῷ Ἄτλαντι. ἦν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεὺς ὑποθέμενος, κελεύειν δέξασθαι τὸν οὐρανὸν, ἕως οὗ σπεῖραν ἐπὶ τὴν κεφαλὴν ποιήσηται· ὁ δὲ καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν, ὑποδέχεται τὸν οὐρανόν. Ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα, χαίρειν εἰπὼν τῷ Ἄτλαντι, ἀπέρχεται εἰς Μυκήνας παρ' Εὐρυσθέα, καὶ δεικνύει αὐτῷ ταῦτα. Schol.

Ibid. Λάδων. Ad explicandam hanc fabulam multum ſtudii adhibuit Spanhemius in Call. Cer. v. 11. Talis autem eſt explicatio, qualem a Spanhemii induſtriâ et ingenio jure expectares: eum igitur, ſi placet, conſule.

1399. Ἑσπερίδες ποίπνυον] ἀπὸ τοῦ ἑσπέρας ἐπιφαίνεσθαι· ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑσπερίᾳ κατοικεῖν· ἦσαν δὲ Φόρκυος καὶ Κητοῦς αἱ Ἑσπερίδες. ἀπὸ μιᾶς δὲ αὐτῶν ἐρύθεια ἡ νῆσος, ἣν κατῴκει Γηρυονεὺς, ἔχων κύνα Ὄρθον, ἀδελφὸν Κερβέρου, ὃν Ἡρακλῆς ἀπέκτεινεν. οἱ δὲ Ἄτλαντος λέγουσιν εἶναι τὴν κύνα. Schol.

Ibid. Ὄρθον. Vide Serv. ad Æn. VII. 662. et Pind. Schol. ad Iſth. I. 15.

1401. Στύπος] τὸ στέλεχος. Schol.

Ibid. Μήλειον. Flor. μάλειον.

1404. Χόλον] ἀντὶ τοῦ τὴν χολήν. Ὅμηρος. "χόλον ἄρα σ' ἔτρεφε." Schol.

1405. Πυθομένοισιν] ἀντὶ τοῦ σηπομένοις. καὶ τὸ πύον ἐντεῦθεν φασὶ λέγεσθαι

Ἀγχοῦ

Ἀγχοῦ δ' Ἑσπερίδες, κεφαλαῖς ἔπι χεῖρας ἔχουσαι
Ἀργυφέας ξανθῇσι, λίγ' ἔστενον· οἱ δὲ πέλασαν
Ἄφνω ὁμοῦ· ταὶ δ' αἶψα κόνις καὶ γαῖα, κιόντων
Ἐσσυμένως ἐγένοντο καταυτόθι· νώσατο δ' Ὀρφεὺς
Θεῖα τέρα· τὰς δέ σφι παρηγορέεσκε λιτῇσι.
Δαίμονες ὦ καλαὶ καὶ εὔφρονες ἵλατ' ἄνασσαι·
Εἴτ' οὖν οὐρανίαις ἐναρίθμιοι ἐστὲ θεῇσιν,
Εἴτε καταχθονίαις· εἴτ' οἰοπόλοι καλέεσθε
Νύμφαι· ἴτ' ὦ Νύμφαι, ἱερὸν γένος ὠκεανοῖο,
Δείξατ' ἐελδομένοισιν ἐνωπαδὶς ἄμμι φανεῖσαι,
Ἤ τινα πετραίην χύσιν ὕδατος, ἤ τινα γαίης
Ἱερὸν ἐκβλύοντα, θεαί, ῥόον, ᾧ ἀπὸ δίψαν
Αἰθομένην ἄμοτον λωφήσομεν· εἰ δέ κεν αὖθις

Propè autem Heſperides capitibus manus imponentes
Niveas flavis ſtridulè ingemebant; hi autem appropinquârunt
Repentê ſimul: illæ in pulverem et terram, ſimul acceſſerunt,
Punɫo ibi vanuerunt: at agnovit Orpheus
Divina monſtra; illaſque ſuis allocutus eſt precibus.
Divæ ô pulchræ et benevolæ propitiæ eſtote reginæ,
Sive cœleſtibus annumeratæ eſtis deabus,
Sive terreſtribus; ſeu deſerti cultrices vocamini
Nymphæ; agite, Nymphæ, ſacrum Oceani genus,
Oſtendite, quandoquidem deſiderantibus nobis in conſpectum veneritis,
Vel aliquam ſaxeam aquæ ſcatebram, vel è terrâ aliquem
Sacrum ebullientem, ô Deæ, fontem, quo ſitim
Ardentem inſatiabiliter compeſcamus. Quòd ſi iterum

Μύκλος ὁ Νεαπολίτης. ἔστι γὰρ τοῦτο στενωπὸς οἶμος. καὶ ἡ Πυθὼ δὲ, κατά τινας, ἢ ἀπὸ τοῦ πευστικῶς ἔχοντας ἐπὶ τοὺς χρησμοὺς ἔρχεσθαι. ἢ καὶ ἀπὸ παιδός τινος Πυθικῆς, ᾗ ὄνομα Πυθὶς, θυγατρὸς Δελφοῦ. Schol.

1409. Ἐσσυμένως ἐγένοντο] διὰ τούτου σημαίνει, ὅπως ἀφανεῖς ἐγένοντο. Schol.

1412. Εἴτ' οὖν οὐρανίαις] τοῦτό φησιν, ὅτι τῶν Νυμφῶν αἱ μέν εἰσιν οὐράνιαι· αἱ δὲ, ἐπίγειοι· αἱ δὲ, ποτάμιοι· αἱ δὲ λιμναῖαι· αἱ δὲ, θαλάσσιαι. καθόλου δὲ τὸ τῶν Νυμφῶν γένος εἰς πολλὰ διῄρηται, ὥς φησι Μνησίμαχος ὁ Φασηλίτης ἐν διακόσμοις. Schol.

1415. Ἐνωπαδὶς] κατ' ὄψιν. φανερῶς. Schol.

1418. Λωφήσομεν] ἀντὶ τοῦ παύσομεν. κυρίως δὲ λέγεται λωφῆσαι, τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποβαλέσθαι. λόφος γὰρ ὁ τράχηλος. Schol.

Δή

Δή ποτ' Ἀχαιΐδα γαῖαν ἱκώμεθα ναυτιλίῃσι,
Δὴ τότε μυρία δῶρα μετὰ πρώτῃσι θεάων,
Λοιβάς τ' εἰλαπίνας τε παρέξομεν εὐμενέοντες.
Ὣς φάτο λισσόμενος ἀδινῇ ὀπί· ταὶ δ' ἐλέαιρον
Ἐγγύθεν ἀχνυμένους· καὶ δὴ χθονὸς ἐξανέτειλαν
Ποίην πάμπρωτον· ποίης γε μὲν ὑψόθι μακροὶ
Βλάστεον ὅρπηκες· μετὰ δ' ἔρνεα τηλεθάοντα
Πολλὸν ὑπὲρ γαίης ὀρθοσταδὸν ἠέξοντο.
Ἑσπέρη, αἴγειρος· πτελέη δ' Ἐρυθηῒς ἔγεντο,
Αἴγλη δ' ἰτέης ἱερὸν στύπος· ἐκ δέ νυ κείνων
Δενδρέων, οἷαι ἔσαν, τοῖαι πάλιν ἔμπεδον αὔτως
Ἐξέφανεν, θάμβος περιώσιον. Ἔκφατο δ' Αἴγλη,
Μειλιχίοις ἐπέεσσιν ἀμειβομένη χατέοντας.
Ἦ ἄρα δὴ μέγα πάμπαν ἐφ' ὑμετέροισιν ὄνειαρ
Δεῦρ' ἔμολεν καμάτοισιν ὁ κύντατος, ὅς τις ἀπούρας

Aliquando Achaiam terram attingamus navigio,
Tunc ſane vobis infinita dona, inter primas deas,
Libaminaque et ſacrificales epulas perlubenter allaturi ſumus.
Sic dixit precans flebili voce: illæ verò miſeratæ ſunt
De propè triſtatos; et è terrâ produxerunt
Herbam primùm; herbæ verò in alto longè
Egerminabant rami: poſtea verò germina virentia
Longè admodum ſuprà terram erectè ſurgebant.
Heſpera fiebat populus, Erytheis ulnus,
Ægle autem, ſalicis ſacer ſtipes; et ex illis
Arboribus, quales *antea* erant, tales iterum verè omnino
Apparuerunt, ſpectaculum maximè mirandum: elocuta autem eſt Ægle,
Blandis verbis reſponſum dans deſiderantibus.
Magno ſanè omnino veſtris adjumento
Huc adfuit laboribus impudentiſſimus ille, qui, poſtquam ſpoliaverat

1421. Εἰλαπίνας] τὰς θυσίας λέγει. Schol.

1422. Ἀδινῇ ὀπὶ] ἀδινὴν ὄπα, τὴν ... τος. Schol.

ἀδινῇ, διὰ τὴν δίψαν. Schol.

1433. Κύντατος] ὁ χείριστος, καὶ ἐχα-

Φρουρὸν

Φρουρὸν ὄφιν ζωῆς, παγχρύσεα μῆλα θεάων
Οἴχετ' ἀειράμενος· στυγερὸν δ' ἄχος ἄμμι λέλειπται.
Ἦλυθε γὰρ χθιζός τις ἀνὴρ ὀλοώτατος ὕβριν
Καὶ δέμας· ὄσσε δέ οἱ βλοσυρῷ ὑπέλαμπε μετώπῳ·
Νηλής· ἀμφὶ δὲ δέρμα πελωρίου ἕστο λέοντος
Ὠμὸν, ἀδέψητον· στιβαρὸν δ' ἔχεν ὄζον ἐλαίης,
Τόξα τε, τοῖσι πέλωρ τόδ' ἀπέφθισεν ἰοβολήσας.
Ἦλυθε δ' οὖν κἀκεῖνος, ἅτε χθόνα πεζὸς ὁδεύων
Δίψῃ καρχαλέος· παίφασσε δὲ τόνδ' ἀνὰ χῶρον
Ὕδωρ ἐξερέων, τὸ μὲν οὔποθι μέλλεν ἰδέσθαι.
Ἧιδε δέ τις πέτρη Τριτωνίδος ἐγγύθι λίμνης·
Τὴν ὅγ' ἐπιφρασθεὶς, ἢ καὶ θεοῦ αἰνεσίῃσι,
Λὰξ ποδὶ τύψεν ἔνερθε· τὸ δ' ἀθρόον ἔβλυσεν ὕδωρ·
Αὐτὰρ ὅγ' ἄμφω χεῖρε πέδῳ καὶ στέρνον ἐρείσας,
Ῥωγάδος ἐκ πέτρης πίεν ἄσπετον, ὄφρα βαθεῖαν
Νηδὺν φορβάδι ἶσος ἐπιπροπεσὼν ἐκορέσθη.

Vitâ custodem serpentem, aureis malis dearum
Abiit asportatis: tristis autem dolor nobis relictus est.
Hesternus enim venit vir aliquis insigniter immanis injuriâ
Et corpore, cujus oculi truculento sub fronte sublucebant,
Immitis, pelle amictus ingentis leonis
Crudâ, nondum â coriario curatâ, validumque gestans ramum olivæ,
Sagittasque quibus monstrum illud confecit jaculatus.
Venit autem et ille tanquam per terram pedes iter faciens,
Siti aridus; pervestigabatque hunc agrum
Aquam quærens, quam tamen nusquam visurus erat.
Hâc autem rupes est quædam Tritoniam propè paludem
Quam ille compertam, forsan et Dei suasu,
Calce pedis imam pulsavit; ipsaque ubertim ebullivit aqua.
Ille verò utrâque manu et pectore in humum nisus,
Ruptâ ex petrâ bibit largissimè, donec profundum
Ventrem, bovi similis procumbens, satiatus est.

1442. Παίφασσε] παίφασσεν, ἐψηλάφα. ἢ, ἀντὶ τοῦ ἐνθουσιωδῶς ἐφίετο. Schol.

1444. Ἧιδε δέ. Gall. Ἦν δ' ἄρα.

Ὣς φάτο· τοὶ δ' ἀσπαστὸν, ἵνα σφίσι πέφραδεν Αἴγλη
Πίδακα, τῇ θέον αἶψα κεχαρμένοι, ὄφρ' ἐπέκυρσαν.
Ὡς δ' ὁπότε στεινὴν περὶ χηραμὸν εἱλίσσονται
Γειομόροι μύρμηκες ὁμιλαδὸν, ἢ ὅτε μυῖαι
Ἀμφ' ὀλίγην μέλιτος γλυκεροῦ λίβα πεπτηυῖαι
Ἄπληκτον μεμάασιν ἐπήτριμοι· ὣς τότ' ἀολλεῖς
Πετραίῃ Μινύαι περὶ πίδακι δινεύεσκον.
Καί πού τις διεροῖς ἐπὶ χείλεσιν εἶπεν ἰανθείς.
Ὢ πόποι, ἦ καὶ νόσφιν ἐὼν ἐσάωσεν ἑταίρους
Ἡρακλέης δίψῃ κεκμηκότας· ἀλλά μιν εἴπως
Δήοιμεν στείχοντα δι' ἠπείροιο κιόντες.
Ἦ· καὶ ἀμειβομένων, οἵ γ' ἄρμενοι ἐς τόδε ἔργον
Ἔκριθεν, ἄλλυδις ἄλλος ἐπαΐξας ἐρέεινον.
Ἴχνια γὰρ νυχίοισιν ἐπηλίνδητ' ἀνέμοισι

Sic dixit: illi, optatum ubi ipsis ostenderat Ægle
Fontem, ibi statim cucurrerunt læti, donec attigerant.
Sicut autem angustam circa fissuram versantur
Laboriosæ formicæ catervatim, aut sicut muscæ
Circa exiguam mellis dulcis guttam volantes,
Impercussæ cum studio feruntur densæ, sic tunc frequentes
Petricosum Minyæ circa fontem versabantur.
Et fortè aliquis humidis labris dixit exhilaratus,
Papæ, etiam seorsim existens servavit socios
Hercules siti laborantes: quid si et ipsum aliquo modo
Inveniamus incedentem per terram profecti?
Dixit, et collatis sermonibus, qui apti ad hoc negotium
Electi sunt, aliò alius prorumpens investigârunt.
Vestigia enim nocturnis obscurata erant ventis,

1452. Χηραμὸν] Χηραμὸς, ἡ τῶν μυρμήκων κατάδυσις. Γειομόροι, οἱ περὶ τὴν γῆν κακοπαθοῦντες. Schol.

Ibid. Ὡς δ' ὁπότε στεινὴν, &c.

Ac veluti ingentem formicæ farris acervum
Cum populant, &c.
Æn. IV. 402.

1454. Λίβα] λέγει τὴν σταγόνα. ἡ εὐθεῖα λίψ, ἀρσενικῶς. Schol.

1460. Δήοιμεν] εὕροιμεν. Schol.

1462. Ἐρέεινον. Ald. ἐρέεινεν.

1463. Ἐπηλίνδητ'] ἐπηλίνδετο, ἐκεκάλυπτο. Schol.

Ibid. Ἐπηλίνδητ'. Ald. ἐπηλίνδετ', et sic Flor. et Steph. sed ἀμέτρως.

Κινυμένης ἀμάθου. Βορέαο μὲν ὡρμήθησαν
Υἷε δύω, πτερύγεσσι πεποιθότε· ποσσί τε κούφοις
Εὔφημος πίσυνος, Λυγκεύς γε μὲν ὀξέα τηλοῦ
Ὄσσε βαλεῖν· πέμπτος δὲ μετὰ σφίσιν ἔσσυτο Κάνθος.
Τὸν μὲν ἄρ' αἶσα θεῶν κείνην ὁδὸν ἠνορέη τε
Ὦρσεν, ἵν' Ἡρακλῆος ἀπηλεγέως πεπύθοιτο,
Εἰλατίδην Πολύφημον ὅπη λίπε· μέμβλετο γάρ οἱ
Οὗ ἕθεν ἀμφ' ἑτάροιο μεταλλῆσαι τὰ ἕκαστα.
Ἀλλ' ὁ μὲν οὖν Μυσοῖσιν ἐπικλεὲς ἄστυ πολίσσας,
Νόστου κηδοσύνῃσιν ἔβη διζήμενος Ἀργὼ
Τῆλε δι' ἠπείροιο· τέως δ' ἐξίκετο γαῖαν
Ἀγχιάλων Χαλύβων· τόθι μιν καὶ μοῖρ' ἐδάμασσε·
Καί οἱ ὑπὸ βλωθρὴν ἀχερωΐδα σῆμα τέτυκται
Τυτθὸν ἁλὸς προπάροιθεν. Ἀτὰρ τότε γ' Ἡρακλῆα

Commotâ arenâ: Boreæ quidem proruerunt
Filii gemini, alis confisi, levibusque pedibus
Euphemus fiduciam collocans; nec non Lynceus acutos procul
Oculos mittere *peritus*; cum quibus quintus irruit Canthus.
Hunc quidem fatum Deorum illam in viam, *suaque* fortitudo
Impulit, ut ab Hercule intrepidè percontaretur
Ubinam Polyphemum Elati reliquerat: curæ enim ei erat
De suo ipsius socio inquirere singula.
Verùm ille postquam Mysis inclytam urbem condidisset,
Præ anxiâ reditus curâ aberravit quærens Argo
Procul per terram, usque dum pervenisset ad regionem
Maritimorum Chalybum, ubi et ipsum domuit fatum.
Illique procerâ sub populo monimentum factum est
Paululum ante mare. Cæterùm Herculem

Stephanus putat scribendum ἐπηλίνδοιτ'. Notat Hœlzlinus in exemplari Joachimi Camerarii, summi Germaniæ literatæ viri, manu ipsius esse correctum ἐπηλίνδητ'. Ut autem propius absit à vulgato et Scholiaste scripto, legendum censet ἐπηλινδεῖτ'.

1470. Εἰλατίδην Πολύφημον] Πολύφημος ἐν Μυσίᾳ καταλειφθεὶς ἔκτισε πόλιν Κίον, τὴν οὕτως ὀνομασθεῖσαν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. μέχρι δὲ πρὸς Χάλυβας οὗτος ἐτελεύτησεν, ὥς φησι Νυμφόδωρος. ὅτι δὲ τὴν Κίον ἔκτισεν, εἴρηκεν αὐτὸ Χάρις ἐν πρώτῳ χρόνων. Schol.

1471. Οὗ ἕθεν] ἑαυτοῦ. Schol.

Μοῦνον

Μοῦνον ἀπειρεσίης τηλοῦ χθονὸς εἴσατο Λυγκεὺς
Τὼς ἰδέειν, ὥς τίς τε νέῳ ἐνὶ ἤματι μήνην
Ἢ ἴδεν ἢ ἐδόκησεν ἐπαχλύουσαν ἰδέσθαι.
Ἐς δ' ἑτάρους ἀνιὼν μυθήσατο, μή μιν ἔτ' ἄλλον
Μαστῆρα στείχοντα κιχησέμεν· οἱ δὲ καὶ αὐτοὶ
Ἤλυθον, Εὔφημός τε πόδας ταχὺς, υἱέ τε δοιὼ
Θρηϊκίου Βορέω, μεταμώνια μοχθίζοντες.
Κάνθε, σὲ δ' οὐλόμεναι Λιβύῃ ἔνι κῆρες ἕλοντο.
Πώεσι φερβομένοισι συνήντεες, εἵπετο δ' ἀνὴρ
Αὐλείτης, ὅς σῶν μήλων πέρι, τόφρ' ἑτάροισι
Δευομένοις κομίσειας, ἀλεξόμενος κατέπεφνε,
Λᾶϊ βαλών· ἐπεὶ οὔ μιν ἀφαυρότερός γ' ἐτέτυκτο
Υἱωνὸς Φοίβοιο Λυκωρείοιο Κάφαυρος·

Solum immensâ procul à terrâ videbatur Lynceus
Sic videre, quemadmodum aliquis novo in die lunam
Vel vidit, vel se putavit obnubilatam videre.
Ad socios autem reversus dixit, nullum eum alium
Quæsitorem euntem assecuturum: illi etiam ipsi
Revenerunt, Euphemusque pedibus velox, filiique gemini
Thracii Boreæ, frustrà laborantes.
At te, ô Canthe, tristia in Libyâ corripuerunt fata.
Greges aggrediebaris pascentes; insequebatur autem vir
Villanus, qui ab ovibus suis, dum ad socios
Indigentes portares, vim propellens, te interfecit
Lapide percussum: non enim ipso imbecillior erat
Nepos Apollinis Delphici Caphaurus,

1479. Τὼς ἰδέειν, &c.

*——qualem primo qui surgere mense*
*Aut videt aut vidisse putat per nubila lunam.*
Æn. VI.

1487. Αὐλείτης] ὁ ἀπὸ τῆς ἐπαύλεως. ὁ ἄγροικος. ἔστι δὲ παρὰ τὴν αὔλιν τὸ ὄνομα. Schol.

1490. Λυκωρείοιο] ἀντὶ τοῦ Δελφικοῦ. οἱ γὰρ Δελφοὶ τὸ πρῶτον Λυκωρεῖς ἐκαλοῦντο, ἀπό τινος κώμης Λυκωρείας. Schol.

Ibid. — Φοίβοιο Λυκωρείοιο. Vide Call. Apoll. 19, et ibi interpretes: præcipuè verò Span.

Κούρης τ' αἰδοίης Ἀκακαλλίδος· ἥν ποτε Μίνως
Ἐς Λιβύην ἀπένασσε, θεοῦ βαρὺ κῦμα φέρουσαν,
Θυγατέρα σφετέρην· ἡ δ' ἀγλαὸν υἱέα Φοίβῳ
Τίκτεν, ὃν Ἀμφίθεμιν Γαράμαντά τε κικλήσκουσιν.
Ἀμφίθεμις δ' ἄρ' ἔπειτα μίγη Τριτωνίδι Νύμφῃ.
Ἡ δ' ἄρα οἱ Νασάμωνα τέκε, κρατερόν τε Κάφαυρον,
Ὃς τότε Κάνθον ἔπεφνεν ἐπὶ ῥήνεσσιν ἑοῖσιν.
Οὐδ' ὅγ' ἀριστήων χαλεπὰς ἠλεύατο χεῖρας,
Ὡς μάθον οἷον ἔρεξε· νέκυν δ' ἀνάειραν ὀπίσσω
Πυθόμενοι Μινύαι, γαίῃ δ' ἐνὶ ταρχύσαντο
Μυρόμενοι· τὰ δὲ μῆλα μετὰ σφέας οἵγ' ἐκόμισσαν.
Ἔνθα καὶ Ἀμπυκίδην αὐτῷ ἐνὶ ἤματι Μόψον
Νηλειὴς ἕλε πότμος· ἀδευκέα δ' οὐ φύγεν αἶσαν
Μαντοσύναις· οὐ γάρ τις ἀποτροπίη θανάτοιο.

Puellæque venerandæ Acacallidis; quam quondam Minos
In Libyam relegavit, Deo gravem fœtum gerentem,
Filiam suam: illa verò præclarum filium Phœbo
Peperit, quem Amphithemim Garamantaque vocant.
Amphithemis deinde mistus est cum Tritonide Nymphâ,
Quæ ei Nasamonem peperit, fortemque Caphaurum,
Qui tunc Canthum interemit, ovium suarum causâ.
Nec autem ille procerum infestas vitavit manus,
Ubi compererant quale patravit facinus: cadaver verò sustulerunt
Requisitum Minyæ, ac terrâ sepeliverunt
Lugentes; oves verò ad se ipsi abegerunt.
Ibi et Ampyci filium eodem die Mopsum
Crudele rapuit fatum; nec acerbam potuit sortem effugere
Vaticinandi arte: nulla enim est depulsio mortis.

1492. Κῦμα] ἀντὶ τοῦ κύημα, κατὰ συγκοπήν. Ἀλέξανδρος δὲ ἐν πρώτῳ Κρητικῶν τῇ Ἀκακαλλίδι συνελθεῖν φησὶ τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα· καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον· ἐκ δὲ Ἑρμοῦ Κύδωνα. ἀφ' οὗ ἡ πόλις Κυδωνία καλεῖται ἐν Κρήτῃ. Schol.

1494. Ὃν Ἀμφίθεμιν] τὸν δὲ Ἀκακαλλίδος υἱὸν, Ἀμφίθεμιν καὶ Γαράμαντα κληθῆναί φησιν. Ἄδηλον δὲ πότερον ἀπὸ τοῦ Γαράμαντος τούτου οἱ ἐν τῇ Λιβύῃ Γαράμαντες ὠνομάσθησαν· ἢ οὗτος ἀπὸ τοῦ ἔθνους. ἔστι δὲ καὶ ναὸς παρ' αὐτοῖς, καὶ Γαράμας μνημονεύει τοῦ ἔθνους. Schol.

Κεῖτο δ' ἐπὶ ψαμάθοισι μεσημβρινὸν ἦμαρ ἀλύσκων,
Δεινὸς ὄφις· νωθὴς μὲν ἑκὼν ἀέκοντα χαλέψαι·
Οὐδ' ἂν ὑποτρέσαντος ἐνωπαδὶς ἀΐξειεν·
Ἀλλά κεν ᾧ τὰ πρῶτα μελάγχιμον ἰὸν ἐνείη
Ζωόντων, ὅσα γαῖα φερέσβιος ἔμπνοα βόσκει,
Οὐδ' ὁπόσον πηχυῖον ἐς Ἄϊδα γίγνεται οἶμος.
Οὐδ' ἢν Παιήων (εἴ μοι θέμις ἀμφαδὸν εἰπεῖν)
Φαρμάσσῃ, ὅτε μοῦνον ἐνιχρίμψῃσιν ὀδοῦσιν.
Εὖτε γὰρ ἰσόθεος Λιβύην ὑπερέπτατο Περσεὺς
Εὐρυμέδων (καὶ γὰρ τὸ κάλεσκέ μιν οὔνομα μήτηρ)
Γοργόνος ἀρτίτομον κεφαλὴν βασιλῆϊ κομίζων,

Jacebat autem in arenis meridianum diem vitans
Horribilis ſerpens, tardus quidem volens nolentem lædere;
Nec contrà manifeſtè fugientem impetum feciſſet:
Sed cuicunque primùm atrum virus immiſerat
Animalium, quotcunque tellus frugifera nutrit ſpirantia,
Ei ne cubitum quidem longa ad Orcum fit via:
Nec ſi vel Pæon (liceat modò mihi vera loqui)
Medicamenta adhibuerit, ſi ſolummodò attigerit dentibus.
Quando enim Deo par Libyam ſupervolabat Perſeus
Eurymedon, (nam et hoc eum nomine vocabat mater)
Gorgonis nuper reciſum caput aſportans regi,

1513. Εὖτε γὰρ. Hinc Ovid. Met. IV. 614.

Viperei referens ſpolium memorabile monſtri
Aëra carpebat tenerum ſtridentibus alis.
Cumque ſuper Libycas victor penderet arenas,
Gorgonii capitis guttæ cecidere cruentæ,
Quas humus exceptas varios animavit in angues:
Unde frequens illa eſt infeſtaque terra colubris.

Et Miltonus noſtras,

*Not ſo thick ſwarm'd once the Soil*
*Bedropt with blood of Gorgon.*

1515. Γοργόνος ἀρτίτομον] Περσέως ἐν Σερίφῳ μετὰ τῆς μητρὸς διάγοντος παρὰ Δικτυϊ, καὶ ἡβήσαντος, Πολυδέκτης ὁ Δίκτυος ὁμομήτριος ἀδελφὸς, βασιλεὺς Σερίφου τυγχάνων, ἰδὼν τὴν Δανάην, ἠράσθη αὐτῆς, ἠπόρει δὲ συγκοιμηθῆναι· καὶ παρασκευάσας ἄριστον, ἐκάλει ἄλλους τε πολλὰς καὶ αὐτὸν Περσέα. Περσέως δὲ πυνθομένου ἐπὶ τίνι ὁ ἔρανος εὐωχεῖται· τοῦ δὲ φήσαντος, ἐπὶ ἵππῳ, Περσεὺς εἶπεν,

Ὅσαι

Ὅσσαι κυανέης στάγες αἵματος οὖδας ἵκοντο,
Αἳ πᾶσαι κείνων ὀφίων γένος ἐβλάστησαν.
Τῷ δ' ἄκρην ἐπ' ἄκανθαν ἐνεστηρίξατο Μόψος
Λαιὸν ἐπιπροφέρων ταρσὸν ποδός· αὐτὰρ ὁ μέσσην
Κερκίδα καὶ μυῶνα πέριξ ὀδύνῃσιν ἑλιχθεὶς

Quotquot atri guttæ cruoris attigerant ſolum,
Illæ omnes iſtorum genus ſerpentum pullulârunt.
Huic ergo ſummam ſuper ſpinam impreſſit Mopſus
Lævam, dùm profert, plantam pedis: verùm ille medium
Radium circà et muſculum præ dolore volutus,

ἐπὶ τῇ τῆς γοργόνος κεφαλῇ. μετὰ δὲ τὸν ἔρανον τῇ ἑξῆς ἡμέρᾳ, ὅτε οἱ ἄλλοι ἐρανισταὶ τὸν ἵππον ἀπεκόμιζον, καὶ Περσεύς. ὁ δὲ οὐκ ἐδέχετο· ἀπῄτει δὲ τὴν τῆς γοργόνος κεφαλὴν κατὰ τὴν ὑπόσχεσιν. ἐὰν δὲ μὴ κομίσῃ, τὴν μητέρα αὐτοῦ λήψεσθαι ἔφη· ὁ δὲ, ἀνιαθεὶς ἀπέρχεται, ὀλοφυρόμενος τὴν συμφορὰν, εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ αὐτῷ ὀφθεὶς, καὶ πύθεσθαι αὐτῷ προσαγαγὼν, μανθάνει τὴν αἰτίαν τοῦ θρήνου. ὁ δὲ ἡγεῖται, θαρρεῖν εἰπών. καὶ πρῶτον μὲν ἡγεῖται αὐτῷ πρὸς τὰς τοῦ Φόρκου γραίας, Πεμφρηδὼ καὶ Ἐντὼ καὶ Ἰαινὼ, Ἀθηνᾶς φρασάσης. καὶ αὐτῶν μὲν ὑφαιρεῖται τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα, ὀρεγουσῶν ἀλλήλαις· αἱ δὲ, αἰσθανόμεναι, βοῶσι, καὶ ἱκετεύουσι τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα ἀποδοῦναι. ἐνὶ γὰρ αἱ τρεῖς ἐκ διαδοχῆς ἐκέχρηντο. ὁ δὲ Περσεὺς αὐτὸν ἔχειν ἔφη, καὶ ἀποδώσειν, ἐὰν αὐτῷ ὑποδείξωσι τὰς Νύμφας αἳ ἔχουσι τὴν Ἄϊδος κυνῆν, καὶ τὰ πέδιλα τὰ ὑπόπτερα, καὶ τὴν κίβησιν. αἱ δὲ αὐτῷ φράζουσι. καὶ ὁ Περσεὺς ἀποδίδωσι. καὶ ἀπελθὼν πρὸς τὰς Νύμφας σὺν Ἑρμῇ, αἰτήσας τε καὶ λαβὼν ὑποδεῖται τὰ ὑπόπτερα πέδιλα· καὶ τὴν κίβησιν περιβάλλει κατὰ τῶν ὤμων, καὶ τὴν Ἄϊδος κυνῆν τῇ κεφαλῇ περιτίθησιν. εἶτα ἔρχεται πετόμενος κατὰ τὸν Ὠκεανὸν καὶ τὰς Γοργόνας, συνεπομένων αὐτῷ Ἑρμοῦ τε καὶ Ἀθηνᾶς. ταύτας δὲ κοιμωμένας εὑρίσκει. ὑποτίθενται δὲ αὐτῷ οὗτοι οἱ θεοὶ ὅπως χρὴ τὴν κεφαλὴν ἀποτεμεῖν ἀπεστραμμένον· καὶ δεικνύουσιν ἐν τῷ κατόπτρῳ τὴν Μέδουσαν, ἣ μόνη ἦν θνητὴ τῶν Γοργόνων. ὁ δὲ, πλησίον γενόμενος, ἀποτέμνει τῇ ἅρπῃ τὴν κεφαλὴν, καὶ ἐνθεὶς εἰς τὴν κίβησιν φεύγει. αἱ δὲ αἰσθόμεναι διώκουσιν· οὐχ ὁρῶσι μέντοι αὐτὸν, διὰ τὴν Ἄϊδος κυνῆν. Περσεὺς δὲ εἰς Σέριφον γενόμενος, ἔρχεται παρὰ Πολυδέκτην, καὶ κελεύει συναθροῖσαι τὸν λαὸν, ὅπως δείξῃ αὐτοῖς τὴν τῆς Γοργόνος κεφαλήν· εἰδὼς ὅτι ἰδόντες ἀπολιθωθήσονται. ὁ δὲ Πολυδέκτης, ἀθροίσας τὸν ὄχλον, κελεύει αὐτὸν δεικνύειν. ὁ δὲ ἀποστρεφόμενος ἐξαίρει ἐκ τῆς κιβήσεως, καὶ δείκνυσιν. οἱ δὲ ἰδόντες, λίθοι ἐγένοντο. ἡ δὲ Ἀθηνᾶ παρὰ Περσέως λαβοῦσα τὴν κεφαλὴν, ἐντίθησιν εἰς τὴν ἑαυτῆς αἰγίδα· τὴν δὲ κίβησιν Ἑρμῇ ἀποδίδωσι, καὶ τὰ πέδιλα, καὶ τὴν κυνῆν ταῖς Νύμφαις. ἱστορεῖ Φερεκύδης ἐν τῇ δευτέρᾳ. ἄλλοι δέ φασι τὸν Περσέα, καρατομήσαντα τὴν Γοργόνα, ὑπὲρ τῆς Λιβύης πετασθῆναι. ἐκ δὲ τῶν κατενεχθέντων σταγόνων τοῦ αἵματος γενέσθαι θηρία. διὸ καὶ τὴν Λιβύην πολύθηρον εἶπε. τὸ αὐτό φησι καὶ Ἀλέξανδρος. Schol.

Ibid. Πεμφρηδὼ καὶ Ἐντὼ καὶ Ἰαινὼ. Lege Πεφρηδὼ καὶ Ἐνυὼ καὶ Δεινὼ. Vide Apollodorum L. II. C. 14. Et Heſiod. in Theog. v. 270. Conſule quoque Hyginum in præfat. et ibi interpretes. Upt.

Σάρκα

Σάρκα δακὼν ἐχάραξεν· ἀτὰρ Μήδεια καὶ ἄλλαι
Ἔτρεσαν ἀμφίπολοι· ὁ δὲ φοίνιον ἕλκος ἄφασσε
Θαρσαλέως· ἕνεκ' οὔ μιν ὑπέρβιον ἄλγος ἔτειρε·
Σχέτλιος· ἦ τέ οἱ ἤδη ὑπὸ χροῒ δύετο κῶμα
Δυσμελὲς, πολλὴ δὲ κατ' ὀφθαλμῶν χέετ' ἀχλύς.
Αὐτίκα δὲ κλίνας δαπέδῳ βεβαρηότα γυῖα
Ψύχετ' ἀμηχανίῃ· ἕταροι δέ μιν ἀμφαγέροντο,
Ἥρως τ' Αἰσονίδης, ἀδινῇ περιθαμβέες ἄτῃ.
Οὐδὲ μὲν οὐδ' ἐπὶ τυτθὸν ἀποφθίμενός περ ἔμελλε
Κεῖσθ' ὑπ' ἠελίῳ· πύθεσκε γὰρ ἔνδοθι σάρκας
Ἰὸς ἄφαρ, μυδόωσα δ' ἀπὸ χροὸς ἔῤῥεε λάχνη.
Αἶψα δὲ χαλκείῃσι βαθὺν τάφον ἐξελάχαινον
Ἐσσυμένως μακέλῃσιν· ἐμοιρήσαντο δὲ χαίτας
Αὐτοὶ ὁμῶς κοῦραί τε, νέκυν ἐλεεινὰ παθόντες
Μυρόμενοι· τρὶς δ' ἀμφὶ σὺν ἔντεσι δινηθέντες

Carnem morſam excavavit; Medea verò aliæque
Trepidârunt famulæ: at ille cruentum vulnus contrectavit
Audacter; quâ de cauſâ non eum *ſtatim* violentum conficiebat vulnus;
Miſer, jam enim ei corpus ſubiit veternus
Membra ſolvens, multumque oculis offundebatur caliginis.
At poſtquam repentè ſolo acclinâſſet aggravata membra,
Diriguit defectâ ſalute: ſocii interea circa eum congregabantur,
Heroſque Æſonides, ob gravem ſtupore perculſi cladem.
Nec ſane vel tantillum quidem mortuus licèt poterat
Jacere ſub ſole, putreſcere fecit enim intus carnes
Venenum illico, corruptaque defluxit à corpore coma.
Statim igitur æreis profundum ſepulchrum effoderunt
Feſtinanter ligonibus, diviſeruntque crines
Ipſi ſimul puellæque, mortuum miſerabilia perpeſſum
Lamentantes: ter autem circum armis rotati

1523. Ἕνεκ' οὐ. Magis placet Hœlzlino ἕνεκ' οὗ, hoc eſt, ἀνθ' ὧν.

1532. Χαλκείῃσι] τοῖς χαλκείοις σκαφίοις ἐλάχαινον· ὅ ἐστι, ἔσκαπτον. Schol.

1533. Μακέλῃσι] μακέλλαις, δικέλλαις. Schol.

Εὖ κτερέων ἴσχοντε, χυτὴν ἐπὶ γαῖαν ἔθεντο.
Ἀλλ' ὅτε δή ῥ' ἐπὶ νηὸς ἔβαν, πρήσσοντος ἀήτεω
Ἀμπέλαγος νοτίοιο, πόρον τ' ἀπετεκμαίροντο
Λίμνης ἐκπρομολεῖν Τριτωνίδος, οὔτινα μῆτιν
Δὴν ἔχον, ἀφραδέως δὲ πανημέριοι φορέοντο.
Ὡς δὲ δράκων σκολιὴν εἰλιγμένος ἔρχεται οἶμον,
Εὖτέ μιν ὀξύτατον θάλπει σέλας ἠελίοιο·
Ῥοίζῳ δ' ἔνθα καὶ ἔνθα κάρη στρέφει, ἐν δέ οἱ ὄσσε
Σπινθαρύγεσσι πυρὸς ἐναλίγκια μαιμώοντι
Λάμπεται, ὄφρα μυχόνδε διὰ ῥωχμοῖο δύηται·
Ὣς Ἀργὼ λίμνης στόμα ναύπορον ἐξερέουσα,
Ἀμφεπόλει δηναιὸν ἐπὶ χρόνον. Αὐτίκα δ' Ὀρφεὺς
Κέκλετ' Ἀπόλλωνος τρίποδα μέγαν ἔκτοθι νηὸς
Δαίμοσιν ἐγγενέταις νόστῳ ἔπι μείλια θέσθαι.

Ritè funebri honore potitum, fusilem terram infuderunt.
Quandò verò navem conscenderunt, spirante vento
Per pelagus australi, cursumque conjecerunt
Quo Tritoniâ exirent palude, nullum consilium
Diu habebant, sed inconsultò toto die ferebantur.
Sicut autem serpens tortuosam volutatus carpit viam
Quando eum acutissimum torret jubar solis;
Cum sibilo autem caput huc, illuc divertit, eique lumina
Scintillarum ignis ad instar furiato
Micant, donec latibulum per foramen subierit;
Ita Argo, dum paludis ostium enavigandum quærebat,
Oberrabat longum tempus: statim autem Orpheus
Jussit ut Apollinis magnum tripodem è navi *depromptum*
Diis indigenis pro reditu munus placabile darent.

1536. Εὖ κτερέων ἴσχοντα] ἀντὶ τοῦ λαχόντα, Χυτὴν δὲ Ὁμηρικῶς, τὴν ἐπὶ τοῖς νεκροῖς χεομένην γῆν. Schol.

1537. Πρήσσοντος] φυσῶντος. Schol.

1543. Ῥοίζῳ] ἀντὶ τοῦ μετὰ συριγμοῦ. Schol.

1544. Σπινθαρύγεσσι] Σπινθάρυγες, αἱ λαμπηδόνες. Schol.

1545. Ῥωχμοῖο] ῥωχμοί εἰσιν αἱ τῆς γῆς ῥήξεις. Schol.

1549. Μείλια] τὰ ἐκμειλίξασθαι δυνάμενα δῶρα, τὰ ἱλαστήρια. Schol.

Καὶ

Καὶ τοὶ μὲν φοίβου κτέρας ἵδρυον ἐν χθονὶ βάντες.
Τοῖσιν δ᾽ αἰζηῷ ἐναλίγκιος ἀντεβόλησε
Τρίτων εὐρυβίης· γαίης δ᾽ ἀνὰ βῶλον ἀείρας,
Ξείνι᾽ ἀριστήεσσι προΐσχετο, φώνησέν τε.
Δέχθε, φίλοι· ἐπεὶ οὐ περιώσιον ἐγγυαλίξαι
Ἐνθάδε νῦν παρ᾽ ἐμοὶ ξεινήιον αντομένοισιν.
Εἰ δέ τι τῆσδε πόρους μαίεσθ᾽ ἁλὸς (οἷά τε πολλὰ
Ἄνθρωποι χατέουσιν ἐπ᾽ ἀλλοδαπῇ περόωντες)
Ἐξερέω· δὴ γάρ με πατὴρ ἐπίουρα πόντου
Θῆκε Ποσειδάων τοῦδ᾽ ἔμμεναι· αὐτὰρ ἀνάσσω
Παρραλίης· εἰ δή τιν᾽ ἀκούετε, νόσφιν ἐόντες,
Εὐρύπυλον Λιβύῃ θηροτρόφῳ ἐγγεγαῶτα.

Et certe Phœbo donum posuerunt facto in terram exscensu.
Illis verò juveni similis obviam factus est
Triton latè regnans; et sublatam è terrâ glebam
Pro xenio principibus porrexit, dixitque,
Accipite, amici: quandoquidem non præstantius præbere
Nunc me penes est xenium hùc divertentibus.
Si quid verò maris hujus itinera inquiritis (veluti sæpe
Hominibus opus est *quærere* in alienâ terrâ errantibus)
Edicam; me enim pater arbitrum ponti
Fecit hujus Neptunus; regnoque
Oræ maritimæ: si modò aliquem audîstis longè absentes
Eurypylum in Libyâ monstriferâ natum.

1552. Τρίτων δ᾽ αἰζηῷ] καὶ Πίνδαρος ἐν Πυθιονίκαις, ἐν τῇ εἰς Ἀρκεσίλαον ᾠδῇ, τὴν τοῦ Τρίτωνος ἐπιφάνειαν λέγει. ἔστι δὲ παρὰ τοῖς γεγραφόσι τὰ περὶ Κύπρου καὶ Λιβύης. Schol.

1558. Ἐπίουρα] ἀντὶ τοῦ κριτὴν, ἐπιμελητὴν, ἐπίσκοπον. ὅταν δὲ Ὅμηρος περὶ Ἀγαμέμνονος λέγῃ "ἴστωρ δ᾽ Ἀτρείδην Ἀγαμέμνονα," ἀντὶ τοῦ μάρτυρα, συνθηκοφύλακα. Schol.

1561. Εὐρύπυλον Λιβύῃ] Εὐρύπυλος, Ποσειδῶνος υἱὸς καὶ Κελαινοῦς τοῦ Ἄτλαντος, βασιλεὺς δὲ Κυρήνης. Φύλαρχος δὲ ἐν ἑβδόμῳ Εὔρυτον αὐτὸν καλεῖ καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει Λυκάονα. Ἀκέσανδρος δὲ ἐν πρώτῳ περὶ Κυρήνης τῆς Ὑψέως, μετ᾽ αὐτὸν βασιλεῦσαι φησὶ Λιβύης Κυρήνην τὴν Ὑψέως. μνημονεύει τοῦ Εὐρυπύλου καὶ Καλλίμαχος, λέγων, "βοῶν σῖνιν Εὐρυπύλοιο," περὶ Κυρήνης ποιούμενος τὸν λόγον. Schol.

Ὣς ηὔδα· πρόφρων δ' ὑπερέσχεθε βώλακι χεῖρας
Εὔφημος· καὶ τοῖα παραβλήδην προσέειπεν.
Ἀτθίδα, καὶ πέλαγος Μινώϊον, εἴ νύ τι, ἥρως
Ἐξεδάης, νημερτὲς ἀνειρομένοισιν ἔνισπε·
Δεῦρο γὰρ οὐκ ἐθέλοντες ἱκάνομεν, ἀλλὰ βαρείαις
Χρίμψαντες γαίης ἐπὶ πείρασι τῆσδε θυέλλαις,
Νῆα μεταχρονίην ἐκομίσσαμεν εἰς τόδε λίμνης
Χεῦμα δι' ἠπείρου βεβαρημένοι· οὐδέ τι ἴδμεν
Πῇ πλόος ἐξανέχει Πελοπηΐδα γαῖαν ἱκέσθαι.
Ὣς ἄρ' ἔφη· ὁ δὲ χεῖρα τανύσσατο, δεῖξε δ' ἄπωθε
Φωνήσας πόντον τε καὶ ἀγχιβαθὲς στόμα λίμνης.

Sic dixit; lubens autem extendit glebæ manus
Euphemus, taliaque viciſſim ſubjecit.
Atthida et pelagus Minoium, ſi fortaſſe, heros
Pernôſti, verè quærentibus enarra.
Hùc enim non volentes venimus; ſed gravibus
Adacti ad fines hujus terræ procellis
Navem ſublimem portavimus, in hanc ſtagni
Aquam, per terram pondere depreſſi: nec quid novimus
Quà navigatio extendit ut ad terram Pelopeiam perveniamus.
Sic dixit; ille verò manum extendit, oſtenditque procul
Emiſſâ voce, pontumque, nec non profundum ad litora oſtium ſtagni.

1562. Πρόφρων δ' ὑπερέσχεθε] τὸν Εὔφημον ἐποίησε δεχόμενον τὴν βῶλον δι' οἰκειότητα. ἐπεὶ Ποσειδῶνος καὶ Εὐρώπης τῆς Τιτυοῦ. καὶ Εὐρύπυλος δὲ οὗτος, οὗ εἰς τὴν χώραν παρεγένοντο, Ποσειδῶνος ἐστὶν υἱός. λέγεται δὲ καὶ παρὰ Πινδάρῳ ὅτι ἐδέξατο τὴν βῶλον ὁ Εὔφημος. Schol.

1563. Παραβλήδην] Παλαμήδης, ἐξ ἀντιβολῆς. ἢ παραλογιστικῶς. νῦν δέ, ἐξ ἀποκρίσεως. Schol.

1564. Ἀτθίδα] γράφεται, Ἀπίδα καὶ πέλαγος Μινώϊον. Ἆπις, νῆσος κειμένη περὶ τῆς Κρήτης. Μινώϊον δὲ πέλαγος, περὶ τῆς Κρήτης. αὕτη γὰρ Μίνωος ἦν βασιλεία. ἢ ἐπεὶ θαλαττοκρατῶν, ὑφ' αὐτὸν τὰς νήσους ἐποίησε. μετὰ δὲ τὸ Κρητικόν, τὸ Αἰγύπτιον. Schol.

1569. Χεῦμα δι' ἠπείρου βεβαρημένοι] ἄδηλον πότερον κατὰ τὸ κοινὸν ἤπειρον εἴρηκε τὴν γῆν· ἢ ὅτι πᾶσα ἡ οἰκουμένη εἰς ἠπείρους τρεῖς διῄρηται, Ἀσίαν, Εὐρώπην, Λιβύην· ἡ δὲ Αἴγυπτος, κατὰ μέν τινας τῆς Ἀσίας ἐστί· κατὰ δέ τινας, τῆς Λιβύης. Schol.

1571. Ἄπωθε] ἄπωθεν, ἀπὸ διαστήματος. Schol.

Κείνη

Κείνη μὲν πόντοιο διήλυσις, ἔνθα μάλιστα
Βένθος ἀκίνητον μελανεῖ· ἑκάτερθε δὲ λευκαὶ
Ῥηγμῖνες φρίσσουσι διαυγέες· ἠδὲ μεσηγὺ
Ῥηγμίνων στεινὴ τελέθει ὁδὸς ἐκτὸς ἐλάσσαι.
Κεῖνο δ' ὑπηέριον θείην Πελοπηΐδα γαῖαν
Εἰσανέχει πέλαγος Κρήτης ὕπερ· ἀλλ' ἐπὶ χειρὸς
Δεξιτερῆς λίμνηθεν ὅτ' εἰς ἁλὸς οἶδμα βάλητε,
Τόφρ' αὐτὴν παρὰ χέρσον ἐεργμένοι ἰθύνεσθε,
Ἔς τ' ἂν ἄνω τείνησι· περιῤῥήδην δ' ἑτέρωσε
Κλινομένης χέρσοιο, τότε πλόος ὔμμιν ἀπήμων
Ἀγκῶνος τετάνυσται ἰθὺς προύχοντος ἰοῦσιν.
Ἀλλ' ἴτε γηθόσυνοι· καμάτοιο δὲ μή τις ἀνίη
Γινέσθω νεότητι κεκασμένα γυῖα μογῆσαι.
Ἴσκεν ἐΰφρονέων· οἱ δ' αἶψ' ἐπὶ νηὸς ἔβησαν,
Λίμνης ἐκπρομολεῖν λελιημένοι εἰρεσίῃσιν.

Hic quidem eſt ponti tranſitus, ubi maximè
Immota nigreſcit profunditas; utrinque verò alba
Litora elevantur pellucida; interque
Litora arcta eſt enavigandi via.
Illud autem ſubobſcurum in divinam Pelopeiam terram
Prominet pelagus, ſuprà Cretam: ſed ad manum
Dextram quando à palude in altum fueritis mare ingreſſi,
Tunc ipſum juxta litus contenti *navem* dirigite
Donec altius tendat: cùm verò conflexu in partem alteram
Vergeat terra, tunc incolumis vobis curſus
Ad cubitum tenditur rectà procurrentem euntibus.
Sed ite læti: nec ulla laboris moleſtia
Satis ſit juventute decorata membra delaſſare.
Dixit benevolus: illi ſtatim navem conſcenderunt
E palude egredi cupidi remigando.

1573. Διήλυσις] ἡ διεξέλευσις, καὶ ἔξοδος. Schol.
1575. Φρίσσουσι] ἀντὶ τοῦ, εἰς ὕψος

αἴρονται. Schol.
1581. Περιῤῥήδην] τὸ κατὰ περιφέρειαν δηλοῖ. Schol.

Καὶ δὴ ἐπιπρονέοντο μεμαότες. Αὐτὰρ ὁ τείως
Τρίτων ἀνθέμενος τρίποδα μέγαν, εἴσατο λίμνην
Εἰσβαίνειν· μετὰ δ' οὔτις ἐσέδρακεν, οἷον ἄφαντος
Αὐτῷ σὺν τρίποδι σχεδὸν ἔπλετο· τοῖσι δ' ἰάνθη
Θυμὸς, ὃ δὴ μακάρων τις ἐναίσιμος ἀντεβόλησεν.
Καί ῥά οἱ Αἰσονίδην μήλων ὅ, τι φέρτατον ἄλλων
Ἤνωγον ῥέξαι, καὶ ἐπευφημῆσαι ἑλόντα.
Αἶψα δ' ὅγ' ἐσσυμένως ἐκρίνατο, καί μιν ἀείρας
Σφάξε κατὰ πρύμνης· ἐπὶ δ' ἔννεπεν εὐχωλῇσι.
Δαῖμον, ὅ τις λίμνης ἐπὶ πείρασι τῆσδε φαάνθης,
Εἴτε σύγε Τρίτων, ἅλιον τέρας, εἴτε σε Φόρκυν
Ἢ Νηρῆα θύγατρες ἐπικλείουσ' ἁλοσύδναι·
Ἵλαθι, καὶ νόστοιο τέλος θυμηδὲς ὄπαζε.
Ἦ ῥ'· ἅμα δ' εὐχωλῇσιν ἐς ὕδατα λαιμοτομήσας
Ἧκε κατὰ πρύμνης· ὁ δὲ βένθεος ἐξεφαάνθη,
Τοῖος ἐὼν οἷός περ ἐτήτυμος ἦεν ἰδέσθαι·

Et ſane procedebant alacri animo. Interim ipſe
Triton acceptum ferens magnum tripodem, incitatus eſt paludem
Subire : exinde nemo eum conſpexit, adeo inviſibilis
Ipſo ſtatim cum tripode erat : his verò exhilaratus eſt
Animus, quòd deorum aliquis bene ſe ominatum obtulerat.
Et ſane Jaſoni inter oves alias eam quæ lectiſſima eſſet
Juſſerunt ſacrificare captam, votaque facere.
Illico igitur ipſe cum ſtudio ſelegit, ſublatamque
Mactavit in puppi, hiſque effatus eſt precibus.
O Deus, quicunque es qui ad ſtagni hujus terminos apparuiſti,
Sive tu Triton, marinum prodigium, ſive te Phorcyn
Seu Nerea cognominant filiæ marinæ,
Propitius ſis, reditûſque finem optatum præbeas.
Dixit, ſimulque cum precibus in aquas jugulatam
Miſit de puppi : ille autem è profundo apparuit
Talis exiſtens qualis reverà erat viſu.

1589. Εἴσατο] ὥρμησεν. τοῦ ἐν ἁλὶ δύνειν, ὅ ἐστι, ἐν τῇ θαλάσσῃ
1599. Ἁλοσύδναι] θαλάσσιαι. ἀπὸ ὁρμᾶν. Schol.

Ὡς

Ὡς δ' ὅτ' ἀνὴρ θοὸν ἵππον ἐς εὐρέα κύκλον ἀγῶνος
Στέλλῃ, ὀρεξάμενος λασίης εὐπειθέα χαίτης,
Εἶθαρ ἐπιτροχάων· ὁ δ' ἐπ' αὐχένι γαῦρος ἀερθεὶς
Ἕσπεται, ἀργινόεντα δ' ἐνὶ στομάτεσσι χαλινὰ
Ἀμφὶς ὀδακτάζοντι παραβλήδην κροτέονται·
Ὣς ὅγ' ἐπισχόμενος γλαφυρῆς ὁλκήϊον Ἀργοῦς
Ἦγ' ἅλαδε προτέρωσε· δέμας δέ οἱ ἐξ ὑπάτοιο
Κράατος, ἀμφί τε νῶτα καὶ ἰξύας, ἔς τ' ἐπὶ νηδὺν,
Ἄντικρυ μακάρεσσι φυὴν ἔκπαγλον ἔικτο.
Αὐτὰρ ὑπαὶ λαγόνων δίκραιρα οἱ ἔνθα καὶ ἔνθα
Κήτεος ἀλκαίη μηκύνετο· κόπτε δ' ἀκάνθαις

Sicut autem quando aliquis celerem equum in latum circum certaminis
Mittit apprehensum densâ tractabilem jubâ,
Valdè festinans; ille elatâ cervice superbiens
Sequitur, spumosaque in oribus fræna
Utrinque mordenti ex obliquo crepitant;
Sic ille retinens cavæ carinam Argûs,
Misit in mare ulterius: corpus verò ei à summo
Capite circà terga & lumbos usque ad ventrem,
E contrario *aspicienti* immortalibus habitu mirabiliter simile erat.
Cæterùm sub lumbis duplex ei hinc, illinc
Ceti cauda extendebatur, verberabatque spinis

1608. Ὀδακτάζοντι] δάκνοντι. Sch.

1609. Ὁλκήϊον Ἀργοῦς] τὸ κάτω τοῦ πλοίου ξύλον, τὸ πρὸς τῇ τρόπιδι, οὗ ἡ ναῦς ἕλκεται. ὃ πήγνυται πρῶτον ἐπὶ γῆς κατασκευαζομένου πλοίου. Schol.

1613. Δίκραιρα οἱ] διπλῆ. τοιαύτη γὰρ ἡ τοῦ Τρίτωνος οὐρὰ διῃρημένη εἰς δύο. ἔτεμνε δὲ τὸ ἄκρον τοῦ ὕδατος ταῖς ἀκάνθαις, αἵτινες κάτωθεν ἐπὶ τοῖς κέντροις τοῖς σκαμβοῖς ἐδιχάζοντο· ὅμοιαι οὖσαι τοῖς τῆς σελήνης κέρασιν· ἅτινα ἡμικύκλια ἐστί. τοιούτῳ δὲ σχήματι καὶ τὰ ἄκρα τῆς οὐρᾶς τῶν ἰχθύων ἐστὶν ἡμικυκλίῳ. Schol.

1614. Κήτεος ἀλκαίη] ἀλκαίη λέγεται κυρίως ἡ τοῦ λέοντος οὐρὰ, ἀπὸ τοῦ δι' αὐτῆς εἰς ἀλκὴν τρέπεσθαι. καὶ ὁ ποιητής. "οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν Μαστίεται." Καλλίμαχος δὲ κακῶς ἐπὶ τῶν μυῶν τίθησιν, ἀλκαίας ἀφύσσα. ἢ ἀπὸ τοῦ ἀλκεῖν, ὅ ἐστι βοηθεῖν, ἢ εἰς ἀλκὴν παρορμᾶσθαι. ὥσπερ καὶ οὐρὰ παρὰ τὸ οὐρεῖν, ὅ ἐστι φυλάττειν. ἢ διὰ τὸ ὀρίνειν ἑαυτὰ τὰ ζῶα τῇ οὐρᾷ· ὡς ὁ λέων, καὶ ὁ ταῦρος, καὶ ὁ κύων, καὶ τὰ λοιπά. κυρίως δὲ ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία λέγεται. ἐν δὲ τῷ κωμικῷ λεξικῷ οὐ μόνον ἡ τοῦ λέοντος οὐρὰ, ἀλκαία, ἀλλὰ καὶ ἵππου καὶ βοὸς, καὶ τῶν ἐμφερῶν, ὅσα ὥσπερ ἀλεξητηρίῳ τῇ οὐρᾷ χρῆται. Schol.

Ἄκρου

Ἄκρον ὕδωρ, αἵτε σκολιοῖς ἐπὶ νειόθι κέντροις
Μήνης ὡς κεράεσσιν ἐεισάμεναι διχόωντο.
Τόφρα δ' ἄγεν, τείως μιν ἐπιπροέηκε θαλάσσῃ
Νεισσομένην. δῦ δ' αἶψα μέγαν βυθόν· οἱ δ' ὁμάδησαν
Ἥρωες, τέρας αἰνὸν ἐπ' ὀφθαλμοῖσιν ἰδόντες.
Ἔνθα μὲν Ἀργῷός τε λιμὴν καὶ σήματα νηὸς,
Ἠδὲ Ποσειδάωνος ἰδὲ Τρίτωνος ἔασι
Βωμοί· ἐπεὶ κεῖν' ἦμαρ ἐπέσχεθον· αὐτὰρ ἐς ἠῶ
Λαίφεσι πεπταμένοις αὐτὴν ἐπὶ δεξί' ἔχοντες
Γαῖαν ἐρημαίην, πνοιῇ Ζεφύροιο θέεσκον.
Ἦρι δ' ἔπειτ' ἀγκῶνά θ' ὁμοῦ μυχάτην τε θάλασσαν
Κεκλιμένην ἀγκῶνος ὑπὲρ προύχοντος ἴδοντο.
Αὐτίκα δὲ Ζέφυρος μὲν ἐλώφεεν, ἤλυθε δ' αὔρη
Ἀργέσταο νότου· κεχάροντο δὲ θυμὸν ἰωῇ.
Ἦμος δ' ἠέλιος μὲν ἔδυ, ἀνὰ δ' ἤλυθεν ἀστὴρ

Summam aquam, quæ tortuosis in imo aculeis
Lunæ cornibus similes infindebantur.
Tamdiu autem duxit donec immiserat in mare
Ituram; subiitque statim magnum profundum: fremuerunt autem
Heroes monstrum ingens oculis intuiti.
Ibi quidem portus Argous, signaque navis,
Nec non Neptuni ac Tritonis extant
Aræ: illo enim die detenti sunt: sed ad Auroram
Velis passis, ipsam ad dextram habentes
Terram desertam, flatu Zephyri currebant.
Manè autem deinde cubitum simul intimumque mare
Inclinatum cubitum ultra prominentem viderunt.
Statim autem cessavit Zephyrus, exortaque est aura
Argestæ Austri: lætati igitur sunt animo cum clamore.
Quando autem sol occidit, revenitque stella

1619. Τέρας] τὸν Τρίτωνα λέγει τέρας. ἐπεὶ τὰ μὲν ἀνδρὸς εἶχε, τὰ δὲ κήτους. Schol.

1620. Ἀργῷός τε λιμὴν] παρὰ τῇ Τριτωνίδι λίμνῃ ἐστὶν, Ἀργῷος καλούμενος. Schol.

1629. Ἀστὴρ] αὔλιον ἀστέρα τὸν ἑσπέριον λέγει. ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι· ἢ παρὰ τὸ ἐν αὔλαις διατρίβειν, καθ' ἣν ὥραν ὁ ἕσπερος ἀνατέλλει. Schol.

Αὔλιος

Αὔλιος, ὅστ' ἀνέπαυσεν ὀϊζυροὺς ἀροτῆρας·
Δὴ τότ' ἔπειτ', ἀνέμοιο κελαινῇ νυκτὶ λιπόντος,
Ἱστία λυσάμενοι, περιμήκεά τε κλίναντες
Ἱστὸν, εὐξέστῃσιν ἐπερρώοντ' ἐλάτῃσι,
Παννύχιοι καὶ ἐπ' ἦμαρ· ἐπ' ἤματι δ' αὖτις ἰοῦσι
Νύχθ' ἑτέρην, ὑπέδεκτο δ' ἀπόπροθι παιπαλόεσσα
Κάρπαθος· ἔνθεν δ' οἵγε περαιώσεσθαι ἔμελλον
Κρήτην, ἥτ' ἄλλων ὑπερέπλετο εἰν ἁλὶ νήσων.
Τοὺς δὲ Τάλως χάλκειος, ἀπὸ στιβαροῦ σκοπέλοιο
Ῥηγνύμενος πέτρας, εἶργε χθονὶ πείσματ' ἀνάψαι,
Δικταίην ὅρμοιο κατερχομένους ἐπιωγήν.
Τὸν μὲν χαλκείης μελιηγενέων ἀνθρώπων

Veſpertina, quæ requiem afferre ſolet ærumnoſis agricolis,
Tum demum, vento obſcurâ nocte intermiſſo,
Solutis velis, prælongoque inclinato
Malo, bene politis fortiter incumbebant remis,
Per noctem totam diemque: ac rurſus die condito, pergentes
Noctem alteram excepit eminùs aſpera
Carpathus: inde trajecturi erant
In Cretam, quæ aliis præſtantior erat in mari inſulis.
Sed eos Talus æreus à duro ſcopulo
Refractis lapidibus, vetuit funes terræ religare,
Cum ad Dictæi ſtationem receptus contenderent.
Hunc quidem de æneâ fraxinigenarum hominum

1633. Ἐπῤῥώοντ] ἐῤῥωμένως ἤλαυνον. Schol.

1636. Κάρπαθος] νῆσός ἐστι τῶν Σποράδων, πλησίον τῆς Κῶ. περὶ ἧς Ὅμηρος εἴρηκε· "Κράπαθόν τε Κάσον καὶ Κῶν." ἄλλοι πλησίον Κρήτης αὐτὴν εἶναι λέγουσιν. Schol.

1638. Τάλως] ὁ Τάλως ἦν τοῦ γένους ἐκείνου τοῦ χαλκοῦ. ὅλος δὲ ὢν χαλκοῦς, ἐπὶ τοῦ σφυροῦ σύριγγα εἶχεν ὑμένι περιεχομένην. Schol.

Ibid. Τοὺς δὲ Τάλως, &c. Hæc verba feliciſſime tranſtulit Val. Flaccus libro X.

Ferreus arce procul ſcopuli Dicteide terra
Hos prohibet ſævo ore Talus ſuſpendere funes
Et legere hoſpitium, &c.

Vide autem quæ de Talo commentatus eſt Plato in Minöe.

1640. Ἐπιωγὴν] σκέπην, ὑφ' ἧς ὁ ἄνεμος ἄγνυται. Schol.

Ῥίζης

Ῥίζης λοιπὸν ἐόντα, μετ᾽ ἀνδράσιν ἡμιθέοισιν
Εὐρώπῃ Κρονίδης νήσου πόρεν ἔμμεναι οὖρον,
Τρὶς περὶ χαλκείοις Κρήτην ποσὶ δινεύοντα.
Ἀλλ᾽ ἤτοι τὸ μὲν ἄλλο δέμας καὶ γυῖα τέτυκτο
Χάλκεος ἠδ᾽ ἄῤῥηκτος· ὑπαὶ δέ οἱ ἔσκε τένοντος
Σύριγξ αἱματόεσσα κατὰ σφυρόν· αὐτὰρ ὅ τήνγε
Λεπτὸς ὑμὴν ζωῆς ἔχε πείρατα καὶ θανάτοιο.
Οἱ δὲ, δύῃ μάλα περ δεδμημένοι, αἶψ᾽ ἀπὸ χέρσου
Νῆα περιδδείσαντες ἀνακρούεσκον ἐρετμοῖς.
Καί νύ κ᾽ ἐπισμυγερῶς Κρήτης ἑκὰς ἠέρθησαν,
Ἀμφότερον δίψῃ τε καὶ ἄλγεσι μοχθίζοντες,
Εἰ μή σφιν Μήδεια λιαζομένοις ἀγόρευσε.
Κέκλυτέ μευ· μούνη γὰρ ὀΐομαι ὔμμι δαμάσσειν
Ἄνδρα τὸν ὅστις ὅδ᾽ ἐστὶ, καὶ εἰ παγχάλκεον ἴσχει
Ὃν δέμας· ὀππότε μή οἱ ἐπ᾽ ἀκάματος πέλει αἰών.
Ἀλλ᾽ ἔχετ᾽ αὐτοῦ νῆα θελήμονες ἐκτὸς ἐρωῆς

Stirpe reliquum existentem inter viros semideos
Europæ dederat Jupiter ut insulæ esset custos,
Terque æneis pedibus Cretam obiret.
Sed is cùm cætero corpore et membris erat
Æneus et invulnerabilis, habebat tamen sub collo
Turgentem sanguine venam usque ad malleolum, quam
Tenuis continebat tunicula vitæ habens terminos mortisque.
Illi rebus adversis valdè licèt domiti, statim à terrâ
Navem summoperè timentes retorserunt remis.
Et nunc sanè ærumnosè procul è Cretâ ablati fuissent,
Siti pariter et doloribus miserias perpessi,
Nisi deproperantes Medea allocuta esset.
Audite me: solam enim me existimo pessum daturam
Virum istum, quicunque sit, vel si totum æreum habeat
Corpus suum; quandoquidem non ei indefessa *(immortalis)* conceditur ætas.
Verùm ibi tenete navem prompti, extra impetum

1647. Σύριγξ] δὲ λέγεται ἡ περόνη. ὡς, λέγει καὶ Σοφοκλῆς ἐν Τηλέφῳ. Schol. ὅτι δὲ ἄμπελο αὐτῷ πλατῦναι τὴν σύριγ-

Πετράων,

Πετράων, εἵως κεν ἐμοὶ εἴξειε δαμῆναι.
Ὣς ἄρ' ἔφη· καὶ τοὶ μὲν ὑπ' ἐκ βελέων ἐρύσαντο
Νῆ' ἐπ' ἐρετμοῖσιν, δεδοκημένοι ἥντινα ῥέξοι
Μῆτιν ἀνωΐστως· ἡ δὲ, πτύχα πορφυρέοιο
Προσχομένη πέπλοιο παρειάων ἑκάτερθε,
Βήσατ' ἐπ' ἰκριόφιν· χειρὸς δὲ ἑ χειρὶ μεμαρπὼς
Αἰσονίδης ἐκόμιζε διὰ κληῗδος ἰοῦσαν.
Ἔνθα δ' ἀοιδῇσιν μειλίσσετο· θέλγε δὲ κῆρας
Θυμοβόρους, Ἀΐδαο θοὰς κύνας, αἳ περὶ πᾶσαν
Ἠέρα δινεύουσαι ἐπὶ ζωοῖσιν ἄγονται.
Τὰς γουναζομένη, τρὶς μὲν παρεκέκλετ' ἀοιδαῖς,
Τρὶς δὲ λιταῖς· θεμένη δὲ κακὸν νόον, ἐχθοδοποῖσιν
Ὄμμασι χαλκείοιο Τάλω ἐμέγηρεν ὀπωπάς.
Λευγαλέον δ' ἐπί οἱ πρῖεν χόλον· ἐκ δ' ἀΐδηλα

Petrarum, donec mihi domitus cesserit.
Sic dixit: illi verò extrà ictum inhibuerunt
Navem remis, expectantes quodnam perficeret
Consilium ignotum: hæc autem plicam purpurei
Obtendens pepli genis utrinque,
Conscendit foros, manumque manu prehendens
Jason duxit per transtra euntem.
Tum verò cantamentis placabat, demulcebatque Parcas
Animum exedentes, Orci veloces canes, quæ per totum
Aëra versantes vivis immittuntur.
Has flexis genibus venerata, ter quidem invocabat cantamentis,
Ter precibus: ubi autem improbum domuit animum, infestis
Oculis æneis Tali perstrinxit aciem oculorum.
Gravem porrò ei dentibus infrendens inflavit bilem, nec non exitiosa

1659. Ὑπ' ἐκ βελέων] ἤγουν τῶν πετρῶν. καὶ γὰρ Ὅμηρος βέλος εἴρηκε τὴν πέτραν τὴν ὑπὸ τοῦ Κύκλωπος βληθεῖσαν. καὶ πᾶν τὸ πεμπόμενον φησίν. Schol.

1661. Ἀνωΐστως] ἀγνώστως, ἢ ἐξαίφνης. Schol.

1667. Ἐπὶ ζωοῖσιν] διὰ τῶν φαρμάκων τοῖς ζωοῖσιν ἐπάγονται. Schol.

Δείκηλα προΐαλλεν, ἐπιζάφελον κοτέουσα.
Ζεῦ πάτερ, ἦ μέγα δή μοι ἐνὶ φρεσὶ θάμβος ἄηται,
Εἰ δὴ μὴ νούσοισι τυπῇσί τε μοῦνον ὄλεθρος
Ἀντιάει· καὶ δή τις ἀπόπροθεν ἄμμε χαλέπτει.
Ὣς ὅγε χάλκειός περ ἐὼν ὑπόειξε δαμῆναι
Μηδείης βρίμη πολυφαρμάκου· ἂν δὲ βαρείας
Ὀχλίζων λάϊγγας ἐρυκέμεν ὅρμον ἱκέσθαι,
Πετραίῳ στόνυχι χρίμψε σφυρόν· ἐκ δέ οἱ ἰχὼρ
Τηκομένῳ ἴκελος μολίβῳ ῥέεν· οὐδ' ἔτι δηρὸν
Εἱστήκει προβλῆτος ἐπεμβεβαὼς σκοπέλοιο.
Ἀλλ' ὥς τίς τ' ἐν ὄρεσσι πελωρίη ὑψόθι πεύκη,
Τήντε θοοῖς πελέκεσσιν ἔθ' ἡμιπλῆγα λιπόντες
Ὑλοτόμοι δρυμοῖο κατήλυθον· ἡ δ' ὑπὸ νυκτὶ

Phantaſmata objecit, vehementer inſenſa.
Jupiter pater! ingens profecto mihi ſtupor animum invaſit,
Si quidem non morbis vulneribuſque ſolummodò interitus
Adverſatur *nobis*, ſed quidam etiam de longinquo nos lædit.
Sic ille æneus licèt exiſtens domitus ceſſit
Medeæ potentiæ venenorum peritæ; dumque graves
Devolveret lapides ut inhiberet eos ab ingrediendo portum,
Saxeo cacumini illiſit malleolum, ex quo cruor
Liquefacto ſimilis plumbo effluxit, nec diu omnino
Stetit projecto inſiſtens ſcopulo.
Sed veluti quædam in montibus ingens altaque picea
Quam poſtquam acutis ſecuribus adhuc ſemiſectam reliquerint
Lignorum cæſores, ſylvâque devenerunt, ſub nocte

1672. Δείκηλα] εἴδωλα, φαντάσματα. Schol.

1673. Ἄηται] φέρεται, κεκίνηται. Schol.

1677. Βρίμη] τῇ ἰσχύϊ. παρὰ δὲ τὸ βρῶ πέπλασται ῥῆμα τὸ βρίθω· οὗ ὁ μέλλων βρίσω· καὶ ῥηματικὸν ὄνομα βρίμη· τὰ γὰρ εἰς μη λήγοντα ὀνόματα, ἑνὶ φωνήεντι παραληγόμενα, βαρύνεται· οἷον, γνώμη, φήμη, κνήμη· πλὴν τοῦ τιμή. τὰ δὲ ἔχοντα πρὸ τοῦ μ ἕτερον σύμφωνον, ὀξύνεται, οἷον γραμμή. Schol.

1679. Πετραίῳ στόνυχι] στόνυξ ἐστὶ κυρίως τὸ ἄκρον τοῦ δόρατος· καταχρηστικῶς δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον. Schol.

Ῥιπῇσιν

Ῥιπῇσιν μὲν πρῶτα τινάσσεται, ὕστερον αὖτε
Πρυμνόθεν ἐξεαγεῖσα κατήριπεν· ὣς ὅγε ποσσὶν
Ἀκαμάτοις τείως μὲν ἐπισταδὸν ἠωρεῖτο,
Ὕστερον αὖτ' ἀμενηνὸς ἀπείρονι κάππεσε δούπῳ.
Κεῖνο μὲν οὖν Κρήτῃ ἔνι δὴ κνέφας ηὐλίζοντο
Ἥρωες· μετὰ δ' οἵγε νέον φαέθουσαν ἐς ἠῶ
Ἱρὸν Ἀθηναίης Μινωΐδος ἱδρύσαντο.
Ὕδωρ τ' εἰσαφύσαντο καὶ εἰσέβαν, ὥς κεν ἐρετμοῖς
Παμπρώτιστα βάλοιεν ὑπὲρ Σαλμωνίδος ἄκρης.
Αὐτίκα δὲ Κρηταῖον ὑπὲρ μέγα λαῖτμα θέοντας
Νὺξ ἐφόβει, τήν πέρ τε κατουλάδα κικλήσκουσι,
Νύκτ' ὀλοήν· οὐκ ἄστρα διίσχανεν, οὐδ' ἀμαρυγαὶ
Μήνης· οὐρανόθεν δὲ μελάγχροος, ἠέ τις ἄλλη
Ὠρώρει σκοτίη μυχάτων ἀνιοῦσα βερέθρων.
Αὐτοὶ δ' εἴτ' Ἀΐδῃ, εἴθ' ὕδασιν ἐμφορέοντο,

Flatibus venti primùm quidem concutitur, postea autem
Funditus effracta decidit; sic ille pedibus
Indefessis tantisper quidem constanter erigebatur,
Dein verò debilis ingenti concidit fragore.
Illam igitur in Cretâ noctem pernoctabant
Heroes, deinde ad recèns apparentem auroram,
Fanum Minervæ Minoæ extruxerunt.
Haustâ autem aquâ inscenderunt, ut remis
Quamprimùm transirent Salmonida promontorium.
Statim autem ac trans vastum Creticum æquor currerent,
Nox eos terruit, quam κατουλάδα vocant,
Noctem terribilem: non astra discusserunt, nec radii
Lunæ; sed de cœlo atra, aut alia quæpiam
Oriebatur caligo ex imo emersa barathro.
Illi verò utrùm in Orco an aquis ferrentur

1693. Σαλμωνίδος] Σαλμώνις καὶ Σαλμώνιον, ἀκρωτήριον Κρήτης. Schol.

1695. Κατουλάδα] σκοτεινὴ νὺξ κατουλὰς καλεῖται, παρὰ τὸ οὖλον. Σοφοκλῆς ἐν Ναυπλίῳ. "νυκτὶ κατουλάδι." Schol.

1698. Μυχάτων] ἐσχάτων. Schol.

Ἠείδειν ὐδ' ὅσσον· ἐπέτρεψαν δὲ θαλάσσῃ
Νόστον, ἀμηχανέοντες ὅπῃ φέροι. Αὐτὰρ Ἰήσων
Χεῖρας ἀνασχόμενος μεγάλῃ ὀπὶ Φοῖβον ἀΰτει,
Ῥύσασθαι καλέων· κατὰ δ' ἔῤῥεεν ἀσχαλόωντι
Δάκρυα· πολλὰ δὲ Πυθοῖ ὑπέσχετο, πολλὰ δ' Ἀμύκλαις,
Πολλὰ δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσειν.
Λητοΐδη, τύνη δὲ κατ' ὐρανῦ ἵκεο πέτρας
Ῥίμφα Μελαντίυς ἀρήϊκοος, αἵτ' ἐνὶ πόντῳ
Ἧνται· δοιάων δὲ μιῆς ἐφύπερθεν ὀρύσας,
Δεξιτερῇ χρύσειον ἀνέσχεθες ὑψόθι τόξον.
Μαρμαρέην δ' ἀπέλαμψε βιὸς περὶ πάντοθεν αἴγλην.
Τοῖσι δέ τις Σποράδων βαιὴ ἀπὸ τόφρ' ἐφαάνθη
Νῆσος ἰδεῖν, ὀλίγης Ἱππυρίδος ἀντία νήσυ.
Ἔνθ' εὐνὰς ἐβάλοντο, κ̀ ἔσχεθον· αὐτίκα δ' ἠὼς

Nôrunt ne tantillum quidem, ſed commiſerunt mari
Reditum, incerti quò ferret. At Jaſon
Sublatis manibus, ingenti voce Phœbum clamans invocavit,
Ut liberaret: defluxerunt autem triſtanti
Lachrymæ; ac multa ſe ad Pythum pollicebatur, multa ad Amyclas
Multa inſuper ad Ortygiam immenſa dona laturum.
Tu autem, ô Latonæ fili, de cœlo acceſſiſti ad petras
Celeriter admodum Melantias propitius, quæ in ponto
Sunt; & in duarum unam deſuper illapſus
Dextrâ aureum altè ſuſtuliſti arcum.
Candentemque emiſit arcus circum undique ſplendorem.
Illis autem una è Sporadibus tunc apparuit brevis
Aſpectu inſula, exiguæ Hippuridi inſulæ oppoſita.
Ibi jactis anchoris appulerunt. Aurora autem ſtatim

1700. Ἠείδειν] ἀντὶ τοῦ ᾔδεσαν. Schol.

1707. Μελαντίυς] Μελάντιοι δέ εἰσι δύο σκόπελοι πρὸς τῇ Θήρᾳ, ὕτως ὀνομαζόμενοι, ἀπὸ Μέλαντος, τῦ κατασχόντος τὴν χώραν, τὴν προσηγορίαν ἔχοντες. Ἀρήϊκοος. λίαν ἐπήκοος. Schol.

1711. Σποράδων βαιὴ] νῆσος βαιὴ, ἡ Ἀνάφη κληθεῖσα, πλησίον Θήρας. Schol.

1712. Νῆσος ἰδεῖν] νῆσος ἡ Ἱππυρὶς, πλησίον Θήρας. μνημονεύει δὲ αὐτῆς καὶ Τιμόσθενης, κ̀ Πυθαίνετος ἐν πρώτῳ περὶ Αἰγίνης. Schol.

φεῦγεν

Φεῦγεν ἀνερχομένη· τοὶ δ' ἀγλαὸν Ἀπόλλωνι
Ἄλσεϊ ἐνὶ σκιερῷ τέμενος σκιόεντά τε βωμὸν
Ποίεον· αἰγλήτην μὲν, ἐϋσκόπου εἵνεκεν αἴγλης
Φοῖβον κεκλόμενοι· Ἀνάφην δέ τε λισσάδα νῆσον
Ἴσκον, ὃ δὴ Φοῖβος μὲν ἀτυζομένοις ἀνέφηνε·
Ῥέζον δ' ὅσσα περ ἄνδρες ἐρημαίῃ ἔνι ῥέζειν
Ἀκτῇ ἐφοπλίσσειαν· ὃ δὴ σφέας ὁππότε δαλοῖς
Ὕδωρ αἰθομένοισιν ἐπιλλείβοντας ἴδοντο
Μηδείης δμωαὶ Φαιηκίδες, οὐκέτ' ἔπειτα
Ἴσχειν ἐν στήθεσσι γέλω σθένον, οἷα θαμειὰς
Αἰὲν ἐν Ἀλκινόοιο βοοκτασίας ὁρόωσαι.
Τὰς δ' αἰσχροῖς ἥρωες ἐπεστοβέεσκον ἔπεσσι,
Χλεύῃ γηθόσυνοι· γλυκερὴ δ' ἀνεδαίετο τοῖσι
Κερτομίη, καὶ νεῖκος ἐπεσβόλον· ἐκ δέ νυ κείνης
Μολπῆς ἡρώων, νήσῳ ἔνι τοῖα γυναῖκες

Fugit afcendens: illi pulchrum Apollini
Opaco in luco delubrum umbrofamque aram
Extruxerunt, Ægleten quidem profpicui fplendoris causâ
Phœbum vocantes, Anaphenque glabram illam infulam
Nuncupabant, eò quòd Phœbus triftantibus fe oftenderat.
Sacraque peragebant quotquot viri in deferto peragere
Litore pararent. Cùm verò eos facibus
Aquam ardentibus libantes confpicerent
Medeæ famulæ Phæacides, non amplius
Continere in pectoribus rifum poterant, utpote quæ frequentes
Semper in Alcinoi *agro* boves immolari viderant.
Illas autem procacibus heroes repungebant verbis
Rifu læti: lepida igitur inter eos incitabatur
Cavillatio, et jurgium dicax. Ex illo autem
Lufu heroum, in infulâ tali modo fœminæ

1717. Ἀνάφην. Vide Span. in Call. Dell. 53. Upt.

1723. Ἴσχειν ἐν, &c. De facris hifce cum rifu & dicacitate celebratis, confule Span. in Call. Del. 324. Upt.

1725. Ἐπεστοβέεσκον ἔπεσσι] ἐλοιδόρουν, ὕβριζον. Schol.

Ἀνδράσι

Ἀνδράσι δηριόων), ὅτ' Ἀπόλλωνα θυηλαῖς
Αἰγλήτην Ἀνάφης τιμήορον ἱλάσκονται.
Ἀλλ' ὅτε δὴ κἀκεῖθεν ὑπεύδια πείσματ' ἔλυσαν,
Μνήσατ' ἔπειτ' Εὔφημος ὀνείρατος ἐννυχίοιο,
Ἀζόμενος Μαίης υἷα κλυτόν· εἴσατο γάρ οἱ
Δαιμονίη βῶλαξ ἐπιμάστιος ᾧ ἐν ἀγοστῷ
Ἄρδεσθαι λευκῇσιν ὑπαὶ λιβάδεσσι γάλακτος.
Ἐκ δὲ γυνὴ βώλοιο πέλειν ὀλίγης περ ἐούσης,
Παρθενικῇ ἰκέλη· μίχθη δέ οἱ ἐν φιλότητι,
Ἄσχετον ἱμερθείς· ὀλοφύρετο δ' ἠΰτε κούρην
Ζευξάμενος, τὴν δ' αὐτὸς ἑῷ ἀτίταλλε γάλακτι.
Ἡ δέ ἑ μειλιχίοισι παρηγορέεσκεν ἔπεσσι
Τρίτωνος γένος εἰμὶ, τεῶν τροφὸς, ὦ φίλε, παίδων,
Οὐ κούρη (Τρίτων γὰρ ἐμοὶ Λιβύη τε τοκῆες)
Ἀλλά με Νηρῆος παρακάτθεο παρθενικῇσιν

Cum viris decertant, quoties Apollinem ſacris
Ægleten Anaphes patronum placant.
Quando autem et illinc in tranquillo retinacula ſolverant,
Meminit inde Euphemus nocturni ſomnii,
Venerans inclytum Maiæ filium: viſa enim eſt ei
Divina gleba ad mammam ſuo impoſita cubito
Irrigari niveis à guttis lactis;
Mulier inſuper *viſa eſt* ex glebâ fieri, parvâ licèt exiſtente,
Virgini ſimilis; miſtus autem eſt cum eâ in amore
Vehementi cupiditate inflatus; plorabat tamen quòd ſibi puellam
Adjunxerat, quam ipſe ſuo nutrierat lacte.
Illa verò eum blandis ſolata eſt verbis.
Tritonis genus ſum, tuorum, ô dilecte, nutrix liberorum,
Non filia: (Triton enim mihi Libyaque ſunt parentes)
Verùm apud Nerei me depoſuit virgines

1733. Μαίης υἷα] τὸν Ἑρμῆν φησὶν ἐξιλάσασθαι τὸν Εὔφημον, διὰ τὸ θεάσασθαι ὄνειρον. οὗτος γὰρ ἐπὶ τῶν ὀνείρων ὁ θεός. τοὺς γὰρ ὀνείρους Ἑρμῇ ἀνατιθέασιν. Schol.

1734. Βῶλαξ] ἡ τοῦ Τρίτωνος βῶλος ἐπὶ τῶν μαστῶν. δαίμονα γὰρ τοῦτον εἶπεν. Schol.

Ἀμπέλαγος

Ἀμπέλαγος ναίειν, Ἀνάφης σχεδόν· εἶμι δ' ἐς αὐγὰς
Ἠελίου μετόπισθε τεοῖς νεπόδεσσιν ἑτοίμη.
Τῷ δ' ἄρ' ἐπὶ μνῆσιν κραδίῃ βάλεν, ἔκ τ' ὀνόμηνεν
Αἰσονίδῃ· ὁ δ' ἔπειτα θεοπροπίας Ἑκάτοιο
Θυμῷ πεμπάζων, ἀνενείκατο, φώνησέν τε.
Ὦ πόποι, ἦ μέγα δή σε καὶ ἀγλαὸν ἔμμορε κῦδος.
Βώλακα γὰρ τεύξουσι θεοὶ πόντονδε βαλόντι
Νῆσον, ἵν' ὁπλότεροι παίδων σέθεν ἐννάσσονται
Παῖδες· ἐπεὶ Τρίτων ξεινήϊον ἐγγυάλιξε
Τήνδε τοι ἠπείροιο Λιβυστίδος· οὐδέ τις ἄλλος
Ἀθανάτων, ἢ κεῖνος, ὅ μιν πόρεν ἀντιβολήσας.
Ὣς ἔφατ'· οὐδ' ἁλίωσεν ὑπόκρισιν Αἰσονίδαο
Εὔφημος· βῶλον δὲ, θεοπροπίῃσιν ἰανθεὶς,

Ut in pelago habitarem prope Anaphen: proditura autem ſum ad jubar
Solis in poſterum tuis nepotibus parata.
Hujus igitur memoriam pectori injecit, vocavitque
Æſonidem: ille exinde vaticinia Apollinis
Animo reputans, retulit, dixitque,
Papæ, magna tibi profecto et inclyta contigit gloria:
Glebam enim Dii facient, ſi in mare projeceris,
Inſulam, ubi minores liberorum tuorum commorabuntur
Liberi; nam Triton pro xenio præbuit
Hanc tibi è terrâ Libyâ; nec alius aliquis
Deorum erat præter ipſum qui eam dedit obviam factus.
Sic dixit; nec irritum reddidit reſponſum Æſonis filii
Euphemus, ſed glebam vaticinio exhilaratus

1750. Βώλακα γὰρ] Εὔφημος ᾤκει τὴν Λακωνικὴν παρὰ τὸν αἰγιαλόν. εἷς δέ τις αὐτοῦ τῶν ἀπογόνων Σήσαμος ἀπῴκισε Θήραν, οὗ ἀπόγονος γέγονεν Ἀριστοτέλης ὃς τῆς περὶ Κυρήνην ἀποικίας ἡγήσατο. ἱστορεῖται ταῦτα παρὰ Πινδάρῳ ἐν Πυθιονίκαις· ἐπιμελέστερον δὲ παρὰ Θεοχρήστῳ ἐν πρώτῳ Λιβυκῶν, καὶ παρὰ Ἀκεσάνδρῳ ἐν πρώτῳ Κυρήνης. λέγει δὲ τὴν Θήραν, ὡς ἐκ τῆς τότε ῥιφθείσης βώλου γεγενημένης ἐν αὐξήσει καὶ ἀναπεφυκυίας ἐν τῇ θαλάσσῃ. καὶ Πίνδαρος μὲν πεπῆναι φησὶ τὴν βῶλον, καὶ περὶ τὴν νῦν καλουμένην Θήραν, νῆσον διαρρυῆναι, ἐπιλαθομένων τῶν θεραπόντων· ὁ δὲ Ἀπολλώνιος ἑκουσίως φησὶ τὸν Εὔφημον ἐπὶ τὴν θάλασσαν τὴν βῶλον βαλεῖν, συμβουλίᾳ Ἰάσονος. Schol.

Ἧκεν

Ἧκεν ὑποβρυχίην· τῆς δ' ἔκτοθι νῆσος ἀέρθη
Καλλίστη, παίδων ἱερὴ τροφὸς Εὐφήμοιο·
Οἳ πρὶν μέν ποτε δὴ Σιντιάδα Λῆμνον ἔναιον·
Λήμνου τ' ἐξελαθέντες ὑπ' ἀνδράσι Τυρσηνοῖσι,
Σπάρτην εἰσαφίκανον ἐφέστιοι· ἐκ δὲ λιπόντας
Σπάρτην Αὐτεσίωνος ἐῢς πάϊς ἤγαγε Θήρας
Καλλίστην ἐπὶ νῆσον· ἀμείψατο δ' οὔνομα Θήρης
Ἐξ ἕθεν· ἀλλὰ τὰ μὲν μετόπιν γένετ' Εὐφήμοιο.
Κεῖθεν δ' ἀπτερέως διὰ μυρίον οἶδμα λιπόντες,
Αἰγίνης ἀκτῇσιν ἐπέσχεθον· αἶψα δὲ τοί γε
Ὑδρείης πέρι δῆριν ἀμεμφέα δηρίσαντο,
Ὅς κεν ἀφυσσάμενος φθαίη μετὰ νῆα δ' ἱκέσθαι.

Misit submersam: ex eâ autem insula exorta est
Pulcherrima, liberorum sacra nutrix Euphemi;
Qui prius quidem aliquando Lemnum Sintiacam incolebant,
Lemnoque ejecti à viris Tyrrhenis
Spartam advenerunt, laremque habuerunt; sed egressos
E Spartâ Autesionis bonus filius duxit ad Theras
In Callistam insulam, quam Theram transnominavit
De se: sed ista evenerunt post Euphemum.
Inde celerrimè transmisso multo æquore,
Æginæ in litoribus cunctati sunt; ac statim illi
De aquatione inculpatum certamen inierunt,
Quisnam aquâ haustâ prior ad navem reverteret.

1760. Ἐξελαθέντες] ἐκβληθέντες ὑπὸ Τυρσηνῶν ἀπῆλθον εἰς Σπάρτην ἔποικοι. Schol.

1763. Καλλίστην ἐπὶ νῆσον] ἤλλαξε δὲ τὸ ὄνομα ἡ Καλλίστη νῆσος, καὶ ὠνομάσθη Θήρα, ἀπὸ Θήρα, ὃς ἦν Αὐτεσίωνος, ἐκεῖ ἀπὸ Σπάρτης ἀποικίαν ποιήσαντος, καὶ μείναντος. Schol.

1764. Ἐξ ἕθεν] ἀπὸ Εὐφήμου γενόμενος καὶ αὐτὸς καὶ Ἀριστοτέλης, εἰς Λιβύην τὴν ἀποικίαν ἠγάγοντο· ἦν δὲ ὁ Θήρας ἀπὸ Οἰδίποδος ἔχων τὸ γένος. Αὐτεσίωνος γὰρ ἦν, τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου, τοῦ Πολυνείκους, τοῦ Οἰδίποδος. συνεπηκολούθησαν δὲ εἰς τὴν ἀποικίαν τῷ Θήρᾳ καὶ Λήμνιοι, ἐκβληθέντες ὑπὸ Τυρρηνῶν ἐκ τῆς Λήμνου. Schol.

1765. Ἀπτερέως] ταχέως. Schol.

1767. Ὑδρείης] ὑδρείας, τῆς ὑδρεύσεως.

1768. Φθαίη] προφθάσοι. δηλονότι πρῶτος λάβοι, ἢ ὑδρεύσοι. Schol.

Ἀμφω

Ἄμφω γὰρ, χρειώ τε καὶ ἄσπετος οὖρος ἔπειγεν.
Ἔνθ᾽ ἔτι νῦν πλήθοντας ἐπωμαδὸν ἀμφιφορῆας
Ἐνθέμενοι κούφοισιν ἄφαρ κατ᾽ ἀγῶνα πόδεσσι
Κοῦροι Μυρμιδόνων νίκης πέρι δηριόωνται.
Ἵλατ᾽, ἀριστήων μακάρων γένος· αἵδε δ᾽ ἀοιδαὶ
Εἰς ἔτος ἐξ ἔτεος γλυκερώτεραι εἶεν ἀείδειν
Ἀνθρώποις· ἤδη γὰρ ἐπὶ κλυτὰ πείραθ᾽ ἱκάνω
Ὑμετέρων καμάτων· ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος
Αὖθις ἀπ᾽ Αἰγίνηθεν ἀνερχομένοισιν ἐτύχθη·
Οὔτ᾽ ἀνέμων ἐριωλαὶ ἀνέσταθεν· ἀλλὰ ἕκηλοι
Γαῖαν Κεκροπίην παρά τ᾽ Αὐλίδα μετρήσαντες

Pariter enim neceſſitas et multus ventus urſit.
Inde et in hodiernum, plenis in humeros amphoris
Sublatis, levibus celeriter in certamine pedibus,
Filii Myrmidonum pro victoriâ contendunt.
Propitiamini, procerum beatorum genus, atque hæc carmina
Ex anno in annum ſuaviora ſint cantu
Hominibus; jam enim ad inclytos terminos venio
Laborum veſtrorum; quandoquidem nullum vobis certamen
Rurſum ab Æginâ ſolventibus oblatum fuit,
Nec venti turbines exciti; ſed poſtquam quieti
Tellurem Cecropiam Aulidaque præteriiſſetis

1776. Ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος] ἐπεὶ οὐδεὶς ὑμῖν ἕτερος ἆθλος καὶ ἀγὼν ἀναχωρήσασιν ἀπὸ τῆς Αἰγίνης γέγονε, ἕως οὗ ἐπανήλθετε, ἀλλ᾽ οὔτε σφοδροὶ ἄνεμοι ἐκινήθησαν καὶ ἐπέδωσαν, ἀλλ᾽ ἥσυχοι παραπλεύσαντες τήν τε Ἀττικὴν καὶ τὴν Αὐλίδα, τὴν Εὔβοιαν, καὶ τὰς πόλεις τῶν Λοκρῶν, χαρίεντας καὶ ἐυγαλήνως εἰς τοὺς λιμένας τῶν Παγασῶν εἰσήλθετε· ὅθεν καὶ ἀπεπλεύσατε ἀπιόντες ἐπὶ Σκυθίαν διὰ τὸ χρυσοῦν δέρας. Schol.

1778. Ἐριωλαὶ] αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί. Schol.

1779. Αὐλίδα] ἡ Αὐλὶς πόλις Βοιωτίας καταντικρὺ τῆς Εὐβοίας κειμένη. Schol.

Εὐβοίης ἔντοσθεν, Ὀπούντιά τ' ἄστεα Λοκρῶν,
Ἀσπασίως ἀκτὰς Παγασηΐδας εἰσαπέβητε.

Intus Eubœam, atque Opuntias urbes Locrorum,
Lætabundè litora Pagasica ingressi estis.

1780. Ὀπούντια τ' ἄστεα] τὰ ὑπὸ τοῦ Ὀποῦντος ποτὲ ἱδρυμένα, τοῦ Διὸς υἱοῦ καὶ Πρωτογενείας. οὗ καὶ ἡ πόλις ἐπώνυμος. Ὀποῦς δὲ, καὶ ποταμὸς Λοκρίδος. Schol.

1781. Ἀκτὰς Παγασηΐδας] εἰς τοὺς αἰγιαλοὺς τῶν Παγασῶν εἰσήλθετε, ὅθεν καὶ τὴν ἀρχὴν ἀπεπλεύσατε. Schol.

FINIS.

# DAVIDIS RUHNKENII NOTÆ

# IN

# APOLLONIUM.

## EX EPISTOLA EJUS CRITICA

## AD ERNESTUM.

Προεκδόσεως veteres critici mentionem faciunt Lib. I. v. 285, 515, 543, 725, 788. Inter ſpurios ejus generis verſus retulerim Lib. I. v. 1226, 1227. quos etſi ita refingas, ut cum præcedentibus aptius cohæreant, tamen neque frigere deſinent, neque νοθείας indicia amittent.

V. 246. Ἀλλ' οὐ φυκτὰ κέλευθα· πόνος δ' ἌΠΡΗΚΤΟΣ ἰοῦσιν.

Huic lectioni explicandæ veteres Scholiaſtæ duriſſima quæque comminiſcuntur. Maximè is placet qui πόνον ἄπρηκτον exponit δύσπρακτον, δυσεργῆ, δυσκατόρθωτον. Sic apud Homerum, ἄπρηκτος ὀδύνη, ἀνίη. Veruntamen hoc quoque ab Apollonii mente alienum videtur. Legerim,

Ἀλλ' οὐ φυκτὰ κέλευθα, πόνος δ' ἈΥ῾ΡΗΤΟΣ ἰοῦσιν.

His enim verbis, qui juventutis florem è patria dimitti videbant, admirationem et indignationem cohibent ſuam; quod ſcilicet, urgente neceſſitate, regiſque juſſu, iter vitari nequeat, et ingens ille proficiſcentibus labor definitus certuſque ſit.

V. 972. ἼΣΟΝ που κἀκείνῳ ἐπισταχύεσκον ἴουλοι.

Scholiaſtes ἶσον per νεωστὶ exponit. Quod tibi, ſuaviſſime Erneſti, prorſus inauditum accidere neceſſe eſt. Verùm Scholiaſtes de iis, quæ ipſi nunc tribuuntur, ne per ſomnium quidem cogitavit. Nam cum iſta ſcriberet, veriorem lectionem ante oculos habebat;

ΝΕΙΟΝ που κἀκείνῳ ἐπισταχύεσκον ἴουλοι.

Lib. 1. v. 125. Νεῖον ἀπ' Ἀρκαδίης —— ubi idem; νεῖον, ἐσχηματισμένως ἀντὶ τοῦ νεωστί. In aliis exemplaribus, Scholiaſte teſte, legebatur,

ἉΡΜΟΙ που κἀκείνῳ ὑποσταχύεσκον ἴουλοι.

quod conjecturam noſtram omni liberat dubitatione. Nam ἀρμοῖ eſt νέον, νεωστὶ, ἀρτίως. Sed cum ἀρμοῖ initio ſcripſiſſet Apollonius, poſtea, credo, mutavit in νεῖον, ne quid Callimachus ſibi ereptum queri poſſet. Is enim dixerat *Fragm.* XLIV.

Ἀρμοῖ που κἀκείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος.

V. 1161. Τειρόμενοι, ΚΑΙ ΔΗ μεταλώφιον ——

Quid pro corrupta lectione ſubſtituendum ſit, nec ego, nec quiſquam alius, quos literarum veſtigiis inhærere oportet, facilè divinando aſſequatur. nam ſcribendum;

Τειρόμενοι ΚΑΜΑΤΩ͂ μεταλώφιον ——

Tale ἀποσπασμάτιον citat Etymol. M. v. λωφῶ. ſuppreſſo poetæ nomine. Quod quis dubitet, quin hic ipſe Apollonii verſus ſit; ſed integer, vitiique immunis. Etymologi collatio quam ſalutaris ſit Apollonio, Tu minime omnium ignoras. *Pag*. 306. 32. hunc verſum prodit abſque auctoris nomine.

ΕΙΣΑΜΕΝΟΙ παρὰ θῖνα θυηπολίης ἐμέλοντο

qui Apollonio debetur Lib. I. v. 966, 7.

Ἐνθ' οἵγ' ἐκβασίῳ βωμὸν θέσαν Ἀπόλλωνι,

ΣΤΗΣΑΜΕΝΟΙ παρὰ θῖνα θυηπολίης ἐμέλοντο.

Sed præ vulgata unice amplectendum eſt Etymologi, Εἰσάμενοι. Idem *pag*. 82. l. 11. Ἀμεύσιμον] Ἀμεύω, τὸ πορεύομαι, οἷον —— ὀπῆ καὶ ἀμεύσιμον —— τουτέστι πορεύσιμον. Ἀπολλώνιος, ὁ τὰ Ἀργοναυτικά. Hic quamvis Apollonius diſerte laudetur, tamen, quod affertur, ſemel atque iterum quæſivi. Nec mirum; cum ita corruptum lateat, ut doctiſſimorum acumen eludere poſſit. Sed arbitraberis jam, ὦ κεφαλὴ φίλη, an ſedem gloſſæ ſatis commodam indagarim? Lib. IV. v. 296, 297.

Στέλλεσθαι τὴν δ' οἶμον, ἵνα πρὸ γὰρ ὁλκὸς ἐτύχθη

Οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ ΜΟΡΣΙΜΟΝ ἦεν.

Hic olim Etymologum reperiſſe opinor:

—— ὀπῆ καὶ ΑΜΕΥΣΙΜΟΝ ἦεν.

Qua lectione nihil elegantius, nihil Apollonio dignius. Heſychius: Ἀμεύσασθαι, ἀμείψεσθαι, διελθεῖν, περαιώσασθαι. ubi vide Interp. Imprimis Hemſterhuſium *ad v* Διαμεῖψαι.

V. 1250 — 1255. Αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο ΝΕΕΣΘΑΙ,

Μή πως &c.

Γυμνὸν ΕΠΑΙΣΣΩΝ παλάμῃ ξίφος. ——

Hæc ita refingas,

Αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο ΔΙΕΣΘΑΙ,

Μή πως &c.

Γυμνὸν ΕΠΙΣΣΕΙΩΝ παλάμῃ ξίφος. ——

Δίεσθαι huic loco aptius, quam νέεσθαι. Atque ita citat Suidas *in v.* quamvis nec ipſe auctorem dixerit, nec Kuſterus indicârit. Alterum, quod dedi, confirmatur *Lib.* IV. v. 1055.

ΣΕΙΩΝ δ' ἐγχείας &c.

## IN LIBRUM SECUNDUM.

V. 119, 120. Αἶψα ΜΕΛΑΝ ΤΕΤΑΓΩΝ πέλεκυν μέγαν, ἠδὲ κελαινὴν Ἀρκτῶ &c.

Hæc quamcunque in partem verſes, nihil admodum extricabis. Fruſtra quoque ſudat Scholiaſtes, ad nugas tandem prolapſus. Vere, niſi me omnia fallunt, conjeci:

Αἶψα ΜΑΛ' ΑΜΠΕΠΑΛΩΝ πέλεκυν μέγαν, &c.

Ipſe Apollonius Lib. I. v. 168, 169,

Βῆ δ' ὅγε Μαιναλίης ἄρκτου δέρος, ἀμφίτομόν τε

Δεξιτερῇ ΠΑΛΛΩΝ πέλεκυν μέγαν ——

Nec pueros fugit Homericum,

—— ΑΜΠΕΠΑΛΩΝ δολιχόσκιον ἔγχος.

V. 145. Φράζεσθ' ὅ, τι κεν ἧσιν ΑΝΑΛΚΕΙΗΣΙΝ ἔρεξαν. Si

Si quæ præcedunt, et sequuntur, accurate cogitateque legeris, facile scribendum videbis,

Φράζεσθ' ὅ, τι κεν ἦσιν ΑΤΑΣΘΑΛΙΗΣΙΝ ἔρεξαν.

Vide Orphei *Argonaut.* v. 414. 472. 863. Oppian. Κυνηγ. *Lib.* II. v. 480. Sed non opus est exemplis.

V. 246. Ἆ δειλ' οὔτινα φημὶ σέθεν ΣΤΥΓΕΡΩΤΕΡΟΝ ἄλλον
Ἔμμεναι ἀνθρώπων.

Aliud Apollonium voluisse existimo, quàm quod hoc verbo significatur. Favet etiam Scholiastes: στυγερὸν σημαίνει μὲν καὶ τὸ μισητὸν, καὶ τὸ ἐπίφοβον· ἐνταῦθα δὲ ἴσως τὸ ἐπίπονον. Atqui nosti, vir Græce doctissime, σμυγερὸν significare ἐπίπονον, non στυγερόν. Legendum igitur,

Ἆ δειλ' οὔτινα φημὶ σέθεν ΣΜΥΓΕΡΩΤΕΡΟΝ ἄλλον
Ἔμμεναι ἀνθρώπων ——

Ovidius *Metam.* *lib.* VII. v. 4. de hoc ipso Phineo.

Virgineas volucres *miseri* senis ore fugarant.

Hesychius: σμυγερὸν, ἐπίπονον, οἰκτρόν. Qui tamen, quando στυγερὸν explicat κακοπαθές, verba hæc more suo confundit. Imo ipse Scholiastes pro ἐπίπονον accipit *Lib.* II. v. 374.

—— μετὰ δὲ σμυγερώτατοι ἀνδρῶν
Τρηχεῖαν Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν.

Obiter observes hos Apollonii versus imitando effinxisse Dionysium *Perieg.* v. 768, 9.

Τοῖς δ' ἐπὶ καὶ Χάλυβες στυφλὴν καὶ ἀπηνέα γαῖαν
Ναίουσι, μογεροῦ δεδαηκότες ἔργα σιδήρου.

Ubi vel legendum ex Apollonio ἀτειρέα γαῖαν, vel Dionysius contra veterem usum scripsisse dicendus est.

V. 328 — 330. Ἅρπυιαι τ' Ἶρίς τε διέτμαγεν· αἱ μὲν ἔδυσαν
Κευθμῶνα Κρήτης Μινωΐδος, ἡ δ' ἀνόρουσεν
Οὔλυμπόνδε θοῇσι ΜΕΤΑΧΡΟΝΙΗ πτερύγεσσιν.

Imitatur Hesiodum, *Theogon.* v. 267, 269.

—— ἡ δ' ὠκεῖαν τίκτεν Ἶριν,
Ἠϋκόμους θ' Ἁρπυίας, Ἀελλώ τ' Ὠκυπέτην τε,
Αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
Ὠκείῃς πτερύγεσσι· ΜΕΤΑΧΡΟΝΙΑΙ γὰρ ἴαλλον.

Qui etiam voce ΜΕΤΑΧΡΟΝΙΟΣ omnium princeps usus videtur. Scripturæ ratio non satis constat: nam modò legas μεταχρόνιος, modò μεταχθόνιος. Apud ipsum Apollonium ita variatur. *Lib.* II. v. 589.

—— ὕψου δὲ ΜΕΤΑΧΡΟΝΙΗ πεφόρητο.

*Lib.* III. v. 1150.

Ψυχὴ γὰρ νεφέεσσι ΜΕΤΑΧΘΟΝΙΗ πεπότητο.

*Lib.* IV. v. 952.

—— καὶ ἐς ἠέρα πέμπε
Ὕψι ΜΕΤΑΧΡΟΝΙΗΝ. ——

*Ibid.* v. 1296.

Πλημμυρὶς ἐκ πόντοιο ΜΕΤΑΧΘΟΝΙΗΝ ἐκόμισσε.

*Ibid.* v. 1385.

Νῆα ΜΕΤΑΧΡΟΝΙΗΝ. ——

*Ibid.* v. 1568.

Νῆα ΜΕΤΑΧΡΟΝΙΗΝ ——

Μεταχρόνιος agnoscit etiam Etymol. M. *p.* 581. 41. Sed cum illa vox non

ex μετὰ et χρόνος composita sit, uti Scholiastes Hesiodi ineptit, sed ex μετὰ et χθὼν, veriorem scripturam arbitror μεταχθόνιος: quamvis facile largiar, doctiores Græcos depravatam vulgi in pronunciando scribendoque consuetudinem esse secutos. Hesychius: μεταίσιον (l. μεταίρσιον) μεταχρόνιον. Ubi inverso ordine, explicatio, ut passim, præcedit vocabulum quod explicatur. Suidas: μεταχρονίη· ἡ εἰς ὕψος φερομένη. Exemplum, quod subjicit, ἐκ τῶν Μυθικῶν petitum videtur:

Τίς γάρ ἐμοὶ σεο μισθὸς ἐπάξιος, ἥν σε διδάξω
Ὕψου ὑπὲρ πόντοιο ΜΕΤΑΧΡΟΝΙΗΝ ποτέεσθαι;

Maximus Philosoph. περὶ καταρχῶν v. 420. qui plura debet Apollonio:

—— ἐν νεφέεσσι ΜΕΤΑΧΡΟΝΙΟΝ φορέεσθαι.

V. 379 —— 383. Τῇ δ' ἐπὶ Μοσσύνοικοι ὁμούριοι ὑλήεσσαν
Ἑξείης ἤπειρον ὑπωρείας τε νέμονται,
Δουρατέοις πύργοισιν ἐν οἰκία τεκτήναντες
Κάλινα, καὶ ΠΥΡΓΟΥΣ εὐπηγέας, οὓς καλέουσι
Μόσσυνας· ——

Sentis, priscæ vir doctrinæ, v. 382, aliquid ὕπουλον latere. Forte scribendum:

—— καὶ ΘΡΙΓΓΟΥΣ εὐπηγέας &c.

*Lib.* III. v. 217.

—— ΘΡΙΓΓΟΣ δ' ἐφύπερθε δόμοιο.

V. 985. 6. —— ὁ δ' ἀμφαδὸν ἄμμιγα πολλοῖς
Πόντον ἐς Ἄξεινον κυρτὴν ἀπερεύγεται ΑΚΡΗΝ.

Eruditus Scholiast. explicat. ὁ δὲ ὑπὸ τὴν κυρτὴν ἄκραν συμμεμιγμένος τοῖς ἄλλοις, εἰς τὸν Εὔξεινον πόντον ῥεῖ. ut facile appareat, eum legisse, κυρτὴν ὑπ' ἐρεύγεται ἄκρην. Sed nihil hac lectione et interpretatione lucis affertur: nec quidquam est præsidii in *Lib.* IV. v. 631.

—— τῇ μέν τ' ἐπερεύγεται ἀκτὰς
Ὠκεανοῦ. ——

Nam qui istum locum accuratius expenderit, longe aliam ejus rationem esse intelliget. Scribendum igitur facili emendatione:

—— ὁ δ' ἀμφαδὸν ἄμμιγα πολλοῖς.
Πόντον ἐς Ἄξεινον κυρτὴν ἀπερεύγεται ΑΧΝΗΝ.

Cujus conjecturæ sponsorem non requires locupletiorem Dionysio Perieg. qui tum plura alia Apollonii, tum hæc etiam expressit v. 122. 300. 693.

V. 1117. —— 1120. Αὐτίκα δ' ἔρραγεν ὄμβρος ἀθέσφατος ὗε δὲ πόντον
Καὶ νῆσον, καὶ πᾶσαν ὅσην κατεναντία νήσου
Νῆσον τ' ἤπειρόν τε περαίης ἀγχόθι νήσου
Χώρην Μοσσύνοικοι, &c.

Profecto hebes sit oportet, qui non videat v. 1119. huc ex altera editione, invito Apollonio, immigrasse. Hemsterhusius meus in libri margine sequentia notaverat: "Suspicor primæ secundæque editionis diversas lectiones hic fuisse conjunctas. Sic in editione priore opinor extitisse:

—— ὗε δὲ πόντον
Νῆσον τ' ἤπειρόν τε περαίης (vel περαίην) ἀγχόθι νήσου.

Quod deinde hunc in modum refinxerit Apollonius:

—— ὗε δὲ πόντον
Καὶ νῆσον, καὶ πᾶσαν ὅσην κατεναντία νήσου
Χώρην Μοσσύνοικοι.

Utravis lectio integram reddit et expeditam sententiam."

IN

# IN LIBRUM TERTIUM.

V. 76. Ὡς ηὔδα· Κύπριν ΔΕ ΝΕΟΣΤΑΣΙΗ λάβε μύθων.
Scholiastes: νεοστασίη, ἀντὶ τοῦ ἐν ἐπιστάσει ἐγένετο νέων μύθων· ἢ μύθων ἐπίστασις ἄλλη αὐτῇ, καὶ νεωστὶ παρασταθέντος λόγου συνόνοια. Miseretne te, mi Ernesti, balbutientis Grammatici? Hesychius: νεοστασίη. ἐπιφάνεια. νεωστὶ ἐρισμός, ἔκπληξις. Unde Arnaldus *Lect. Græc. p.* 100. Apollonio lucem afferre conabatur. Sed vox proba per se et composita ex νέος et ἵστημι, non convenit huic loco: Certius quid atque venustius idem Hesychius suppeditat: absque quo frustra laboraremus in hoc versu restituendo. Nam apud eum reperias: ἀνεοστασίη. θάμβος. Neque videtur glossam aliunde, nisi ex hoc ipso loco, derivasse. In posterum igitur legamus:

Ὡς ηὔδα· Κύπριν Δ' ΑΝΕΟΣΤΑΣΙΗ λάβε μύθων.

ἀνεοστασίη ex ἄνεος et ἵστημι elegantissime tribuitur iis, quorum vox, ut in minus exspectatis evenire solet, intercluditur et deficit. Recte igitur ab Hesychio explicatur θάμβος. Putem quoque eundem, cum νεοστασίη exponit ἔκπληξις, non tam ad νεοστασίη, quam ad ἀνεοστασίη respexisse. Quod si quis in Apollonio, ne litera quidem mutata, malit:

Ὡς ηὔδα· Κύπριν Δ' ΕΝΕΟΣΤΑΣΙΗ λάβε μύθων.

Huic non est quod valde refrageris. Nam ἄνεος et ἐνεὸς nihil differunt. Neque quærat quis, an quod damus, Apollonii menti accommodatum sit? Satis fuerit, vel obiter poetam inspexisse. Sumsit vero eam loquendi rationem ab Homero. Il. P. *v.* 695. *Odyss.* Δ. *v.* 704.

Δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε——

Alioquin legendum suspicari possea:

Ὡς ηὔδα· Κύπριν Δ' ΑΝΕΟΣΤΑΣΙΗ &c.

Plato *Phileb. p.* 76. F. Εἰς ἀφασίαν παντάπασί με οὗτος ὁ λόγος ἐμβέβληκε νυνί. *Euthydem. p.* 227. F. Ἐγὼ μὲν οὖν, ὥσπερ πληγεὶς ὑπὸ τοῦ λόγου, ἄφωνος ἐγενόμην. *Legg.* I. *p.* 570. A. οὐ μὴν ἀλλ' ἀφασία γ' ἡμᾶς λαμβάνει, τί ποτε χρὴ λέγειν περὶ τούτων. Ipse Apollon. *Lib.* II. *v.* 411.]

Δὴν δ' ἔσαν ΑΜΦΑΣΙΗ βεβολημένοι.——

Confer *Lib.* III. *v.* 284. 810. 1371. IV. 3.

V. 372—376. Οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀπόπροθι, λωβητῆρες,
Νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης
Πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι,
Αὐτίκ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος· οὐδ' ἐπὶ κῶας
Σκῆπτρα δὲ καὶ τιμὴν βασιληΐδα δεῦρο νέεσθε.

Vix alius Apollonii locus obscurior est, magisque impeditus. Longum esset, ac tædii plenum, Scholiastæ et Hœlzlini commenta referre. Dicam potius, quid mihi in mentem venerit. Tollendus est *v.* 374. παραδόξως superstes:

Πρίν τινα &c.

Statim sentis Cimmerias dispelli tenebras: præsertim si, quæ sequuntur, leviter etiam refingas. Quam conjecturam, magnopere lætor me probasse doctori carissimo, qui consultus, pro sua erga me indulgentia, ita respondit. " Adsentior tibi in *v.* 374. Apollonium hic versus non decet. Scholium adjectum, quod recentioris est, qui vetera mutilabat, ostendit scripturam

Ἀνδράσι δηριόωνται, ὅτ᾽ Ἀπόλλωνα θυηλαῖς
Αἰγλήτην Ἀνάφης τιμήορον ἱλάσκονται.
Ἀλλ᾽ ὅτε δὴ κἀκεῖθεν ὑπεύδια πείσματ᾽ ἔλυσαν,
Μνήσατ᾽ ἔπειτ᾽ Εὔφημος ὀνείρατος εὐνυχίοιο,
Ἁζόμενος Μαίης υἷα κλυτόν· εἴσατο γάρ οἱ
Δαιμονίη βῶλαξ ἐπιμάστιος ᾧ ἐν ἀγοστῷ
Ἄρδεσθαι λευκῇσιν ὑπαὶ λιβάδεσσι γάλακτος.
Ἐκ δὲ γυνὴ βώλοιο πέλειν ὀλίγης περ ἐούσης,
Παρθενικῇ ἰκέλη· μίχθη δέ οἱ ἐν φιλότητι,
Ἄσχετον ἱμερθείς· ὀλοφύρετο δ᾽ ἠΰτε κούρην
Ζευξάμενος, τὴν δ᾽ αὐτὸς ἐῷ ἀτίταλλε γάλακτι.
Ἡ δέ ἑ μειλιχίοισι παρηγορέεσκεν ἔπεσσι.
Τρίτωνος γένος εἰμὶ, τεῶν τροφὸς, ὦ φίλε, παίδων,
Οὐ κούρη (Τρίτων γὰρ ἐμοὶ Λιβύη τε τοκῆες)
Ἀλλά με Νηρῆος παρακάτθεο παρθενικῇσιν

Cum viris decertant, quoties Apollinem sacris
Ægleten Anaphes patronum placant.
Quando autem et illinc in tranquillo retinacula solverant,
Meminit inde Euphemus nocturni somnii,
Venerans inclytum Maiæ filium: visa enim est ei
Divina gleba ad mammam suo imposita cubito
Irrigari niveis à guttis lactis;
Mulier insuper *visa est* ex glebâ fieri, parvâ licèt existente,
Virgini similis; mistus autem est cum eâ in amore
Vehementi cupiditate inflatus; plorabat tamen quòd sibi puellam
Adjunxerat, quam ipse suo nutrierat lacte.
Illa verò eum blandis solata est verbis.
Tritonis genus sum, tuorum, ô dilecte, nutrix liberorum,
Non filia: (Triton enim mihi Libyaque sunt parentes)
Verùm apud Nerei me deposuit virgines

1733. Μαίης υἷα] τὸν Ἑρμῆν φησὶν ἐξιλάσκεσθαι τὸν Εὔφημον, διὰ τὸ θεάσασθαι ὄνειρον. οὗτος γὰρ ἐπὶ τῶν ὀνείρων ὁ θεός. τοὺς γὰρ ὀνείρους Ἑρμῇ ἀνατιθέασιν. Schol.

1734. Βῶλαξ] ἡ τοῦ Τρίτωνος βῶλος ἐπὶ τῶν μαστῶν. διηγεῖται γὰρ τοῦτον ἄπισ. Schol.

Ἀμπέλαγος

Ἀμπέλαγος ναίειν, Ἀνάφης σχεδόν· εἶμι δ' ἐς αὐγὰς
Ἠελίου μετόπισθε τεοῖς νεπόδεσσιν ἑτοίμη.
Τῷ δ' ἄρ' ἐπὶ μνῆστιν κραδίῃ βάλεν ἔκ τ' ὀνόμηνεν
Αἰσονίδην· ὁ δ' ἔπειτα θεοπροπίας Ἑκάτοιο
Θυμῷ πεμπάζων, ἀνενείκατο, φώνησέν τε.
Ὢ πόποι, ἦ μέγα δή σε καὶ ἀγλαὸν ἔμμορε κῦδος.
Βώλακα γὰρ τεύξουσι θεοὶ πόντονδε βαλόντι
Νῆσον, ἵν' ὁπλότεροι παίδων σέθεν εὐνάσσονται
Παῖδες· ἐπεὶ Τρίτων ξεινήιον ἐγγυάλιξε
Τήνδε τοι ἠπείροιο Λιβυστίδος· οὐδέ τις ἄλλος
Ἀθανάτων, ἢ κεῖνος, ὅ μιν πόρεν ἀντιβολήσας.
Ὣς ἔφατ'· οὐδ' ἁλίωσεν ὑποκρισίην Αἰσονίδαο
Εὔφημος· βῶλον δέ, θεοπροπίῃσιν ἰανθεὶς,

Ut in pelago habitarem prope Anaphen: proditura autem ſum ad jubar
Solis in poſterum tuis nepotibus parata.
Hujus igitur memoriam pectori injecit, vocavitque
Æſonidem: ille exinde vaticinia Apollinis
Animo reputans, retulit, dixitque,
Papæ, magna tibi profecto et inclyta contigit gloria:
Glebam enim Dii facient, ſi in mare projeceris,
Inſulam, ubi minores liberorum tuorum commorabuntur
Liberi; nam Triton pro xenio præbuit
Hanc tibi è terrâ Libyâ; nec alius aliquis
Deorum erat præter ipſum qui eam dedit obviam factus.
Sic dixit; nec irritum reddidit reſponſum Æſonis filii
Euphemus, ſed glebam vaticinio exhilaratus

1750. Βώλακα γάρ] Εὔφημος ᾤκει τὴν Λακωνικὴν περὶ τὸν αἰγιαλόν. εἷς δέ τις αὐτοῦ τῶν ἀπογόνων Σήσαμος ἀπῴκισε Θήραν, οὗ ἀπόγονος γέγονεν Ἀριστοτέλης ὃς τῆς πρὸς Κυρήνην ἀποικίας ἡγήσατο. ἱστορεῖται ταῦτα παρὰ Πινδάρῳ ἐν Πυθιονίκαις· ἐπιμελέστερον δὲ παρὰ Θεοχρήστῳ ἐν πρώτῳ Λιβυκῶν, καὶ παρὰ Ἀκεσάνδρῳ ἐν πρώτῳ Κυρήνης. λέγει δὲ τὴν Θήραν, ὡς ἐκ τῆς τότε ῥιφείσης βώλου γεγενημένης ἐν αὐξήσει καὶ ἀναπεφυκυίας ἐν τῇ θαλάσσῃ. καὶ Πίνδαρος μὲν πεπτηκέναι φησὶ τὴν βῶλον, καὶ πρὸς τὴν νῦν καλουμένην Θήραν, νῆσον ἀποῤῥυῆναι, ἐπιλαθομένων τῶν θεραπόντων· ὁ δὲ Ἀπολλώνιος ἑκουσίως φησὶ τὸν Εὔφημον ἐπὶ τὴν θάλασσαν τὴν βῶλον βαλεῖν, συμβουλίᾳ Ἰάσονος. Schol.

Ἦκεν

Ἧκεν ὑποβρυχίην· τῆς δ' ἔκτοθι νῆσος ἀέρθη
Καλλίστη, παίδων ἱερὴ τροφὸς Εὐφήμοιο·
Οἳ πρὶν μέν ποτε δὴ Σιντηΐδα Λῆμνον ἔναιον·
Λήμνου τ' ἐξελαθέντες ὑπ' ἀνδράσι Τυρσηνοῖσι,
Σπάρτην εἰσαφίκανον ἐφέστιοι· ἐκ δὲ λιπόντας
Σπάρτην Αὐτεσίωνος ἐῢς πάϊς ἤγαγε Θήρας
Καλλίστην ἐπὶ νῆσον· ἀμείψατο δ' οὔνομα Θήρης
Ἐξ ἕθεν· ἀλλὰ τὰ μὲν μετόπιν γένετ' Εὐφήμοιο.
Κεῖθεν δ' ἀπτερέως διὰ μυρίον οἶδμα λιπόντες,
Αἰγίνης ἀκτῇσιν ἐπέσχεθον· αἶψα δὲ τοί γε
Ὑδρείης πέρι δῆριν ἀμεμφέα δηρίσαντο,
Ὅς κεν ἀφυσσάμενος φθαίη μετὰ νῆα δ' ἱκέσθαι.

Misit submersam: ex eâ autem insula exorta est
Pulcherrima, liberorum sacra nutrix Euphemi;
Qui prius quidem aliquando Lemnum Sintiacam incolebant,
Lemnoque ejecti à viris Tyrrhenis
Spartam advenerunt, laremque habuerunt; sed egressos
E Spartâ Autesionis bonus filius duxit ad Theras
In Callistam insulam, quam Theram transnominavit
De se: sed ista evenerunt post Euphemum.
Inde celerrimè transmisso multo æquore,
Æginæ in litoribus cunctati sunt; ac statim illi
De aquatione inculpatum certamen inierunt,
Quisnam aquâ hausta prior ad navem reverteret.

1760. Ἐξελαθέντες] ἐκπολεμηθέντες ὑπὸ Τυρσηνῶν ἀπῆλθον εἰς Σπάρτην ἔποικοι. Schol.

1763. Καλλίστην ἐπὶ νῆσον] ἤλλαξε δὲ τὸ ὄνομα ἡ Καλλίστη νῆσος, καὶ ὠνομάσθη Θήρα, ἀπὸ Θήρα, υἱοῦ Αὐτεσίωνος, ὅτε ἀπὸ Σπάρτης ἀποικίαν ποιήσαντος, καὶ μείναντος. Schol.

1764. Ἐξ ἕθεν] ἀπὸ Εὐφήμου γενόμενος ὁ αὐτὸς καὶ Ἀριστοτέλης, εἰς Λιβύην τὴν ἀποικίαν ἠγάγοντο· ἦν δὲ ὁ Θήρας ἀπὸ Οἰδίποδος ἔχων τὸ γένος. Αὐτεσίωνος γὰρ ἦν, τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου, τοῦ Πολυνείκους, τοῦ Οἰδίποδος. συνεστάλησαν δὲ εἰς τὴν ἀποικίαν τοῦ Θήρα καὶ Λήμνιοι, ἐκπολεμηθέντες ὑπὸ Τυῤῥηνῶν ἐκ τῆς Λήμνου. Schol.

1765. Ἀπτερέως] ταχέως. Schol.

1767. Ὑδρείης] ὑδρείας, τῆς ὑδρεύσεως.

1768. Φθαίη] προφθάσοι. δηλονότι προφθάσας λάβοι, ἢ ὑδρεύσοι. Schol.

Ἀμφω

Ἄμφω γὰρ, χρειώ τε καὶ ἄασπετος οὖρος ἔπειγεν.
Ἔνθ' ἔτι νῦν πλήθοντας ἐπωμαδὸν ἀμφιφορῆας
Ἐνθέμενοι κούφοισιν ἄφαρ κατ' ἀγῶνα πόδεσσι
Κοῦροι Μυρμιδόνων νίκης πέρι δηριόωνται.
Ἵλατ', ἀριστήων μακάρων γένος· αἵδε δ' ἀοιδαὶ
Εἰς ἔτος ἐξ ἔτεος γλυκερώτεραι εἶεν ἀείδειν
Ἀνθρώποις· ἤδη γὰρ ἐπὶ κλυτὰ πείραθ' ἱκάνω
Ὑμετέρων καμάτων· ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος
Αὖθις ἀπ' Αἰγίνηθεν ἀνερχομένοισιν ἐτύχθη·
Οὔτ' ἀνέμων ἐριωλαὶ ἀνέσταθεν· ἀλλὰ ἕκηλοι
Γαῖην Κεκροπίην παρά τ' Αὐλίδα μετρήσαντες

Pariter enim necessitas et multus ventus ursit.
Inde et in hodiernum, plenis in humeros amphoris
Sublatis, levibus celeriter in certamine pedibus,
Filii Myrmidonum pro victoriâ contendunt.
Propitiamini, procerum beatorum genus, atque hæc carmina
Ex anno in annum suaviora sint cantu
Hominibus; jam enim ad inclytos terminos venio
Laborum vestrorum; quandoquidem nullum vobis certamen
Rursum ab Æginâ solventibus oblatum fuit,
Nec venti turbines exciti; sed postquam quieti
Tellurem Cecropiam Aulidaque præteriissetis

1776. Ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος] ἐπεὶ οὐδεὶς ὑμῖν ἕτερος ἆθλος καὶ ἀγὼν ἀναχωρήσασιν ἀπὸ τῆς Αἰγίνης γέγονε, ἕως οὗ ἐπανήλθετε, ἀλλ' οὔτε σφοδροὶ ἄνεμοι ἐκινήθησαν καὶ ἐπεδυσαν, ἀλλ' ἥσυχοι παραπλεύσαντες τήν τε Ἀττικὴν καὶ τὴν Αὐλίδα, τὴν Εὔβοιαν, καὶ τὰς πόλεις τῶν Λοκρῶν, χαρίεντας καὶ εὐγαλήνως εἰς τοὺς λιμένας τῶν Παγασῶν ἀπήλθετε· ὅθεν καὶ ἀπεπλεύσατε ἀπιόντες ἐπὶ Σκυθίαν διὰ τὸ χρυσοῦν δέρας. Schol.

1778. Ἐριωλαὶ] αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί. Schol.

1779. Αὐλίδα] ἡ Αὐλὶς πόλις Βοιωτίας καταντικρὺ τῆς Εὐβοίας κειμένη. Schol.

Εὐβοίης ἔντοσθεν, Ὀπούντιά τ' ἄστεα Λοκρῶν,
Ἀσπασίως ἀκτὰς Παγασηΐδας εἰσαπέβητε.

Intus Eubœam, atque Opuntias urbes Locrorum,
Lætabundè litora Pagasica ingressi estis.

1780. Ὀπούντια τ' ἄστεα] τὰ ὑπὸ τοῦ Ὀποῦντος ποτὲ ἐχόμενα, τοῦ Διὸς υἱοῦ καὶ Πρωτογενείας. οὗ καὶ ἡ πόλις ἐπώνυμος. Ὀποῦς δὲ, καὶ ποταμὸς Λοκρίδος. Schol.

1781. Ἀκτὰς Παγασηΐδας] εἰς τοὺς αἰγιαλοὺς τῶν Παγασῶν εἰσήλθετε, ὅθεν καὶ τὴν ἀρχὴν ἀπεπλεύσατε. Schol.

F I N I S.

# DAVIDIS RUHNKENII NOTÆ

# IN

# APOLLONIUM.

## EX EPISTOLA EJUS CRITICA AD ERNESTUM.

Προεκδόσεως veteres critici mentionem faciunt Lib. I. v. 285, 515, 543, 725, 788. Inter ſpurios ejus generis verſus retulerim Lib. I. v. 1226, 1227. quos etſi ita reſingas, ut cum præcedentibus aptius cohæreant, tamen neque frigere deſinent, neque νοθείας indicia amittent.

V. 246. Ἀλλ' οὐ φυκτὰ κέλευθα· πόνος δ' ἈΠΡΗΚΤΟΣ ἰοῦσιν.

Huic lectioni explicandæ veteres Scholiaſtæ duriſſima quæque comminiſcuntur. Maximè is placet qui πόνον ἄπρηκτον exponit δύσπρακτον, δυσεργῆ, δυσκατόρθωτον. Sic apud Homerum, ἄπρηκτος ὀδύνη, ἀνίη. Veruntamen hoc quoque ab Apollonii mente alienum videtur. Legerim,

Ἀλλ' οὐ φυκτὰ κέλευθα, πόνος δ' ΑΥ῾ΡΗΤΟΣ ἰοῦσιν.

His enim verbis, qui juventutis florem è patria dimitti videbant, admirationem et indignationem cohibent ſuam; quod ſcilicet, urgente neceſſitate, regiſque juſſu, iter vitari nequeat, et ingens ille proficiſcentibus labor definitus certuſque ſit.

V. 972. ἼΣΟΝ που καὶ κείνῳ ἐπιςαχύεσκον ἴουλοι.

Scholiaſtes ἶσον per νεωστὶ exponit. Quod tibi, ſuaviſſime Erneſti, prorſùs inauditum accidere neceſſe eſt. Verùm Scholiaſtes de iis, quæ ipſi nunc tribuuntur, ne per ſomnium quidem cogitavit. Nam cum iſta ſcriberet, veriorem lectionem ante oculos habebat;

ΝΕΙΟΝ που καὶ κείνῳ ἐπιςαχύεσκον ἴουλοι.

Lib. I. v. 125. Νεῖον ἀπ' Ἀρκαδίης —— ubi idem; νεῖον, ἐπιρρηματικῶς ἀντὶ τοῦ νεωστί. In aliis exemplaribus, Scholiaſte teſte, legebatur,

ἉΡΜΟΙ που καὶ κείνῳ ὑποςαχύεσκον ἴουλοι.

quod conjecturam noſtram omni liberat dubitatione. Nam ἁρμοῖ eſt νέον, νεωστὶ, ἀρτίως. Sed cum ἁρμοῖ initio ſcripſiſſet Apollonius, poſtea, credo, mutavit in νεῖον, ne quid Callimachus ſibi ereptum queri poſſet. Is enim dixerat *Fragm.* XLIV.

Ἁρμοῖ που κείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος.

V. 1161. Τειρόμενοι, ΚΑΙ ΔΗ μετιλάφιον ——

Quid pro corrupta lectione ſubſtituendum ſit, nec ego, nec quiſquam alius, quos literarum veſtigiis inhærere oportet, facilè divinando aſſequatur. nam ſcribendum;

Τειρόμενοι ΚΑΜΑΤΩ μετιλάφιον ——

Tale ἀπεσπασμένον citat Etymol. M. v. λωφᾶ. suppresso poetæ nomine. Quod quis dubitet, quin hic ipse Apollonii versus sit; sed integer, vitiique immunis. Etymologi collatio quam salutaris sit Apollonio, Tu minime omnium ignoras. *Pag.* 306. 32. hunc versum prodit absque auctoris nomine.

ΕΙΣΑΜΕΝΟΙ παρὰ θῖνα θυηπολίης ἐμέλοντο

qui Apollonio debetur Lib. I. v. 966, 7.

Ἔνθ' οἵγ' ἐκβασίῳ βωμὸν θέσαν Ἀπόλλωνι,
ΣΤΗΣΑΜΕΝΟΙ παρὰ θῖνα θυηπολίης ἐμελόντο.

Sed præ vulgata unice amplectendum est Etymologi, Εἰσάμενοι. Idem *pag.* 82. l. 11. Ἀμεύσιμον] Ἀμεύω, τὸ περαιόομαι, οἷον —— ὅπῃ καὶ ἀμεύσιμον —— τυτέσι περαιώσιμον. Ἀπολλώνιος, ὁ τὰ Ἀργοναυτικά. Hic quamvis Apollonius diserte laudetur, tamen, quod affertur, semel atque iterum quæsivi. Nec mirum; cum ita corruptum lateat, ut doctissimorum acumen eludere possit. Sed arbitraberis jam, ὦ κριτικώτατε, an sedem glossæ satis commodam indagarim? Lib. IV. v. 296, 297.

Στέλλεσθαι τὴν δ' οἶμον, ἐπιπρὸ γὰρ ὀλκὸς ἐτύχθη
Οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ ΜΟΡΣΙΜΟΝ ἦεν.

Hic olim Etymologum reperisse opinor:

—— ὅπῃ καὶ ΑΜΕΥΣΙΜΟΝ ἦεν.

Qua lectione nihil elegantius, nihil Apollonio dignius. Hesychius: Ἀμεύσασθαι, ἀμείψεσθαι, διελθεῖν, περαιώσασθαι. ubi vide Interp. Imprimis Hemsterhusium *ad v* Διαμεῖψαι.

V. 1250 — 1255. Αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο ΝΕΕΣΘΑΙ,
Μή πως &c.
Γυμνὸν ΕΠΑΙΣΣΩΝ παλάμῃ ξίφος. ——

Hæc ita refingas,

Αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο ΔΙΕΣΘΑΙ,
Μή πως &c.
Γυμνὸν ΕΠΙΣΣΕΙΩΝ παλάμῃ ξίφος. ——

Δίεσθαι huic loco aptius, quam νέεσθαι. Atque ita citat Suidas *in v.* quamvis nec ipse auctorem dixerit, nec Kusterus indicârit. Alterum, quod dedi, confirmatur *Lib.* IV. v. 1055.

ΣΕΙΩΝ δ' ἐγχείας &c.

## IN LIBRUM SECUNDUM.

V. 119, 120. Αἶψα ΜΕΛΑΝ ΤΕΤΑΓΩΝ πέλεκυν μέγαν, ἠδὲ κελαινὸν
Ἀρκτοῦ &c.

Hæc quamcunque in partem verses, nihil admodum extricabis. Frustra quoque sudat Scholiastes, ad nugas tandem prolapsus. Vere, nisi me omnia fallunt, conjeci:

Αἶψα ΜΑΛ' ΑΜΠΕΠΑΛΩΝ πέλεκυν μέγαν, &c.

Ipse Apollonius Lib. I. v. 168, 169,

Βῆ δ' ὅγε Μαιναλίης ἄρκτου δέρος, ἀμφίτομόν τε
Δεξιτερῇ ΠΑΛΛΩΝ πέλεκυν μέγαν ——

Nec pueros fugit Homericum,

—— ΑΜΠΕΠΑΛΩΝ δολιχόσκιον ἔγχος.

V. 145. Φράζεσθ' ὅ, ττι κεν ἦσιν ΑΝΑΛΚΕΙΗΣΙΝ ἔρεξαν. Si

Si quæ præcedunt, et sequuntur, accurate cogitateque legeris, facile scribendum videbis,

Φράζεσθ' ὅ, τί κεν ἦσι ΑΤΑΣΘΑΛΙΗΣΙΝ ἔρξαιο.

Vide Orphei *Argonaut.* *v.* 414. 472. 863. Oppian. Κυνηγ. *Lib.* II. *v.* 480. Sed non opus est exemplis.

V. 246. Ἆ δεῖλ' οὔτινα φημὶ σέθεν ΣΤΥΓΕΡΩΤΕΡΟΝ ἄλλον
Ἔμμεναι ἀνθρώπων.

Aliud Apollonium voluisse existimo, quàm quod hoc verbo significatur. Favet etiam Scholiastes: στυγερὸν σημαίνει μὲν καὶ τὸ μισητὸν, καὶ τὸ ἐπίφθονον· ἐνταῦθα δὲ ἴσως τὸ ἐπίπονον. Atqui nosti, vir Græce doctissime, σμυγερὸν significare ἐπίπονον, non στυγερόν. Legendum igitur,

Ἆ δεῖλ' οὔτινα φημὶ σέθεν ΣΜΥΓΕΡΩΤΕΡΟΝ ἄλλον
Ἔμμεναι ἀνθρώπων ——

Ovidius *Metam.* *lib.* VII. v. 4. de hoc ipso Phineo.

Virgineas volucres *miseri* senis ore fugarant.

Hesychius: σμυγερὸν, ἐπίπονον, οἰκτρόν. Qui tamen, quando στυγερὸν explicat κακοπαθὴς, verba hæc more suo confundit. Imo ipse Scholiastes pro ἐπίπονον accipit *Lib.* II. v. 374.

—— μετὰ δὲ σμυγερώτατοι ἀνδρῶν
Τρηχεῖαν Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν.

Obiter observes hos Apollonii versus imitando effinxisse Dionysium *Perieg.* v. 768, 9.

Τοῖς δ' ἐπὶ καὶ Χάλυβες στυφελὴν καὶ ἀπηνέα γαῖαν
Ναίουσιν, μογερῶν δεδαηκότες ἔργα σιδήρου.

Ubi vel legendum ex Apollonio ἀτειρέα γαῖαν, vel Dionysius contra veterem usum scripsisse dicendus est.

V. 328 — 330. Ἅρπυιαι τ' Ἶρίς τε διέτμαγον· αἱ μὲν ἔδυσαν
Κευθμῶνα Κρήτης Μινωΐδος, ἡ δ' ἀνόρουσεν
Οὔλυμπόνδε θοῇσι ΜΕΤΑΧΡΟΝΙΗ πτερύγεσσιν.

Imitatur Hesiodum, *Theogon.* *v.* 267, 269.

——— ἡ δ' ὠκεῖαν τίκτεν Ἶριν,
Ἠϋκόμους θ' Ἁρπυίας, Ἀελλώ τ' Ὠκυπέτην τε,
Αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
Ὠκείῃς πτερύγεσσι· ΜΕΤΑΧΡΟΝΙΑΙ γὰρ ἴαλλον.

Qui etiam voce ΜΕΤΑΧΡΟΝΙΟΣ omnium princeps usus videtur. Scripturæ ratio non satis constat: nam modò legas μεταχρόνιος, modò μεταχθόνιος, Apud ipsum Apollonium ita variatur. *Lib.* II. *v.* 589.

—— ὕψου δὲ ΜΕΤΑΧΡΟΝΙΗ πεφόρητο.

*Lib.* III. *v.* 1150.

Ψυχὴ γὰρ νεφέεσσι ΜΕΤΑΧΘΟΝΙΗ πεπότητο.

*Lib.* IV. *v.* 952.

—— καὶ ἐς ἠέρα πέμπε
Ὕψι ΜΕΤΑΧΡΟΝΙΗΝ. ——

*Ibid.* *v.* 1296.

Πλημμυρὶς ἐκ πόντοιο ΜΕΤΑΧΘΟΝΙΗΝ ἐκόμισσε.

*Ibid.* *v.* 1385.

Νῆα ΜΕΤΑΧΡΟΝΙΗΝ. ——

*Ibid.* *v.* 1568.

Νῆα ΜΕΤΑΧΡΟΝΙΗΝ ——

Μεταχρόνιος agnoscit etiam Etymol. M. *p.* 581. 41. Sed cum illa vox non

ex μετὰ et χρόνος composita sit, uti Scholiastes Hesiodi ineptit, sed ex μετὰ et χθὼν, veriorem scripturam arbitror μεταχθόνιος: quamvis facile largiar, doctiores Græcos depravatam vulgi in pronunciando scribendoque consuetudinem esse secutos. Hesychius: μεταίσιον (l. μεταίρσιον) μεταχρόνιον. Ubi inverso ordine, explicatio, ut passim, præcedit vocabulum quod explicatur. Suidas: μεταχρονίη· ἡ εἰς ὕψος φερομένη· Exemplum, quod subjicit, ἐκ τῶν Μυθικῶν petitum videtur:

Τίς γάρ ἐμοὶ στο μισθὸς ἐπάξιος, ἥν σε διδάξω
Ὕψῦ ὑπὲρ πόντοιο ΜΕΤΑΧΡΟΝΙΗΝ ποτέεσθαι;

Maximus Philosoph. περὶ καταρχῶν v. 420. qui plura debet Apollonio:

—— ἐν νεφέεσσι ΜΕΤΑΧΡΟΝΙΟΝ φορέεσθαι.

V. 379 —— 383. Τῇ δ' ἐπὶ Μοσσύνοικοι ὁμούρεοι ὑλήεσσαν
Ἑξείης ἤπειρον ὑπωρείας τε νέμονται,
Δουρατέοις πύργοισιν ἐν οἰκία τεκτήναντες
Κάλινα, καὶ ΠΥΡΓΟΥΣ εὐπηγέας, οὓς καλέουσι
Μόσσυνας· ——

Sentis, priscæ vir doctrinæ, v. 382, aliquid ὕπουλον latere. Forte scribendum:

—— καὶ ΘΡΙΓΓΟΥΣ εὐπηγέας &c.

*Lib.* III. v. 217.

—— ΘΡΙΓΓΟΣ δ' ἐφύπερθε δόμοιο.

V. 985, 6. —— ὁ δ' ἀμφαδὸν ἄμμιγα πνοιῇς
Πόντον ἐς Ἄξεινον κυρτὴν ἀπερεύγεται ΑΚΡΗΝ.

Eruditus Scholiast. explicat. ὁ δὲ ὑπὸ τὴν κυρτὴν ἄκραν συμμεμιγμένος τῆς ἅλμης, εἰς τὸν Εὔξεινον πόντον ῥεῖ. ut facile appareat, eum legisse, κυρτὴν ὑπ' ἐρεύγεται ἄκρην. Sed nihil hac lectione et interpretatione lucis affertur: nec quidquam est præsidii in *Lib.* IV. v. 631.

—— τῇ μέν τ' ἐπερεύγεται ἀκτὰς
Ὠκεανοῦ. ——

Nam qui istum locum accuratius expenderit, longe aliam ejus rationem esse intelliget. Scribendum igitur facili emendatione:

—— ὁδ' ἀμφαδὸν ἄμμιγα παόροις.
Πόντον ἐς Ἄξεινον κυρτὴν ἀπερεύγεται ΑΧΝΗΝ.

Cujus conjecturæ sponsorem non requires locupletiorem Dionysio Perieg. qui tum plura alia Apollonii, tum hæc etiam expressit v. 122. 300. 693.

V. 1117. —— 1120. Αὐτίκα δ' ἐρράγη ὄμβρος ἀθέσφατος ὗε δὲ πόντον
Καὶ νῆσον, καὶ πᾶσαν ὅσην κατεναντία νήσου
Νῆσον τ' ἤπειρόν τε περαίης ἀγχόθι νήσου
Χώρην Μοσσύνοικοι, &c.

Profecto hebes sit oportet, qui non videat v. 1119. huc ex altera editione, invito Apollonio, immigrasse. Hemsterhusius meus in libri margine sequentia notaverat: "Suspicor primæ secundæque editionis diversas lectiones hic fuisse conjunctas. Sic in editione priore opinor extitisse:

—— ὗε δὲ πόντον
Νῆσον τ' ἤπειρόν τε περαίης (vel περαίην) ἀγχόθι νήσου.

Quod deinde hunc in modum refinxerit Apollonius:

—— ὗε δὲ πόντον
Καὶ νῆσον, καὶ πᾶσαν ὅσην κατεναντία νήσου
Χώρην Μοσσύνοικοι.

Utravis lectio integram reddit et expeditam sententiam."

IN

# IN LIBRUM TERTIUM.

V. 76. Ὡς ηὔδα· Κύπριν ΔΕ ΝΕΟΣΤΑΣΙΗ λάβε μύθων.
Scholiastes: νεοστασίη, ἀντὶ τοῦ ἐν ἐπιστάσει ἐγένετο νέων μύθων· ἢ μύθων ἐπίστασις ἔλαβεν αὐτὴν, καὶ νεωστὶ παραπεπληγότος λόγου συνόνοια. Miseretne te, mi Ernesti, balbutientis Grammatici? Hesychius: νεοστασίη. ἑτεροίωσις. κατηφισμός, ἔκπληξις. Unde Arnaldus *Lect. Græc.* *p.* 100. Apollonio lucem afferre conabatur. Sed vox proba per se et composita ex νέος et ἵστημι, non convenit huic loco: Certius quid atque venustius idem Hesychius suppeditat: absque quo frustra laboraremus in hoc versu restituendo. Nam apud eum reperias: ἀνεοστασίη. θάμβος. Neque videtur glossam aliunde, nisi ex hoc ipso loco, derivasse. In posterum igitur legamus:

Ὡς ηὔδα· Κύπριν Δ' ΑΝΕΟΣΤΑΣΙΗ λάβε μύθων.

ἀνεοστασίη ex ἄνεος et ἵστημι elegantissime tribuitur iis, quorum vox, ut in minus exspectatis evenire solet, intercluditur et deficit. Recte igitur ab Hesychio explicatur θάμβος. Putem quoque eundem, cum νεοστασίη exponit ἔκπληξις, non tam ad νεοστασίη, quam ad ἀνεοστασίη respexisse. Quod si quis in Apollonio, ne litera quidem mutata, malit:

Ὡς ηὔδα· Κύπριν Δ' ΕΝΕΟΣΤΑΣΙΗ λάβε μύθων.

Huic non est quod valde refrageris. Nam ἄνεος et ἐνεὸς nihil differunt. Neque quærat quis, an quod damus, Apollonii menti accommodatum sit? Satis fuerit, vel obiter poetam inspexisse. Sumsit vero eam loquendi rationem ab Homero. Il. P. *v.* 695. *Odyss.* Δ. *v.* 704.

Δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε ———

Alioquin legendum suspicari possea:

Ὡς ηὔδα· Κύπριν Δ' ΑΝΕΟΣΤΑΣΙΗ &c.

Plato *Phileb.* *p.* 76. F. Εἰς ἀφασίαν παντάπασί με οὗτος ὁ λόγος ἐμβέβληκε τανῦν. *Euthydem.* *p.* 227. F. Ἐγὼ μὲν οὖν, ὥσπερ πληγεὶς ὑπὸ τοῦ λόγου, ἄφωνος ἐγενόμην, *Legg.* I. *p.* 570. A. οὐ μὲν ἀλλ' ἀφασία γ' ἡμᾶς λαμβάνει, τί ποτε χρὴ λέγειν πρὸς ταῦτα. Ipse Apollon. *Lib.* II. *v.* 411.]

Δὴν δ' ἔσαν ΑΜΦΑΣΙΗ βεβολημένοι. ———

Confer *Lib.* III. *v.* 284. 810. 1371. IV. 3.

V. 372 — 376. Οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀπόπροθι, λωβητῆρες,
Νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης
Πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι,
Αὐτίκ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος· οὐδ' ἐπὶ κῶας
Σκῆπτρα δὲ καὶ τιμὴν βασιληΐδα δεῦρο νέεσθε.

Vix alius Apollonii locus obscurior est, magisque impeditus. Longum esset, ac tædii plenum, Scholiastæ et Hœlzlini commenta referre. Dicam potius, quid mihi in mentem venerit. Tollendus est *v.* 374. παρενθέσει superstes:

Πρίν τινα &c.

Statim sentis Cimmerias dispelli tenebras: præsertim si, quæ sequuntur, leviter etiam refingas. Quam conjecturam, magnopere lætor me probasse doctori carissimo, qui consultus, pro sua erga me indulgentia, ita respondit. " Adsentior tibi in *v.* 374. Apollonium hic versus non decet. Scholium adjectum, quod recentioris est, qui vetera mutilabat, ostendit scripturam

turam in antiquis Codd. non constitisse. Legerim ἐφ' Ἑλλάδος· deinde vel, οὔτε ἐπὶ κώμας, Σκῦθαί δὲ, &c. id est, ἀλλ' ἐπὶ Σκύθας· vel, οὐδ' ἐπὶ κώμας, Σκύθας τε καὶ τ. β. δ. νέεσθαι. Utriusque lectionis vestigia sunt in Schol. neque utra sit præferenda, facile definivero."

V. 738. ——— ἦρι δὲ νηὸν

ΟΙΣΟΜΑΙ εἰς Ἑκάτης θελκτήρια φάρμακα ταύρων.

In quibusdam exemplaribus, Schol. ait, huic versui alium subjici:

Οἰσομένη ξείνῳ ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρε.

Qui tandem opera nostra ex Scholiis in ipsum contextum redeat. Nam a sciolis è Codd. nonnullis ejectus videtur, qui οἴσομαι cum οἰσομένη junctum minus concoquere poterant. Sed ab Apollonii manu locus ita profectus est:

——— ἦρι δὲ νηὸν

ΟΙΧΟΜΑΙ εἰς Ἑκάτης, θελκτήρια φάρμακα ταύρων

Οἰσομένη ξείνῳ, ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρε.

Satisne digna hæc Apollonio? Euripides *Hecub.* v. 780.

Λῦτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένη.

V. 1299. —— ὅτε μὲν τ' ΑΝΑΜΑΡΜΑΙΡΟΥΣΙ

Πῦρ ὀλοὸν, &c.

Sensit difficultatem antiquissimus Schol. et, ut potuit, locum explicavit, μαρμαίρουσι, inquit, κυρίως καίουσι. Μετενήνοχε δὲ τὴν φωνὴν ἀπὸ τ' ἰσαῦθιν. Nec quicquam extricat hominum futilissimus, qui Apollonium pudito commentario oneravit, Jerem. Hœlzlinus. Præstat igitur audire Ovidium, qui hæc Apollonii ita in rem suam convertit, *Metamorph. Lib.* VIII. v. 104 — 107.

Ecce! adamanteis Vulcanum naribus efflant
Æripides tauri: tactæque vaporibus herbæ
Ardent. Utque solent pleni resonare camini,
Aut ubi terrena, &c.

Vides, quo es acumine, Ovidii ætate aliquanto integrius hoc modo scriptum fuisse:

Ὡς δ' ὅτ' ἐνὶ &c.

—— ὅτε μὲν τ' ΑΝΑΜΟΡΜΥΡΟΥΣΙ

Ἀναμορμύρειν, vox Homerica, quàm bene conveniat follibus, dicere non est necesse. μορμύρειν, *murmurare: murmur*, de maris, fluminum, fontiumque sonitu sæpe usurpant et Græci et Latini poetæ. De *vento* eleganter Virgil. *Georg. Lib.* IV. v. 261.

Frigidus ut quondam sylvis *immurmurat* Auster.

Idem *Æn.* Lib. I. v. 59, 60.

Illi indignantes magno cum *murmure* montis
Circum claustra fremunt ——

Statius. *Thebaid.* L. II. v. 207.

Et compressa metu servantes *murmura* venti.

Nota sunt illa Homer. Il. Σ. v. 403, 4.

—— ἀμφὶ δὲ ῥόος Ὠκεανοῖο
Ἀφρῷ ΜΟΡΜΥΡΩΝ ῥέεν ἄσπετος.

IN

V. 348 — 9 — 50. Εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν
Εἴτε ΜΕΤ' ΑΦΝΕΙΟΥ θείην πόλιν Ὀρχομενοῖο
Εἴτε μεθ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕποιτο.

Graviffimum vulnus, quod *v.* 349 inflictum eft: nec Stephanus, nec Hœlzlinus animadverterunt, levioribus caftigandis occupati. *Lib.* III. *v.* 1072 — 3.

Ἢ νύ που ἀφνειοῦ χιδὸν ἵξεαι Ὀρχομενοῖο.
Ἠὲ καὶ Αἰαίης νήσου πέλας. ——

Qui locus etfi prima fpecie vulgatam confirmare videatur, revera tamen finceræ lectionis corrumpendæ occafionem præbuit. nam fine ulla controverfia reponi debet.

Εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν
Εἴτε ΜΕΤΑ ΦΘΙΗΝ, θείην πόλιν Ὀρχομενοῖο,
Εἴτε μεθ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕποιτο.

Supra *Lib.* II. *v.* 1189, 1190.

—— πάρεστι δὲ τόδ' ἐπὶ νηὸς
Ἔνθα καὶ ἔνθα νέεσθαι, ὅπῃ φίλον, εἴτε μετ' Αἶαν,
Εἴτε καὶ ΦΘίην, θείην πόλιν Ὀρχομενοῖο.

Unde hic verfus videri poffet præter rem effe repetitus. Alioquin hæc ita capienda erunt: *Medeam interim apud Dianam deponendam effe, donec quis regum pronunciarit, patrine fit reftituenda, an cum Phrixi filiis Orchomenum, aut cum heroibus in Helladem tendere debeat.*

V. 392 — 3. Ὣς φάτ' ΑΝΙΑΖΟΥΣΑ βαρὺν χόλον, ἵετο δ' ἥγε
Νῆα καταφλέξαι &c.

Vix alibi tetricus ifte et ineptus Apollonii commentator Hœlzlinus fe magis turpiter dedit, quam in hoc loco tentando. Quid enim aliud eft ἀνιάζουσα, quod obtrudit, nifi monftrum immane, ad cujus adfpectum Græcè docti exhorrefcant? Sed non eft tanti, ut errores exagitemus. Legendum planè eft:

Ὣς φάτ', ΑΝΑΖΕΙΟΥΣΑ βαρὺν χόλον ——

Philippi epigramma editum à Kufter. *ad Suid. Tom.* I. *p.* 636.

Θυμὸν ἐπὶ Τροίῃ πέσσων ἕζεσκες ——

Vide Euripid. *Hecub. v.* 1055. *Iphig. Taur. v.* 987. Platon. *Polit.* IV. *p.* 453. F. Plura, quæ huc referenda funt, collegit Dorvillius V. C. *ad Chariton.* p. 56.

# JOANNIS PIERSONI

## EMENDATIONES

## IN

# APOLLONIUM.

L. I. 51. Οὐδ' Ἀλόπῃ μίμνον ΠΟΛΥΛΗΙΟΙ Ἑρμείαο
Υἱέες. ———

Conjiciebam ΠΟΛΕΜΗΙΟΙ. Sed Codex præfert πολυληΐῳ, unde forsan scribendum est,

Οὐδ' Ἀλόπῃ μίμνον πολυληΐῳ, &c.

Solet enim hoc epitheton plerumque regionibus et urbibus tribui. Ita Lib. I. 580.

Αὐτίκα δ' ἠερίη ΠΟΛΥΛΗΙΟΣ αἶα Πελασγῶν.

Et 937. Τυτθὸν ἀπὸ Φρυγίης ΠΟΛΥΛΗΙΟΥ ἠπείροιο. et Lib. IV. 267.

Ἦμος ἔτ' ἠερίη ΠΟΛΥΛΗΙΟΣ ἐκλήϊστο
Μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν.

Et ita ΠΟΛΥΛΗΙΟΙ Αἱμονιῆες Lib. II. 509. Similiter etiam Lib. I. 830. Lemnos dicitur βαθυλήϊος.

V. 60. Κενταύροισιν ὀλέσθαι ὅτε σφίας οἶος ἀπ' ἄλλων
Ἤλασ' ἀριστήων. ——— MS. pro σφίας habet σφέας.

V. 115. Φλείας MS. Φιλίας. Malè pro Φλίας.

V. 132. de Hyla,

Πρωθήβης, ἰὼν τε φορεὺς, φύλακός τε βιοῖο.

Notanda videbatur Codicis lectio ἰὼν τε πορφεὺς, ex quo forte aliquid extundi poterit: quamvis alterum equidem non mutandum censuerim. *Philostratus* junior Icon. 17. Θεράπων δὲ γενέσθαι τῷ Ἡρακλεῖ ὁ Φιλοκτήτης ἐν νεότητι, ὅτε καὶ φορεὺς εἶναι οἱ τῶν τόξων.

V. 182. Κεῖνος ἀνήρ. Probum et antiquum, quod Codex suppeditat, τῆνος ἀνήρ.

V. 213. Ἐσχατιῇ. MS. Ἐσχατιαῖς

V. 225. Πατρὸς ἑῆος. MS. ἑοῖο.

V. 323. Πασσυδίῃ, ubique in MS. πανσυδίῃ.

V. 346. ἀναστήσασθαι. Cod. ἀναστήσεσθαι.

V. 356. εὐκρίναντες. MS. εὐκρίνοντες.

V. 358. κατὰ κληῖδος. MS. κατὰ κληῖδας.

V. 371. ὅσσον ἐπεδράμετο χῶρον. Ita MS. pro χῶρος.

V. 416.

V. 416. σοὶ δ' ἄρ' ὀπίσσω. In codice vitiose scriptum est, σὺ δ' ἄρ' ὀπίσσω. forte pro σοί. Sæpissime enim υ et οι a librariis confusa sunt. e. gr. apud *Hesychium:* ΕΡΙΓΗΡΟΙΣ. ΜΕΓΑΛΟΦΩΝΟΙΣ. Cum omnia derivata a γῆρυς desinant in υς, non in οις, emendandum: ΕΡΙΓΗΡΥΣ. ΜΕΓΑΛΟΦΩΝΟΣ. Glossa semel corrupta, nec interpretatio vitii expers mansit.

V. 441. Ἐνθάδε πάσας ἔχοντας. MS. ἄγοντας. quod et Scholia agnoscunt.

V. 494. Αὐτός τ' Αἰσονίδης κατέπειτεν. ἈΝ δὲ καὶ Ὀρφεὺς
Λαιῇ &c.

Ubi Scholiastes notat: περιττὴ δὲ ἡ ἀνά. τὸ γὰρ ἑξῆς, καὶ Ὀρφεὺς δέ: εἰ μὴ ὅτι ἐκ τῆς ἀνὰ τὸ ἀναστὰς λέγει. ἀναστὰς δὲ καὶ Ὀρφεύς. Nugæ! ab Apollonii manu est:

Αὐτὸς τ' Αἰσονίδης κατερήτυε. ΣΥΝ δὲ καὶ Ὀρφεὺς
Λαιῇ &c.

V. 513. Pro λήξαντος. MS. πλήξαντος.

V. 542. Ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη.

Paulo rotundior erit versus si MS. lectionem adsciscamus:

Ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινῇ ἐκήκιεν ἅλμη.

V. 548. μῦθος. in MS. χθός.

V. 549. ἐπ' ἀκροπόλησι. Recte MS.

V. 551. Ἀθηναίης Ἰτωνίδος. MS. Ἱερωνίδος, quod quid sibi velit, non extrico. Vulgatam confirmat *Etym.* M. col. 479. l. 52.

V. 553. ἱερτμά. MS. ἱρετμούς. Cæterum a v. 560 ad 860 lacuna est in Codice.

V. 798—800. Εὖτε Θόας ἀπύοισι πατὴρ ἐμὸς ἐμβασίλευε,
Τὴν ἐκ Θρηΐκων, οἳ τ' ἀντία ναιετάουσι
ΔΗΜΟΥ ληϊζόμενοι λαοὶ πέρθεσκον ΕΠΑΥΛΕΙΣ.

Duplicem versus 800 contraxit labem, quarum prior in δήμου sponte oculos ferit. Quæ sane vox non tantum maximam huic loco infert difficultatem, sed etiam prorsus absurda videtur. Posterius vitium hæret in ἐπαύλεις, quod tamen neque ego nec alius quisquam facilè suspectum habuisset, nisi in Schol. legeretur: ΕΠΑΥΛΕΙΣ. τὰς ἐπαύλεις, τὰς μάνδρας, ἢ κατασχετικῶς τὰς οἰκίας τῶν Θρᾳκῶν ἐπόρθουν οἱ Λήμνιοι. Nihil enim causæ erat, cur vocem ἐπαύλεις repeteret Criticus. Diu est, cum emendandum videram:

ΛΗΜΝΟΥ ληϊζόμενοι λαοὶ πέρθεσκον ΕΠΑΥΛΟΥΣ.

Et similiter in *Scholiasta:* ΕΠΑΥΛΟΥΣ. τὰς ἐπαύλεις. Postea non parum hanc conjecturam meam confirmatam vidi a Codice Florentino, in quo ἐπαύλους pro ἐπαύλεις legi testatur Cel. *Dorvillius* Comment. ad *Chariton.* p. 137. qui tamen verum non vidit. *Hesychius:* Ἔπαυλος. ἐπαύλεις, μάνδρας. quod ex *Homeri* Odyss. Ψ. v. 358. sumtum esse notat præstantissimus *Alberti.* Prior correctio Λήμνου simplicitate suâ adeo videtur commendabilis, ut verbum de eo addere necesse non sit.

V. 856—860. Αὐτίκα δ' ἄστυ χοροῖσι καὶ εἰλαπίνῃσι γεγήθει
Καπνῷ κνισήεντι περίπλεον. ἔξοχα δ' ἄλλων
Ἀθανάτων, Ἥρης υἷα κλυτὸν ἠδὲ καὶ αὐτὴν
Κύπριν ΑΟΙΔΗΣΙΝ θυέεσσί τε μειλίσσοντο.

Libro quidem IV. 1665. de Medea legitur:

Ἔνθα δ' ΑΟΙΔΗΣΙΝ μειλίσσετο· θέλγε δὲ κῆρας.

Mirum tamen ni Poëta hoc loco dederit:

Κύπριν ΛΟΙΒΗΣΙΝ θυέεσσί τε μειλίσσοντο.

Ita

Ita Lib. II. 694.

Νῦν δ' αὔτως κνίσῃ ΛΟΙΒῌΣΙ τε μειλίξασθε.

Sic etiam Lib. II. 925. Confer *Homer*. Il. I. 495, 496. De eadem hac re locus est *Valerii Flacc.* perdifficilis, Lib. II. 329 — 331.

Protinus ingentem procerum *sub* nomine taurum
Dejicit, insuetis et jam pia munera templis
Reddit, et hac prima Veneris calet ara juvenca.

Cum nulla personæ, quæ hæc sacra fecerit, fiat mentio, dubium esse ait Cel. *Burmannus*, an hæc ad Hypsipylen, an vero ad Iphinoen sint referenda. *Pius* de Polyxo intelligebat. Sed hæc nimis dura videntur. Vel nonnulla desiderari statuendum est, vel scribendum,

Protinus ingentem procerum *Dux* nomine taurum
Dejicit. ———

Fieri enim potuit, ut cum Poëta alibi sæpe dicat *sub nomine*, illud loci corrumpendo ansam dederit. Comparandus hujus Libri V. 611.

Tum pelago vina invergens *dux* talibus infit.

V. 874. ἐσανδρώσῃ. MS. ἐπανδρώσῃ.

V. 882. pro ἀμέργουσιν male in MS. ἀμέλγουσιν. Ita supra in Schol. 211. pro ἀμέλγουσιν lege ἀμέργουσιν.

V. 917. Quod conjecerat *Arnaldus* Lect. Gr. L. II. Cap. ult. p. 237.

'ΑΡΡΗΤΟΥΣ ἀγανῇσι τελεσφορίῃσι θέμιστας.

pro ἀῤῥήκτους, Codex confirmat, probatque *Dorvill.* in *Charit.* p. 476.

V. 934. νηὸς ἰούσης. MS. νυκτὸς ἰούσης. Conf. v. 1015.

V. 955 — 6. Κεῖσε καὶ εὐναίης ὀλίγον λίθον 'ΕΛΚΥΣΑΝΤΕΣ

Τίφυος ἐννεσίῃσιν ὑπὸ κρήνῃ ἐλίποντο

Scholiastæ verba, ὃ ἀντὶ εὐναίας καὶ ἀγκύρας λίθον, διὰ τὸ βίβρωσθαι ἐκ τῆς θαλάσσης, ἀπολύσαντες, ἕτερον ἔλαβον, lucem præferunt ad veram scripturam revocandam:

Κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ΕΚΛΥΣΑΝΤΕΣ.

V. 981. Hinc ad v. 993. hiatus in Codice.

V. 1059. Τρὶς περὶ χαλκείοις δίχα τεύχεσι δινηθέντες.

Amplectenda est Codicis scriptura σὺν τεύχεσι quam etiam agnoscit Scholiastes.

V. 1082. Ὤλλοι μὲν ῥα πάρος δεδμημένοι εὐνάζοντο

Ὕπνῳ ἀριστῆες πύματον ΑΕΧΟΣ ——

Rectissime in MS. legitur πύματον ΛΑΧΟΣ, quod Scholiasta confirmat, & ipse Poëta Lib. III. 1338.

Ἦμος δὲ τρίτατον ΛΑΧΟΣ ἤματος ἀνυμβρόιο.

Sic Codex pro ἀνομβρόιο: Sed vitiose ibidem λέχος pro λάχος præferens. *Moschus* Europa v. 3.

Νυκτὸς ὅτε τρίτατον ΛΑΧΟΣ ἵσταται, ἐγγύθι δ' ἠώς.

V. 1122. Pro ἐῤῥίζωντο, melius MS. ἐῤῥίζωνται.

V. 1132. Pro ἐργώλας, quod recte in ἑρμώλας mutavit Magnus *Hemsterhusius* ad *Lucian.* Tom. I. p. 287. monstrosum Codex prodit vocabulum ἐωρτας.

V. 1139. Ῥόμβῳ καὶ τυπάνῳ Ῥείην Φρύγες ἱλάσκονται.

Male in MS. τύμπανῳ et ἱλάσονται. Cæterum hinc emendabis fragmentum *Diogenis* Tragici apud *Athenæum* Lib. XIV. p. 636. B.

Τυπάνοισι,

Τυπάνοισι, καὶ ΒΟΜΒΟΙΣΙ, καὶ χαλκοκτύπων
Βόμβοις βρέμουσαι ἀντίχερσι κυμβάλων
Pro posteriore βόμβοις *Casaubonus* ὁ πάνυ reponebat βρόμοις. Perperam. Castigandum:
Τυπάνοισι, καὶ ῬΟΜΒΟΙΣΙ καὶ χαλκοκτύπων
Βόμβοις βρέμουσαι ἀντίχερσι κυμβάλων.
*Philænus* in Epigrammate a Cl. *Kustero* ad *Suidam* V. Θιάσος edito:
Στρεπτὸν βαστερμοῦ ῬΟΜΒΟΝ θιασοιο μυῶπα.
V. 1167. πετρηχέντος. MS. πετρυχόεντος.
V. 1208. Δίζητο κρήνης ἱερὸν ῥόον, ὥς κε οἱ ὕδωρ
Codex Δίζετο τε κρήνης —— ὥς κεν ——
V. 1224. pro ῥόον in MS. est μέον.
V. 1267. ἄλλοτ' ἄπαυστος. Monstrosè MS. τὸ παυσός.
V. 1342. ἔολπα δ' ἔτι σε καὶ ἄλλων. Cod. δέ τοι, et ver. seq. διηρίσαντο.
V. 1351 — 3. Τοῖο δ' ἔνεκ' ὅπποτε ἀποκρίναντες ἐρίστους
Υἱέας ἐκ δήμοιο, καὶ ὅρκια ΠΟΙΗΣΑΝΤΟ,
Μή ποτε μαστεύοντες ἀπολλήξειν καμάτοιο.
Non satis mihi arridet ὅρκια ποιήσαντο, pro quo, nisi fallor, restituendum est:
Υἱέας ἐκ δήμοιο, καὶ ὅρκια ΠΙΣΤΩΣΑΝΤΟ.
*Homerus* Odyss. O. 435.
Ὅρκῳ ΠΙΣΤΩΘΗΝΑΙ, &c.
Confer Hymn. in Merc. 533. Il. Z. 233. Φ. 286. *Æschylus* Choëph. 977.
——Ὅρκος τ' ἐμπέδῳ ΠΙΣΤΩΜΑΣΙ.

## IN LIBRUM SECUNDUM.

V. 38. Ἀλλ' ὁ μὲν ἢ ὀλοοῖο Τυφάονος, ἠὲ καὶ αὐτῆς
Γαίης εἴναι ἔϊκτο πέλωρ τέκος. ——
Elegans est lectio MS. Ἀλλ' ὁ μὲν ὄρθιος. Sed vulgatum non temerè mutarim.
V. 55. Τῶν δ' ἔτι ἄν κ' ἐθέλησθα. Codex τῶν δέ κεν, quod præstat, nisi pro vulgatis scribere malis, τῶν δέ τοι ἄν κ' ἐθέλησθα.
V. 65. Pro αὖ Ἀρητὸς in MS. αὐτεχνητός.
V. 67. ἐν ἱμᾶσι. ἐν deest. Rectè.
V. 74 — 6. Ὡς ὅγε Τυνδαρίδην φοβέειν ἔπετ' οὐδέ μιν εἴα
Δηθύνειν· ὁ δ' ἄρ' αἰὲν ἀνούτατος ἣν διὰ μῆτιν
ΑΙΣΣΩΝ ἀλέεινεν, ——
Scholiastes αἴσσων. λείπει ὁ ὑπό. ἵνα ᾖ ὑπαΐσσων καὶ ὑποφεύγων τὸν Ἄμυκον τῇ ἑαυτοῦ τέχνῃ ἄπληκτος καὶ ἀβλαβὴς διέμενεν. Quæ explicatio quam contorta sit, quisque videt. Verum inciderat Scholiastes in vitiosum Apollonii codicem. Nam ab ipso poëta profectum est:
—— ὁ δ' ἄρ' αἰὲν ἀνούτατος ἣν διὰ μῆτιν
ΑΙΣΣΟΝΤ' ἀλέεινεν. ——
Ita v. 90. & sequentibus.

Ἐν δὲ

"Ενθα δ' ἔπεσ' Ἄμυκος μὲν ἐπ' ἀκροτάτοισιν ἀερθεὶς
Βεβηκὼς οἷα, ποδεσσι τανύσσατο, καδδὲ βαρεῖαν
Χεῖρ' ἐπὶ οἱ πελέμιξεν. Ὁ δ' ΑΙΞΑΝΤΟΣ ὑπέστη
Κρᾶτα παρακλίνας, ὤμῳ δ' ἀνεδέξατο πῆχυν.

*Val. Flacc.* Argon. V. 271 — 2.

—— Pollux fic providus ictus
Servat, & Æbalia dubium caput eripit arte.

V. 78. Pro τῇ ῥ' ἄριστον. MS. Στῇ ῥ' ἄμοτον.

V. 101—2—3. Τοῦ δὲ πατρὸς πολιῶν εὐήκεα Φάσγανα ἐπεῖροι
"Ενταν ἐρυσσάμενοι· πρῶτός γε μὲν ἀνέρα Κάστωρ
"Ηλασ' ἐπισσύμενος κεφαλῆς ὕπερ. ——

Ita MS. pro ἀρυσσάμενοι, quod forte vitium typorum est. v. 103. pro ἐπισσύμενος fcriptum eft ἐπισσύμενον. Verum v. 102. mendam latere putem in μὲν ἀνέρα: requiritur enim, fi quid video, nomen proprium viri, quem Caftor vulneravit. Scribo igitur:

πρῶτός γε ΜΕΛΑΝΟΡΑ Κάστωρ
"Ηλασ' ἐπισσύμενος κεφαλῆς ὕπερ. ——

V. 120. ἔνθορε μέσσῳ. Codex μέσσον, quod amplectendum videtur.

V. 160. ἀνῆπτο. MS. ἀνῆπτον. Non male.

V. 205. ἀολληχρῷ. MS. ἀμολληχρῷ.

V. 210. Pro χρυσῇ. MS. χρυσεοίο. An χρυσοῦ?

V. 231. Pro κε MS. καὶ, & pro ἐπίσχε legit ἴσχε, quod quid fit, nefcio.

V. 234—7. Τὰς μὲν θέσφατόν ἐστιν ἐρητύσαι Βορέαο
Υἱέας· οὐδ' ὀθνεῖοι ἀλαλκήσουσιν ἐόντες
ΕΙ ΔΗ ἐγὼν ὁ πρίν ποτ' ἐπικλυτὸς ἀνδράσι Φινεὺς
Ὄλβῳ μαντοσύνῃ τε, πατὴρ δέ με γείνατ' Ἀγήνωρ.

Hanc quidem fi admittamus fcripturam, fenfus loci erit, Boreæ filios, qui Phinea ab Harpyis liberarent, illud non facturos erga peregrinum omnino, fed erga illum qui affinitate ipfis junctus erat; fi quidem Phineus effet, qui Cleopatram ipforum fororem in conjugio habuerat. Sed, utcunque locus hac ratione defendi poffit, nihilominus certum videtur, reponi debere:

ΕΙΜΙ Δ' ἐγὼν ὁ πρίν ποτ' &c.

Solent ita veteres Heroes, ut & ipfi aliquando Dii a poëtis introduci, fe genufque fuum indicantes. *Homerus* Odyff. Ο. v. 19, 20.

Εἴμ' Ὀδυσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
Ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει.

Batrachomyomach. v. 17. Rana, herois perfonam gerens:

Εἰμὶ δ' ἐγὼ βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην
Τιμῶμαι, βατράχων ἡγούμενος ἤματα πάντα.

*Homeridas* H. in Apollin. v. 480.

Εἰμὶ δ' ἐγὼ Διὸς υἱὸς, Ἀπόλλων δ' εὔχομαι εἶναι.

H. in Bacchum. v. 5, 6.

Εἰμὶ δ' ἐγὼν Διόνυσος ἐρίβρομος, ὃν τέκε μήτηρ
Καδμηῒς Σεμέλη, Διὸς ἐν φιλότητι μιγεῖσα.

*Orpheus* Argonaut. v. 80, 1.

Εἰμὶ δ' ἐγὼ, Μινύαισι πανέξοχον αἷμα λελογχὼς
Θεσσαλὸς Αἰσονίδης. ——

*Virgilius*

*Virgilius* Æn. L. I. v. 378, 9.

Sum pius Æneas, raptos qui ex hoste Penates
Classe veho mecum, fama super æthera notus.

Similiter *Nonnus* Dionys. Lib. III. p. 110. ed. Wech. ad. fin. Lib. VII. p. 222. v. 12. *Coluthus* v. 277, 8. alii. *Philostratus* V. A. Lib. III. C. XXI. Εἰμὶ γάρ σοι ἐκεῖνος, ubi prave scriptum fuerat, ὁ μή.

V. 246. Pro ἀφραδίῃσιν MS. ἀτροπίῃσιν. l. —— πίῃσιν. quam lectionem in vetustis etiam exemplaribus se invenisse notat Commentator Græcus.

V. 260. Δαίμονες οἵ μοι ΟΙΔΕ θανόντι περ εὐμενέουσι MS. ὧδε. Recte.

V. 261. Pro ἵπηται MS. ἕσπηται. Bene *Hoelzlinus* corrigit, ἕψηται.

V. 277. ὅτ' ἐς Φινῆα. Codex ὅτι σφιν ἦα.

V. 327. Ab ἰθὺς derivata verba ἰθύειν & ἰθυνέειν, quæ sæpius permiscentur, recte distinxit eruditus Apollonii Scholiastes, quamvis & ibi librariorum culpa male ἰθυνέειν pro ἰθύειν legitur. Apollonii versus est,

'Αφραδίως ΙΘΥΝΕΤ' ἐπισπόμενοι νόστῳ.

Ad quem notat Commentator: τὸ δὲ ΙΘΥΝΕΙΝ τὸ ὁρμᾶν σημαίνει. οἱ δὲ ἰθυνέειν γράφοντες ἁμαρτάνουσι. Ineptè *Hoelzinus* pro alterutro ἰθυνέειν reponendum autumat εὐθυνέειν. Emendandum et in poëta ΙΘΥΕΤ' & in *Scholiasta* ἰθύειν. Confer ejusdem Lib. v. 952. v. 1158. Lib. III. v. 354. et 1058. Optime *Hesychius*: ἰθύει. βάλλεται. ἐφορμᾷ. φέρεται.

V. 354. ΑΚΤΗ τις προβλὴς 'Αχερουσιὰς ὑψόθι τείνει.

Et v. 808. Νόσφι δὲ Τυνδαρίδαις 'Αχερουσίδος ὑψόθεν ΑΚΤΗΣ.

Corrigendum ΑΚΡΗ & ΑΚΡΗΣ: quod non tantum e doctissimi Scholiastæ verbis ad utrumque locum, sed et ipso poëta v. 730, 752, & 846, liquet. In *Euripide* recte me restituisse, Ἄκραις ῥηγμῖσιν, testari poterit *Plutarchus* Tom. II. p. 632. de Exilio: qui narrat Diogenem Cynicum, cum ipsi objiceretur, Σινωπεῖς σοῦ φυγὴν ἐκ Πόντου κατέγνωσαν, reposuisse, 'Εγὼ δὲ ἐκείνων ἐν Πόντῳ μονήν, Ἄκραις ἐπὶ ῥηγμῖσιν Εὐξείνου πόντου. Sæpius vero Plutarchus meliores lectiones conservavit, quod infra forte uno alterove exemplo demonstrabimus.

V. 358. Παφλαγόνων, τοῖσιν τ' 'Ενετήϊος ἐμβασίλευσε

Πρῶτος Πέλοψ —— Pro τ' 'Ενετήϊος MS. Μενεδήϊος, quod non aspernandum videtur. Confer hujus Lib. v. 114.

V. 374, 5. — μετὰ δὲ σμυχρότατοι ἀνδρῶν

Τρηχείην Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσι.

In MS. scribitur μετά τε, & ἔχοντες.

V. 439. Pro προσίεικτον MS. μετίεικτον. contra v. 469. προσπινύσσει pro μεπινύσσει.

V. 472. Τοῖος ἐὼν ὅδ' ἦλθεν. MS. δεῦρ' ἦλθεν.

V. 558. —— οἱ δ' ὑπ' ΑΡΩΓΗ

Scribendum: —— οἱ δ' ὑπ' ΑΝΩΓΗ

Ita Lib. I. 1134 —— 'Ορφῆος ΑΝΩΓΗ

*Scholiastes*: τῇ τοῦ 'Ορφέως παρακελεύσει.

V. 624. Τῖφυ, τί μοι τοι ταῦτα παρηγορέεις ἀχέουσι. MS. Τῖφυ, τί ἦμοι. Lege. τίη μοι ταῦτα.

V. 688. Εἰ δ' ἄγε δὴ νῆσον μὲν ἰοὺ 'Απόλλωνος.

Præstat MS. lectio Εἰ δ' ἄγε τοι δὴ νῆον ἰοὺ 'Απόλλωνος.

V. 723.

V. 723. Ἀκραεῖ ζεφύρῳ. MS. εὐκραεῖ. Vulgatam sequitur *Etymol.* M. Col. 52. l. 5.

V. 739. αὐτμὴ πήγυλις. In MS. Πυλυγίς. Simili Codicis scriptura deceptus est *Etymologus*, πήλυγις exhibens Col. 670. lin. 39.

V. 880. Ὣς φάτο. τοῖο δ' ἢ θυμὸς ὀρέξατο γηθοσύνῃσιν.
Agnoscit hanc lectionem *Scholiastes.* Præplacet tamen altera, quam præfert Codex, ἀΐξατο.

V. 945. Ἐνθάδε αὖτε. Recte MS. Ἐνθεῖδ' αὖτε.

V. 985. —— ὁ δ' ἀμφαδὸν ἄμμιγα πνοιαῖς
Πόντον ἐς Ἄξεινον κυρτὴν ἀπερεύγεται ἄχνην.
Quam lectionem *Scholiasta* observatam fuisse notavit Ruhnkenius Ep. Crit. II. p. 26. præbet MS. κυρτὴν ὑπερεύγεται ἄχνην. Comparandi v. 371. & Lib. IV. v. 1242.

V. 1091. περάτης ἐς οὔρεα γαίης. MS. οὔατα.

## IN LIBRUM TERTIUM.

V. 29. Pro αἰνοσίῃσιν. MS. ἐννεσίῃσιν. Vox *Apollonio* frequentata. Vid. Lib. I. 956. II. 1112, 1170. III. 478. 817. 941. 1363. IV. 646. 774. 1145. Scriptura et hic et alibi passim variat. Sed ubique scribendum est, ἐννεσίαι. nam ἀνεσίαι et αἰνεσίαι librariorum imperitiæ debetur.

V. 58. Pro ἠδ' ἄλλοι MS. εἰθ'. v. 66. pro μέγα MS. μάλα.

V. 73. MS. δι' ἐκπρεπέος pro διεκπρεπέος. Conf. *Arnald.* Lect. Græc. Lib. II. Cap. 17. p. 141.

V. 163. Ἠέλιος πρώτῃσιν ἐρεύγεται ἀκτίνεσσιν. Quod conjecerunt *H. Stephanus* & *Arnaldus* Animadv. p. 76. ἐρεύθεται a MS. confirmatur.

V. 234. κεκμηκότα. MS. κεκμῶτα. Lege κεκμηῶτα. Ita Lib. IV. 1459. MS. κεκμηότας.

V. 275. Pro ἵξεν MS. ἧξεν. Forte ἤξεν.

V. 277. τέλλεται. MS. πέλλεται.

V. 287. πυρὶ ἴκελον. MS. φλογὶ ἴκελον.

V. 298. Βάλλεν ὑπ' Αἰσονίδῃ ἀμφαφόωντα. Recte MS. ὑπ' Αἰσονίδην, ut jusserat *Arnald.* Lect. Gr. Lib. II. C. 17. p. 241. pro κηλέετο pessime MS. κητήγετο.

V. 376. Pro νεῖσθε MS. νεῖσθαι. quam lectionem sequitur *Scholiastes.*

V. 455. Οἷά τ' ἔειφ'. MS. οἷά τ' ἔφηθ'.

V. 499. Χαλκέοις σὺν τεύχεσιν. MS. σὺν τ' ἔντεσιν.

V. 524. Perbene MS. Μητρὸς ἐμῆς ἔασιν ὁμαίμονες ἄμμιν ἀρωγήν.

V. 571. Μηκέτι ΔΗΘΑ κεύθωμεν πλήσοντες ἀυτήν. MS. pro δηθὰ exhibens δὴν veræ scripturæ vestigia conservavit. Hoc enim modo versus elumbis, et omni cæsura carens, constituendus est:
Μηκέτι ΔΗΝ κρύπτεσθαι ΥΠΟπλήσοντας ἀυτήν.

V. 637. Δείδια, μὴ μέγα δή τι φέρει κακὸν ἥδε κέλευθος.
MS. Δείδια, μή τι πῆμα φέρῃ. — Quod e glossemate natum existimem. Aliquando enim explicatio vocis rarioris in MS. legitur pro ipsa voce. Ita L. I. 1292. pro κῦδος MS. κλέος. L. II. 254. γέρων pro γεραιός. v. 577. pro πέμας MS. φόνος. L. III. 551. πότμον MS. μόρον. 561. λεύσσοντες MS. βλέποντες.

ποιτις. 806. πίοιντο MS. γνώσαιτο. L. IV. 947. οἶδμα MS. κῦμα. 980. λαῖτμα MS. κῦμα.

V. 651. Pro πώεσι MS. πώεσιν.

V. 707. Σὺν δὲ κόρη κόλποις ἀδελφειοῖο θάλλον. ——

Utrum MS. lectio ἀδελφειοῖο θάλλον, an vulgata præferenda sit, dubitem. Literarum ο et ε affinitas, dici vix potest, quantos sæpe peperit errores. Ex hoc fonte remedium expectat *Orpheus* de Lapidibus, de Nebritide, v. 1 — 4.

Ἑξείης ἔχων ἰδίην καὶ Βακχειον Νεβρίτην
Δῶρον λίθον, Βρομίῳ κεχαρισμένον. τὸν πρὶν ΕΧΟΝΤΕΣ
ἌΝΘΡΩΠΟΙ θνητοί τε καὶ ἄρσενες αἰνέουσιν
Οὐρανίδαις. ——

Castigandum —— τὸν πρὶν ΕΧΟΝΤΟΣ
ἈΝΘΡΩΠΟΥ &c. ——

V. 764. Pro ἐνισκήψωσιν eleganti variatione MS. exhibet ἐνιχρίμψωσιν. exhibet ἐνιχρίμψωσιν.

V. 825. Pro δήνεα MS. μήδεα.

V. 834. Pro ἀργυφέην MS. ἀργυφέην. quod merito probat *Hoelzlinus*.

V. 887. Pro νηὸν MS. ναιόν.

V. 900. συναείρεσθαι ἠδὲ φρονεῖν. Ita MS. pro συναείρεσθε πλῶ δὴ φρονέω. V. D. in libri sui ora correxerat: συναείρετε πλῶ δὲ φρονέω.

V. 912. Pro μῦνοι Codex νόσφιν. Eleganter.

V. 941. συνίεσθαι αἴθλων MS. συναέθλους.

V. 986. Ἀμφότεροι δ' ἱκέτης ξεῖνός τ' ἔτι ἔνθαδ' ἱκάνει.

Optime MS. ξεῖνός τε τοι ἔνθαδ' ἱκάνει.

V. 996. Pro ὑπεκλύσαιτ' MS. ὑπέκλυσιν. quod prætulerim.

V. 1019. ἀεὶ ῥηιδίοισιν ἵεσαν. MS. περ ἐρρεδίκασιν ἵεσαν, pro ἀεὶ ῥηιδίοισιν. Vide Vannum Criticam p. 335.

V. 1088. Pro ἀθανάτοις MS. ἀθανάτων.

V. 1171. Pro μέλοιντο MS. μελίοιτο. quomodo etiam correxerat V. D. in margine libri sui.

V. 1208. Pro δαὶς MS. σπεῖν, quod quid sibi velit, ignorare me fateor.

V 1214. Pro σμερδάλεαι MS. prave, σμερδαλέοισι. Contrario fere modo peccatum est in *Q. Calabro* L. V. 78 — 9.

Ἀμφὶ δ' ἄρ' ὑψηλοί τε καὶ εὐθηλέες λειμῶνες
Ἔσταν ΑΠΕΙΡΕΣΙΟΙΟ κεκασμένοι ἄνθεσι ποίης.

Turpis macula, nec Editoribus animadversa sic tollatur:

Ἴσταν ΑΠΕΙΡΕΣΙΟΙΣΙ &c.

V. 1329. Δηρὸν MS. δοιαιόν. pro δοιαιόν, quod metrum aspernatur.

V. 1334. Pro βαθμὸν Codex λαιὸν, unde alii forte veram *Apollonio* manum restituent.

V. 1385. —Ὡς δ' ὁπότ' ἀμφ' οὔρεσιν ἐγειρομένη πολέμοιο.

MS. ἀγκυέρεσιν. An ἀγχύρεσιν? quo vocabulo utitur *Orpheus* Argon. v. 122. *Hesychius:* ἀγχύρους. γείτονας. ubi vide Clar. Editorem.

V. 1392, 3. Πίπτον δ' οἱ μὲν ὀδὰξ τετρηχότες βῶλον ΟΔΟΥΣΙ
Λαζόμενοι πρηνεῖς. οἱ δ' ἔμπαλιν, οἱ δ' ἐπ' ἀγοστῷ.

Vix alius in *Apollonio* locus est difficilior, cui tamen nihil opis aut lucis adfert Codex, nisi quod pro τετρηχότες male exhibeat τετριχότες. Qui enim uno

uno loco ὀδὰξ et ὀδοῦσι consistere possunt? Capiebam aliquando de dentibus serpentis ab Jasone satis; quod nec ipsum satisfacit. Forte scribendum:

Πίπτον δ' οἱ μὲν ὀδὰξ, τετρηχότα βῶλον ΟΠΛΑΟΙΣΙ
Λαζόμενοι πρηνεῖς. ——

*Cadebant verò hi quidem, dentibus, terram, armis horrescentem, mordentes.* Confer v. 1354. 1355. *Euripides.* Phœniss. v. 684—686.

Ἔνθεν ἐξανῆκε γᾶ
Πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
Ὅρων χθονός. ——

## IN LIBRUM QUARTUM.

V. 57. ἄντρον. MS. ὕρον. An ὗρος?

V. 63—5. Δῶκε δ' ἀνιηρόν τοι Ἰήσονα πῆμα γενέσθαι
Δαίμων ἀλγινόεις. ἀλλ' ΕΡΧΕΟ, τέτλαθι δ' ἔμπης

Emendandum putem ΟΙΧΕΟ: alterum certe frigidum et ineptum est. Verum illud præterea observandum, *Scholiastæ* v. 63. ἀνιηρὸν explicanti ἀθεράπευτον, aliam fuisse observatam lectionem, nempe ἀνίατον. *Hesychius:* ἀνίατον. ἀθεράπευτον. Quod quidem non spernendum foret, si codex aliquis præferret, et de vocis modulo constaret. ἀνιηρὸν tamen a poëta profectum opinor. *Hesychius:* ἀνιηρόν. λυπηρόν. μοχθηρόν. Conf. *Suidas* V. et *Etymologus* in ἀνιηρέστερος.

V. 79. Pro δὴ in MS. δήν. Similiter v. 134.

V. 95—7. Δαμμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω,
Ἥρη τε ζυγίη, Διὸς εὐνέτις, ἦ μὲν ἐμοῖσιν
Κουριδίην σε δόμοισιν ΕΝΙΣΤΗΣΑΣΘΑΙ ἄκοιτιν.

Unice emendandum.

Κουριδίην σε δόμοισιν ΕΝΙ ΘΗΣΕΣΘΑΙ ἄκοιτιν.

Nunquam enim reperies στήσασθαι ἄκοιτιν, sed passim θέσθαι. Vide Lib. III. 243. et Lib. IV. 1083.

V. 196. Hoc modo in Codice legitur:

Γαίης, αὐτῶν θ' ὑμείων ἐπιχειρὸν ἴδεσθαι.

V. 199. Pro ἄλλοι Cod. rectius ἀλλ' οἱ.

V. 204. Pro ἀφορμῇ MS. ἐφετμῇ. Versus vero 205 totus abest.

V. 303. Pro θ' αὖτ' MS. δήτ'.

V. 324. Pro Καυλιακοῖο Codex Καυκασίοιο. Receptam lectionem præter *Stephan. Byz.* V. Καυλικοί· tuetur *Scholiastes* ad h. l. qui et ipse in aliis exemplaribus reperit Καυκασίοιο. Verba ejus leviter sic transpone: Πολλοὶ δὲ γράφουσι —— ἀντὶ τοῦ Καυλιακοῖο, Καυκασίοιο. Hinc manifeste deprehenditur putidus *Berkelii* error, qui ad *Stephan.* l. c. ita Scholiasten cepit, quasi is Καυλιακοῖο positum dixisset pro Καυκασίοιο. De quo doctus ille Criticus ne per somnium quidem cogitavit.

V. 363. ἐφ' ᾧ πλόος ὔμμιν ἐτύχθη. MS. ἔκητ' ἐπαεῖρας ἐτύχθην

V. 416. Ita in Codice,

Αὐτὰρ ἔγωγε τεὰς αὐτὸν ἐς χεῖρας ἱκέσθαι.

V. 493. Ἔνθα δὲ ναυτιλίης πυκινῆς πέρι μητιάασκον.
Ἐξείμεναι Βελλοῖ. Optimè MS. πυκινῶν βάλοι.

*Homerus* Od. Β. v. 55. &c.

V. 577. μέγαν χόλον. Codex elegantius, βαρὺν χόλον.

V. 599. πολυπενθέος. Codex πολυανθέος.

604. pro ἐφημερίαι MS. ἀεμήριαι.

V. 608. pro ὕδατι, Cod. οἴδατι. An οἴδματι?

V. 627. βαθύν MS. βαρύν.

V. 673. ὁμοῖον δέμας. MS. ὅλον δέμας, & pro ἀπ' etiam ἐπ'.

V. 693. ἀΐξαντες. MS. ἀΐξαντι.

V. 709. ἱκεσιάων. MS. ἱκεσίῃσι.

V. 712, 13. Ἡ δ' εἴσω πελάνους ΜΕΙΛΙΚΤΡΑ τε νηφαλίῃσι
Καῖεν ἐπ' εὐχωλῇσι παρέστιος. —— Codex
Ἡ δ' εἴσω πελάνους ΜΕΛΙΚΡΑΤΑ τε νηφαλίῃσι
Καῖεν. Qua lectione nihil pulchrius, nihil verius. Vide *Pollac.* Lib. VI. Segm. 17.

V. 741. Ἑλλάδος ἤθεα γαίης. MS. ἔσχατα.

V. 763. φύσαις. MS. φύσας.

V. 800. ἄπαυστα. Codex ἔμπαστα. Quod poëtæ nostro familiare est.

V. 807. Τέκνα τε φυτήσασθαι. MS. proxime vero τέκνα τε φυτύσασθαι pro φιτύσασθαι. quemadmodum recte correxit Cl. *Lennepius* Animadv. ad *Coluth.* p. 80.

V. 810. νημερτέα μῦθον ἐνίψω. Venusta est MS. lectio, θυμηδέα μῦθον.

V. 828, 9. Σκύλλης Αὐσονίης ὀλοόφρονος, ἣν τέκε Φόρκυι
Νυκτιπόλος θ' Ἑκάτη. Eximie Codex: ἣν τέκε Φόρκῳ Νυκτιπόλος Ἑκάτη. Altera lectio illis debetur, qui cæsuram non perspiciebant. Terminatio Φόρκος a Latinis præsertim recepta, occurrit apud *Scholiasten* ad Lib. IV. v. 1515. καὶ πρῶτον μὲν ἡγεῖται αὐτῷ πρὸς τοὺς τοῦ Φόρκου χρείας.

V. 865. ἐδύσατο βένθεα πόντου. in MS. ἐσήσατο, quod si leviter in ἐσήλατο mutes, absurdum non erit. Vid. v. 878. Sed recepta præstat, mea quidem sententia, quia præcedit ἀΐδηλος.

V. 918. de Buta.
Ἀλλά μιν οἰκτείρασα θεὰ Ἔρυκος μεδέουσα
Κύπρις, ἔτ' ἐν δίναις ΑΝΕΤΡΕΨΑΤΟ καί ῥ' ἐσάωσε.
E MS. vestigiis ἀνερείψατο revoca pristinam lectionem ΑΝΕΒΡΕΙΨΑΤΟ. Vide supra L. I. 214. ubi pro ἀνερείψατο Codex mendose ἀνεθρέψατο.

V. 946. πυθμένι. MS. κεύθμωνι. Forte, κεύθμονι.

V. 974. καλαύροπι. MS. κολαύροπι. Consule eruditissimum *Lennepium* Animadv. ad *Coluth.* p. 69.

V. 985. ἔπος. MS. λόγος. ex Glossa, puto.

V. 994. Recte ἀγανῇσιν MS.

V. 1065. Μυρομένης. MS. Μινυρομένη.

V. 1072. Κουριδίῃ — δάμαρ. Sic MS. rectius pro κουρίδιον.

V. 1089. ΛΙΗΝ γὰρ δύσζηλοι ἑαῖς ΕΠΙ παισὶ τοκῆες.
MS. ΑΙΕΝ γὰρ ———— ΠΕΡΙ ——

V. 1115. ἐπιφροσύνῃσιν. MS. ἐφημοσύνῃσιν. Quod amplectendum unice. Alterum hoc sensu, vereor, ut Græcum sit.

V. 1122. ἀγγείλειεν. MS. ἀγγείλοιεν.

V. 1157. ἀρίδηλος. Vere MS. ἀΐδηλος. Nugatur *Hoelzlinus.*

V. 1209. Δὴ τότε δὴ βασιλῆος ἐῦ προμέοντες ἐνιπάς.
MS. Δὴ τότε μὲν βασιλῆος ἐῦ τρομέοντας ἐνιπάς.

V. 1229. Κυρῆτιν. MS. Κυρήτων. uti corrigebat *Hoelzlinus.* Sed vide *Steph. Byz.* V. κύρνος. ibique *Berkel.*

V. 1243.

V. 1243. ὠΐεσσι τάχιστα. MS. ὠΐεσσιν ἄγεσθαι. quod *Scholiastes* etiam observavit in aliis legi.

V. 1336. ἀρείων, MS. ἀρίστη.

V. 1340. βῆσαι. Monstrose MS. ἦσαι.

V. 1355. pro κεν MS. δή.

V. 1373, 4. — ἄμμι φέρουσι Νωλεμές. MS. αἰὲν ἔχουσαι Ἡμέας.

V. 1388. ἀνέτλησαν. MS. ἀνέπλησαν.

V. 1411. χαλαί. MS. κιλαιναί.

V. 1453. Γειομόροι. MS. γειοτόροι.

V. 1484. μοχθίζοντες. Cod. μοχθήσαντες.

V. 1613. — διχθαδίη οἱ ἔνθα καὶ ἔνθα
Κήτεος ἀλκαίη μηκύνετο. Codex
—— Διχθαδίη οἱ ἔνθα καὶ ἔνθα
Κήτεος ὀλκαίη μηκύνεται. Vid. *Heringa* V. C. observat. p. 107.

V. 1618. μέγαν βυθόν. MS. μέσον. & v. seq. ἐν pro ἐπ'.

V. 1628. Ἀργέσταο νότου. MS. Πρυμνήταο.

V. 1670. Ὄμμασι deest in Codice.

V. 1679. Pro σφυρὸν MS. χιδόν.

V. 1697. —— οὐρανόθεν δὲ μελάγχροος, ἠέ τις ἄλλη Ὀρφναίη στείη. MS. μελάγχαλος. in quo veræ lectionis supersunt vestigia. Scribendum enim cum incomparabili *Hemsterhusio* οὐρανόθεν δὲ μέλαν Χάος, ἠέ τις ἄλλη Ὀρφναίη ἀνεστίη. Prius quoque e MS. restituit *Dorvilius* V. C. *Observ. Miscell.* Vol. IV. p. 5. et 6,

1712. ἀντία νήσου. MS. ἐγγύθι νήσου.

1714. φεῦγεν. Recte MS. φέγγεν.

1743. Ἀλλά με Νηρῆος ΠΑΡΑΚΑΤΘΕΤΟ παρθενικῇσιν.

Reponendum:

Ἀλλά με Νηρῆος ΠΑΡΑΚΑΤΘΕΟ παρθενικῇσιν.

Orat enim gleba Euphemum, ut se in mare deponat. Conf. 1741. 1750. et seq,

V. 1749. νόποι MS. νέπων. & 1750. πόντῳ δὲ pro πόντον δέ.

V. 1751. Νῆσον, ἵν' ὁπλότεροι παίδων σέθεν ΕΥΝΑΣΣΟΝΤΑΙ.

pro voce ultima, quæ sine dubio labem contraxit, vitiosius in Codice legitur ἀνάσσειν). Facilis tamen correctio ad manum est:

Νῆσον, ἵν' ὁπλότεροι παίδων σέθεν ΕΝΝΑΣΣΟΝΤΑΙ.

Vide v. 1213. *Callim.* H. in Del. 15.

V. 1763. Abest a Codice, et possumus facile illo carere.

# GEORGII D'ARNAUD ANIMADVERSIONES

# IN APOLLONIUM.

L. I. 191. Οἰνείδης δ' ἐπὶ τοῖσιν ἀφορμηθεὶς Καλυδῶνος
'Αλκείνης Μελέαγρος ἀνήλυθε ——

Recte vertit Hoelzlinus *fortis Meleager*: sed male idem in notis ad notas suas vulgatam servandam esse lectionem contendit, contra *Holstenium*, qui corrigebat Ἀλθαίης. Accedo omnino *Holstenio* ἀλκείνης corruptum pronuntianti: Græca enim lingua tale verbum non fert: sed ab ejus conjectura, licet acutissima, discedere cogor, cum longe propius ad vulgatam lectionem accedat ἀλκήεις, quod mihi in mentem venerat. Utitur vocabulo *Oppian*. Cyneg. lib. iii. v. 24.

Ξανθοκόμαι πλήθουσι καὶ ἐν ποσὶν ΑΛΚΗΕΝΤΕΣ.

Et Noster, ne plures alios in medium producam, hoc ipso libro, v. 71.

Εἵπετο δ' Εὐρυτίων τε ΑΛΚΗΕΙΣ Ἐριβώτης.

Formatum est ab ἀλκὴ ut φωνήεις a φωνὴ. Scholiastes ad Apollonii locum laudatum, 'Αλκήεις ἰσχυρός. παραγώγως δὲ ἐσχημάτισται παρὰ τὴν ἀλκήν.

V. 540. Ὡς ὑπ' Ὀρφῆος κιθάρῃ πέπληγον ἐρετμοῖς.

Una versus hic mutilus est syllaba. Sensit illud jam olim *H. Stephanus*, qui καὶ aut ἄρ' interjiciebat. Leviore cum mutatione luxatum reponemus metrum, si legamus, Ὡς ὑπὸ Ὀρφῆος. Frequentissimus est in hexametris talis hiatus.

V. 917. ———— ὄφρα δαέντες
Ἀρρήκτους ἀγανῇσι τελεσφορίῃσι θέμιστας.

Si verum fuerit ἀρρήκτους θέμιστας, significabit *leges quæ* aut *nequeunt* aut *non debent violari*. Fatorum leges ἀρρήκτους Manetho vocat lib. I. v. 7.

Μοιρῶν ΑΡΡΗΚΤΟΙΣΙ μίτοις θεσμοῖσί τ' ἀνάγκης.

Sed diversa est loci nostri ratio. Melius rei de qua loquitur Apollonius conveniet ΑΡΡΗΤΟΥΣ. Sermo enim est de Cabirorum in Samothracia mysteriis, quibus nihil sanctius.

V. 1036. Θνητοῖσιν πάντῃ γὰρ ἀεὶ μέγα πέπλεται ἔχθος.

Pro γὰρ scribo δὴ, qua in re præmonstratorem habeo Etym. Magni Auctorem pag. 16. v. 29. Idem ille totum hunc locum a v. 1034 usque ad v. 1037 citat, nullo addito nomine.

V. 1112. ———— καὶ πᾶσα περαίη
Θρηϊκίης σφὶ χερσὶν ἑαῖς προὐφαίνετ' ἰδέσθαι.

In his notari debent duo phrases, προὐφαίνετ' ἰδέσθαι, & σφὶ χερσὶν ἑαῖς. Prior vertenda est *apparebat*, *videbatur*. Invenitur si non eadem, ei tamen valde similis locutio apud Nostrum lib. ii. v. 1106.

—— οὐδὲ τῇ ἄστρα διαυγέα φαίνετ' ἰδέσθαι
Ἐκ νεφέων ————

Et Oppian. Hal. lib. I. v. 794.

———— οὐδέ τι γαίης
Κυανέης ἴδιον ἀποφαίνεται. —— Quod ad posterius illud σφὶ χερσὶν ἑαῖς attinet, mirifice id illustrari potest ex loco Eurip. in Heracl. v. 430.

Ὦ τέκν'

Ὦ τέκν' ἔοργμεν ναυτίλοισιν, οἵτινες
Χειμῶνος ἐκφυγόντες ἄγριον βρόμος
Εἰς χεῖρας γῇ συνῆψαν· εἶτα χερσόθεν
Πνοαῖσιν ἐλάθησαν εἰς πόντον πάλιν.

V. 1123. Βωμὸν δ' αὖ χεράδος παρενήνεον. ——
Scholiastes allegat ad hunc versum Sapphonem, cujus verba nunc ab Amanuensibus corrupta sic leguntur, μὴ κινῆ χεράδας. Ea ex Etym. M. hac ratione sunt refingenda, μὴ κίνει χεράδας *ne moveas lapides*. Atque ita absolutam in parvo apospasmatio habebis sententiam.

V. 1139. ———— ἔνθεν ἐς αἰεὶ
Ῥόμβῳ καὶ τυπάνῳ Ῥείην Φρύγες ἱλάσκονται.

Alii veterum pro ῥόμβος dicebant ῥύμβος, teste Scholiasta, qui ita commentatur: Ῥόμβος τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες, καὶ οὕτως κτύπον ἀποτελοῦσι· τινὲς δὲ ῥόμβον αὐτὸν καλοῦσιν· ὧν καὶ Εὔπολις ἐν Βάπταις, καὶ Δίδυμος. Sed hæc verba aliquantulum depravata sic castigo, τινὲς δὲ ῥύμβον αὐτὸν καλοῦσι. Si cui adhuc aliquid restare possit de lectionis hujus certitudine dubium, id omne tollet scriptor Etym. M. apud quem est, ῥύμβος καὶ ῥόμβος διχῶς λέγεται —— ῥύμβον δὲ αὐτὸν Εὔπολις εἶπε. Hesychius verbum ῥόμβος explicat, ξυλήφιον, ἐξ οὗ ἐξῆπται σχοίνιον. Emenda ξυλήφιον.

V. 1282. Καὶ πεδία δροσόεντα φαεινὴ λάμπεται αἴγλη.
Hæc nulla ratione explicari possunt. Lubens legerem κ' ἀμπεδία δροσόεντα κ. τ. λ. Aut etiam sic

Καὶ πεδία δροσόεντα φαεινῇ λάμπεται αἴγλῃ

Tu quod maxime placuerit elige.

## IN LIBRUM SECUNDUM.

V. 23. —— θεσμοῖς γὰρ ὑπείξομεν ὡς ἀγορεύεις.
Non ausim penitus vulgatam repudiare lectionem, quod aliquis adhuc ex ea erui possit sensus. Mei tamen si hæc essent judicii, minimè hæsitabundus ὡς immutarem in οἷς. Tunc vero limpidissima erit sententia. *Legibus istis quas prædicas parebimus.*

V. 1161. Ὣς φάτ'· ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο.
Scriptor Etym. M. pag. 735. in V. ἐπηβολία, hæc verba citans, ex defectu memoriæ Homero tribuit, cum tamen certissime sint Apollonii. Sæpius doctissimum Grammaticum peccatum illud peccasse non dubito quin sedulus observaverit lector.

V. 1264. Ἐννύχιοι δ' Ἄργοιο ἀλημοσυνῃσιν ἵκοντο
Φᾶσίν τ' εὐρυρέοντα, καὶ ἔσχατα πείρατα πόντου.

Quinam fuerint illi *errores* Argi non extrico. Certo certius corruptum est ΑΛΗΜΟΣΥΝΗΣΙ, nec forte minus certum est Apollonium dedisse ΔΑΗΜΟΣΥΝΗΣΙ. Haud aliter legebat vetus Commentator qui exponit τῇ ἐμπειρίᾳ τῶν τόπων. Nihil vero agit Hoëlzlinus, cum in notis demonstrare conatur ἀλημοσύνην heic esse *conjecturam*.

IN

## IN LIBRUM TERTIUM.

V. 73. ———— καί μ' ἀναείρας
Αὐτὸς ἑοῖς ὤμοισι διεκπροαλὲς φέρεν ὕδωρ.

Ignota oculis ſimul & auribus eſt vox διεκπροαλὲς. Eam ſi in tres alias diſpeſcas voces, hoc pacto δι' ἐκ προαλὲς, obvia & ſatis nota habebis vocabula. Ut a καταφέρω eſt καταφερὴς, & ab obſoleto προπίτω προπετὴς, ita a προάλλω fit προαλὴς, atque tria illa nomina ſignificationem fere habent eandem.

V. 153. Εἴκειν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο.

Veteres Critici ἐνισκίμψῃς explicant ἐνεργήσῃς, ἐμβάλοις. Sed nunquam ἐνισκίμπτειν idem fuit cum ἐνεργεῖν, aut per illud explanari potuit. Recte proin facies, ſi, pro ἐνεργήσῃς, ſcripſeris ἐνερείσῃς. Heſychius ἐνισκίμψαντες, ἐνερείσαντες. Idem eſt ἐνισκήπτειν. Idem Lexicographus ἐνισκηφθῇ, προσπελασθῇ, προσεγγισθῇ, ἐμπλαγῇ. Emenda ἐμπαγῇ aut ἐμπλακῇ. Ita inferius habet ἐνεσκίφθη, ἐνεπάγη. Σκίμψαι ἐμπαγῆναι, ἐμπλακῆναι, ἐμπελασθῆναι. Et denique σκίμψασθαι, ἐμπλακῆναι.

V. 222. ———— ἀντία δ' αἰεὶ
Βάλλειν ὑπ' Αἰσονίδῃ ἀμαρύγματα. ——

Cum nemo dixerit βάλλειν ὑπό τινα *conjicere in aliquem*, ſed εἰς aut ἐπί τινα, omnino crediderim librarios ὑπὸ affinxiſſe Apollonio, pro genuino, quod dederat, ἐπί.

V. 493. ———— ἕκαστα γὰρ οὔ νύ τοι τέκμαρ.

Ut nemo eſt, quem hujus verſiculi non offendat modulus, ita & neminem futurum eſſe exiſtimo, qui mihi pro τοι, legenti τι, adverſabitur.

V. 613. Μή πως οἱ παρ' αἶσαν ἐναντία μαχέσαιτο.

Metro id efflagitante, emendo μαχέσσαιτο.

V. 1383. ———— τοὺς δὲ καὶ ἄχρις
Ὤμων στελλομένους. ————

Sermo eſt de terrigenis illis e dentibus draconis a Jaſone ſatis orientibus. Dicit autem Apollonius partim ab Heröe trucidatos fuiſſe ventre tenus & uſque ad ilia in aërem exſurgentes, partim vero ἄχρις ὤμων στελλομένους. Sed aut omnia me fallunt, aut reponendum eſt τελλομένους.

## IN LIBRUM QUARTUM.

V. 185. ———— ὦρτο δ' ἕκαστος
Ψαῦσαι ἐελδόμενος δέχθαι δ' ἐνὶ χερσὶν ἑῇσιν.
Αἰσονίδης δ' ἄλλους μὲν ἐρήτυε· τῷ δ' ἐπὶ φᾶρος
Κάββαλε νηγάτεον. ————

Jan. Rutgers. Var. Lect. Lib. i. pag. 11. legendum contendit ὦρτο δ' Ἄκαστος. Neſciebat ſcilicet quorſum ceteroquin eſſent referenda illa τῷ δ' ἐπὶ φᾶρος κάββαλε. Sed ea ad vellus aureum pertinere, recte docet in notis ſuis Hoëlzlinus, qui idem monet minime fidendum eſſe Rutgerſii conjecturæ. Sed alium mihi hic locus injecit ſcrupulum: non enim cogitare ſubit quid ἄλλους ſibi velit, & quorſum pertineat. Hoëlzlinus quidem exiſtimat Apollonium dixiſſe ἄλλους, ad Jaſonem habitâ ratione, qui alios omnes

omnes præter ſeſe, a vellere arceret. Sed hoc frigidiuſculum. Mihi ἄλλυς prorſus ſpurium videtur: quid reliquerit Noſter incertum eſt; ego ſaltem id non definio. In mentem venerat αὐτὺς, quod ſeriei ſatis convenit, & hæc tunc poetæ mens erit. *Adveniebant vero omnes manibus ſuis vellus tractandi cupidi: at illos Æſonides inhibuit; hoc autem (vellus) novo texit velamine.*

V. 993. Ὡς δ' ὁπότ' ἂν δελφῖνες ὑπ' ἐξ ἁλὸς εὐδιόωντες
Σπερχομένην ἀγεληδὸν ἑλίσσονται περὶ νῆα.

Tu, mihi ſi credis, repones εὐδιόωντος, quod epitheton mari quam delphinis aptius eſt.

V. 1265. ——— ἤλυθε δ' ὕδωρ
Ζαυόρθρον πολιοῖσιν ἐπιτροχάει ψαμάθοισιν.

Nihili eſt ἤλυθε, quod forte typothetarum fuerit, pro genuino ἤλιθα. Eadem poteſtate poſitum hoc reperies apud Apoll. lib. IV. v. 177.

——— ἤλιθα δὲ χθὼν
Αἰὲν ὑπὸ πρὸ ποδῶν ἀμαρύσσετο νισσομένοισι.

V. 1349. Στέρφεσιν αἰγείοις ἐζωσμέναι ἐξ ὑπάτοιο
Αὐχένος, ἀμφί τε νῶτα καὶ ἰξύος. ———

Extra omnem dubitationis aleam poſitum autumem non ἰξύος; ſed ἰξύας dediſſe Apollonium. Uſu teri ἰξυα & ἰξύας, vel ex ipſis diſci poteſt Lexicis.

V. 1353. Μητέρα δὲ σφετέρην μενοεικέα τίσαι ἀμοιβῶ.

Omnino corrigendum eſt μενοεικέα. Nota vox eſt μενοεικής, ea ſæpe utitur Homerus, nec raro Apollonius noſter. Ita Lib. I. v. 657.

Ὦ φίλαι, ἀλλ' ἄγε δὴ μενοεικέα δῶρα πόρωμεν

Lib. II. v. 497.

Κυδρότεροι δ' ἑτάρων μενοεικέα δαῖτ' ἀλέγυνον.

Recte Heſychius Μενοεικέα, πολλὴν, δαψιλῆ.

V. 1453. ——— ἢ ὅτε μυῖαι
Ἀμφ' ὀλίγην μέλιτος γλυκεροῦ λίβα πεπτηυῖαι
Ἄπλητον μεμάασιν ἐπήτριμοι. ———

Acutiſſimus Jan. Rutgerſius pro ἄπληκτον legendum conjecit ἄλληκτον, optime ſane. Forte tamen alius vulgatæ lectionis veſtigiis preſſius inhærens mallet ἄπληστον, quod mihi magis arridet, & ideo forte quod mea ſit conjectura.

V. 1761. Λευγαλέον δ' ἐπὶ οἱ πρῖεν χόλον. ———

Emendandum hinc Etymol. Magnum, in quo eſt, Πρίω, σημαίνει ἀντὶ τοῦ λάοι ἐν, Λευγαλέος δέ οἱ πρῖεν χόλος, Ἀπολλώνιος. Sylburgius Apollonii verba emendavit, & eorum ſedem demonſtravit: putat vero pro λάοι legendum eſſe ἐλάοι, ſed ego mallem ἴαλλε, quod menti vatis noſtri optime convenit.

# JOANNIS TOUPII

## ANIMADVERSIONES

## IN APOLLONIUM.

### IN LIBRUM I.

789. Καλῆς δ' ἀναςαίδος εἴσω ἄγουσαι] Scribendum, διὰ ΠΑΣΤΑΔΟΣ. quam lectionem & agnoscit Scholiastes. Ad Apollonium respexit Etymologus v. Παςὰς.

862. Δηρὸν δ' ἀνελίννον αὖθι μένοντες] Hunc locum laudat Suidas v. Ἀνελίνων. Scribendum autem ἂν ἐλίννυον, sive ἂν ἐλίννυον. Quomodo repræsentat MS. Regius apud Cl. Brunck Vol. 3. p. 240. Sed librarii in hisce plurimum peccant. Confer nos ad Suid. I. p. 41. III. p. 163. et qui splendide argutatur cl. Ernest. ad Callim. Cerer. 48.

955. Εὐναίης ὀλίγον λίθον ἐλκύσαντες.] Lego, ΕΥΝΑΙΗΝ, ὀλίγον λίθον. Huc facit Callimachus apud Antholog. lib. I. p. 102.

> ΣΤΗΛΗΝ μητρυιῆς, ΜΙΚΡΑΝ ΛΙΘΟΝ, ἔστεφε κοῦρος,
>
> Ὡς βίον, ἠλλάχθαι καὶ τρόπον οἰόμενος·
>
> Ἡ δὲ τάφῳ κλινθέντα κατέκτανε παῖδα πεσοῦσα.
>
> Φεύγετε μητρυιῆς καὶ τάφον οἱ πρόγονοι.

Ita scribendus iste locus: de quo nos ad Suid. II. 119. Confer et cl. Brunk. Vol. 3. p. 280.

1139. Schol. Τινὲς δὲ ῥύμβον αὐτὸ καλοῦσιν· ὧν καὶ Εὔπολις ἐν Βάπταις καὶ Δίδυμος. Scribe, καὶ ΔΙΔΥΜΟΙΣ. Δίδυμοι est titulus Comœdiæ.

1174. τετρυμμένα γυῖα τ' ἔκαμψεν] Scribe, τετρυμένα. Confer Emend. in Suid. III. p. 197.

1300. Schol. Τὸν σὺ ξεῖν' Βορέη ἀνέμῳ πιπιθοῦσα θυέλλα.] Locus Homeri occurrit Iliad. O. 26. ubi recte legitur θυέλλας.

### IN LIBRUM II.

260. οἱ μηδ' οἵδε θανόντι περ εὐμενέοιεν] Scribendum, οὐδὲ θανόντι. *ne mortuo quidem.*

613. Ἔλπομαι αὐτῇ νηὶ τόγ' ἔμπεδον ἐξαλέασθαι

Ἡμέας ——— Ineptit Interpres. Recte Schol. Λείπει ἡ σύν. ὁ δὲ νοῦς· ἐλπίζω ἤδη σεσῶσθαι ἡμᾶς σὺν αὐτῇ τῇ νηί. Confer Schol. ad Apollon. I. 823.

713. νύμφη Πληϊόνη θυγατρὸς] Schol. Πλεῖστος δὲ ποταμός. τινὲς δὲ αὐτὸν ὀξυτόνως Πλειστοῖο προσπερισπωμένως. ἐπεὶ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται Πλειστὸς, ὡς καλός. Dicit Scholiaftes, " vocem Πλειστὸς nonnunquam accentum habere in ultima, five barytonum effe, ut καλός." Hic fenfus loci eft. Poteris etiam legere, nam ifta verba non raró permutantur, ὡς Καλλίμαχος, ut refpexit Callim. Del. 92

Θηρίον αἰνογένειον ἀπὸ Πλειστοῖο καθέρπον.

Ad quem locum nugatur Spanhemius.

1012. Schol. ὡς ἱστορεῖ Νυμφόδωρος ἐν τισι νόμοις] Scribendum, ἐν τοῖς ΝΟΜΙΜΟΙΣ. Confer nos ad Suid. II. 4.

1193. ἀτὰρ κείνην γε] Hæc non intellexerunt Interpretes. Legendum, ΑΤΕΡ ΚΕΙΝΗΣ ΓΕ. *Sine illa. fine ope Minervæ.* Vid. fupra ii. 614. Nihil verius.

## IN LIBRUM III.

163. Ἠέλιος πρώτῃσιν ἐρεύγεται ἀκτίνεσσι.] Scribendum, ΕΡΕΥΘΕΤΑΙ ἀκτίνεσσι, *rubefcit radiis.* Apollon. IV. 126.

—— νεφέλῃ ἐναλίγκιον, ἥτ' ἀνιόντος
Ἠελίου φλογέοισιν ΕΡΕΥΘΕΤΑΙ ΑΚΤΙΝΕΣΣΙΝ.

1298. ἐν τρητοῖσιν εὐῤῥίνοις χοάνοισι
φῦσαι χαλκήων ——]

Lego, ΕΥΡΡΙΝΟΙ.

## IN LIBRUM IV.

371. Πάντῃ νεῦ προφέρων ὑπερίστασο —] Legendum, ΠΡΟΦΡΩΝ. Hefych. Πρόφρων, πρόθυμος, εὔνους. Vocem fæpius ufurpat Apollonius.

828. —— ἥν τίκε Φόρκυν] MSS. Codd. ἥν τίκε ΦΟΡΚΩ
Νυκτιπόλος Ἑκάτη ——

Quod & cl. Brunkio placet.

INDEX

# INDEX

# VERBORUM.

# INDEX VERBORUM.

## PRIOR NUMERUS LIBRUM,

## SECUNDUS VERSUM DESIGNAT.

### A.

Αγρειῶται

Ἀθερίζω

# INDEX



Αἰνήσαντες

# INDEX



Ἀκρεμόνεσσι

# INDEX



Ἀλλο-

Αμαρυγμάτος

Αμπαύσας

Αμφοτέρῃσι

# INDEX



Ἀναστυχοῦσι

Απιόντος

Αποστρέψαι

# I N D E X



Αρη

Ἁρμονίης

B



Βαίστρε

# VERBORUM.



Γ



Γαῖαν

Γέροντες

Βορέαο

Δ.



Δαιτὸς

Δηΐων

Διειλεχθεῖσα

Δυσήνεμον

E

Ἑδριόωντο

Ἔκλυσε

Εμὲ

Ενιόπτη

Ἐπαρωγὸν

Επιδέρκεται

Επιπροίηκαν

Ἐρεχθεὺς

Εστῶσα

Ετυμενον

Ευμβρίοντες

Εὔτε

Εφόρησαν

Z.

H.



Ἠείδειν

Ἤνυσαν

## Θ.



Θάμιζεν

Θέμενοι

Θηεύμενος

I.



Ἰάονες

Ἱππήεσσι

K.



Καλαμητόμοι

Κάπῳ

Καλλίσκοντας

Κλῦθι

# I N D E X



Κόπτον

Κραιπνὸς

Λαρὸν

M.



Μαλα

Μέθυ

Μέλλει

Μόρον

Νεῖσθαι

Νῆσος

Ξ.



Ξίφει

Οἰστεύμενος

Ολοφῦ

Ὀνεῖρα

Οπυιων

Οφρα

Παραιφάμενος

Παυρότεροι

Πέλασσε

Ποίει

Πολυκλύστου

Ποσειδάων

Προϊδὼν

Προφανεῖσι

'Ρίγιστος

## Σ.

Σκήπτρων

Στείλαντες

Στονόεσσα

Συνίαχεν

T.



Ταλαεργὸς

Τέτμη

Υ.



Ὕλης

Ὑπέκφερον

Ὑποσκιόωνται

Φ.

Φράσσαντο

X.

Χθονὶ

# I N D E X &c.

# INDEX

## AUCTORUM QUI CITANTUR

## IN SCHOLIIS.

# INDEX

## AUCTORUM QUI CITANTUR

## IN SCHOLIIS.

### A.



### B.



ΔΗΜΑΡΕΤΟΣ.

# INDEX.



ΗΣΑΓΟΡΑΣ.

# INDEX.



ΝΥΜΦΙΣ.

# INDEX.



ΤΑΡΡΑΙΟΣ

# INDEX

## AUCTORUM QUI CITANTUR

## IN NOTIS.

# INDEX

## AUCTORUM QUI CITANTUR

## IN NOTIS.

T.



V.



W.



X.



FINIS.